ΙΩΑΝΝΟΥ ΧΡΥΣΟΣΤΟΜΟΥ
ΑΠΑΝΤΑ ΤΑ ΕΡΓΑ

32

ΟΜΙΛΙΑΙ ΠΕΡΙΣΤΑΤΙΚΑΙ Β΄

ΚΕΙΜΕΝΟΝ - ΜΕΤΑΦΡΑΣΙΣ - ΣΧΟΛΙΑ


Ὑπὸ
ΝΙΚΗΤΑ ΤΣΙΟΜΕΣΙΔΟΥ
Θεολόγου

Ἐπόπται

ΠΑΝ. Κ. ΧΡΗΣΤΟΥ, Καθηγητὴς Πανεπιστημίου
ΘΕΟΔ. Ν. ΖΗΣΗΣ, Ὑφηγητὴς Πανεπιστημίου

Ἐπιμεληταὶ

ΒΑΣ. Δ. ΦΑΝΟΥΡΓΑΚΗΣ, π. Θεολογίας
ΕΛΕΥΘ. Γ. ΜΕΡΕΤΑΚΗΣ, π. Θεολογίας



ΕΠΕ

ΠΑΤΕΡΙΚΑΙ ΕΚΔΟΣΕΙΣ «ΓΡΗΓΟΡΙΟΣ Ο ΠΑΛΑΜΑΣ»
ΘΕΣΣΑΛΟΝΙΚΗ 1979

ΙΩΑΝΝΟΥ ΧΡΥΣΟΣΤΟΜΟΥ

32

ΟΜΙΛΙΑΙ ΠΕΡΙΣΤΑΤΙΚΑΙ Β΄

ΚΕΙΜΕΝΟΝ — ΜΕΤΑΦΡΑΣΙΣ

ΟΜΙΛΙΑ ΤΡΙΤΗ

ΕΙΣ ΤΗΝ ΑΠΟΔΗΜΙΑΝ ΤΟΥ ΕΠΙΣΚΟΠΟΥ ΦΛΑΒΙΑΝΟΥ

ὑπὲρ τῆς πόλεως πρὸς τὸν βασιλέα πρεσβευομένου· καὶ τίς ἐστιν ἡ ἀληθὴς νηστεία, καὶ ὅτι τοῦ φαγεῖν ἀνθρώπινον σῶμα τὸ κατηγορῆσαι χεῖρον, καὶ περὶ τῶν διὰ τὴν στάσιν σφαγέντων καὶ πρὸς τοὺς ἐγκαλοῦντας, ὅτι πολλοὶ τῶν αναιτίων ἑάλωσαν.

1. Ὅταν εἰς τὸν θρόνον ἀπίδω τοῦτον ἔρημον ὄντα καὶ κενὸν τοῦ διδασκάλου, χαίρω τε ὁμοῦ καὶ δακρύω· δακρύω μέν, ὅτι παρόντα οὐχ ὁρῶ τὸν πατέρα· χαίρω δέ, ὅτι ὑπὲρ τῆς ἡμετέρας ἀπεδήμησε σωτηρίας, καὶ δῆμον τοσοῦτον ἀπῆλθεν ὀργῆς ἐξαρπάσαι βασιλικῆς. Τοῦτο καὶ ὑμῖν κόσμος, κἀκείνῳ στέφανος· κόσμος ὑμῖν, ὅτι τοιοῦτον ἐκληρώθητε πατέρα· στέφανος ἐκείνῳ, ὅτι περὶ τὰ ἔκγονα οὕτως ἐστὶ φιλόστοργος, καὶ τὸ παρὰ τοῦ Χριστοῦ λεχθὲν δι' αὐτῶν ἐβεβαίωσε τῶν πραγμάτων.

Ἀκούσας γὰρ «ὅτι ὁ ποιμὴν ὁ καλὸς τὴν ψυχὴν αὐτοῦ τίθησιν ὑπὲρ τῶν προβάτων», ἀπῆλθε τὴν ψυχὴν αὐτοῦ θήσων ὑπὲρ ἡμῶν ἁπάντων, καίτοι πολλὰ ἦν αὐτῷ τὰ κωλύοντα ἀπιέναι, καὶ καταναγκάζοντα μένειν· καὶ πρῶτον ἡ ἡλικία πρὸς ἔσχατον ἐλάσασα γῆρας, εἶτα ἡ τοῦ σώματος ἀσθένεια, καὶ τοῦ ἔτους ἡ ὥρα, καὶ τῆς ἁγίας ἑορτῆς ἡ ἀνάγκη· πρὸς τούτοις ἡ ἀδελφὴ μόνη οὖσα αὐτῷ καὶ πρὸς ἐσχάτας ἑστῶσα ἀναπνοάς. Ἀλλ' ὅμως καὶ συγγένειαν παρεῖ-

1. Ἰω. 10, 11.
2. Ἐννοεῖται ἡ ἑορτὴ τοῦ Πάσχα.

ΟΜΙΛΙΑ ΤΡΙΤΗ

ΕΙΣ ΤΗΝ ΑΠΟΔΗΜΙΑΝ ΤΟΥ ΕΠΙΣΚΟΠΟΥ ΦΛΑΒΙΑΝΟΥ

διὰ νὰ μεσιτεύσῃ ὑπὲρ τῆς πόλεως πρὸς τὸν βασιλέα· καὶ περὶ τοῦ ποία εἶναι ἡ πραγματικὴ νηστεία, καὶ περὶ τοῦ ὅτι εἶναι χειρότερον νὰ κατηγορήσῃ κανεὶς ἀπὸ τὸ νὰ φάγῃ ἀνθρώπινον κρέας, καὶ περὶ ἐκείνων ποὺ ἐσφάγησαν λόγῳ τῆς στάσεως, καὶ πρὸς αὐτοὺς ποὺ παραπονοῦνται ὅτι πολλοί, χωρὶς νὰ εἶναι ἔνοχοι, ἐφονεύθησαν.

1. Ὅταν προσβλέψω εἰς τὸν θρόνον τοῦτον τὸν ἀρχιερατικόν, ὁ ὁποῖος εἶναι ἔρημος καὶ κενὸς ἀπὸ τὸν διδάσκαλον, συγχρόνως χαίρομαι καὶ δακρύζω· δακρύζω μέν, διότι δὲν βλέπω νὰ εἶναι παρὼν ὁ πνευματικός μας πατήρ· χαίρομαι δέ, διότι ἀνεχώρησε χάριν τῆς ἰδικῆς μας σωτηρίας καὶ ἔφυγε διὰ νὰ ἀπαλλάξῃ τόσον πολὺ πλῆθος ἀπὸ τὴν ὀργὴν τοῦ βασιλέως. Τοῦτο καὶ εἰς σᾶς εἶναι τιμὴ καὶ εἰς ἐκεῖνον στέφανος· εἶναι τιμὴ εἰς σᾶς διότι σᾶς ἔτυχε τοιοῦτος πνευματικὸς πατήρ· εἶναι στέφανος δι' ἐκεῖνον, διότι εἶναι τόσον φιλόστοργος διὰ τὰ τέκνα του καὶ ἐκεῖνο ποὺ ἐλέχθη ἀπὸ τὸν Χριστὸν τὸ ἐβεβαίωσε διὰ τῶν πραγμάτων.

Διότι ἀκούσας «ὅτι ὁ ποιμὴν ὁ καλὸς θυσιάζει καὶ τὴν ζωήν του ἀκόμα διὰ νὰ προφυλάξῃ τὰ πρόβατα ἀπὸ κάθε κίνδυνον»[1] ἀνεχώρησε διὰ νὰ θυσιάσῃ τὴν ψυχήν του ὑπὲρ ὅλων ἡμῶν, καίτοι ἦσαν πολλὰ τὰ ἐμπόδια ποὺ δὲν τὸν ἐπέτρεπαν νὰ ἀπομακρυνθῇ ἀπὸ ἐδῶ καὶ τὸν ἠνάγκαζον νὰ παραμείνῃ ἐδῶ· καὶ πρῶτον ἡ ἡλικία του ποὺ ἔχει φθάσει εἰς βαθὺ γῆρας, ἔπειτα ἡ ἀσθένεια τοῦ σώματός του, ἡ ἀκατάλληλος ἐποχὴ τοῦ ἔτους καὶ ἡ ἀνάγκη νὰ εἶναι μαζί μας κατὰ τὴν ἁγίαν ἑορτήν[2]· ἐπὶ πλέον δὲ ἡ μόνη του ἀδελφή, ἡ ὁποία καὶ ἦτο ἑτοιμοθάνατος. Παρὰ ταῦτα ὅμως παρέ-

δε, καὶ γῆρας, καὶ ἀσθένειαν, καὶ καιροῦ δυσκολίαν, καὶ ὁδοιπορίας ταλαιπωρίαν, καὶ πάντων ὑμᾶς καὶ τὴν ὑμετέραν σωτηρίαν προθείς, ταῦτα πάντα διέρρηξε τὰ δεσμά· καὶ καθάπερ νέος ὁ γέρων ἐλαύνει, νῦν ὑπόπτερος τῇ προθυμίᾳ γενόμενος.

Εἰ γὰρ ὁ Χριστός, φησίν, ὑπὲρ ἡμῶν ἑαυτὸν ἐπέδωκε, τίνος ἂν εἴημεν ἡμεῖς ἀπολογίας καὶ συγγνώμης ἄξιοι, τοσούτου λαοῦ προστασίαν ἐγκεχειρισμένοι, καὶ μὴ πάντα αἱρούμενοι καὶ ποιῆσαι καὶ παθεῖν ὑπὲρ τῆς τῶν ἐγχειρισθέντων ἡμῖν ἀσφαλείας; Εἰ γὰρ ὁ πατριάρχης, φησίν, Ἰακὼβ θρεμμάτων προεστώς, καὶ πρόβατα ἄλογα βόσκων, καὶ ἀνθρώπῳ μέλλων εὐθύνας διδόναι καὶ νύκτας ἀΰπνους διῆγε καὶ καῦμα, καὶ κρύος, καὶ πᾶσαν ἀέρων ἀνωμαλίαν ἔφερεν, ὥστε μηδὲν παραπολέσθαι τῶν θρεμμάτων ἐκείνων· πολλῷ μᾶλλον ἡμᾶς τοὺς οὐκ ἀλίγοις ἐφεστῶτας ἀλλὰ πνευματικοῖς προβάτοις, καὶ οὐκ ἀνθρώπῳ ἀλλὰ τῷ Θεῷ τῆς ἐπιστασίας ταύτης διδόναι μέλλοντας τὰς εὐθύνας, πρὸς οὐδὲν ὀκνεῖν καὶ ἀναδύεσθαι χρὴ τῶν δυναμένων ὠφελῆσαι τὸ ποίμνιον. Ἀλλ' ὅσῳ βελτίων ἡ ποίμνη αὕτη τῆς ποίμνης ἐκείνης, καὶ ἀλόγων μὲν ἄνθρωποι, ἀνθρώπων δὲ ὁ Θεός· τοσούτῳ καὶ ἡμᾶς πλείονα καὶ σφοδρὰν τὴν σπουδὴν καὶ τὴν προθυμίαν ἐπιδείκνυσθαι χρή. Ἔγνω καλῶς ἐκεῖνος, ὅτι οὐχ ὑπὲρ μιᾶς πόλεως αὐτῷ νῦν ὁ λόγος, ἀλλ' ὑπὲρ τῆς ἀνατολῆς ἁπάσης· τῶν γὰρ πόλεων τῶν ὑπὸ τὴν ἕω κειμένων κεφαλὴ καὶ μήτηρ ἐστὶν ἡ πόλις ἡ ἡμετέρα. Διὰ τοῦτο πάντα ὑπέμεινε κίνδυνον, καὶ οὐδὲν αὐτὸν ἐνταῦθα κατασχεῖν ἴσχυσε. Διὰ τοῦτο ἐλπίζω χρηστὰς ἔσεσθαι τὰς ἐλπίδας· οὐ γὰρ παρόψεται τοσαύτην προθυμίαν καὶ σπουδὴν ὁ Θεός, οὐδὲ ἐάσει τὸν ἑαυτοῦ θεράποντα ἄπρακτον ἐπανελθεῖν.

βλεψε καὶ τὴν συγγένειαν, καὶ τὸ γῆρας, καὶ τὴν ἀσθένειαν καὶ τὴν δυσκολίαν τῆς ἐποχῆς καὶ τὴν ταλαιπωρίαν τοῦ ταξιδίου, καὶ προτιμήσας ἐξ ὅλων σᾶς καὶ τὴν σωτηρίαν σας, ἔσπασεν ὅλα αὐτὰ τὰ δεσμά· καὶ ὅπως ὁ νέος, βαδίζει ὁ γέρων τὸν δρόμον, γενόμενος τώρα, ἐξ αἰτίας τῆς προθυμίας του, ἐλαφρότερος εἰς τὸ βάδισμα.

Διότι ἐὰν ὁ Χριστός, λέγει, ἐθυσιάσθη ὑπὲρ ἡμῶν, ποίας ἀπολογίας καὶ συγγνώμης ἄξιοι θὰ εἴμεθα ἡμεῖς ποὺ μᾶς ἔχει ἀναθέσει ὁ Θεὸς τὴν προστασίαν τόσου λαοῦ, ἂν δὲν εἴμεθα πρόθυμοι νὰ κάμωμεν τὰ πάντα καὶ νὰ πάθωμεν τὰ πάντα χάριν τῆς ἀσφαλείας τοῦ ἐμπιστευθέντος εἰς ἡμᾶς λαοῦ; Διότι, λέγει, ἐὰν ὁ πατριάρχης Ἰακώβ, ἂν καὶ προΐστατο κτηνῶν καὶ ἔβοσκε πρόβατα, καὶ ἐπρόκειτο νὰ λογοδοτήσῃ εἰς ἄνθρωπον, ἐν τούτοις ἐπερνοῦσε νύκτας χωρὶς ὕπνον, καὶ ὑπέφερε ζέστην καὶ κρύο, καὶ κάθε εἴδους ἀνωμαλίαν καιρικήν, ὥστε νὰ μὴ χαθῇ κανένα ἀπὸ τὰ πρόβατα ἐκεῖνα, πολὺ περισσότερον ἡμεῖς, ποὺ δὲν εἴμεθα ἐπιστάται εἰς ἄλογα, ἀλλὰ εἰς πνευματικὰ πρόβατα, καὶ ποὺ θὰ λογοδοτήσωμεν διὰ τὴν ἐπιστασίαν αὐτὴν ὄχι εἰς ἄνθρωπον ἀλλὰ εἰς τὸν Θεόν, δὲν πρέπει νὰ διστάζωμεν ἀπὸ τίποτε καὶ νὰ μετερχώμεθα κάθε μέσον ποὺ ἠμπορεῖ νὰ ὠφελήσῃ τὸ ποίμνιον. Καὶ ὅσον καλυτέρα εἶναι ἡ ποίμνη αὐτὴ ἀπὸ τὴν ποίμνην ἐκείνην, καὶ οἱ ἄνθρωποι ἀπὸ τὰ ζῶα, καὶ ὅσον ἀνώτερος ὁ Θεὸς ἀπὸ τοὺς ἀνθρώπους, τόσον μεγαλυτέραν καὶ περισσοτέραν φροντίδα καὶ προθυμίαν πρέπει νὰ ἐπιδεικνύωμεν ἡμεῖς. Ἐγνώριζεν ἐκεῖνος καλῶς ὅτι δὲν ἐπρόκειτο νὰ ἐνεργήσῃ ὑπὲρ μιᾶς μόνον πόλεως τώρα, ἀλλὰ ὑπὲρ ὁλοκλήρου τῆς Ἀνατολῆς· διότι ὅλων τῶν πόλεων τῆς Ἀνατολῆς κεφαλὴ καὶ μητέρα εἶναι ἡ ἰδική μας πόλις. Διὰ τοῦτο ὑπέμεινε κάθε κίνδυνον, καὶ τίποτε δὲν ἠμπόρεσε νὰ τὸν κρατήσῃ ἐδῶ. Διὰ τοῦτο ἐλπίζω καὶ εἶμαι αἰσιόδοξος, διότι δὲν θὰ παραβλέψῃ τόσον μεγάλην προθυμίαν καὶ ζῆλον ὁ Θεὸς καὶ οὔτε θὰ ἀφήσῃ τὸν δοῦλον του νὰ ἐπιστρέψῃ ἄπρακτος.

Οἶδα ὅτι καὶ μόνον ὀφθεὶς ἐκεῖνος, καὶ τὸν εὐσεβῆ βασιλέα θεασάμενος, ἀπὸ τῆς ὄψεως αὐτῆς εὐθέως καταστεῖλαι δυνήσεται τὸν θυμόν. Τῶν γὰρ ἁγίων οὐχὶ τὰ ῥήματα μόνον, ἀλλὰ καὶ αὐτὰ τὰ πρόσωπα πνευματικῆς γέμει χάριτος. Οὗτος δὲ καὶ πολλῆς σοφίας ἐμπέπλησται, καὶ τῶν θείων νόμων ἔμπειρος ὤν, ἐρεῖ πρὸς αὐτὸν ὅπερ καὶ πρὸς τὸν Θεὸν ὁ Μωϋσῆς· «Εἰ μὲν ἀφῇς αὐτοῖς τὴν ἁμαρτίαν, ἄφες· εἰ δὲ μή, κἀμὲ ἀπόκτεινον μετ' αὐτῶν». Τοιαῦτα γὰρ τῶν ἁγίων τὰ σπλάγχνα, τὸν μετὰ τῶν τέκνων θάνατον τῆς χωρὶς αὐτῶν ζωῆς γλυκύτερον εἶναι νομίζουσι.

Προσθήσει δὲ καὶ τὴν ἀπὸ τοῦ καιροῦ συνηγορίαν, καὶ τὸ πάσχα τὸ ἱερὸν προβαλεῖται, καὶ ἀναμνήσει τὸν καιρόν, καθ' ὃν τῇ οἰκουμένῃ πάσῃ τὰ ἁμαρτήματα ἀφῆκεν ὁ Χριστός· παρακαλέσει μιμήσασθαι τὸν Δεσπότην, ἀναμνήσει καὶ τῆς παραβολῆς αὐτὸν ἐκείνης τῆς τῶν μυρίων ταλάντων καὶ τῶν ἑκατὸν δηναρίων. Οἶδα τοῦ πατρὸς ἡμῶν τὴν παρρησίαν, οὐ παραιτήσεται αὐτὸν ἀπὸ τῆς παραβολῆς ταύτης φοβῆσαι καὶ εἰπεῖν, ὅρα μή ποτε καὶ σὺ κατ' ἐκείνην ἀκούσῃς τὴν ἡμέραν· «Πονηρὲ δοῦλε, πᾶσαν τὴν ὀφειλὴν ἀφῆκά σοι, ἐπεὶ παρεκάλεσάς με· ἔδει καὶ σὲ ἀφεῖναι τοῖς συνδούλοις σου». Σαυτὸν ὠφελεῖς μειζόνως ἢ ἐκείνους, ἐν τῇ τῶν ὀλίγων ἁμαρτημάτων συγχωρήσει τῶν μειζόνων τὴν ἀμνηστίαν λαμβάνων.

Προσθήσει τοῖς εἰρημένοις καὶ τὴν εὐχὴν ἐκείνην, ἣν οἱ μυσταγωγήσαντες αὐτὸν τὴν ἱερὰν μυσταγωγίαν ἐπαίδευσαν εὔχεσθαι καὶ λέγειν· «Ἄφες ἡμῖν τὰ ἁμαρτήματα ἡμῶν, ὡς καὶ ἡμεῖς ἀφίεμεν τοῖς ὀφειλέταις ἡμῶν». Διδάξει μετὰ τούτων ὅτι οὐ κοινὸν τῆς πόλεως γέγονε τὸ ἁμάρτημα, ἀλλ'

3. Ἐξ. 32, 31.
4. Ματθ. 18, 32.
5. Ματθ. 6, 12.

Γνωρίζω ὅτι ὅταν θὰ παρουσιασθῇ ἐκεῖνος καὶ θὰ ἀντικρύσῃ τὸν εὐσεβῆ βασιλέα μόνον ἡ ὄψις του θὰ ἠμπορέσῃ νὰ κατευνάσῃ τὸν θυμὸν τοῦ βασιλέως. Διότι τῶν ἁγίων ἀνδρῶν ὄχι μόνον οἱ λόγοι ἀλλὰ καὶ αὐτὰ τὰ πρόσωπα εἶναι γεμᾶτα ἀπὸ πνευματικὴν χάριν. Αὐτὸς δὲ ἐπειδὴ εἶναι γεμᾶτος ἀπὸ πολλὴν σοφίαν καὶ γνωρίζει καλὰ τοὺς θείους νόμους θὰ εἰπῇ εἰς τὸν βασιλέα ὅ,τι καὶ ὁ Μωυσῆς εἶπεν εἰς τὸν Θεὸν «ἐὰν μὲν συγχωρήσῃς αὐτοὺς διὰ τὴν ἁμαρτίαν των αὐτήν, ἔχει καλῶς, ἄλλως φόνευσε καὶ ἐμὲ μαζὶ μὲ αὐτούς»[3]. Διότι τέτοια εἶναι ἡ ἀγάπη τῶν ἁγίων ὥστε τοὺς κάνει νὰ θεωροῦν γλυκύτερον τὸ νὰ ἀποθάνουν μὲ τὰ πνευματικά των τέκνα, παρὰ νὰ ζοῦν χωρὶς αὐτά.

Θὰ προσθέσῃ δὲ καὶ τὴν συνηγορίαν τοῦ καιροῦ, καὶ θὰ προβάλῃ τὸ ἱερὸν πάσχα, καὶ θὰ ὑπενθυμίσῃ εἰς αὐτὸν τὸν καιρὸν κατὰ τὸν ὁποῖον εἰς ὅλην τὴν οἰκουμένην ὁ Χριστὸς συνεχώρησε τὰ ἁμαρτήματα· θὰ τὸν παρακαλέσῃ νὰ μιμηθῇ τὸν Δεσπότην, καὶ θὰ τοῦ ὑπενθυμίσῃ τὴν παραβολὴν τῶν μυρίων ταλάντων καὶ τῶν ἑκατὸν δηναρίων. Γνωρίζω καλῶς τὴν παρρησίαν του, καὶ δὲν θὰ διστάσῃ νὰ τὸν φοβήσῃ ἀπὸ τὴν παραβολὴν αὐτήν, καὶ νὰ εἰπῇ, πρόσεξε μήπως καὶ σὺ κατὰ τὴν ἡμέραν ἐκείνην τῆς κρίσεως ἀκούσῃς· «πονηρὲ δοῦλε, σοῦ ἐχάρισα ὅλον τὸ χρέος σου, ἐπειδὴ μὲ παρεκάλεσες· ἔπρεπε καὶ σὺ νὰ χαρίσῃς τὸ χρέος εἰς τὸν σύνδουλόν σου»[4]. Τὰν ἑαυτόν σου ὠφελεῖς περισσότερον παρὰ ἐκείνους, διότι μὲ τὸ νὰ συγχωρῇς τὰ μικρὰ ἁμαρτήματα ἐκείνων παίρνεις ἀμνηστίαν διὰ τὰ μεγαλύτερα ἰδικά σου ἁμαρτήματα.

Θὰ προσθέσῃ ἐπὶ πλέον καὶ τὴν προσευχὴν ἐκείνην τὴν ὁποίαν τοῦ ἔμαθαν νὰ προσεύχεται καὶ νὰ λέγῃ αὐτὰ ποὺ ἐδίδαξαν εἰς αὐτὸν τὴν ἱερὰν διδασκαλίαν μας· «καὶ συγχώρεσε τὰς ἀναριθμήτους ἁμαρτίας μας, ὅπως καὶ ἡμεῖς συγχωροῦμεν ἐκείνους οἱ ὁποῖοι εἶναι ὀφειλέται ἀπέναντί μας ἐξ αἰτίας τῶν ἀδικημάτων ποὺ μᾶς ἔκαμαν»[5]. Θὰ τὸν πληροφορήσῃ σὺν τοῖς ἄλλοις ὅτι τὸ παράπτωμα δὲν τὸ ἔκαμαν

ἀνθρώπων τινῶν ξένων, καὶ ἐπηλύδων, οὐδὲν λογισμῷ ποιούντων, ἡ τόλμη καὶ παρανομία πάσῃ· καὶ οὐκ ἂν εἴη δίκαιον, ὑπὲρ τῆς ὀλίγων ἀπαιδευσίας, πόλιν τοσαύτην ἀφαρπάζεσθαι, καὶ τοὺς οὐδὲν ἠδικηκότας διδόναι δίκην. Καίτοι εἰ καὶ πάντες ἡμαρτηκότες ἦσαν, ἱκανὴν ἔδωκαν δίκην ἐπὶ τοσαύταις ἡμέραις φόβῳ δαπανώμενοι, καὶ καθ' ἑκάστην ἀποθανεῖσθαι προσδοκῶντες τὴν ἡμέραν, ἐλαυνόμενοι, φυγαδευόμενοι, τῶν καταδίκων ἐλεεινότερον ζῶντες, τὸ αἷμα ἐν ταῖς χερσὶ βαστάζοντες, καὶ οὐ θαρροῦντες αὐτῶν τῇ ζωῇ. Ἀρκέσθητι τῇ τιμωρίᾳ ταύτῃ, μὴ προέλθῃς περαιτέρω τῆς ὀργῆς, ἥμερον σεαυτῷ ποίησον τὸν ἄνω δικαστὴν διὰ τῆς εἰς τοὺς συνδούλους φιλανθρωπίας. Ἐννόησον τὸ τῆς πόλεως μέγεθος, καὶ ὅτι οὐ περὶ μιᾶς καὶ δύο καὶ τριῶν καὶ δέκα ψυχῶν ἐστιν ἡμῖν ἡ σκέψις νῦν, ἀλλὰ περὶ μυρίων καὶ ἀπείρων, περὶ τοῦ κεφαλαίου τῆς οἰκουμένης ἁπάσης.

Αὕτη ἡ πόλις ἐστίν, ἐν ᾗ πρότερον ἐχρημάτισαν Χριστιανοί· τίμησον τὸν Χριστόν, αἰδέσθητι τὴν πρώτην ἀνακηρύξασαν τὸ ποθεινὸν τοῦτο καὶ γλυκὺ πᾶσιν ὄνομα· ἀποστόλων ἐκείνη γέγονε καταγώγιον, δικαίων ἐνδιαίτημα. Νῦν τοῦτο καὶ πρῶτον τὸ τόλμημα γέγονε μόνον εἰς τοὺς κρατοῦντας, καὶ μαρτυρεῖ τῷ τῆς πόλεως ἤθει πᾶς ὁ παρελθὼν χρόνος. Εἰ μὲν γὰρ συνεχῶς ἐστασίαζον, ἔδει καταγινώσκειν τῆς πονηρίας· εἰ δὲ ἅπαξ τοῦ παντὸς τοῦτο συνέβη χρόνου, εὔδηλον ὅτι οὐ τοῦ τῆς πόλεως ἤθους τὸ ἁμάρτημα, ἀλλὰ τῶν ἁπλῶς καὶ εἰκῇ προσφθαρέντων αὐτῇ τὸ παρανόμημα γέγονε τοῦτο.

2. Ταῦτα ὁ ἱερεὺς ἐρεῖ, καὶ πλείονα τούτων μετὰ πλείονος τῆς παρρησίας· ταῦτα ὁ βασιλεὺς ἀκούσεται, κἀκεῖνος φιλάνθρωπος, καὶ οὗτος πιστός, ὥστε ἀμφοτέρωθεν χρηστὰς ἔχομεν τὰς ἐλπίδας. Μᾶλλον δὲ καὶ πρὸ τῆς πίστεως τοῦ

ἄνθρωποι τῆς πόλεως, ἀλλὰ τοῦτο ἔγινεν ἀπὸ ἀνθρώπους ξένους ποὺ ἦλθαν ἀπὸ ἄλλα μέρη, ἀπερίσκεπτοι, τολμηροὶ καὶ γεμᾶτοι ἀπὸ κάθε παρανομίαν, καὶ δὲν εἶναι δίκαιον ἐξ αἰτίας τῆς ἀπερισκεψίας τῶν ὀλίγων νὰ καταστραφῆ τόσον μεγάλη πόλις καὶ νὰ τιμωροῦνται ἐκεῖνοι ποὺ κανένα ἄδικον πρᾶγμα δὲν ἔκαμαν. Καὶ ἂν ἀκόμα ὑποθέσωμεν ὅτι ὅλοι ἔλαβαν μέρος εἰς τὸ παράπτωμα αὐτό, ἀρκετὰ ἐτιμωρήθησαν, ἐξαντλούμενοι ἀπὸ τὸν φόβον των τόσας ἡμέρας, περιμένοντες τὸν θάνατον, διωκόμενοι, ἐξοριζόμενοι, ζῶντες πιὸ ἀξιολύπητα ἀπὸ τοὺς καταδίκους, βαστάζοντες τὸ αἷμα των μὲ τὰ ἴδια των τὰ χέρια καὶ μὴ ἔχοντες ἐμπιστοσύνην διὰ τὴν ζωήν των. Θὰ τοῦ εἰπῆ· νὰ ἀρκεσθῆς εἰς τὴν τιμωρίαν αὐτήν, ἂς μὴ προχωρήσῃ πιὸ πέρα ἡ ὀργή σου, κάμε ἤπιον τὸν οὐράνιον δικαστὴν διὰ τὸν ἑαυτόν σου διὰ τῆς ἰδικῆς σου φιλανθρωπίας εἰς τοὺς συνδούλους σου. Νὰ λάβῃς ὑπ' ὄψιν σου τὸ μέγεθος τῆς πόλεως, καὶ ὅτι δὲν πρόκειται περὶ μιᾶς καὶ δύο καὶ τριῶν καὶ δέκα ψυχῶν, ἀλλὰ περὶ ἀναριθμήτων καὶ ἀπείρων, περὶ τῆς κεφαλῆς ὅλης τῆς οἰκουμένης.

Αὐτὴ ἡ πόλις εἶναι ἐκείνη εἰς τὴν ὁποίαν ἠκούσθη τὸ ὄνομα Χριστιανός· τίμησε τὸν Χριστόν, νὰ σεβασθῆς τὴν πόλιν ἡ ὁποία πρώτη ἀνεκήρυξε τὸ ποθεινὸν τοῦτο καὶ γλυκὺ εἰς ὅλους ὄνομα· αὐτὴ ἔγινε καταφύγιον τῶν ἀποστόλων καὶ κατοικητήριον τῶν δικαίων. Τώρα τὸ τόλμημα αὐτὸ ἐναντίον τῶν ἀρχόντων εἶναι τὸ πρῶτον, διὰ δὲ τὸ χρηστὸν ἦθος τῆς πόλεως μαρτυρεῖ ὅλος ὁ παρελθὼν χρόνος. Διότι ἂν συνεχῶς ἐστασίαζον, ἔπρεπε νὰ τιμωρηθοῦν διὰ τὴν κακίαν των· ἂν δὲ μίαν φορὰν εἰς τὰ τόσα χρόνια τοῦτο συνέβη, εἶναι προφανὲς ὅτι τὸ παράπτωμα αὐτὸ δὲν εἶναι ἀποτέλεσμα τοῦ ποιοῦ τῶν κατοίκων τῆς πόλεως, ἀλλὰ εἶναι ἔργον ἐκείνων ποὺ τυχαίως καὶ ἀσκόπως ἐκόλλησαν εἰς αὐτήν.

2. Αὐτὰ καὶ ἀκόμη περισσότερα μὲ πολὺ θάρρος θὰ εἰπῆ ὁ ἱερεύς· αὐτὰ τὰ λόγια θὰ ἀκούσῃ ὁ βασιλεύς, καὶ ἐπειδὴ καὶ ἐκεῖνος εἶναι φιλάνθρωπος, καὶ ὁ ἐπίσκοπος ἀξιόπιστος, ἔχομεν καὶ ἀπὸ τὰ δύο μέρη καλὰς ἐλπίδας. Μᾶλλον δὲ

διδασκάλου, καὶ πρὸ τῆς φιλανθρωπίας τοῦ βασιλέως, τῷ ἐλέει θαρροῦμεν τοῦ Θεοῦ· καὶ γὰρ ἱκετευομένου τοῦ βασιλέως, καὶ ἱκετεύοντος τοῦ ἱερέως, αὐτὸς παραστήσεται μέσος, τοῦ βασιλέως μαλάσσων τὴν καρδίαν, τοῦ ἱερέως διεγείρων τὴν γλῶσσαν, εὐοδῶν τούτου τὰ ῥήματα, παρασκευάζων ἐκείνου τὴν διάνοιαν, ὑποδέξασθαι τὰ λεγόμενα μετὰ πολλῆς τῆς συγγνώμης, ἐπινεῦσαι ταῖς δεήσεσι. Καὶ γὰρ τῷ Χριστῷ ποθεινοτέρα πασῶν ἡ πόλις ἡ ἡμετέρα, καὶ διὰ τὴν τῶν προγόνων, καὶ διὰ τὴν ὑμῶν αὐτῶν ἀρετήν. Καὶ καθάπερ ὁ Πέτρος ἐν τοῖς ἀποστόλοις πρῶτος ἐκήρυξε τὸν Χριστόν· οὕτως ἐν ταῖς πόλεσι, καθάπερ ἔφθην εἰπών, αὕτη πρώτη, ὥσπερ στέφανόν τινα θαυμαστόν, τὴν τῶν Χριστιανῶν ἀνεδήσατο προσηγορίαν. Εἰ δὲ ἔνθα δίκαιοι δέκα μόνον ἦσαν, ὑπέσχετο ὁ Θεὸς σώζειν τοὺς ἐνοικοῦντας ἅπαντας· ἔνθα οὐ δέκα καὶ εἴκοσιν, οὐδὲ δὶς τοσοῦτοι μόνον, ἀλλὰ πολλῷ πλείους οἱ τὸν Θεόν εἰσι θεραπεύοντες μετὰ ἀκριβείας ἁπάσης, πῶς οὐ χρὴ τὰ χρηστὰ προσδοκᾶν, καὶ θαρρεῖν ὑπὲρ τῆς κοινῆς ἡμῶν ἁπάντων ζωῆς;

Ἤκουσα λεγόντων πολλῶν, «ὅτι ἀπειλὴ βασιλέως ὁμοία θυμῷ λέοντος», καὶ καταπιπτόντων καὶ ὀδυνωμένων. Τί οὖν ἂν εἴποιμεν πρὸς ἐκείνους; Ὅτι ὁ εἰπών, «Λύκοι καὶ ἄρνες ἅμα βοσκηθήσονται, καὶ πάρδαλις συναναπαύσεται ἐρίφῳ, καὶ λέων ὡς βοῦς φάγεται ἄχυρα», δυνήσεται καὶ τὸν λέοντα τοῦτον ποιῆσαι πρόβατον ἥμερον. Παρακαλῶμεν τοίνυν αὐτόν, καὶ διαπρεσβευώμεθα πρὸς αὐτόν, καὶ καταστελεῖ πάντως τὸν θυμὸν τοῦ βασιλέως, καὶ τῆς ἐπικειμένης ἡμᾶς ἀγωνίας ἀπαλλάξει πάσης. Ὁ πατὴρ ἐκεῖ πρεσβεύεται, ἡμεῖς ἐντεῦθεν πρεσβευσώμεθα πρὸς τὸν τῶν οὐρανῶν βασιλέα,

---

6. Πρβλ. 16, 16.
7. Πρβλ. Γεν. 18, 32.
8. Παροιμ. 19, 12.
9. Ἠσ. 11, 6-7.

περισσότερον ἀπὸ τὴν ἀξιοπιστίαν τοῦ διδασκάλου καὶ τὴν φιλανθρωπίαν τοῦ βασιλέως πρέπει νὰ ἐλπίζωμεν εἰς τὸ ἔλεος τοῦ Θεοῦ· διότι ὅταν θὰ παρακαλῆται ὁ βασιλεὺς καὶ θὰ παρακαλῇ ὁ ἱερεύς, θὰ ἵσταται εἰς τὸ μέσον αὐτῶν ὁ Θεός, ὁ ὁποῖος θὰ καταπραΰνῃ τὴν καρδίαν τοῦ βασιλέως καὶ θὰ ἐνισχύῃ τὴν γλῶσσαν τοῦ ἱερέως νὰ φέρῃ εἰς καλὸν ἀποτέλεσμα τὰ λόγια του, διὰ νὰ προετοιμάσῃ τὴν διάνοιαν ἐκείνου νὰ δεχθῇ μὲ πολλὴν συγγνώμην ὅσα θὰ τοῦ εἰπῇ καὶ νὰ δεχθῇ τὰς παρακλήσεις. Διότι καὶ εἰς τὸν Χριστὸν περισσότερον ἀπὸ τὰς ἄλλας πόλεις ἀγαπητὴ εἶναι ἡ πόλις μας καὶ ἕνεκα τῆς ἀρετῆς τῶν προγόνων μας καὶ ἕνεκα τῆς ἀρετῆς τῆς ἰδικῆς σας. Καὶ ὅπως ἀκριβῶς ὁ Πέτρος μεταξὺ τῶν ἀποστόλων πρῶτος ἐκήρυξε τὸν Χριστόν[6], ἔτσι καὶ αὐτὴ ἡ πόλις πρώτη μεταξὺ τῶν πόλεων, ὅπως προηγουμένως εἶπα, ἐφόρεσεν εἰς τὴν κεφαλήν της ὡς λαμπρὸν στέφανον τὴν ὀνομασίαν τῶν Χριστιανῶν. Ἐὰν δὲ ἐκεῖ ποὺ ὑπῆρχαν μόνον δέκα δίκαιοι ὑπέσχετο ὁ Θεὸς νὰ σώσῃ χάριν αὐτῶν ὅλους τοὺς κατοίκους[7], ἐδῶ ποὺ δὲν εἶναι μόνον δέκα καὶ εἴκοσι, οὔτε διπλάσιοι τούτων, ἀλλὰ πολλοὶ περισσότεροι αὐτοὶ ποὺ ὑπηρετοῦν τὸν Θεὸν μὲ πᾶσαν ἀκρίβειαν, πῶς δὲν πρέπει νὰ αἰσιοδοξοῦμεν καὶ νὰ ἔχωμεν θάρρος διὰ τὴν κοινὴν ζωὴν ὅλων μας;

Ἤκουσα πολλοὺς νὰ λέγουν ὅτι «ἡ ἀπειλὴ τοῦ βασιλέως ὁμοιάζει μὲ τὸν θυμὸν τοῦ λέοντος»[8] καὶ ἐξ αἰτίας τούτου νὰ ἀποθαρρύνωνται καὶ νὰ θρηνολογοῦν. Τί θὰ ἀπαντήσωμεν λοιπὸν πρὸς ἐκείνους; ὅτι αὐτὸς ποὺ εἶπεν «ὅτι λύκος καὶ ἀρνιὰ θὰ βόσκουν μαζὶ καὶ πάρδαλις θὰ ἀναπαύεται μαζὶ μὲ ἐρίφιον καὶ λέων θὰ τρώγῃ ὡς βόδι ἄχυρα»[9] θὰ ἠμπορέσῃ καὶ τὸν λέοντα τοῦτον νὰ κάμῃ ἥμερον πρόβατον. Ἂς παρακαλοῦμεν λοιπὸν αὐτὸν καὶ ἂς ἀποστέλλωμεν πρὸς αὐτὸν πρεσβείαν καὶ ὁπωσδήποτε θὰ κατευνάσῃ τὸν θυμὸν τοῦ βασιλέως καὶ θὰ μᾶς ἀπαλλάξῃ ἀπὸ τὴν ἀγωνίαν ποὺ μᾶς διακατέχει. Ὁ πνευματικός μας πατὴρ στέλλεται ἐκεῖ ὡς πρεσβευτής, ἡμεῖς ἀπὸ ἐδῶ ἂς στέλλωμεν πρεσβείαν εἰς

βοηθήσωμεν αὐτῷ ταῖς εὐχαῖς. Μέγα τὸ κοινὸν τῆς Ἐκκλησίας δύναται, ἂν μετ' ὀδυνωμένης ψυχῆς, ἂν μετὰ συντετριμμένης καρδίας τὰς εὐχὰς ἀνενέγκωμεν. Οὐκ ἔστι διαβῆναι πέλαγος, οὐκ ἔστι μακρὰν ἀποδημίαν στείλασθαι· ἕκαστος, καὶ ἑκάστη, καὶ εἰς Ἐκκλησίαν ἀπαντῶντες, καὶ οἴκοι μένοντες, καλῶμεν μετὰ πολλῆς σπουδῆς τὸν Θεόν, καὶ πάντως ἐπινεύσει ταῖς δεήσεσι.

Πόθεν τοῦτο δῆλον; Ὅτι σφόδρα βούλεται ἡμᾶς ἀεὶ πρὸς αὐτὸν καταφεύγειν, καὶ ἐν ἅπασιν αὐτοῦ δεῖσθαι, καὶ μηδὲν χωρὶς αὐτοῦ ποιεῖν ἢ λέγειν. Ἄνθρωποι μὲν γάρ, ὅταν συνεχῶς αὐτοὺς ἐνοχλῶμεν ὑπὲρ τῶν ἡμετέρων πραγμάτων, ναρκῶσι καὶ ἀναδύονται, καὶ ἀηδῶς πρὸς ἡμᾶς ἔχουσιν· ὁ δὲ Θεὸς τοὐναντίον ἅπαν, οὐχ ὅταν αὐτῷ συνεχῶς ἐντυγχάνωμεν ὑπὲρ τῶν ἡμετέρων πραγμάτων, ἀλλ' ὅταν μὴ τοῦτο ποιῶμεν, τότε μάλιστα ἀγανακτεῖ. Ἄκουσον γοῦν τί τοῖς Ἰουδαίοις ἐγκαλεῖ, λέγων, «Ἐποιήσατε βουλήν, καὶ οὐ δι' ἐμοῦ, καὶ συνθήκας, καὶ οὐ διὰ τοῦ πνεύματός μου». Τοιοῦτο γὰρ τῶν φιλούντων τὸ ἔθος· πάντα τὰ τῶν φιλουμένων πράγματα δι' αὐτῶν ἀνύεσθαι βούλονται, καὶ μηδὲν χωρὶς αὐτῶν ἐκείνους ἢ ποιεῖν, ἢ λέγειν. Διὰ τοῦτο καὶ ὁ Θεός, οὐκ ἐνταῦθα μόνον, ἀλλὰ καὶ ἀλλαχοῦ αὐτὸ τοῦτο πάλιν ἐγκαλῶν ἔλεγεν· «Ἐβασίλευσαν, καὶ οὐ δι' ἐμοῦ ἦρξαν, καὶ οὐκ ἐγνώρισάν μοι».

Μὴ τοίνυν ὀκνῶμεν συνεχῶς πρὸς αὐτὸν καταφεύγειν, καὶ ὅπερ ἂν ᾖ δεινόν, πάντως λήψεται τὴν προσήκουσαν λύσιν. Ἐφόβησεν ἄνθρωπος; Δράμε πρὸς τὸν ἄνω Δεσπότην, καὶ οὐδὲν πείσῃ δεινόν. Οὕτως οἱ παλαιοὶ τὰς συμφορὰς ἔλυον, οὐκ ἄνδρες δὲ μόνον, ἀλλὰ καὶ γυναῖκες. Ἐγένετό τις Ἑβραία γυνή, Ἐσθὴρ ἦν τὸ ὄνομα αὐτῆς· αὕτη ἡ Ἐσθὴρ

10. Ἠσ. 30, 2.
11. Ὡσηὲ 8, 4.

τὸν βασιλέα τῶν οὐρανῶν καὶ ἂς βοηθήσωμεν τὸν πατέρα μας διὰ τῶν προσευχῶν μας. Ἔχει μεγάλην δύναμιν τὸ πλήρωμα τῆς ἐκκλησίας, ἂν μὲ ὀδύνην ψυχῆς, ἂν μὲ συντριβὴν τῆς καρδίας προσευχώμεθα. Δὲν ἠμποροῦμεν νὰ περάσωμεν πέλαγος, δὲν ἠμποροῦμεν νὰ μεταβῶμεν εἰς μακρὰν ἀποδημίαν· κάθε ἕνας καὶ κάθε μία ποὺ συναντῶνται καὶ εἰς τὴν ἐκκλησίαν, καὶ ποὺ μένουν εἰς τὸν οἶκον, ἂς παρακαλοῦμεν μὲ πολλὴν κατάνυξιν τὸν Θεὸν καὶ ὁπωσδήποτε θὰ εἰσακουσθοῦν αἱ δεήσεις μας.

Ἀπὸ ποῦ φαίνεται τοῦτο; Ἀπὸ τὸ ὅτι πολὺ ἐπιθυμεῖ νὰ καταφεύγωμεν πάντοτε εἰς αὐτόν, καὶ εἰς ὅλας τὰς περιστάσεις νὰ τὸν παρακαλοῦμεν καὶ τίποτε νὰ μὴ πράττωμεν ἢ νὰ μὴ λέγωμεν χωρὶς αὐτόν. Διότι οἱ μὲν ἄνθρωποι, ὅταν συνεχῶς τοὺς ἐνοχλοῦμεν μὲ τὰς διαφόρους ὑποθέσεις μας, κουράζονται καὶ δὲν μᾶς ἐξυπηρετοῦν καὶ διάκεινται δυσμενῶς πρὸς ἡμᾶς, ὁ Θεὸς ὅμως κάνει τὸ τελείως ἀντίθετον καὶ ὄχι ὅταν συνεχῶς τὸν παρακαλοῦμεν διὰ τὰ ζητήματά μας, ἀλλὰ ὅταν δὲν κάμνωμεν αὐτό, τότε προπάντων ἀγανακτεῖ. Ἄκουσε, λοιπόν, διατί κατηγορεῖ τοὺς Ἰουδαίους, λέγων, «ἐλάβατε ἀπόφασιν ἀλλὰ χωρὶς ἐμὲ καὶ ἐκάματε συνθήκας, ἀλλὰ χωρὶς τὸ πνεῦμα μου»[10]. Διότι ἡ συνήθεια αὐτῶν ποὺ ἀγαποῦν εἶναι αὐτή· ὅλα τὰ πράγματα τῶν ἀγαπητῶν τους θέλουν νὰ τὰ ἐκτελοῦν καὶ χωρὶς αὐτοὺς νὰ μὴ κάνουν ἢ νὰ μὴ λέγουν τίποτε. Διὰ τοῦτο καὶ ὁ Θεὸς ὄχι μόνον ἐδῶ, ἀλλὰ καὶ ἀλλοῦ τὰ ἴδια πάλιν ἐπαναλαμβάνει λέγων· «ἔκαμαν βασιλεῖς, ἀλλὰ ὄχι δι' ἐμοῦ· ἔκαμαν ἄρχοντας καὶ δὲν μοῦ τὸ ἔκαμαν γνωστόν»[11].

Ἂς μὴ διστάζωμεν λοιπὸν συνεχῶς νὰ καταφεύγωμεν πρὸς αὐτόν, καὶ οἱονδήποτε κακὸν ἰδικόν μας ὁπωσδήποτε θὰ εὕρῃ τὴν ἁρμόζουσαν λύσιν. Σὲ ἐφόβησεν ἄνθρωπος; Τρέξε πρὸς τὸν ἄνω Δεσπότην, καὶ δὲν θὰ πάθῃς κανένα κακόν. Ἔτσι ἀπέφευγον οἱ παλαιοὶ τὰς συμφοράς, καὶ ὄχι μόνον οἱ ἄνδρες, ἀλλὰ καὶ αἱ γυναῖκες. Ὑπῆρξε κάποια γυναῖκα Ἑβραία, Ἐσθὴρ ἦτο τὸ ὄνομά της· αὐτὴ ἡ Ἐσθὴρ μὲ αὐτὸν

ὅλον τῶν Ἰουδαίων τὸν δῆμον πανωλεθρίᾳ παραδίδοσθαι μέλλοντα, τούτῳ τῷ τρόπῳ ἐξήρπασεν.

Ἐπειδὴ γὰρ ὁ τῶν Περσῶν βασιλεὺς πάντας ἄρδην ἀναιρεῖσθαι τοὺς Ἰουδαίους ἐκέλευσε, καὶ οὐδεὶς ἦν ὁ πρὸς τὴν ὀργὴν ἐκείνην στῆναι δυνάμενος, ἀποδυσαμένη τὴν φαιδροτέραν στολὴν ἡ γυνή, καὶ σάκκῳ περιβαλλομένη, καὶ σποδὸν ὑποστρωσαμένη, παρεκάλει τὸν φιλάνθρωπον Θεὸν συνεισελθεῖν αὐτῇ πρὸς τὸν βασιλέα, καὶ τοιαῦτα προσευχομένη πρὸς αὐτὸν ῥήματα ἔλεγε· «Χαρίτωσον, Κύριε, τὰ ῥήματά μου, δὸς λόγον εὔρυθμον εἰς τὸ στόμα μου». Ταῦτα καὶ περὶ τοῦ διδασκάλου παρακαλῶμεν νῦν ἡμεῖς τὸν Θεόν. Εἰ γὰρ γυνὴ ὑπὲρ Ἰουδαίων παρακαλοῦσα βαρβαρικὸν ἴσχυσε καταστεῖλαι θυμόν, πολλῷ μᾶλλον ὁ διδάσκαλος ὁ ἡμέτερος ὑπὲρ τοσαύτης πόλεως, καὶ μετὰ τοσαύτης Ἐκκλησίας δεόμενος, τὸν πρᾳότατον καὶ ἡμερώτατον βασιλέα τοῦτον πεῖσαι δυνήσεται.

Εἰ γὰρ τὰς εἰς Θεὸν ἁμαρτίας λύειν ἔλαβεν ἐξουσίαν, πολλῷ μᾶλλον τὰς εἰς ἄνθρωπον γενομένας ἀνελεῖν καὶ ἀφανίσαι δυνήσεται. Ἄρχων ἐστὶ καὶ αὐτός, καὶ ἄρχων ἐκείνου σεμνότερος. Καὶ γὰρ αὐτὴν τὴν βασιλικὴν κεφαλὴν οἱ ἱεροὶ νόμοι ταῖς τούτου φέροντες χερσὶν ὑπέταξαν· καὶ ὅταν τι δέοι γενέσθαι χρηστὸν ἄνωθεν, ὁ βασιλεὺς πρὸς τὸν ἱερέα, οὐχ ὁ ἱερεὺς πρὸς τὸν βασιλέα καταφεύγειν εἴωθεν. Ἔχει γὰρ οὗτος θώρακα τὸν τῆς δικαιοσύνης, ἔχει καὶ ζώνην τὴν ἀπὸ τῆς ἀληθείας, ἔχει καὶ ὑποδήματα πολλῷ σεμνότερα τὰ ἀπὸ τοῦ εὐαγγελίου τῆς εἰρήνης, ἔχει καὶ μάχαιραν, οὐκ ἀπὸ σιδήρου, ἀλλὰ τὴν ἀπὸ τοῦ πνεύματος, ἔχει στέφανον ἐπὶ τῆς κεφαλῆς κείμενον. Λαμπροτέρα αὕτη ἡ πανευχία, σεμνότερα τὰ ὅπλα, μείζων ἡ παρρησία, πλείων ἡ ἰσχύς. Ὥσ-

12. Ἐσθὴρ 4, 16.

τὸν τρόπον ἔσωσεν ὁλόκληρον τὸν ἰσραηλιτικὸν λαόν, ὁ ὁποῖος ἐπρόκειτο νὰ καταστραφῇ.

Ὅταν δηλαδὴ ὁ βασιλεὺς τῶν Περσῶν διέταξε νὰ φονευθοῦν ὅλοι οἱ Ἰουδαῖοι, καὶ κανεὶς δὲν ὑπῆρχε ποὺ νὰ ἠμπορῇ νὰ ἀντισταθῇ εἰς τὴν βασιλικὴν ἐκείνην ὀργήν, ἀφοῦ ἐξεδύθη τὰ πολυτελῆ της ἐνδύματα ἡ γυναῖκα αὐτὴ καὶ ἐφόρεσε σάκκον καὶ ἐκάθησεν ἐπάνω εἰς στάκτην, παρακαλοῦσε τὸν φιλάνθρωπον Θεὸν νὰ εἰσέλθῃ μαζὶ μὲ αὐτὴν εἰς τὸν βασιλέα καὶ προσευχομένη πρὸς αὐτὸν ἔλεγε τὰ ἑξῆς· «κάμε χαριτωμένα, Κύριε, τὰ λόγια μου καὶ δῶσε εἰς τὸ στόμα μου καταλλήλους λέξεις»[12]. Τὰ ἴδια καὶ ἡμεῖς τώρα νὰ παρακαλοῦμεν τὸν Θεὸν περὶ τοῦ διδασκάλου μας. Διότι ἐὰν αἱ παρακλήσεις τῆς γυναικὸς πρὸς τὸν Θεὸν ὑπὲρ τῶν Ἰουδαίων ἠμπόρεσαν νὰ ἐξαλείψουν τὸν θυμὸν τοῦ βαρβάρου βασιλέως, πολὺ περισσότερον ὁ διδάσκαλός μας, ποὺ παρακαλεῖ ὑπὲρ τοιαύτης πόλεως καὶ μὲ τόσους χριστιανούς, θὰ ἠμπορέσῃ νὰ πείσῃ τὸν πραότατον καὶ ἡμερώτατον αὐτὸν βασιλέα.

Διότι ἀφοῦ ἔλαβεν ἐξουσίαν νὰ συγχωρῇ τὰς ἁμαρτίας ποὺ ἀναφέρονται εἰς τὸν Θεόν, πολὺ περισσότερον θὰ ἠμπορέσῃ νὰ καταργήσῃ καὶ νὰ ἐξαφανίσῃ τὰς ἁμαρτίας ποὺ ἀναφέρονται εἰς ἀνθρώπους. Ἄρχων εἶναι καὶ οὗτος καὶ μάλιστα ἄρχων σεβαστότερος ἐκείνου. Καθ' ὅσον καὶ αὐτὴν τὴν κεφαλὴν τοῦ βασιλέως οἱ ἱεροὶ νόμοι ἔθεσαν κάτω ἀπὸ τὰ χέρια τούτου· καὶ ὅταν πρόκειται νὰ ἐπέλθῃ ἐκ τῶν ἄνω κανένα καλόν, ὁ βασιλεὺς πρὸς τὸν ἱερέα καὶ ὄχι ὁ ἱερεὺς πρὸς τὸν βασιλέα συνήθως καταφεύγει. Διότι ἔχει καὶ αὐτὸς θώρακα, τὸν θώρακα τῆς δικαιοσύνης, ἔχει καὶ ζώνην, τὴν ζώνην τῆς ἀληθείας, ἔχει καὶ ὑποδήματα πολὺ ἀνώτερα αὐτὰ ποὺ προέρχονται ἀπὸ τὸ εὐαγγέλιον τῆς εἰρήνης, ἔχει καὶ μάχαιραν, ὄχι ὅμως σιδηρᾶν, ἀλλὰ πνευματικήν, ἔχει καὶ στέφανον ἐπὶ τῆς κεφαλῆς. Εἶναι λαμπροτέρα ἡ πανοπλία αὐτὴ ἀπὸ τὴν βασιλικήν, εἶναι σεμνότερα τὰ ὅπλα, μεγαλυτέρα ἡ παρρησία, περισσοτέρα ἡ δύναμις.

τε καὶ ἀπὸ τοῦ τῆς ἀρχῆς ὄγκου, καὶ ἀπὸ τῆς οἰκείας μεγαλοψυχίας, καὶ πρὸ τῶν ἄλλων ἁπάντων, ἀπὸ τῆς εἰς Θεὸν ἐλπίδος μετὰ πολλῆς τῆς παρρησίας, μετὰ πολλῆς τῆς συνέσεως διαλέξεται τῷ βασιλεῖ.

3. Μὴ τοίνυν ἀπογινώσκωμεν ὑπὲρ τῆς ἡμῶν αὐτῶν σωτηρίας, ἀλλὰ δεώμεθα, παρακαλῶμεν, ἱκετεύωμεν, πρεσβευώμεθα πρὸς τὸν ἄνω βασιλέα μετὰ πολλῶν δακρύων· ἔχωμεν καὶ τὴν νηστείαν ταύτην σύμμαχον καὶ τῆς καλῆς ταύτης συνεφαπτομένην ἡμῖν πρεσβείας. Καθάπερ οὖν χειμῶνος παρελθόντος, καὶ θέρους φανέντος, ἕλκει μὲν πρὸς τὸ πέλαγος τὸ πλοῖον ὁ ναύτης, ἀποσμήχει δὲ ὁ στρατιώτης τὰ ὅπλα, καὶ παρασκευάζει τὸν ἵππον εἰς πόλεμον, καὶ γεωργὸς ἀκονᾷ δρέπανον, καὶ ὁδοιπόρος θαρρῶν ἀποδημίας ἅπτεται μακρᾶς, καὶ πρὸς τοὺς ἀγῶνας ἀθλητὴς ἀποδύεται καὶ γυμνοῦται· οὕτω δὴ καὶ ἡμεῖς καθάπερ θέρους πνευματικοῦ τινος τῆς νηστείας φανείσης, καὶ ὡς στρατιῶται τὰ ὅπλα ἀποσμήξωμεν, καὶ ὡς γεωργοὶ τὴν δρεπάνην ἀκονήσωμεν, καὶ ὡς κυβερνῆται, πρὸς τὰ κύματα τῶν ἀτόπων ἐπιθυμιῶν τοὺς λογισμοὺς ἀντιτάξωμεν, καὶ ὡς ὁδῖται, τῆς εἰς τὸν οὐρανὸν ἀποδημίας ἁψώμεθα, καὶ ὡς ἀθληταί, πρὸς τοὺς ἀγῶνας ἀποδυσώμεθα. Ὁ γὰρ πιστὸς καὶ γεωργός, καὶ κυβερνήτης, καὶ στρατιώτης, καὶ ἀθλητής, καὶ ὁδοιπόρος ἐστίν. Διὰ τοῦτο καὶ ὁ Παῦλός φησιν· «Οὐκ ἔστιν ἡμῖν ἡ πάλη πρὸς αἷμα καὶ σάρκα, ἀλλὰ πρὸς τὰς ἀρχάς, πρὸς τὰς ἐξουσίας· ἐνδύσασθε οὖν τὴν πανοπλίαν τοῦ Θεοῦ». Εἶδες τὸν ἀθλητήν; Εἶδες τὸν στρατιώτην; Εἰ ἀθλητὴς εἶ, γυμνὸν εἰς τὸν ἀγῶνα εἰσελθεῖν σε δεῖ· εἰ στρατιώτης εἶ, καθωπλισμένον ἐπὶ τῆς παρατάξεως ἑστάναι χρή. Πῶς οὖν ἀμφότερα ταῦτα εἶναι δυνατόν, καὶ γυμνὸν εἶναι καὶ οὐ γυμνόν, καὶ ἐνδεδυμένον καὶ οὐκ ἐνδεδυμένον; Πῶς; Ἐγὼ λέγω.

Ἀπόδυσαι τὰ βιωτικὰ πράγματα, καὶ γέγονας ἀθλητής·

---

13. Ἐφεσ. 6, 12-13.

Ὥστε καὶ ἀπὸ τὸν ὄγκον καὶ τὴν ἐπιβολὴν τοῦ ἀξιώματός του καὶ ἕνεκα τῆς ἰδικῆς του μεγαλοψυχίας, καὶ κυρίως ἕνεκα τῆς ἐλπίδος πρὸς τὸν Θεὸν μὲ πολλὴν μεγάλην παρρησίαν καὶ μὲ πολλὴν σύνεσιν θὰ ὁμιλήσῃ εἰς τὸν βασιλέα.

3. Ἂς μὴ ἀπογοητευώμεθα λοιπὸν διὰ τὴν σωτηρίαν μας, ἀλλὰ ἂς παρακαλοῦμεν, ἂς προσευχώμεθα, ἂς ἱκετεύωμεν, ἂς στέλλωμεν πρεσβείαν πρὸς τὸν οὐράνιον βασιλέα μετὰ πολλῶν δακρύων· ἂς ἔχωμεν καὶ τὴν νηστείαν αὐτὴν ὡς σύμμαχον εἰς τὴν καλὴν αὐτὴν πρεσβείαν καὶ τὴν νηστείαν ποὺ τώρα διανύομεν. Ὅπως λοιπὸν ὅταν περάσῃ ὁ χειμώνας καὶ φανῇ τὸ θέρος, σύρει πρὸς τὸ πέλαγος τὸ πλοῖον ὁ ναύτης, καθαρίζει ὁ στρατιώτης τὰ ὅπλα, καὶ ἑτοιμάζει τὸν ἵππον διὰ πόλεμον καὶ ὁ γεωργὸς ἀκονίζει τὸ δρεπάνι, καὶ ὁ ὁδοιπόρος παίρνει θάρρος καὶ ἀρχίζει μακρινὸ ταξίδι, καὶ ὁ ἀθλητὴς ἑτοιμάζεται καὶ βγάζει τὰ ροῦχα του, ἔτσι λοιπὸν καὶ ἡμεῖς, ἐπειδὴ ἐφάνη ἡ νηστεία ὡς θέρος πνευματικόν, ἂς καθαρίσωμεν τὰ ὅπλα ὡς στρατιῶται, καὶ ὡς γεωργοὶ ἂς ἀκονίσωμεν τὸ δρεπάνι, καὶ ὡς κυβερνῆται ἂς ἀντιτάξωμεν πρὸς τὰ κύματα τῶν ἀτόπων ἐπιθυμιῶν τοὺς ὀρθοὺς λογισμούς, καὶ ὡς ὁδοιπόροι ἂς ἀρχίσωμεν τὸ διὰ τὸν οὐρανὸν ταξίδι, καὶ ὡς ἀθληταὶ ἂς εἰσέλθωμεν εἰς τοὺς ἀγῶνας. Διότι ὁ χριστιανὸς εἶναι καὶ γεωργός, καὶ κυβερνήτης, καὶ στρατιώτης, καὶ ἀθλητής, καὶ ὁδοιπόρος. Διὰ τοῦτο καὶ ὁ Παῦλος λέγει· «ὁ ἀγὼν ποὺ ἔχομεν ἀναλάβει δὲν εἶναι ἀγὼν πρὸς ἀνθρώπους μὲ αἷμα καὶ σάρκα, ἀλλὰ πρὸς τὰς πονηρὰς ἀρχὰς καὶ τὰς ἐξουσίας τοῦ διαβόλου· ἂς φορέσωμεν λοιπὸν τὴν πανοπλίαν τοῦ Θεοῦ»[13]. Εἶδες τὸν ἀθλητήν; Εἶδες τὸν στρατιώτην; Ἐὰν εἶσαι ἀθλητής, πρέπει νὰ εἰσέλθῃς γυμνὸς εἰς τὸν ἀγῶνα· ἐὰν εἶσαι στρατιώτης πρέπει νὰ στέκεσαι εἰς τὴν παράταξιν καλὰ ὡπλισμένος. Πῶς λοιπὸν εἶναι δυνατὸν νὰ γίνουν αὐτὰ συγχρόνως, καὶ νὰ εἶναι γυμνὸς κανεὶς καὶ νὰ μὴ εἶναι, καὶ νὰ εἶναι ἐνδεδυμένος καὶ νὰ μὴ εἶναι ἐνδεδυμένος; Πῶς; Ἐγὼ θὰ εἰπῶ.

Βγάλε ἀπὸ ἐπάνω σου τὰ κοσμικὰ πράγματα καὶ ἔχεις

ἔνδυσαι τὰ ὅπλα τὰ πνευματικά, καὶ γέγονας στρατιώτης· γύμνωσον σαυτὸν τῶν βιωτικῶν φροντίδων, πάλης γάρ ἐστιν ὁ καιρός· ἔνδυσαι ὅπλα πνευματικά, πόλεμος γὰρ ἡμῖν πρὸς δαίμονας συγκεκρότηται χαλεπός. Διὰ τοῦτο καὶ γυμνὸν εἶναι χρή, ὥστε μηδεμίαν λαβὴν τῷ διαβόλῳ παρασχεῖν παλαίοντι πρὸς ἡμᾶς, καὶ καθοπλίζεσθαι πάντοθεν, ὥστε μηδαμόθεν καιρίαν δέξασθαι πληγήν. Γεώργησόν σου τὴν ψυχήν, καὶ τὰς ἀκάνθας ἔκτεμε, σπεῖρον τὸν λόγον τῆς εὐσεβείας, τὰ καλὰ τῆς φιλοσοφίας φυτὰ μετὰ πολλῆς θεράπευε τῆς ἐπιμελείας, καὶ γέγονας γεωργός· καὶ ἐρεῖ πρὸς σὲ ὁ Παῦλος· «Τὸν κοπιῶντα γεωργὸν δεῖ πρῶτον τῶν καρπῶν μεταλαμβάνειν». Ταύτην καὶ αὐτὸς μετῄει τὴν τέχνην, διὰ τοῦτο Κορινθίοις ἐπιστέλλων ἔλεγεν· «Ἐγὼ ἐφύτευσα, Ἀπολλῶς ἐπότισεν, ὁ δὲ Θεὸς ηὔξανεν». Ἀκόνησόν σου τὴν δρεπάνην, ἣν ἤμβλυνας διὰ τῆς ἀδηφαγίας, ἀκόνησον δὲ διὰ τῆς νηστείας· ἅψαι τῆς ὁδοιπορίας τῆς εἰς τὸν οὐρανὸν φερούσης, τῆς τεθλιμμένης καὶ στενῆς ἅψαι, καὶ ὅδευσον. Πῶς δὲ δυνήσῃ καὶ ἅψασθαι, καὶ ὁδεῦσαι; «Ὑπωπιάζων σου τὸ σῶμα, καὶ δουλαγωγῶν»· ἔνθα γὰρ ὁδοῦ στενοχωρία, μέγα κώλυμα ἡ ἐκ τῆς ἀδηφαγίας πολυσαρκία.

Κατάστειλον τὰ κύματα τῶν ἀτόπων ἐπιθυμιῶν, ἀπόκρουσαι τὸν χειμῶνα τῶν πονηρῶν λογισμῶν, διάσωσον τὸ σκάφος, πολλὴν ἐπίδειξαι τὴν ἐμπειρίαν, καὶ γέγονας κυβερνήτης. Πάντων δὲ τούτων ὑπόθεσις ἡμῖν ἡ νηστεία καὶ διδάσκαλος ἔσται· νηστείαν δὲ οὐ ταύτην λέγω τὴν τῶν πολλῶν, ἀλλὰ τὴν ἀκριβῆ νηστείαν, οὐ τὴν τῶν βρωμάτων ἀποχὴν μόνον, ἀλλὰ καὶ τὴν τῶν ἁμαρτημάτων· οὐ γὰρ ἀρ-

---

14. Β´ Τιμ. 2, 6.
15. Α´ Κορ. 3, 6.
16. Πρβλ. Ματθ. 7, 14.
17. Α´ Κορ. 9, 27.

γίνει ἀθλητής· φόρεσε τὰ πνευματικὰ ὅπλα καὶ ἔχεις γίνει στρατιώτης· γύμνωσε τὸν ἑαυτόν σου ἀπὸ τὰς κοσμικὰς φροντίδας, διότι εἶναι ὁ καιρὸς τῆς πάλης· φόρεσε τὰ πνευματικὰ ὅπλα, διότι ἔχομεν φοβερὸν πόλεμον πρὸς τοὺς δαίμονας. Διὰ τοῦτο πρέπει νὰ εἶσαι καὶ γυμνός, ὥστε νὰ μὴ δώσῃς καμμίαν λαβὴν εἰς τὸν διάβολον, ὁ ὁποῖος παλαίει πρὸς ἡμᾶς, καὶ καλὰ ὡπλισμένος ἀπὸ παντοῦ, ὥστε ἀπὸ πουθενὰ νὰ μὴ δεχθῇς κανένα τραῦμα. Καλλιέργησε τὴν ψυχήν σου, καὶ κόψε τὰς ἀκάνθας, σπεῖρε τὸν λόγον τῆς εὐσεβείας, φύτευσε τὰ καλὰ φυτὰ τῆς φιλοσοφίας καὶ νὰ περιποιῆσαι μὲ πολλὴν ἐπιμέλειαν, καὶ ἔχεις γίνει γεωργός, καὶ θὰ εἴπῃ πρὸς σὲ ὁ Παῦλος· «Ὁ γεωργὸς ποὺ κοπιάζει διὰ τὴν καλλιέργειαν τοῦ ἀγροῦ καὶ τὴν συγκομιδὴν τῶν προϊόντων, πρῶτος αὐτὸς πρέπει ν' ἀπολαμβάνῃ τοὺς καρποὺς τῶν κόπων του»[14]. Αὐτὴν τὴν τέχνην μετήρχετο καὶ ὁ ἴδιος, διὰ τοῦτο γράφων πρὸς τοὺς Κορινθίους ἔλεγε· «Ἐγὼ ἐφύτευσα εἰς σᾶς τὸν λόγον τοῦ Θεοῦ καὶ τὴν πίστιν, ὁ Ἀπολλῶς ἐπότισεν αὐτά, ἀλλ' ὁ Θεὸς εἶναι ἐκεῖνος ὁ ὁποῖος ἔδωσε τὴν αὔξησιν καὶ τὴν καρποφορίαν»[15]. Ἀκόνισε τὸ δρεπάνι σου, τὸ ὁποῖον κατέστη ἄχρηστον διὰ τῆς πολυφαγίας, ἀκόνισέ το δὲ διὰ τῆς νηστείας· ἄρχισε τὴν ὁδοιπορίαν ποὺ ὁδηγεῖ εἰς τὸν οὐρανόν, πιάσε τὸν στενὸν καὶ ἀνώμαλον δρόμον[16] καὶ προχώρει. Πῶς δὲ θὰ ἠμπορέσῃς καὶ νὰ πιάσῃς τὸν δρόμον καὶ νὰ προχωρήσῃς; «Μὲ τὸ νὰ ταλαιπωρῇς καὶ ὑποτάσσῃς τὸ σῶμα σου»[17]· διότι ὅπου ὑπάρχει ἀνώμαλος δρόμος, μεγάλο ἐμπόδιον εἰς τὸ βάδισμα εἶναι ἡ πολυσαρκία ποὺ προέρχεται ἀπὸ τὴν πολυφαγίαν.

Κατεύνασε τὰ κύματα τῶν ἀτόπων ἐπιθυμιῶν, ἀπόκρουσε τὴν ζάλην τῶν πονηρῶν λογισμῶν, διάσωσε τὸ σκάφος τῆς ψυχῆς σου, δεῖξε μεγάλην ἐμπειρίαν καὶ ἤδη ἔχεις γίνει ἄριστος κυβερνήτης. Ὅλων δὲ τούτων βάσις καὶ διδάσκαλος νὰ εἶναι ἡ νηστεία· ὅταν δὲ λέγω νηστείαν, δὲν ἐννοῶ αὐτὴν ποὺ κάνουν οἱ πολλοὶ ἄνθρωποι, ἀλλὰ τὴν ἀληθινὴν νηστείαν, ὄχι μόνον τὴν ἀποχὴν ἀπὸ τὰ φαγητά, ἀλλὰ

κεῖ τῆς νηστείας ἡ φύσις ἐξελέσθαι τοὺς μετιόντας, ἐὰν μὴ μετὰ τοῦ προσήκοντος γένηται νόμου. «Καὶ γὰρ ἀθλητής», φησίν, «οὐ στεφανοῦται, ἐὰν μὴ νομίμως ἀθλήσῃ». Ἵνα οὖν μὴ πόνον ὑπομείναντες νηστείας ἐκπέσωμεν τοῦ στεφάνου τῆς νηστείας, μάθωμεν πῶς, καὶ τίνα τρόπον τὸ πρᾶγμα μετιέναι χρή. Ἐπεὶ καὶ ὁ Φαρισαῖος ἐκεῖνος ἐνήστευσεν, ἀλλὰ μετὰ τὴν νηστείαν ἐκείνην κατῆλθεν ἔρημος καὶ κενὸς τῶν ἀπὸ τῆς νηστείας καρπῶν· ὁ τελώνης οὐκ ἐνήστευσε, καὶ ἔμπροσθεν γέγονεν ἐκείνου τοῦ νηστεύσαντος ὁ μὴ νηστεύσας, ἵνα μάθῃς ὅτι νηστεία ὄφελος οὐδέν, ἂν μὴ καὶ τὰ λοιπὰ ἕπηται πάντα.

Ἐνήστευσαν οἱ Νινευῖται καὶ ἐπεσπάσαντο τὴν τοῦ Θεοῦ εὔνοιαν· ἐνήστευσαν καὶ Ἰουδαῖοι, καὶ πλέον οὐδὲν ἔπραξαν, ἀλλὰ καὶ κατηγορηθέντες ἀπῆλθον. Ἐπεὶ οὖν τοσοῦτος ὁ κίνδυνος τῆς νηστείας τοῖς οὐκ εἰδόσιν ὅπως χρὴ νηστεύειν, μάθωμεν τῆς νηστείας τοὺς νόμους, ἵνα μὴ τρέχωμεν ἀδήλως, μηδὲ ἀέρα δέρωμεν, μηδὲ σκιαμαχῶμεν πυκτεύοντες. Φάρμακόν ἐστιν ἡ νηστεία, ἀλλὰ τὸ φάρμακον, κἂν μυριάκις ὠφέλιμον ᾖ, πολλάκις ἄχρηστον γίνεται διὰ τὴν ἐμπειρίαν τοῦ χρωμένου. Καὶ γὰρ καὶ καιρὸν εἰδέναι χρὴ καθ' ὃν δεῖ τοῦτο ἐπιτιθέναι, καὶ ποσότητα αὐτοῦ τοῦ φαρμάκου, καὶ σώματος κρᾶσιν τὴν δεχομένην, καὶ χώρας φύσιν, καὶ ὥραν ἔτους, καὶ δίαιταν κατάλληλον, καὶ πολλὰ ἕτερα· ὧν ὅπερ ἂν παροφθείη, τοῖς ἄλλοις λυμανεῖται πᾶσι τοῖς εἰρημένοις. Εἰ δὲ ἔνθα σῶμα θεραπεύειν δεῖ, τοσαύτης ἡμῖν ἀκριβείας χρεία, πολλῷ μᾶλλον ὅταν ψυχῆς ἐπιμελώμεθα,

---

18. Β' Τιμ. 2, 5.
19. Λουκᾶ 18, 12-14.

καὶ τὴν ἀποχὴν ἀπὸ τὰ ἁμαρτήματα· διότι δὲν ἀρκεῖ ἡ φύσις τῆς νηστείας νὰ ἀπομακρύνῃ ἀπὸ τὰ ἁμαρτήματα αὐτοὺς ποὺ νηστεύουν, ἐὰν δὲν γίνεται μὲ τὸν προσήκοντα τρόπον. «Διότι καὶ ὁ ἀθλητής», λέγει, «δὲν στεφανώνεται, ἐὰν δὲν ἀγωνισθῇ σύμφωνα μὲ τοὺς νόμους τῆς ἀθλήσεως»[18]. Διὰ νὰ μὴ χάσωμεν τὸν στέφανον τῆς νηστείας, ἂν καὶ ἔχομεν ὑπομείνει τοὺς κόπους αὐτῆς, ἂς μάθωμεν πῶς καὶ μὲ ποῖον τρόπον πρέπει νὰ μετερχώμεθα αὐτήν. Διότι καὶ ὁ Φαρισαῖος ἐκεῖνος ἐνήστευσεν[19], ἀλλὰ μετὰ τὴν νηστείαν ἐκείνην κατέβη ἀπὸ τὸν ναὸν ἔρημος καὶ κενὸς ἀπὸ τοὺς καρποὺς τῆς νηστείας. Ὁ τελώνης πάλιν δὲν ἐνήστευσεν, καὶ ὅμως αὐτὸς ποὺ δὲν ἐνήστευσεν ἐξεπέρασεν εἰς τὴν ἀρετὴν αὐτὸν ποὺ ἐνήστευσε, διὰ νὰ μάθῃς ὅτι δὲν ὑπάρχει καμμία ὠφέλεια ἀπὸ τὴν νηστείαν, ἂν δὲν ἀκολουθοῦν αὐτὴν καὶ ὅλα τὰ ἄλλα.

Ἐνήστευσαν οἱ Νινευῖται καὶ προσείλκυσαν τὴν εὔνοιαν τοῦ Θεοῦ· ἐνήστευσαν καὶ οἱ Ἰουδαῖοι καὶ ὄχι μόνον δὲν ἐπέτυχαν μὲ τὴν νηστείαν τίποτε περισσότερον, ἀλλὰ καὶ ἀπεμακρύνθησαν κατηγορηθέντες. Ἐπειδὴ λοιπὸν εἶναι τόσος ὁ κίνδυνος ποὺ προέρχεται ἀπὸ τὴν νηστείαν εἰς αὐτοὺς ποὺ δὲν γνωρίζουν πῶς πρέπει νὰ νηστεύουν, ἂς μάθωμεν τοὺς νόμους τῆς νηστείας, διὰ νὰ μὴ τρέχωμεν ἀσκόπως, οὔτε νὰ κτυπῶμεν διὰ τῶν πυγμῶν μας σκιάς. Ἡ νηστεία εἶναι φάρμακον, ἀλλὰ τὸ φάρμακον ὅσον καὶ ἂν εἶναι ὠφέλιμον, πολλάκις γίνεται ἄχρηστον ἐξ αἰτίας τῆς μὴ σωστῆς χρήσεως αὐτοῦ ποὺ τὸ χρησιμοποιεῖ. Καθ' ὅσον πρέπει νὰ γνωρίζῃ καὶ τὸν χρόνον κατὰ τὸν ὁποῖον πρέπει νὰ ἐπιθέσῃ τοῦτο, καὶ τὴν ποσότητα αὐτοῦ τοῦ φαρμάκου, καὶ τὴν κατάστασιν τοῦ σώματος ποὺ πρόκειται νὰ τὸ πάρῃ, καὶ τὴν φυσικὴν τοῦ τόπου κατάστασιν, καὶ τὴν ὥραν τοῦ ἔτους, καὶ τὴν κατάλληλον δίαιταν τοῦ ἀσθενοῦς καὶ πολλὰ ἄλλα, ἐκ τῶν ὁποίων ἂν κάτι παραλειφθῇ, θὰ βλάψῃ ὅλα τὰ ἄλλα ποὺ ἀνεφέραμεν. Ἐὰν δέ, ὅταν πρόκειται νὰ θεραπεύσωμεν τὸ σῶμα, χρειάζεται τόση μεγάλη ἀκρίβεια, πολὺ περισσότερον

καὶ λογισμοὺς θεραπεύωμεν, πάντα διερευνᾶσθαι καὶ σκοπεῖν ἀναγκαῖον μετὰ ἀκριβείας ἁπάσης.

4. Ἴδωμεν τοίνυν πῶς ἐνήστευσαν οἱ Νινευῖται, καὶ πῶς τῆς ὀργῆς ἀπηλλάγησαν ἐκείνης. Οἱ ἄνθρωποι καὶ τὰ κτήνη, καὶ τὰ πρόβατα καὶ οἱ βόες μὴ νεμέσθωσαν, φησί. Τί λέγεις; εἰπέ μοι· Καὶ τὰ ἄλογα νηστεύει; καὶ ἵπποι, καὶ ἡμίονοι σάκκῳ περιβάλλονται; Ναί, φησί. Καθάπερ γὰρ εὐπόρου τινὸς τελευτήσαντος οὐκ οἰκέτας μόνον, οὐδὲ θεραπαινίδας, ἀλλὰ καὶ ἵππους οἱ προσήκοντες σάκκῳ περιβάλλοντες, καὶ τοῖς ἱπποκόμοις αὐτοὺς ἐγχειρίσαντες, ἀκολουθεῖν ἐπὶ τὸ μνῆμα κελεύουσι, τὸ μέγεθος τῆς συμφορᾶς ἐπιδεικνύμενοι, καὶ πρὸς ἔλεον ἅπαντας ἐπισπώμενοι· οὕτω δὴ καὶ τῆς πόλεως ἐκείνης ἀπόλλυσθαι μελλούσης, καὶ τὴν ἄλογον φύσιν σάκκῳ περιέβαλον, καὶ ζυγῷ νηστείας ὑπέβαλον. Οὐκ ἔστι, τὰ ἄλογα, φησί, λόγῳ μαθεῖν τοῦ Θεοῦ τὴν ὀργήν, μανθανέτωσαν λιμῷ, ὅτι θεήλατος ἡ πληγή. Καὶ γὰρ εἰ κατενεχθείη, φησίν, ἡ πόλις, οὐχ ἡμῶν μόνον τῶν ἐνοικούντων, ἀλλὰ καὶ τούτων εἷς ἔσται τάφος κοινός. Τὰ τοίνυν μέλλοντα κοινωνεῖν τῆς κολάσεως, κοινωνείτω καὶ τῆς νηστείας.

Καὶ ἕτερον δέ τι κατεσκεύαζον ἐντεῦθεν, ὃ καὶ οἱ προφῆται ποιοῦσι· καὶ γὰρ ἐκεῖνοι ἐπειδὰν ἴδωσι πληγήν τινα ἀφόρητον ἐκ τῶν οὐρανῶν φερομένην, εἶτα τοὺς κολάζεσθαι μέλλοντας ἀπαρρησιάστους ὄντας, αἰσχύνης γέμοντας, οὐδὲ μιᾶς συγγνώμης, οὐδὲ ἀπολογίας ὄντας ἀξίους, οὐκ ἔχοντες ὅ,τι πράξουσιν, οὐδὲ ὅθεν ποριοῦνται τοῖς κατακριθεῖσιν ἀπολογίαν, ἐπὶ τὰ ἄλογα καταφεύγουσι, καὶ τὸν ἐκείνων ἐκτραγῳδοῦντες θάνατον, ἀπὸ τούτων ποιοῦνται τὴν ἱκετηρίαν, τὴν ἐλεεινὴν αὐτῶν καὶ πολυθρήνητον ἀπώλειαν προβαλλόμενοι. Λιμοῦ τοίνυν ποτὲ καταλαβόντος τοὺς Ἰουδαι-

20. Ἰωνᾶ 3, 7.

ὅταν φροντίζωμεν διὰ τὴν ψυχὴν καὶ θεραπεύωμεν αὐτὴν ἀπὸ τοὺς κακοὺς λογισμούς, εἶναι ἀνάγκη νὰ ἐξετάζωμεν καὶ νὰ παρατηροῦμεν ὅλα μὲ κάθε δυνατὴν λεπτομέρειαν.

4. Ἂς ἴδωμεν λοιπὸν πῶς ἐνήστευσαν οἱ Νινευῖται καὶ πῶς ἀπηλλάγησαν ἀπὸ τὴν ὀργὴν ἐκείνην. «Οἱ ἄνθρωποι καὶ τὰ κτήνη, καὶ τὰ πρόβατα καὶ τὰ βόδια ἂς μὴ βρίσκωνται»[20], λέγει. Τί λέγεις; εἰπέ μου; Νηστεύουν καὶ τὰ ἄλογα ζῶα; καὶ περιβάλλονται καὶ οἱ ἵπποι καὶ οἱ ἡμίονοι μὲ σάκκον; Ναί, λέγει. Διότι ὅπως, ὅταν ἀποθάνῃ κάποιος πλούσιος, ὄχι μόνον τοὺς ὑπηρέτας καὶ τὰς ὑπηρετρίας, ἀλλὰ καὶ τοὺς ἵππους τοὺς ἐνδύουν μὲ σάκκους οἱ συγγενεῖς, καὶ ἀφοῦ τοὺς δώσουν εἰς τοὺς ἱπποκόμους, τοὺς διατάσσουν νὰ πηγαίνουν εἰς τὸ μνῆμα, φανερώνοντες μὲ τὸν τρόπον αὐτὸν τὸ μέγεθος τῆς συμφορᾶς καὶ προκαλοῦντες τὴν συμπάθειαν ὅλων, ἔτσι λοιπὸν ἐπειδὴ ἐπρόκειτο νὰ καταστραφῇ ἡ πόλις ἐκείνη, ἐνέδυσαν μὲ σάκκους καὶ τὰ ἄλογα ζῶα, καὶ τὰ ὑπέβαλον εἰς νηστείαν. Δὲν εἶναι δυνατόν, λέγει, τὰ ἄλογα ζῶα, διὰ τοῦ λόγου νὰ μάθουν τὴν ὀργὴν τοῦ Θεοῦ, ἂς μάθουν διὰ τῆς πείνας, ὅτι ἡ τιμωρία αὐτὴ εἶναι σταλμένη ἀπὸ τὸν Θεόν. Διότι ἂν καταστραφῇ, λέγει, ἡ πόλις, δὲν θὰ συμβῇ τοῦτο μόνον δι' ἡμᾶς τοὺς κατοίκους αὐτῆς, ἀλλὰ καὶ δι' ὅλα αὐτὰ θὰ εἶναι ἕνας κοινὸς τάφος. Ἀφοῦ λοιπὸν πρόκειται νὰ συμμετάσχουν εἰς τὴν τιμωρίαν, ἂς λάβουν μέρος καὶ εἰς τὴν νηστείαν.

Καὶ κάτι ἄλλο ἐπεδίωκον διὰ τοῦ τρόπου τούτου, πρᾶγμα ποὺ κάμνουν καὶ οἱ προφῆται· καθ' ὅσον καὶ ἐκεῖνοι ὅταν ἰδοῦν κάποιαν τιμωρίαν ἀνυπόφορον νὰ ἔρχεται ἀπὸ τὸν οὐρανὸν καὶ ὡς ἐκ τούτου νὰ μὴ ἔχουν παρρησίαν πρὸς τὸν Θεὸν οἱ τιμωρούμενοι, νὰ εἶναι γεμᾶτοι ἀπὸ ἐντροπήν, νὰ μὴ εἶναι καθόλου ἄξιοι συγγνώμης καὶ ἀπολογίας καὶ ἐπειδὴ δὲν ἔχουν τί ἄλλο νὰ κάμουν, οὔτε ἀπὸ ποῦ νὰ εὕρουν δικαιολογίαν δι' αὐτούς, καταφεύγουν εἰς τὰ ζῶα, καὶ διεκτραγῳδοῦν τὸν θάνατον ἐκείνων, παρακαλοῦν δι' αὐτῶν τὸν Θεόν, προβάλλοντες τὴν ἀξιολύπητον καταστροφήν. Ὅταν

ους, καὶ πολλοῦ τὴν χώραν αὐχμοῦ κατέχοντος, καὶ πάντων δαπανωμένων, ὁ μὲν τῶν προφητῶν ἔλεγεν· «Ἐσκίρτησαν δαμάλεις ἐπὶ ταῖς φάτναις αὐτῶν, ἔκλαυσαν βουκόλια βοῶν, ὅτι οὐχ ὑπῆρχε νομή· πάντα τὰ κτήνη τοῦ πεδίου ἀνέβλεψαν πρὸς σέ, ὅτι ἐξηράνθησαν ἀφέσεις ὑδάτων»· ὁ δὲ τὰ ἐκ τῆς ἀβροχίας θρηνῶν κακά, πάλιν οὑτωσί πως ἔλεγεν· «Ἔλαφοι ἐν ἀγρῷ ἔτεκον, καὶ ἐγκατέλιπον, ὅτι οὐκ ἦν βοτάνη· ὄναγροι ἔστησαν ἐπὶ νάπαις, εἵλκυσαν ἄνεμον ὡς δράκων· ἐξέλιπον οἱ ὀφθαλμοὶ αὐτῶν, ὅτι οὐκ ἦν χόρτος». Διὰ τοῦτο καὶ τήμερον ἠκούσατε τοῦ Ἰωὴλ λέγοντος, «Ἐξελθέτω νυμφίος ἐκ τοῦ κοιτῶνος αὐτοῦ, καὶ νύμφη ἐκ τοῦ παστοῦ αὐτῆς, νήπια θηλάζοντα μαστούς».

Τίνος γὰρ ἕνεκεν, εἰπέ μοι, τὴν ἄωρον ἡλικίαν καλεῖ πρὸς ἱκετηρίαν; Διὰ τὴν αὐτὴν ταύτην αἰτίαν. Ἐπειδὴ γὰρ οἱ εἰς ἄνδρας τελοῦντες ἅπαντες παρώξυναν καὶ παρώργισαν τὸν Θεόν, ἡ τῶν ἁμαρτημάτων ἄπειρος ἡλικία, φησί, παρακαλείτω τὸν ὀργιζόμενον. Ἀλλ' ὅπερ ἔλεγον, ἴδωμεν τί ποτέ ἐστι τὸ λῦσαν τὴν ἀπαραίτητον ἐκείνην ὀργήν. Ἆρα ἡ νηστεία μόνον, καὶ ὁ σάκκος; Οὐκ ἔστιν εἰπεῖν, ἀλλ' ἡ παντὸς τοῦ βίου μεταβολή. Πόθεν τοῦτο δῆλον; Ἀπ' αὐτῶν τῶν προφητικῶν ῥημάτων. Ὁ γὰρ περὶ τῆς ὀργῆς τοῦ Θεοῦ διαλεχθεὶς καὶ τῆς ἐκείνων νηστείας, αὐτὸς οὗτος τήν τε καταλλαγὴν λέγων, καὶ τῆς καταλλαγῆς τὴν αἰτίαν διδάσκων, οὑτωσί πως φησί· «Καὶ εἶδε τὰ ἔργα αὐτῶν ὁ Θεός». Ἔργα ποῖα; Ὅτι ἐνήστευσαν; Ὅτι σάκκον περιεβάλοντο; Οὐδὲν τούτων, ἀλλὰ πάντα ταῦτα σιγήσας, ἐπήγαγεν· «Ὅτι ἐπέστρεψεν ἕκαστος ἀπὸ τῶν ὁδῶν αὐτοῦ τῶν πονηρῶν,

21. Ἰωὴλ 1, 7.
22. Ἰερ. 14, 7.
23. Ἰωὴλ 2, 16.
24. Ἰωνᾶ 3, 10.

λοιπὸν κάποτε ἔπεσεν εἰς τοὺς Ἰουδαίους πεῖνα καὶ κατεῖχε μεγάλη ξηρασία τὴν χώραν τους, καὶ ὅλοι κατεστρέφοντο, ἄλλος μὲν ἀπὸ τοὺς προφήτας ἔλεγε· «ἐσκίρτησαν ἀπὸ τὴν ἀπελπισίαν τὰ θηλυκὰ δαμάλια εἰς τὴν φάτνην των, ἔκλαυσαν τὰ κοπάδια τῶν βοδιῶν, διότι δὲν ὑπῆρχε τροφή· ὅλα τὰ κτήνη τῆς πεδιάδος ἔστρεψαν τὰ βλέμματά των πρὸς σέ, διότι ἐστείρευσαν αἱ πηγαὶ τῶν ὑδάτων»[21]· ἄλλος δὲ πάλιν θρηνῶν διὰ τὰ κακὰ τῆς ἀνομβρίας ἔλεγε περίπου τὰ ἑξῆς· «ἔλαφοι ἐγέννησαν εἰς τὸν ἀγρὸν καὶ ἐγκατέλειψαν τὰ νεογέννητα, διότι δὲν ὑπῆρχε χόρτον· οἱ ἄγριοι ὄνοι ἐσταμάτησαν μέσα εἰς τὰ φαράγγια, ἀνέπνεον ὡς νὰ εἶναι δράκοντες, ἔσβησαν τὰ μάτια των, διότι δὲν ὑπῆρχε χόρτον»[22]. Διὰ τοῦτο καὶ σήμερον ἠκούσατε τὸν Ἰωὴλ νὰ λέγῃ· «ἂς ἐξέλθῃ ὁ γαμβρὸς ἀπὸ τὸν κοιτῶνα αὐτοῦ καὶ ἡ νύμφη ἀπὸ τὸν νυμφικόν της θάλαμον, καὶ συγκεντρώσατε τὰ νήπια ποὺ θηλάζουν»[23].

Διὰ ποῖον λόγον, εἰπέ μου, προσκαλεῖ τὴν ἄωρον ἡλικίαν νὰ παρακαλέσῃ τὸν Θεόν; Διὰ τὸν ἴδιον ἀκριβῶς λόγον. Ἐπειδὴ δηλαδὴ ὅλοι ὅσοι ἦσαν ἄνδρες ἠρέθησαν καὶ παρώργισαν τὸν Θεόν, ἡ βρεφικὴ ἡλικία, ποὺ εἶναι ἀμέτοχος εἰς τὴν ἁμαρτίαν, ἂς παρακαλῇ τὸν ὀργιζόμενον. Ἀλλὰ ἂς ἐξετάσωμεν ἐκεῖνο ποὺ ἔλεγα προηγουμένως, ἂς ἴδωμεν τί ἦταν ἐκεῖνο ποὺ ἀπεμάκρυνε τὴν ἀναπόφευκτον ἐκείνην ὀργήν. Μήπως μόνον ἡ νηστεία καὶ ὁ σάκκος; Δὲν ἠμπορεῖ νὰ τὸ ἰσχυρισθῇ κανεὶς αὐτό, ἀλλὰ ἡ μεταβολὴ ὁλοκλήρου τοῦ βίου. Ἀπὸ ποῦ γίνεται τοῦτο φανερόν; Ἀπὸ αὐτὰ τὰ λόγια τοῦ προφήτου. Διότι αὐτὸς ποὺ ὡμίλησε περὶ τῆς ὀργῆς τοῦ Θεοῦ καὶ τῆς νηστείας ἐκείνων, αὐτὸς ὁ ἴδιος ὁμιλῶν περὶ τῆς συμφιλιώσεως αὐτῶν καὶ ἀναφέρων τὴν αἰτίαν αὐτῆς λέγει τὰ ἑξῆς· «Καὶ εἶδε τὰ ἔργα αὐτῶν ὁ Θεός»[24]· ποῖα ἔργα; Ὅτι ἐνήστευσαν; Ὅτι ἐφόρεσαν σάκκον; Τίποτε ἀπὸ αὐτά, ἀλλὰ ἀφοῦ ὅλα αὐτὰ τὰ παρέλειψε προσέθεσε· «διότι ἐγύρισε κάθε ἕνας ὀπίσω ἀπὸ τοὺς κακοὺς δρόμους ποὺ ἀκολουθοῦσε καὶ μετενόησε ἐξ αἰτίας τῶν κα-

καὶ μετενόησεν ἐπὶ τῇ κακίᾳ ᾗ ἐλάλησε ποιῆσαι αὐτοῖς ὁ Κύριος». Ὁρᾷς ὅτι οὐχ ἡ νηστεία ἐξήρπασε τοῦ κινδύνου, ἀλλ' ἡ μεταβολὴ τοῦ βίου τὸν Θεὸν κατέστησεν ἵλεω τοῖς βαρβάροις καὶ εὐμενῆ;

Ταῦτα εἶπον, οὐχ ἵνα νηστείαν ἀτιμάζωμεν, ἀλλ' ἵνα νηστείαν τιμῶμεν· τιμὴ γὰρ νηστείας, οὐχὶ σιτίων ἀποχή, ἀλλ' ἁμαρτημάτων ἀναχώρησις· ὡς ὅ γε τῇ τῶν βρωμάτων ἀποχῇ μόνον ὁρίζων τὴν νηστείαν, οὗτός ἐστιν ὁ μάλιστα ἀτιμάζων αὐτήν. Νηστεύεις; Δεῖξόν μοι διὰ τῶν ἔργων αὐτῶν. Ποίων ἔργων, φησίν; Ἐὰν ἴδῃς πένητα, ἐλέησον· ἐὰν ἴδῃς ἐχθρόν, καταλλάγηθι· ἐὰν ἴδῃς φίλον εὐδοκιμοῦντα, μὴ βασκήνῃς· ἐὰν ἴδῃς γυναῖκα εὔμορφον, ὑπέρβηθι.

Μὴ γὰρ δὴ στόμα νηστευέτω μόνον, ἀλλὰ καὶ ὀφθαλμός, καὶ ἀκοή, καὶ πόδες καὶ χεῖρες, καὶ πάντα τὰ τοῦ σώματος ἡμῶν μέλη. Νηστευέτωσαν χεῖρες, ἁρπαγῆς καὶ πλεονεξίας καθαρεύουσαι. Νηστευέτωσαν πόδες, δρόμων τῶν ἐπὶ τὰ παράνομα θέατρα ἀφιστάμενοι· νηστευέτωσαν ὀφθαλμοί, παιδευόμενοι μηδέποτε ὄψεσιν εὐμόρφοις ἐπιπηδᾶν, μηδὲ ἀλλότρια περιεργάζεσθαι κάλλη. Τροφὴ γὰρ ὀφθαλμῶν θεωρία· ἀλλὰ ἂν μὲν παράνομος ᾖ καὶ κεκωλυμένη, λυμαίνεται τῇ νηστείᾳ, καὶ πᾶσαν ἀναιρέπει τῆς ψυχῆς τὴν σωτηρίαν· ἂν δὲ ἔννομος καὶ ἀσφαλής, κοσμεῖ τὴν νηστείαν. Καὶ γὰρ τῶν ἀτοπωτάτων ἂν εἴη ἐπὶ μὲν βρωμάτων καὶ τῆς συγκεχωρημένης ἀφίστασθαι τροφῆς διὰ τὴν νηστείαν, ἐπὶ δὲ τῶν ὀφθαλμῶν καὶ τῆς κεκωλυμένης ἅπτεσθαι. Οὐκ ἐσθίεις κρέα; Μὴ φάγῃς ἀκολασίαν διὰ τῶν ὀφθαλμῶν. Νηστευέτω

25. Ἰωνᾶ 3, 10.

κῶν ποὺ ἀνήγγειλεν ὁ Θεὸς ὅτι θὰ κάμῃ εἰς αὐτούς»[23]. Βλέπεις ὅτι δὲν τοὺς ἀπήλλαξεν ἀπὸ τὸν κίνδυνον ἡ νηστεία, ἀλλὰ ἡ μεταβολὴ τοῦ βίου ἔκαμε τὸν Θεὸν ἵλεων καὶ εὐμενῆ εἰς τοὺς βαρβάρους;

Αὐτὰ τὰ εἶπα ὄχι διὰ νὰ περιφρονοῦμεν τὴν νηστείαν, ἀλλ' ἀντιθέτως διὰ νὰ τὴν τιμοῦμεν· διότι τιμὴ τῆς νηστείας δὲν εἶναι ἡ ἀποχὴ ἀπὸ φαγητά, ἀλλὰ ἡ ἀπομάκρυνσις ἀπὸ τὰ ἁμαρτήματα· διὰ τοῦτο ἐκεῖνος ποὺ περιορίζει τὴν νηστείαν μόνον εἰς τὴν ἀποχὴν τῶν τροφῶν, αὐτὸς εἶναι ἐκεῖνος ὁ ὁποῖος ὑβρίζει κατ' ἐξοχὴν αὐτήν. Νηστεύεις; Δεῖξε τοῦτο διὰ τῶν ἔργων. Ποίων ἔργων, λέγει; Ἐὰν ἰδῇς πτωχὸν νὰ τὸν ἐλεήσῃς· ἐὰν ἰδῇς ἐχθρόν σου, νὰ συμφιλιωθῇς μαζί του· ἐὰν ἰδῇς φίλον σου νὰ προκόπτῃ, νὰ μὴ τὸν φθονήσῃς· ἐὰν ἰδῇς ὅμορφην γυναῖκα εἰς τὸν δρόμον σου, νὰ τὴν προσπεράσῃς καὶ νὰ μὴ τὴν προσέχῃς.

Δηλαδὴ νὰ μὴ νηστεύῃ μόνον τὸ στόμα, ἀλλὰ καὶ τὰ μάτια, καὶ ἡ ἀκοή, καὶ τὰ πόδια, καὶ τὰ χέρια, καὶ ὅλα τὰ μέλη τοῦ σώματός μας. Νὰ νηστεύουν τὰ χέρια μὲ τὸ νὰ μένουν καθαρὰ ἀπὸ τὴν ἁρπαγὴν καὶ τὴν πλεονεξίαν· νὰ νηστεύουν τὰ πόδια μὲ τὸ νὰ ἀπομακρύνωνται ἀπὸ τοὺς δρόμους ποὺ ὁδηγοῦν εἰς τὰ παράνομα θεάματα· νὰ νηστεύουν τὰ μάτια μὲ τὸ νὰ μάθουν νὰ μὴ προσηλώνωνται ποτὲ εἰς ὅμορφα πρόσωπα, καὶ νὰ μὴ περιεργάζωνται ξένα κάλλη. Διότι τροφὴ τῶν ὀφθαλμῶν εἶναι τὸ νὰ βλέπουν· ἀλλὰ ἂν εἶναι ἐφάμαρτα καὶ παράνομα αὐτὰ ποὺ βλέπουν, τότε ἐξουδετερώνεται ἡ νηστεία καὶ ἀνατρέπει ὅλην τὴν σωτηρίαν τῆς ψυχῆς· ἐνῷ ἂν εἶναι αὐτὰ ποὺ βλέπουν τὰ μάτια σύμφωνα μὲ τὸν νόμον καὶ ἀκίνδυνα, τότε ἡ παρατήρησις αὐτὴ κοσμεῖ τὴν νηστείαν. Διότι θὰ ἦτο ἀπὸ τὰ πλέον παράλογα ἐξ αἰτίας τῆς νηστείας νὰ ἀπέχωμεν ἀπὸ τὰ φαγητὰ καὶ τὴν ἐπιτρεπομένην τροφήν, σχετικῶς δὲ μὲ τοὺς ὀφθαλμοὺς νὰ μὴ αποφεύγωμεν καὶ τὴν τροφὴν ποὺ ἀπαγορεύεται. Δὲν τρώγεις κρέας; Δὲν πρέπει νὰ φάγῃς καὶ ἀκολασίαν διὰ τῶν ὀφθαλμῶν. Ἂς νηστεύῃ καὶ ἡ ἀκοή σου· νηστεία δὲ τῆς

καὶ ἀκοή· νηστεία δὲ ἀκοῆς μὴ δέχεσθαι κακηγορίας καὶ διαβολάς· «Ἀκοὴν» γὰρ «ματαίαν μὴ παραδέξῃ», φησί.

5. Νηστευέτω καὶ στόμα ἀπὸ ῥημάτων αἰσχρῶν καὶ λοιδορίας. Τί γὰρ ὄφελος ὅταν μὲν ὀρνίθων καὶ ἰχθύων ἀπεχώμεθα, τοὺς δὲ ἀδελφοὺς δάκνωμεν καὶ κατεσθίωμεν; Ὁ κακηγορῶν ἀδελφικὰ κρέα ἔφαγε, τὴν σάρκα τοῦ πλησίον ἔδακε. Διὰ τοῦτο καὶ Παῦλος ἐφόβησεν εἰπών· «Εἰ δὲ ἀλλήλους δάκνετε καὶ κατεσθίετε, βλέπετε μὴ ὑπὸ ἀλλήλων ἀναλωθῆτε».

Οὐκ ἐνέπηξας τῇ σαρκὶ τοὺς ὀδόντας, ἀλλ' ἐνέπηξας τῇ ψυχῇ τὴν κακηγορίαν, τὴν πονηρὰν ὑπόληψιν ἔτρωσας, μυρία εἰργάσω κακὰ καὶ σαυτόν, καὶ ἐκεῖνον, καὶ ἑτέρους πλείονας· καὶ γὰρ τὸν ἀκούσαντα χείρονα εἰργάσω, διαβάλλων τὸν πλησίον. Ἄν τε γὰρ ἁμαρτωλὸς ᾖ, ῥάθυμος γίνεται κοινωνὸν εὑρὼν τῆς ἁμαρτίας· ἄν τε δίκαιος ᾖ, εἰς ἀπόνοιαν αἴρεται, καὶ φυσᾶται ἐκ τῆς ἑτέρων ἁμαρτίας, μεγάλα περὶ ἑαυτοῦ φαντάζεσθαι προαγόμενος. Μετὰ τούτων τὸ κοινὸν τῆς Ἐκκλησίας ἔβλαψας· οὐ γὰρ δὴ τὸν ἡμαρτηκότα διαβάλλουσιν ἅπαντες οἱ ἀκούοντες, ἀλλὰ τὰ ὀνείδη τὸ Χριστιανῶν ἔθνος προστρίβεται· οὐδέ ἐστιν ἀκοῦσαι ἀπίστων λεγόντων, ὅτι ὁ δεῖνα πόρνος ἐστὶ καὶ ἀκόλαστος, ἀλλ' ἀντὶ τοῦ πεπλημμεληκότος, τοὺς Χριστιανοὺς ἅπαντας διαβάλλουσι.

Πρὸς τούτοις τοῦ Θεοῦ τὴν δόξαν βλασφημεῖσθαι παρεσκεύασας· ὥσπερ γὰρ εὐδοκιμούντων ἡμῶν τὸ ὄνομα τοῦ Θεοῦ δοξάζεται, οὕτως ἁμαρτανόντων βλασφημεῖται καὶ ὑβρίζεται. Τέταρτον, τὸν κακῶς ἀκούσαντα κατῄσχυνας, καὶ ἀναισχυντότερον ταύτῃ πεποίηκας, ἐχθρὸν καὶ πολέμιον κα-

---

26. Ἐξ. 23, 1.
27. Γαλ. 5, 15.

ἀκοῆς εἶναι νὰ μὴ δέχεται κακολογίας καὶ διαβολὰς διότι λέγει· «φήμην ψευδῆ καὶ μὴ παραδεχθῇς»[26].

5. Ἂς νηστεύῃ καὶ τὸ στόμα ἀπὸ λόγους αἰσχροὺς καὶ ὑβριστικούς. Διότι ποία ὠφέλεια ὑπάρχει ὅταν ἀποφεύγωμεν μὲν νὰ τρώγωμεν ψάρια καὶ κατόπουλα νὰ κατατρώγωμεν δὲ καὶ νὰ δαγκώνωμεν τοὺς ἀδελφούς μας; Αὐτὸς ποὺ ὑβρίζει εἶναι ὡσὰν νὰ ἔφαγεν ἀδελφικὸν κρέας, ὡσὰν νὰ δαγκώνῃ τὴν σάρκα τοῦ πλησίον. Διὰ τοῦτο καὶ ὁ Παῦλος μᾶς ἐφόβισε εἰπὼν τὰ ἑξῆς· «Ἐὰν δαγκώνετε καὶ κατατρώγετε ὁ ἕνας τὸν ἄλλον, προσέχετε μήπως ἀφανισθῆτε μεταξύ σας»[27].

Δὲν ἔχωσες τὰ δόντια σου εἰς τὴν σάρκα, ἀλλὰ ἔχωσες μέσα εἰς τὴν ψυχήν σου τὴν κακολογίαν, τὴν ἐπλήγωσες μὲ τὴν κακὴν φήμην ποὺ διέδωσες, ἔκαμες ἀνυπολόγιστον ζημίαν εἰς τὸν ἑαυτόν σου καὶ εἰς ἐκεῖνον καὶ εἰς πολλοὺς ἄλλους, διότι καὶ ἐκεῖνον ποὺ ἄκουσε τὴν κακολογίαν τὸν ἔκαμες χειρότερον μὲ τὰς διαβολάς σου κατὰ τοῦ πλησίον. Διότι ἂν εἶναι ἁμαρτωλὸς δὲν διορθώνεται, ἀλλὰ γίνεται ράθυμος ἐπειδὴ εὗρε καὶ ἄλλους νὰ κάμουν τὴν ἰδίαν ἁμαρτίαν· ἂν πάλιν εἶναι δίκαιος φθάνει εἰς τὴν ὑπερηφάνειαν καὶ γίνεται ἀλαζὼν ἐπειδὴ ἐξαπατᾶται ἀπὸ τὰς ἁμαρτίας τῶν ἄλλων καὶ φαντάζεται μεγάλα πράγματα διὰ τὸν ἑαυτόν του. Ἐκτὸς ὅμως ἀπὸ αὐτὰ ἔβλαψες ὁλόκληρον τὴν ἐκκλησίαν· διότι ὅσοι θὰ σὲ ἀκούσουν δὲν θὰ διαβάλλουν αὐτὸν ποὺ ἡμάρτησεν, ἀλλὰ ὁλόκληρον τὸ γένος τῶν χριστιανῶν· διὰ τοῦτο δὲν ἀκούομεν τοὺς εἰδωλολάτρας παρὰ νὰ λέγουν, ὅτι ὁ τάδε πόρνος εἶναι καὶ ἀκόλαστος, ἀλλὰ ἀντὶ νὰ κατηγορήσουν τὸν ἁμαρτήσαντα διαβάλλουν ὅλους τοὺς χριστιανούς.

Σὺν τοῖς ἄλλοις ἔγινες αἰτία νὰ βλασφημῆται τὸ ὄνομα τοῦ Θεοῦ· διότι ὅπως δοξάζομεν τὸ ὄνομα τοῦ Θεοῦ, ὅταν εὐδοκιμοῦμεν εἰς τὴν ἀρετήν, ἔτσι καὶ ὅταν ἁμαρτάνωμεν βλασφημεῖται καὶ ὑβρίζεται. Τέταρτον, ἐκεῖνον ποὺ ἐκακολόγησες καὶ ὕβρισες τὸν ἐντρόπιασες καὶ μὲ αὐτήν σου τὴν

ταστήσας. Πέμπτον, ἑαυτὸν ὑπεύθυνον κολάσει καὶ τιμωρίᾳ πεποίηκας, πράγματα τὰ μηδὲν σαυτῷ προσήκοντα πλέξας. Μὴ γάρ μοι τοῦτο λεγέτω τις, ὅτι τότε κακηγορῶ, ἐπειδὰν ψευδῆ εἴπω· ἐὰν δὲ ἀληθεύω, οὐκέτι. Κἂν ἀληθεύων εἴπῃς κακῶς, καὶ τοῦτο ἔγκλημα. Καὶ γὰρ ὁ Φαρισαῖος ἐκεῖνος τὸν τελώνην εἶπε κακῶς ἀληθεύων, ἀλλ' ὅμως οὐδὲν αὐτοῦ τοῦτο προέστη. Εἰπὲ γάρ μοι, τελώνης ἦν ὁ τελώνης καὶ ἁμαρτωλός; Παντί που δῆλον ὅτι τελώνης· ἀλλ' ὅμως ἐπειδὴ αὐτὸν ἐκάκισεν ὁ Φαρισαῖος ἀπῆλθεν ἅπαντα ἀπολέσας.

Βούλει διορθῶσαι τὸν ἀδελφόν; Δάκρυσον, εὖξαι τῷ Θεῷ, κατιδίαν λαβὼν παραίνεσον, συμβούλευσον, παρακάλεσον. Οὕτω καὶ ὁ Παῦλος ἐποίει· «Μήπως ἐλθόντα με», φησί, «ταπεινώσῃ ὁ Θεός, καὶ πενθήσω πολλοὺς τῶν προημαρτηκότων, καὶ μὴ μετανοησάντων ἐπὶ τῇ ἀκαθαρσίᾳ καὶ πορνείᾳ, καὶ ἀσελγείᾳ ᾗ ἔπραξαν». Δεῖξον ἀγάπην περὶ τὸν ἡμαρτηκότα· πεῖσον αὐτὸν ὅτι κηδόμενος καὶ φροντίζων, οὐκ ἐκπομπεῦσαι βουλόμενος, περὶ τῆς ἁμαρτίας αὐτὸν ὑπομιμνήσκεις· κάτασχε πόδας, καταφίλησον, μὴ ἐπαισχυνθῇς, εἴγε ἀληθῶς ἰατρεῦσαι βούλει.

Ταῦτα καὶ ἰατροὶ ποιοῦσι, πολλάκις δυσαρέστως ἔχοντας τοὺς κάμνοντας καταφιλοῦντες, παρακαλοῦντες ἀναπείθουσι σωτήριον δέξασθαι φάρμακον· οὕτω καὶ σὺ ποίησον· τῷ ἱερεῖ δεῖξον τὸ ἕλκος, τοῦτό ἐστι κηδομένου, τοῦτο προνοοῦντος, τοῦτο φροντίζοντος. Οὐ τοῖς κακῶς δὲ μόνον λέγουσιν, ἀλλὰ καὶ τοῖς ἀκούουσι κακῶς λεγομένους ἑτέρους παραινῶ τὰς ἀκοὰς ἀποφράττειν, καὶ τὸν προφήτην μιμεῖ-

---

28. Β' Κορ. 12, 21.

πρᾶξιν τὸν ἔκαμες πιὸ ἀδιάντροπον καὶ ἐχθρόν σου. Πέμπτον, ἔκαμες τὸν ἑαυτόν σου ἄξιον τιμωρίας, διότι περιέπλεξες τὸν ἑαυτόν σου εἰς πράγματα μὴ προσήκοντα. Διότι ἂς μὴ ἰσχυρισθῇ κανεὶς ὅτι τότε κακολογῶ, ὅταν λέγω ψέμματα, ἐνῷ ἂν λέγω τὴν ἀλήθειαν, δὲν κακολογῶ. Καὶ ἂν λέγῃς τὴν ἀλήθειαν ὅταν κακολογῇς, καὶ αὐτὸ εἶναι ἔγκλημα. Καθ' ὅσον καὶ ὁ Φαρισαῖος ἐκεῖνος ὅταν ἐκακολόγησε τὸν τελώνην, τὴν ἀλήθειαν ἔλεγεν, ὅμως αὐτὸ δὲν ἦτο πρὸς δικαιολογίαν του. Διότι λέγε μου, ἦτο τελώνης καὶ ἁμαρτωλὸς ὁ τελώνης; Εἰς τὸν κάθε ἕνα εἶναι φανερὸν ὅτι ἦτο τελώνης· καὶ ὅμως ἐπειδὴ τὸν ἐκακολόγησεν ὁ φαρισαῖος, ἔφυγεν ἀπὸ τὸν ναὸν ἀφοῦ ἔχασεν ὅλα τὰ καλά του.

Θέλεις νὰ διορθώσῃς τὸν ἀδελφόν σου; Δάκρυσε, προσευχή σου πρὸς τὸν Θεὸν δι' αὐτόν, ἰδιαιτέρως νὰ τὸν προτρέψῃς, συμβούλευσέ τον, παρακάλεσέ τον. Αὐτὸ ἔκαμε καὶ ὁ Παῦλος, διότι λέγει· «Μήπως ὅταν πάλιν ἔλθω πρὸς σᾶς, μὲ ταπεινώσῃ ὁ Θεός, καὶ πενθήσω διὰ πολλοὺς ἀπὸ ἐκείνους ποὺ πιθανὸν νὰ ἔχουν ἁμαρτήσει καὶ δὲν ἔχουν μετανοήσει διὰ τὴν ἀκαθαρσίαν καὶ τὴν πορνείαν καὶ τὴν ἀσέλγειαν, ποὺ διέπραξαν»[28]. Δεῖξε ἀγάπην πρὸς αὐτὸν ποὺ ἡμάρτησεν· πεῖσε αὐτὸν ὅτι ὑπενθυμίζεις εἰς αὐτὸν τὰ ἁμαρτήματά του ἐπειδὴ ἐνδιαφέρεσαι καὶ φροντίζεις δι' αὐτὸν καὶ ὄχι διὰ νὰ τὸν διαπομπεύσῃς· κράτησε τὰ πόδια του καὶ φίλησέ τα· νὰ μὴ ἐντραπῇς νὰ τὸ κάμῃς ἂν πράγματι θέλῃς νὰ τὸν θεραπεύσῃς.

Αὐτὰ τὰ κάμουν πολλάκις καὶ οἱ ἰατροί, ὅταν βλέπουν τοὺς ἀσθενεῖς νὰ ἔχουν κάποιαν δυσαρέσκειαν ἔκδηλον πρὸς τὰ φάρμακα, τοὺς πείθουν μὲ παρακάλια νὰ δεχθοῦν τὸ σωτήριον φάρμακον· ἔτσι νὰ κάμῃς καὶ σύ· εἰς τὸν ἱερέα νὰ δείξῃς τὴν πληγὴν τοῦ ἀδελφοῦ σου, διότι αὐτὸ δεικνύει ἄνθρωπον ποὺ φροντίζει, ποὺ προνοεῖ καὶ ποὺ ἐνδιαφέρεται διὰ τὸν ἄλλον. Ὄχι μόνον εἰς ἐκείνους ποὺ κακολογοῦν, ἀλλὰ καὶ εἰς ὅσους ἀκούουν αὐτοὺς τοὺς συνιστῶ νὰ κλείουν τὰ αὐτιά των, καὶ νὰ μιμοῦνται τὸν προφήτην ποὺ λέγει·

σθαι τὸν λέγοντα· «Τὸν καταλαλοῦντα λάθρα τὸν πλησίον αὐτοῦ, τοῦτον ἐξεδίωκον».

Εἰπὲ πρὸς τὸν πλησίον, ἔχεις ἐπαινέσαι τινὰ καὶ ἐγκωμιάσαι; Ἀνοίγω τὰς ἀκοάς, ἵνα δέξωμαι τὰ μύρα· ἂν δὲ κακῶς ἐθέλῃς εἰπεῖν, ἀποφράττω τὴν εἴσοδον τοῖς ῥήμασιν· οὐ γὰρ ἀνέχομαι κόπρον καὶ βόρβορον δέχεσθαι. Τί μοι τὸ κέρδος ἐκ τοῦ μαθεῖν ὅτι πονηρὸς ὁ δεῖνα; Μέγιστον μὲν οὖν ἀπὸ τούτο βλάβος καὶ ἐσχάτη ζημία. Εἰπὲ πρὸς αὐτόν· μεριμνήσωμεν τὰ ἡμέτερα, πῶς τῶν πεπλημμελημένων ἡμῖν εὐθύνας δῶμεν, καὶ τὴν περιεργίαν ταύτην, καὶ τὴν πολυπραγμοσύνην εἰς τὴν ζωὴν τὴν ἡμετέραν ἐπιδειξώμεθα. Ποίαν ἕξομεν ἀπολογίαν, τίνα συγγνώμην, ὅταν τὰ ἡμέτερα μὲν μηδὲ εἰς νοῦν λαμβάνωμεν, τὰ δὲ ἀλλότρια οὕτω φιλοπραγμονῶμεν; Καὶ ὥσπερ εἰς οἰκίαν παρακύψαι, καὶ τὰ ἔνδον σκοπῆσαι παριόντα αἰσχρὸν καὶ πολλῆς αἰσχύνης γέμον· οὕτω καὶ βίον ἀλλότριον περιεργάζεσθαι, ἀνελευθερίας ἐσχάτης.

Τὸ δὲ τούτου καταγελαστότερον ὅτι τοιοῦτον ἔχοντες βίον, καὶ τῶν οἰκείων ἀμελοῦντες, ἐπειδὰν εἴπωσί τι τῶν ἀπορρήτων, παρακαλοῦσι τὸν ἀκούσαντα, καὶ ὁρκοῦσι μηδενὶ λοιπὸν εἰπεῖν ἑτέρῳ, αὐτόθεν δηλοῦντες ὅτι πρᾶγμα ἄξιον κατηγορίας ἐποίησαν. Εἰ γὰρ ἐκεῖνον μηδενὶ εἰπεῖν ἑτέρῳ παρακαλεῖς, πολλῷ μᾶλλον σὲ πρότερον τούτῳ ταῦτα εἰπεῖν οὐκ ἐχρῆν. Κατεῖχες ἐν ἀσφαλείᾳ τὸν λόγον· ὅτε αὐτὸν προέδωκας, τότε τῆς σωτηρίας αὐτοῦ φροντίζεις· εἰ βούλῃ μὴ ἐξενεχθῆναι, εἰς ἕτερον μηδὲ αὐτὸς εἴπῃς· ὅτε δὲ ἑτέρῳ προέδωκας τοῦ λόγου τὴν φυλακήν, περιττὰ ποιεῖς καὶ ἀνόνητα παραγγέλλων καὶ ὁρκῶν ὑπὲρ τῆς τῶν εἰρημένων φυλακῆς.

---

29. Ψαλμ. 100, 5.

«Ἐκεῖνον ποὺ κρυφὰ κατηγοροῦσε τὸν πλησίον του, τοῦτον ἀπεμάκρυνα ἀπὸ κοντά μου»[29].

Λέγε πρὸς τὸν πλησίον, ἔχεις νὰ ἐπαινέσῃς καὶ νὰ ἐγκωμιάσῃς κάποιον; Ἀνοίγω τὰ αὐτιά μου διὰ νὰ δεχθῶ τὰ μύρα τῶν λόγων σου· ἂν ὅμως θέλῃς νὰ κακολογήσῃς κλείω τὴν εἴσοδον εἰς τὰ λόγια αὐτά, διότι δὲν ἀνέχομαι νὰ δέχωμαι κόπρον καὶ βόρβορον. Ποῖον θὰ εἶναι τὸ κέρδος ἂν μάθω ὅτι ὁ τάδε εἶναι πονηρός; Ἀντιθέτως πολὺ μεγάλη βλάβην καὶ ἐσχάτην ζημίαν θὰ ἔχω ἀπὸ τὴν πληροφορίαν αὐτήν. Λέγε πρὸς αὐτόν· ἂς κοιτάξωμεν τὸν ἑαυτόν μας· ποία δηλαδὴ ἀπολογίαν θὰ δώσωμεν εἰς τὸν Θεὸν καὶ τὴν περιέργειαν αὐτὴν καὶ τὴν πολυπραγμοσύνην νὰ τὴν ἐπιδείξωμεν διὰ τὴν ἰδικήν μας ζωήν. Ποίαν ἀπολογίαν θὰ ἔχωμεν πρὸς τὸν Θεόν, ποίαν συγγνώμην, ὅταν τὰ μὲν ἰδικά μας ἁμαρτήματα οὔτε κἂν τὰ σκεπτώμεθα, τὰ δὲ ξένα τὰ ἐξετάζωμεν μὲ τόσην λεπτομέρειαν; Καὶ ὅπως τὸ νὰ σκύψῃ κανεὶς καὶ νὰ κατασκοπεύσῃ τὸ ἐσωτερικὸν τοῦ σπιτιοῦ, ὅταν περνᾷ ἔξω ἀπὸ αὐτό, εἶναι κάτι ποὺ προξενεῖ ἐντροπήν, ἔτσι καὶ τὸ νὰ ἐξετάζῃ κανεὶς μὲ πολλὴν λεπτομέρειαν τὴν ζωὴν τοῦ ἄλλου, φανερώνει πολὺ μεγάλην μικροπρέπειαν.

Ἐκεῖνο δὲ ποὺ εἶναι περισσότερον ἄξιον γέλωτος εἶναι, ὅτι, ἐνῷ παρουσιάζουν αὐτοὶ τέτοιον βίον καὶ παραμελοῦν τὸν ἑαυτόν τους, ὅταν εἰποῦν κανένα μυστικὸν εἰς βάρος τῶν ἄλλων, παρακαλοῦν αὐτὸν ποὺ τὸ ἤκουσε καὶ τὸν ὁρκίζουν, νὰ μὴ τὸ εἰπῇ εἰς κανένα ἄλλον, ἀποδεικνύοντες μὲ τὴν ἐνέργειάν των αὐτὴν ὅτι ἔπραξαν κάτι ἄξιον κατηγορίας. Διότι ἂν παρακαλῇς ἐκεῖνον νὰ μὴ τὸ εἰπῇ εἰς κανένα ἄλλον, πολὺ περισσότερον ἔπρεπε σὺ νὰ μὴ εἰπῇς εἰς αὐτὸν τίποτε. Κατεῖχες μὲ ἀσφάλειαν τὸν λόγον, καὶ τώρα ποὺ τὸν ἐπρόδωσες, φροντίζεις διὰ τὴν σωτηρίαν αὐτοῦ· ἐὰν θέλῃς νὰ μὴ διαδοθῇ, νὰ μὴ εἰπῇς τὸ μυστικὸν εἰς ἄλλον οὔτε σὺ ὁ ἴδιος· ἂν δὲ τὸ ἔχῃς εἴπει εἰς ἄλλον, εἶναι περιτταὶ καὶ ἀνόητοι αἱ συστάσεις καὶ οἱ ὅρκοι διὰ τὴν διατήρησιν τοῦ μυστικοῦ.

Ἀλλ' ἡδὺ τὸ κακηγορεῖν· ἡδὺ μὲν οὖν τὸ μὴ λέγειν κακῶς. Ὁ μὲν γὰρ εἰπὼν κακῶς, ἐναγώνιος λοιπόν ἐστιν, ὑποπτεύει, καὶ δέδοικε, μετανοεῖ, καὶ κατεσθίει τὴν ἑαυτοῦ γλῶτταν, δεδοικὼς καὶ τρέμων, μή ποτε εἰς ἑτέρους ἐξενεχθὲν τὸ ῥῆμα, μέγαν ἐπαγάγῃ τὸν κίνδυνον, καὶ περιττὴν ἔχθραν καὶ ἀνόνητον ἐργάσηται τοῖς εἰρηκόσιν· ὁ δὲ παρ' ἑαυτῷ κατέχων, ἐν ἀσφαλείᾳ πολλῇ μετὰ πολλῆς βιώσεται τῆς ἡδονῆς. «Ἤκουσας λόγον», φησίν, «ἐναποθανέτω σοι· θάρσει, οὐ μή σε ῥήξει». Τί ἐστιν «Ἐναποθανέτω μοι»; Σβέσον αὐτόν, κατάχωσον, μὴ συγχωρήσῃς ἐξελθεῖν, μηδὲ κινηθῆναι τὸ παράπαν· ἀλλὰ μάλιστα μὲν οὖν σπούδαζε, μηδὲ ἀνέχεσθαι τῶν λεγόντων ἑτέρους κακῶς. Ἂν δ' ἄρα ποτὲ καὶ δέξῃ, κατάχωσον, ἀπέκτεινον τὸ λεχθέν, λήθῃ παράδος, ἵνα τοῖς μὴ ἀκηκοόσιν ὅμοιος γένῃ, καὶ μετὰ πολλῆς τῆς εἰρήνης καὶ τῆς ἀσφαλείας τὸν παρόντα διάγῃς βίον.

Ἂν μάθωσιν οἱ κακήγοροι, ὅτι τῶν διαβαλλομένων μᾶλλον ἡμεῖς αὐτοὺς ἀποστρεφόμεθα, παύσονται καὶ αὐτοί ποτε τῆς πονηρᾶς συνηθείας ταύτης, καὶ διορθώσονται τὸ ἁμάρτημα, καὶ ἐπαινέσονται μετὰ ταῦτα, καὶ ἡμᾶς αὐτοὺς ὡς σωτῆρας αὐτῶν γενομένους καὶ εὐεργέτας ἀνακηρύξουσιν. Ὥσπερ γὰρ τὸ καλῶς λέγειν καὶ ἐγκωμιάζειν ἀρχὴ φιλίας ἐστίν, οὕτω τὸ κακῶς λέγειν καὶ διαβάλλειν ἔχθρας, καὶ ἀπεχθείας, καὶ τῶν μυρίων πολέμων ἀρχὴ καὶ ὑπόθεσις γέγονεν. Οὐδαμόθεν γὰρ ἑτέρωθεν ἠμέληται τὰ ἡμέτερα, ἀλλ' ἢ ἐκ τοῦ τὰ ἀλλότρια πολυπραγμονεῖν καὶ περιεργάζεσθαι· οὐ γάρ ἐστιν ἄνθρωπον κακηγοροῦντα, καὶ τοὺς ἀλλοτρίους πολυπραγμονοῦντα βίους, τῆς ἰδίας ἐπιμεληθῆναί ποτε ζωῆς. Τῆς γὰρ σπουδῆς ἁπάσης αὐτῷ εἰς τὴν ἑτέρων πολυπραγμοσύνην ἀναλισκομένης, ἀνάγκη τὰ αὐτοῦ πάντα ἁπλῶς κεῖσθαι καὶ ἠμελημένως. Καὶ γὰρ ἀγαπητὸν τὴν

---

30. Σοφ. Σειρ. 19, 10.

Ἀλλὰ εἶναι εὐχάριστον τὸ νὰ κακολογῇ κανείς. Εὐχάριστον εἶναι τὸ νὰ μὴ κακολογῇ. Διότι αὐτὸς ποὺ ἐκακολόγησεν εὑρίσκεται εἰς ἀγωνίαν μετά, φοβᾶται, ὑποπτεύεται, μετανοεῖ καὶ δαγκώνει τὴν γλῶσσαν του, ἐπειδὴ φοβᾶται καὶ τρέμει μήπως κάποτε διαδοθῇ αὐτὸ ποὺ εἶπεν εἰς ἄλλους καὶ ἐπιφέρει μεγάλον κίνδυνον καὶ περιττὴν καὶ ἀνωφελῆ ἔχθραν εἰς αὐτοὺς οἱ ὁποῖοι τὰ εἶπαν· αὐτὸς ὅμως ποὺ τὰ κρατεῖ μέσα του, εἶναι ἀσφαλὴς καὶ ζῇ εὐχάριστα. «Ἤκουσες λόγον», λέγει, «ἂς ἀποθάνῃ μέσα σου· μὴ φοβᾶσαι δὲν θὰ σὲ σκάσῃ»[30]. Τί σημαίνει «ἂς ἀποθάνῃ μέσα σου»; Σημαίνει, σβῆσε αὐτόν, θάψε τον, μὴ τὸν ἐπιτρέψῃς νὰ ἐξέλθῃ, οὔτε νὰ κινηθῇ κἄν· ἀλλὰ ἀκόμα φρόντιζε νὰ μὴ ἀνέχεσαι νὰ ἀκούῃς αὐτοὺς ποὺ κακολογοῦν τοὺς ἄλλους; Ἂν ὅμως κάποτε τύχῃ καὶ νὰ ἀκούσῃς αὐτούς, θάψε τοὺς λόγους των, φόνευσε αὐτὸ ποὺ ἐλέχθη, λησμόνησέ το, διὰ νὰ γίνῃς ὅμοιος μὲ αὐτοὺς ποὺ δὲν ἤκουσαν καὶ νὰ ζῇ μὲ εἰρήνην καὶ ἀσφάλειαν τὴν παροῦσαν ζωήν.

Ἂν καταλάβουν ὅσοι κακολογοῦν ὅτι τοὺς ἀποστρεφόμεθα περισσότερον ἀπὸ ἐκείνους ποὺ αὐτοὶ συκοφαντοῦν, θὰ παύσουν καὶ αὐτοὶ κάποτε τὴν κακὴν αὐτὴν συνήθειαν, θὰ διορθώσουν τὸ ἁμάρτημα, καὶ θὰ μᾶς ἐπαινέσουν μετά, καὶ ἐμᾶς τοὺς ἰδίους θὰ μᾶς ἀνακηρύξουν ὡς σωτῆρας καὶ εὐεργέτας των. Διότι ὅπως ἀκριβῶς τὸ νὰ λέγῃ κανεὶς καλὰ λόγια καὶ νὰ τὸν ἐπαινῇ εἶναι ἀρχὴ φιλίας, ἔτσι ἀκριβῶς καὶ τὸ νὰ τὸν κακολογῇ καὶ τὸν διαβάλλῃ γίνεται ἀρχὴ ἔχθρας καὶ ἀντιπαθείας καὶ ἀναριθμήτων διαμαχῶν. Διότι ἀπὸ πουθενὰ ἀλλοῦ δὲν προέρχεται ἡ ἀμέλεια διὰ τὸν ἑαυτόν μας, παρὰ ἀπὸ τὸ νὰ φροντίζωμεν καὶ πολυεξετάζωμεν τὸν βίον τῶν ξένων· διότι δὲν εἶναι δυνατὸν ὁ ἄνθρωπος ποὺ κατηγορεῖ τοὺς ἄλλους καὶ ἐξετάζει μὲ λεπτομέρειαν τὸν βίον του, νὰ ἐνδιαφέρεται νὰ βελτιώσῃ τὴν ἰδικήν του ζωήν. Καθ' ὅσον ὅλον του τὸ ἐνδιαφέρον ἐξαντλεῖται εἰς τὰς ὑποθέσεις τῶν ἄλλων, καὶ κατ' ἀνάγκην τὰ ἰδικά του θέματα εὑρίσκονται παραμελημένα. Καὶ ὅμως θὰ ἦτο πολὺ εὐχάρι-

πᾶσαν σχολὴν εἰς τὴν ἐπιμέλειαν τῶν οἰκείων ἁμαρτημάτων καὶ τὴν κρίσιν ἀναλίσκοντα, δυνηθῆναί τι ποιῆσαι πλέον. Ὅταν δὲ διαπαντὸς τὰ ἀλλότρια φροντίζῃς, πότε τῶν σῶν ἐπιμελήσῃ κακῶν;

6. Φύγωμεν τοίνυν, ἀγαπητοί, φύγωμεν κακηγορίας, μαθόντες ὡς διαβολικόν ἐστιν ὅλον τὸ βάραθρον καὶ τῆς ἐπιβουλῆς τῆς ἐκείνου αὕτη ἡ ἐνέδρα. Ἵνα γὰρ καὶ τῶν ἡμετέρων ἀμελήσωμεν, καὶ χαλεπωτέρας ἑαυτοῖς καταστήσωμεν τὰς εὐθύνας, εἰς ταύτην ἡμᾶς τὴν συνήθειαν ὁ διάβολος ἤγαγε· μᾶλλον δέ, οὐ τοῦτο μόνον ἐστὶ τὸ χαλεπόν, ὅτι λόγον δώσομεν, ὧν εἰρήκαμεν τότε, ἀλλ' ὅτι καὶ τὰ ἡμέτερα ἁμαρτήματα χαλεπώτερα ταύτῃ ποιήσομεν, πάσης ἑαυτοὺς ἀποστεροῦντες ἀπολογίας. Ὁ γὰρ πικρῶς τὰ ἀλλότρια ἐξετάζων, ἐν τοῖς καθ' ἑαυτὸν πλημμελήμασιν οὐδεμιᾶς ἀπολαύσεται συγγνώμης ποτέ.

Οὐδὲ γὰρ ἀπὸ τῆς φύσεως τῶν πεπλημμελημένων ἡμῖν μόνον, ἀλλὰ καὶ ἀπὸ τῆς κρίσεως τῆς σῆς περὶ ἑτέρων οἴσει τὴν ψῆφον ὁ Θεός. Διὰ τοῦτο παρήνεσε λέγων, «Μὴ κρίνετε, ἵνα μὴ κριθῆτε»· οὐ γὰρ οἷον γέγονε τὸ ἁμάρτημα, τοιοῦτον ἐκεῖ φανεῖται λοιπόν, ἀλλὰ πολλήν τινα καὶ ἀπαραίτητον προσθήκην λήψεται ἀπὸ τῆς εἰς τὸν σύνδουλόν σου παρὰ σοῦ γεγενημένης κρίσεως. Ὥσπερ γὰρ ὁ φιλάνθρωπος, καὶ ἥμερος, καὶ συγγνωμονικὸς ὑποτέμνεται τὸν πλείονα τῶν ἁμαρτημάτων ὄγκον· οὕτως ὁ πικρός, καὶ ὠμός, καὶ ἀπαραίτητος, πολὺ τοῖς οἰκείοις ἁμαρτήμασι προστίθησι μέγεθος. Ἐξορίσωμεν τοίνυν ἀπὸ τοῦ στόματος ἡμῶν κακηγορίαν ἅπασαν, εἰδότες ὅτι κἂν τέφραν ἐσθίωμεν, οὐδὲν ὄφελος ἡμῖν τῆς σκληραγωγίας ταύτης, ἂν κακηγορίας μὴ ἀποσχώμεθα. Οὐ γὰρ τὰ εἰσερχόμενα κοινοῖ τὸν ἄνθρωπον, ἀλλὰ τὰ ἐξερχόμενα ἀπὸ τοῦ στόματος.

---

31. Ματθ. 7, 1.

στον ὅλον τὸν χρόνον του νὰ τὸν διαθέτῃ διὰ τὴν φροντίδα τῶν ἰδικῶν του ἁμαρτημάτων καὶ διὰ νὰ κρίνῃ τὸν ἑαυτόν του, διὰ νὰ ἠμπορέσῃ νὰ κάμῃ κάτι καλύτερον. Ὅταν ὅμως φροντίζῃς συνεχῶς διὰ τὰς ξένας ὑποθέσεις, πότε θὰ φροντίσῃς καὶ διὰ τὰ ἰδικά σου ἐλαττώματα;

6. Ἂς ἀποφεύγωμεν λοιπὸν ἀγαπητοί, ἂς ἀποφεύγωμεν τὰς κακολογίας, ἀφοῦ ἐμάθαμεν ὅτι ὅλον τὸ βάραθρον αὐτῶν εἶναι διαβολικὸν καὶ αὐτὴ ἡ ἐνέδρα ἀποτέλεσμα τῆς ἐπιβουλῆς του. Διότι διὰ νὰ παραμελήσωμεν καὶ τὸν ἑαυτόν μας καὶ νὰ κάμωμεν τὰς εὐθύνας μας βαρυτέρας εἰς αὐτὴν τὴν συνήθειαν τῆς κακολογίας μᾶς ὡδήγησεν ὁ διάβολος· μᾶλλον δὲ, δὲν εἶναι μόνον αὐτὸ τὸ κακὸν ὅτι δηλαδὴ θὰ δώσωμεν λόγον, δι' ὅσα εἴπομεν τότε, ἀλλ' ὅτι καὶ τὰ ἰδικά μας ἁμαρτήματα ἐξ αἰτίας αὐτῆς θὰ τὰ κάμωμεν βαρύτερα, διότι θὰ στερήσωμεν τοὺς ἑαυτούς μας ἀπὸ κάθε ἀπολογίαν. Διότι αὐτὸς ποὺ ἐξετάζει αὐστηρὰ τὰ ἁμαρτήματα τὰ ξένα, διὰ τὰ ἰδικά του ἁμαρτήματα ποτὲ δὲν θὰ τύχῃ συγγνώμης.

Διότι ὄχι μόνον ἀπὸ τὰ ἁμαρτήματα, ἀλλὰ καὶ ἀπὸ τὴν κρίσιν μας διὰ τοὺς ἄλλους θὰ βγάλῃ τὴν ἀπόφασιν ὁ Θεός. Διὰ τοῦτο μᾶς συνεβούλευσε λέγων· «μὴ κατακρίνετε καὶ μὴ καταδικάζετε τὸν πλησίον σας διὰ νὰ μὴ κατακριθῆτε καὶ σεῖς ἀπὸ τὸν Θεόν»[31]· διότι δὲν θὰ φανῇ τὸ ἁμάρτημα τέτοιο ποὺ ἦτο ἐδῶ, ἀλλὰ θὰ λάβῃ πολλὴν προσθήκην ἀπὸ τὸν τρόπον ποὺ σὺ ἔκρινες τὸν συνάνθρωπόν σου. Διότι ὅπως ὁ φιλάνθρωπος καὶ ἥμερος καὶ συγκαταβατικὸς ἐλαττώνει διὰ τοῦ καλοῦ αὐτοῦ τρόπου τὸν μεγάλον ὄγκον τῶν ἁμαρτημάτων του, ἔτσι καὶ ὁ πικρὸς καὶ σκληρὸς καὶ ἀδυσώπητος πρὸς τὸν πλησίον μεγαλώνει πολὺ τὰ ἁμαρτήματά του. Ἂς ἀπομακρύνωμεν λοιπὸν ἀπὸ τὸ στόμα μας κάθε κακολογίαν, γνωρίζοντες ὅτι καὶ ἂν ἀκόμη τρώγωμεν στάκτην, καμμίαν ὠφέλειαν δὲν θὰ ἔχωμεν ἐκ τῆς σκληραγωγίας αὐτῆς, ἂν δὲ ἀπομακρυνθοῦμεν ἀπὸ τὴν κακολογίαν. Διότι δὲν κάνουν ἀκάθαρτον τὸν ἄνθρωπον ὅσα εἰσέρχονται ἀπὸ τὸ στόμα, ἀλλὰ ὅσα ἐξέρχονται τοῦ στόματος.

Εἴ τις ἀνακινήσειε βόρβορον σοῦ παριόντος, εἰπέ μοι, οὐ λοιδορεῖς, καὶ ὑβρίζεις τὸν τοῦτο ποιοῦντα; Τοῦτο καὶ ἐπὶ τῷ κακηγόρῳ ποίησον. Οὐ γὰρ οὕτως ἀνακινούμενος βόρβορος πλήττει τὴν μήνιγγα τῶν τὴν δυσωδίαν δεχομένων ἐκείνην, ὡς ἁμαρτήματα ἀλλότρια ἀνακινούμενα καὶ βίος ἀκάθαρτος ἐκκαλυπτόμενος λυπεῖ τῶν ἀκουόντων τὴν ψυχὴν καὶ ἐξίστησιν. Ἀπεχώμεθα τοίνυν κακηγορίας, αἰσχρολογίας, βλασφημίας, καὶ μήτε τὸν πλησίον, μήτε τὸν Θεὸν λέγωμεν κακῶς. Πολλοὶ γὰρ εἰς τοῦτο μανίας ἐξώκειλαν τῶν κακηγόρων, ὡς ἀπὸ τῶν συνδούλων ἐπὶ τὸν δεσπότην ἀναστῆσαι τὴν γλῶτταν τὴν ἑαυτῶν. Ὅσον δὲ τοῦτό ἐστι κακὸν ἀπὸ τῶν κατεχόντων νῦν ἡμᾶς μάνθανε πραγμάτων.

Ἰδοὺ γοῦν ἄνθρωπος ὑβρίσθη, καὶ πάντες δεδοίκαμεν· καὶ τρέμομεν οἵτε ὑβρικότες, οἵτε μηδὲν ἑαυτοῖς συνειδότες τοιοῦτον· ὁ δὲ Θεὸς καθ' ἑκάστην ἡμέραν ὑβρίζεται· τί λέγω καθ' ἑκάστην ἡμέραν; καθ' ἑκάστην μὲν οὖν ὥραν, παρὰ πενήτων, παρὰ τῶν ἐν ἀνέσει, παρὰ τῶν ἐν θλίψει, παρὰ τῶν ἐπηρεαζόντων, παρὰ τῶν ἐπηρεαζομένων, καὶ οὐδεὶς οὐδαμοῦ λόγος. Διὰ τοῦτο συνεχώρησεν ὑβρισθῆναι τὸν ὁμόδουλον, ἵνα ἀπὸ τοῦ κινδύνου τοῦ διὰ τὴν ὕβριν γενομένου, ταύτην τοῦ Δεσπότου τὴν φιλανθρωπίαν μάθῃς. Καί τοι τοῦτο νῦν πρῶτον καὶ μόνον γέγονεν, ἀλλ' ὅμως οὐδὲ διὰ τοῦτο προσδοκῶμεν ἀπολαύσεσθαι συγγνώμης τινὸς οὐδὲ ἀπολογίας· τὸν δὲ Θεὸν καθ' ἑκάστην παροργίζομεν τὴν ἡμέραν, καὶ οὐδεμίαν ποιούμεθα τὴν ἐπιστροφήν, καὶ ἔτι φέρει μετὰ μακροθυμίας ἁπάσης. Εἶδες πόση ἡ φιλανθρωπία τοῦ Δεσπότου;

Καίτοι γε ἐπὶ τῆς παρανομίας ταύτης οἱ πεπλημμεληκότες ἑάλωσαν, καὶ εἰς δεσμωτήριον ἐνέπεσον, καὶ δίκην ἔδοσαν, ἀλλ' ὅμως ἔτι δεδοίκαμεν. Οὔπω ἤκουσε τὰ γεγενη-

Ἐὰν κάποιος ἤθελεν ἀνακατέψει βόρβορον, ὅταν σὺ θὰ ἐπερνοῦσες ἀπὸ ἐκεῖ, εἰπέ μου, δὲν ὑβρίζεις καὶ δὲν μαλώνεις αὐτὸν ποὺ κάμει τοῦτο; Αὐτὸ νὰ κάμῃς καὶ εἰς τοὺς κακολογοῦντας. Διότι ἡ δυσωδία ποὺ προκαλεῖ εἰς τοὺς διαβάτας ὁ βόρβορος ποὺ ἀνακατεύεται εἶναι μικροτέρα ἀπὸ τὴν δυσωδίαν καὶ λύπην ποὺ προκαλεῖ εἰς τὴν ψυχὴν ἡ ἀνακίνησις ξένων ἁμαρτημάτων καὶ τὸ ξεσκέπασμα βίου ἀκολάστου. Ἂς ἀπέχωμεν λοιπὸν ἀπὸ τὰς κακολογίας, τὰς αἰσχρολογίας, τὰς βλασφημίας καὶ νὰ μὴ κακολογοῦμεν οὔτε τὸν πλησίον οὔτε τὸν Θεόν. Διότι πολλοὶ ἀπὸ τοὺς κακολογοῦντας ἔφτασαν καὶ εἰς αὐτὴν ἀκόμη τὴν τρέλλαν, ὥστε ἔπειτα ἀπὸ τοὺς συνανθρώπους των νὰ ὑψώσουν τὴν γλῶσσαν των ἐναντίον τοῦ Δεσπότου. Καὶ πόσον μεγάλο κακὸν εἶναι τοῦτο, μάθε το ἀπὸ τὰ κακὰ ποὺ μᾶς ἔχουν εὕρει τώρα.

Τώρα λοιπὸν ἔχει ὑβρισθῆ ἄνθρωπος καὶ ὅλοι τρέμομεν καὶ φοβούμεθα, καὶ αὐτοὶ ποὺ τὸν ὕβρισαν καὶ ἡμεῖς ποὺ γνωρίζομεν ὅτι δὲν εἴμεθα ἔνοχοι· ὁ δὲ Θεὸς ὑβρίζεται καθημερινῶς· τί λέγω κάθε ἡμέραν; κάθε ὥραν ἀπὸ τοὺς πλουσίους ἀπὸ τοὺς πτωχούς, ἀπὸ αὐτοὺς ποὺ ἔχουν ἄνεσιν, ἀπὸ αὐτοὺς ποὺ εὑρίσκονται εἰς τὰς θλίψεις, ἀπὸ αὐτοὺς ποὺ περιφρονοῦν τοὺς ἄλλους καὶ περιφρονοῦνται ἀπὸ τοὺς ἄλλους καὶ κανεὶς δὲν νοιάζεται. Διὰ τοῦτο ἐπέτρεψε νὰ ὑβρισθῇ ἐκεῖνος ὁ σύνδουλος, ὥστε, ἀπὸ τὸν κίνδυνον ποὺ προῆλθεν ἀπὸ τὴν ὕβριν αὐτήν, νὰ μάθῃς τὴν φιλανθρωπίαν τοῦ Δεσπότου. Καίτοι ἡ ὕβρις αὐτὴ τώρα μόνον καὶ μίαν φορὰν ἔγινεν, ἐν τούτοις δὲν περιμένομεν νὰ τύχωμεν συγγνώμης, οὔτε ἀπολογίας, τὸν Θεὸν ὅμως ποὺ παροργίζομεν κάθε ἡμέραν καὶ δὲν ἐκδηλώνομεν οὐδεμίαν μετάνοιαν, ἐν τούτοις μᾶς ὑπομένει μὲ μεγάλην μακροθυμίαν. Εἶδες πόσον μεγάλη εἶναι ἡ φιλανθρωπία τοῦ Δεσπότου;

Ἂν καὶ οἱ δράσται τῆς παρανομίας αὐτῆς συνελήφθησαν καὶ ἐφυλακίσθησαν, καὶ ἐτιμωρήθησαν ἐν τούτοις ἀκόμη φοβούμεθα. Δὲν ἐπληροφορήθη τὰ συμβάντα ὁ βασιλεὺς

μένα ὁ ὑβρισθείς, οὐδὲ ψῆφον ἐξήνεγκε, καὶ πάντες τρέμομεν· ὁ δὲ Θεὸς καθ' ἑκάστην ἀκούει τὴν ἡμέραν τὰς εἰς αὐτὸν γινομένας ὕβρεις, καὶ οὐδεὶς ἐπιστρέφεται, καὶ ταῦτα οὕτως ὄντος ἡμέρου καὶ φιλανθρώπου τοῦ Θεοῦ. Ἐκεῖ μὲν γὰρ ἀρκεῖ τὸ ἁμάρτημα μόνον εἰπεῖν, καὶ λῦσαι τὸ ἔγκλημα· ἐπὶ δὲ τῶν ἀνθρώπων τοὐναντίον ἅπαν ὅταν ὁμολογήσωσιν οἱ ἡμαρτηκότες, τότε μειζόνως κολάζονται· ὃ δὴ καὶ νῦν γέγονε. Καὶ οἱ μὲν σιδήρῳ, οἱ δὲ πυρί, οἱ δὲ θηρίοις παραδοθέντες ἀπώλοντο, οὐκ ἄνδρες δὲ μόνον, ἀλλὰ καὶ παῖδες, καὶ οὐ τὸ τῆς ἡλικίας ἄωρον, οὐχ ἡ τοῦ δήμου ῥύμη, οὐ τὸ μανίᾳ δαιμόνων ἐμπλησθέντες ταῦτα ποιῆσαι, οὐχ ἡ δοκοῦσα ἀπαίτησις ἀφόρητος εἶναι, οὐ πενία, οὐ τὸ κοινῇ μετὰ πάντων ἁμαρτεῖν, οὐ τὸ ὑποσχέσθαι μηδέποτε τοιαῦτα τολμήσειν λοιπόν, οὐκ ἄλλο οὐδὲν αὐτοὺς ὅλως ἐξείλετο, ἀλλὰ συγγνώμης χωρὶς ἁπάσης ἐπὶ τὸ βάραθρον ἀπήγοντο, στρατιωτῶν ἐνόπλων ἑκατέρωθεν αὐτοὺς περιαγόντων, καὶ παρατηρούντων μή τις ἐξαρπάσῃ τοὺς καταδίκους· καὶ παρηκολούθουν μητέρες πόρρωθεν μὲν ὁρῶσαι τοὺς παῖδας ἀποτεμνομένους, ὀδύρεσθαι δὲ τὴν συμφορὰν οὐ τολμῶσαι· ἐνίκα γὰρ τὸ πάθος ὁ φόβος, καὶ τῆς φύσεως ἐκράτει τὸ δέος.

Καὶ καθάπερ οἱ τοὺς ναυαγοῦντας ἀπὸ γῆς ὁρῶντες ἄνθρωποι, ὀδυνῶνται μέν, προσελθεῖν δὲ καὶ ἐξελέσθαι τοὺς καταποντιζομένους οὐκ ἔχουσιν· οὕτω δὴ καὶ ἐνταῦθα, καθάπερ ὑπὸ κυμάτων τινῶν τῷ φόβῳ τῶν στρατιωτῶν ἀνειργόμεναι αἱ μητέρες, οὐ μόνον προσελθεῖν καὶ ἐξελέσθαι τῆς καταδίκης αὐτοὺς οὐκ ἐτόλμησαν, ἀλλὰ καὶ δακρῦσαι ἔδεισαν. Ἆρα στοχάζεσθε ἐντεῦθεν τοῦ Θεοῦ τὴν φιλανθρωπίαν, πῶς ἄφατος, πῶς ἄπειρος, πῶς ἅπαντα ὑπερβαίνει λόγον; Ἐνταῦθα μὲν γὰρ καὶ τῆς αὐτῆς οὐσίας ὁ ὑβρισθείς, καὶ ἅπαξ τοῦ παντὸς χρόνου τοῦτο πέπονθε, καὶ οὐ κατ' ὄψιν, οὐδὲ παρών, καὶ ὁρῶν, καὶ ἀκούων, καὶ ὅμως οὐ-

ποὺ ὑβρίσθη, οὔτε ἀπεφάσισε τί θὰ κάμῃ καὶ ὡς ἐκ τούτου ὅλοι τρέμομεν· ὁ Θεὸς ὅμως κάθε ἡμέραν ἀκούει τὰς ὕβρεις ποὺ ἀπευθύνονται εἰς αὐτόν, καὶ ὅμως κανεὶς ἄνθρωπος δὲν μετανοεῖ, καὶ τοῦτο συμβαίνει ἐπειδὴ εἶναι τόσον ἥμερος καὶ φιλάνθρωπος ὁ Θεός. Καὶ ὅμως εἶναι ἀρκετὸν νὰ εἰπῇ κανεὶς τὸ ἁμάρτημα μόνον καὶ νὰ ἀπαλλαγῇ ἀπὸ τὴν ποινήν· εἰς τοὺς ἀνθρώπους ὅμως συμβαίνει τὸ ἀντίθετον· ὅταν ὁμολογήσουν τὸ παράπτωμά των, τότε περισσότερον τιμωροῦνται, ὅπως συνέβη καὶ τώρα. Καὶ ἄλλοι μὲν διὰ μαχαίρας, ἄλλοι δὲ διὰ πυρός, ἄλλοι δὲ ριφθέντες εἰς τὰ θηρία, ἐθανατώθησαν, καὶ ὄχι μόνον ἄνδρες ἀλλὰ καὶ παιδιά, καὶ οὔτε ἡ ἄωρος ἡλικία, οὔτε ἡ ὁρμὴ τοῦ λαοῦ, οὔτε τὸ ὅτι οἱ δράσται ποὺ ἔκαμαν αὐτὰ κατελήφθησαν ἐξ ὁλοκλήρου ἀπὸ τὸν διάβολον, οὔτε ἡ θεωρουμένη ἀνυπόφορος ποινή, οὔτε ἡ πτωχεία, οὔτε τὸ ὅτι τὸ παράπτωμα ἦτο κοινόν, οὔτε ἡ ὑπόσχεσις ὅτι οὐδέποτε θὰ κάμουν τέτοια ἔργα, οὔτε τίποτε ἄλλο τοὺς ἀπήλλαξεν ἀπὸ τὴν τιμωρίαν, ἀλλὰ χωρὶς τὴν παραμικρὰν συγχώρησιν ὡδηγοῦντο εἰς τὴν καταστροφήν, ἐν μέσῳ ἐνόπλων στρατιωτῶν ποὺ ἐπρόσεχαν μήπως κανεὶς τοὺς ἁρπάξῃ· καὶ παρακολουθοῦσαν αὐτοὺς μητέρες βλέποντες ἀπὸ μακρυὰ νὰ σφάζωνται τὰ παιδιά των καὶ δὲν ἐτολμοῦσαν νὰ θρηνήσουν διὰ τὴν συμφοράν, διότι ὁ φόβος ἦτο ἀνώτερος τῆς θλίψεως καὶ τῆς μητρικῆς στοργῆς.

Καὶ ὅμως οἱ ἄνθρωποι ἀπὸ τὴν ξηρὰν ποὺ βλέπουν τοὺς ναυαγούς, λυποῦνται μέν, ἀλλὰ δὲν ἠμποροῦν νὰ πλησιάσουν καὶ νὰ τοὺς σώσουν, ἔτσι καὶ ἐδῶ, ὡσὰν ἄλλα κύματα ὁ φόβος τῶν στρατιωτῶν, ὄχι μόνον δὲν ἄφηνε τὰς μητέρας νὰ πλησιάσουν καὶ νὰ σώσουν τοὺς καταδίκους, ἀλλὰ οὔτε κἂν νὰ δακρύσουν τοὺς ἄφηνεν. Ἄραγε ἀπὸ τὸ γεγονὸς αὐτὸ συμπεραίνετε τὴν φιλανθρωπίαν τοῦ Θεοῦ, πόσον ἄφατος, πόσον ἄπειρος πόσον μεγάλη εἶναι; Διότι ἐδῶ καὶ τὴν ἰδίαν οὐσίαν μὲ ἡμᾶς ἔχει ὁ ὑβρισθεὶς καὶ μίαν φορὰν εἰς ὅλα τὰ χρόνια ἔπαθε τοῦτο, καὶ τοῦτο ὄχι ἐμπρὸς εἰς αὐτόν, οὔτε ἐνῷ ἦτο παρών, οὔτε τὸ εἶδεν, οὔτε τὸ ἤκουσεν

δεὶς ἔτυχε συγγνώμης τῶν τετολμηκότων· ἐπὶ δὲ τοῦ Θεοῦ οὐδὲν τούτων ἐστὶν εἰπεῖν.

Καὶ γὰρ καὶ τοσοῦτόν ἐστι τὸ μέσον ἀνθρώπου καὶ Θεοῦ, ὅσον οὐδὲ λόγος παραστῆσαι δυνήσεται, καὶ καθ' ἑκάστην ὑβρίζεται τὴν ἡμέραν παρών, καὶ ὁρῶν, καὶ ἀκούων, καὶ οὔτε σκηπτὸν ἀφῆκεν, οὔτε τὴν θάλατταν τῇ γῇ ἐπιδραμεῖν ἐκέλευσε καὶ καταποντίσαι πάντας, οὔτε τῇ γῇ διαστῆναι, καὶ δέξασθαι πάντας τοὺς ὑβρικότας προσέταξεν, ἀλλ' ἀνέχεται, καὶ μακροθυμεῖ, καὶ συγγνώσεσθαι ἐπαγγέλλεται τοῖς ὑβρικόσιν, ἂν μετανοήσωσι μόνον, καὶ ὑπόσχωνται μηκέτι ταῦτα ποιεῖν.

Ἀληθῶς νῦν εὔκαιρον ἀνακηρύττειν· «Τίς λαλήσει τὰς δυναστείας τοῦ Κυρίου; ἀκουστὰς ποιήσει πάσας τὰς αἰνέσεις αὐτοῦ;». Πόσοι τοῦ Θεοῦ τὰς εἰκόνας οὐχὶ κατήνεγκαν μόνον, ἀλλὰ καὶ κατεπάτησαν; Ὅταν γὰρ ἄγχῃς τὸν ὑπεύθυνον, ὅταν ἀποδύῃς, ὅταν ἕλκῃς, τοῦ Θεοῦ τὴν εἰκόνα καταπατεῖς. Ἄκουσον γοῦν τοῦ Παύλου λέγοντος, ὅτι ἄνθρωπος οὐκ ὀφείλει κατακαλύπτεσθαι τὴν κεφαλήν, εἰκὼν καὶ δόξα Θεοῦ ὑπάρχων· καὶ πάλιν αὐτοῦ τοῦ Θεοῦ λέγοντος, «Ποιήσωμεν ἄνθρωπον κατ' εἰκόνα ἡμετέραν καὶ καθ' ὁμοίωσιν». Ἂν δὲ λέγῃς, ὅτι οὐχὶ τῆς αὐτῆς οὐσίας ὁ ἄνθρωπός ἐστι τῷ Θεῷ, καὶ τί τοῦτο; Οὐδὲ γὰρ ὁ χαλκὸς τοῦ ἀνδριάντος τῆς αὐτῆς οὐσίας ἦν τῷ βασιλεῖ, ἀλλ' ὅμως δίκην ἔδοσαν οἱ τολμήσαντες· ὥστε καὶ ἐπὶ τῶν ἀνθρώπων, εἰ καὶ μὴ τῆς αὐτῆς οὐσίας εἰσὶ τῷ Θεῷ οἱ ἄνθρωποι, ὥσπερ οὖν οὐδέ εἰσιν, ἀλλ' ὅμως εἰκὼν ἐκλήθησαν, καὶ διὰ τὴν προσηγορίαν ἔδει τιμῆς ἀπολαύειν αὐτούς· σὺ δὲ ὑπὲρ ὀλίγου

---

32. Ψαλμ. 106, 2.
33. Πρβλ. Α΄ Κορ. 11, 7.
34. Γεν. 1, 26.

ὁ ἴδιος, καὶ ὅμως παρὰ ταῦτα κανεὶς δὲν ἔτυχε συγγνώμης ἀπὸ αὐτοὺς ποὺ ἐτόλμησαν τοῦτο· διὰ τὸν Θεὸν ὅμως δὲν συμβαίνει τίποτε ἐξ ὅλων τούτων.

Διότι τόση διαφορὰ ὑπάρχει μεταξὺ ἀνθρώπων καὶ Θεοῦ, ὥστε οὔτε ὁ λόγος ἠμπορεῖ νὰ τὴν παρουσιάσῃ, καὶ ὑβρίζεται κάθε ἡμέραν ἐνῷ εἶναι παρὼν καὶ βλέπει καὶ ἀκούει, ἐν τούτοις οὔτε κεραυνὸν ἔρριψεν, οὔτε διέταξε τὴν θάλασσαν νὰ ὁρμήσῃ κατὰ τῆς ξηρᾶς καὶ νὰ καταποντίσῃ ὅλους, οὔτε τὴν γῆν νὰ ἀνοίξῃ καὶ νὰ δεχθῇ ἐντός της ὅλους τοὺς ὑβρίζοντας, ἀλλὰ ἀνέχεται καὶ μακροθυμεῖ καὶ ὑπόσχεται νὰ συγχωρήσῃ αὐτοὺς ποὺ ὑβρίζουν, ἀρκεῖ μόνον νὰ μετανοήσουν καὶ νὰ ὑποσχεθοῦν ὅτι οὐδέποτε θὰ κάμουν αὐτά.

Πράγματι τώρα εἶναι εὐκαιρία νὰ ἀναφωνήσωμεν· «Ποῖος θὰ ἠμπορέσῃ νὰ κάμῃ λόγον καὶ νὰ ἐξυμνήσῃ ἐπαξίως τὰ ἔργα τὰ θαυμαστὰ τῆς δυνάμεως τοῦ Κυρίου; ποῖος θὰ κάμῃ ἀκουστοὺς τοὺς ἁρμόζοντας εἰς αὐτὸν ὕμνους;»[32]. Πόσοι ὄχι μόνον ἔρριψαν κάτω, ἀλλὰ καὶ κατεπάτησαν τὰς εἰκόνας τοῦ Θεοῦ; Διότι ὅταν πνίγῃς αὐτὸν ποὺ σοῦ ὀφείλει, ὅταν τὸν ξεγυμνώνῃς, ὅταν τὸν σύρῃς εἰς τὰ δικαστήρια, καταπατεῖς τὴν εἰκόνα τοῦ Θεοῦ. Ἄκουσε λοιπὸν τὸν Παῦλον ποὺ λέγει ὅτι ὁ ἄνθρωπος δὲν ὀφείλει νὰ κατακαλύπτῃ τὴν κεφαλήν του διότι εἶναι εἰκὼν καὶ δόξα τοῦ Θεοῦ[33], καὶ αὐτὸν τὸν ἴδιον πάλιν τὸν Θεὸν ποὺ λέγει· «Ἂς κάμωμεν ἄνθρωπον κατ' εἰκόνα ἡμετέραν καὶ καθ' ὁμοίωσιν»[34]. Ἂν δὲ λέγῃς ὅτι δὲν ἔχει τὴν ἰδίαν οὐσίαν ὁ ἄνθρωπος μὲ τὸν Θεόν, καὶ τί σημασίαν ἔχει αὐτό; Οὔτε ὁ χαλκὸς τοῦ ἀνδριάντος ἦτο τῆς ἰδίας οὐσίας μὲ τὸν βασιλέα, καὶ ὅμως ἐτιμωρήθησαν αὐτοὶ ποὺ ἐτόλμησαν νὰ τὸν ὑβρίσουν· καὶ εἰς τοὺς ἀνθρώπους τὸ ἴδιον συμβαίνει, διότι ἂν καὶ δὲν ἔχουν τὴν ἰδίαν οὐσίαν οἱ ἄνθρωποι μὲ τὸν Θεόν, ὅπως καὶ πράγματι δὲν ἔχουν, ὅμως ὠνομάσθησαν εἰκὼν τοῦ Θεοῦ, καὶ διὰ τὴν ὀνομασίαν αὐτὴν πρέπει νὰ ἀπολαμβάνουν τιμῆς· σὺ ὅμως δι' ὀλίγα χρυσᾶ νομίσματα καταπατεῖς, πνίγεις,

χρυσίου καταπατεῖς, ἄγχεις, σύρεις, καὶ οὐδεμίαν οὐδέπω δίκην ἔδωκας τήμερον.

7. Γένοιτο μὲν οὖν τινα χρηστὴν καὶ δεξιὰν γενέσθαι μεταβολήν. Ἐκεῖνο μέν τοι προλέγω καὶ διαμαρτύρομαι, ὅτι κἂν τοῦτο παρέλθῃ τὸ νέφος, ἡμεῖς δὲ ἐπὶ τῆς αὐτῆς μένωμεν ῥαθυμίας, πάλιν πολλῷ χαλεπώτερα πεισόμεθα τῶν νῦν προσδοκωμένων· ἐπεὶ καὶ νῦν οὐχ οὕτω δέδοικα τοῦ βασιλέως τὴν ὀργήν, ὡς τὴν ὑμετέραν δέδοικα ῥαθυμίαν. Οὐ γὰρ δὴ τὸ λιτανεῦσαι δύο καὶ τρεῖς ἡμέρας ἀρκεῖ εἰς ἀπολογίαν ἡμῖν, ἀλλ' ὁλόκληρον δεῖ τοῦ βίου ποιήσασθαι μεταβολήν, καὶ τῆς πονηρίας ἀποστάντας μένειν ἐπὶ τῆς ἀρετῆς διηνεκῶς. Καθάπερ γὰρ οἱ νοσοῦντες, ἂν μὴ διαπαντὸς εὐτακτῶμεν, οὐδὲν αὐτοῖς ὄφελος τῆς μέχρι τριῶν ἢ τεσσάρων ἡμερῶν φιλοσοφίας· οὕτω καὶ οἱ ἁμαρτάνοντες, ἂν μὴ διαπαντὸς σωφρονῶμεν, οὐδὲν αὐτοῖς ἔσται πλέον ἀπὸ τῆς διορθώσεως τῶν δύο καὶ τριῶν ἡμερῶν. Ὥσπερ γάρ, φησίν, ὁ βαπτιζόμενος, εἶτα ἐν τῷ βορβόρῳ μολυνόμενος πάλιν, οὐδὲν ὠφέλησεν· οὕτως ὁ τρεῖς ἡμέρας μετανοήσας, καὶ πάλιν ἐπὶ τὰ πρότερα ἐπανελθών, οὐδὲν εἰργάσατο πλέον.

Μὴ τοίνυν ὅπερ ἀεὶ ποιοῦμεν, τοῦτο καὶ νῦν ποιήσωμεν· καὶ γὰρ σεισμῶν πολλάκις καταλαβόντων, καὶ λιμοῦ, καὶ αὐχμοῦ, τρεῖς καὶ τέσσαρας ἡμέρας σωφρονισθέντες καὶ ἐπιεικέστεροι γενόμενοι, πάλιν ἐπὶ τὰ πρότερα ἐπανήλθομεν· διὰ τοῦτο καὶ ταῦτα γεγένηται. Ἀλλ' εἰ καὶ μὴ πρότερον, νῦν γοῦν ἐπὶ τῆς αὐτῆς μείνωμεν εὐλαβείας, τὴν αὐτὴν ἐπιείκειαν διατηρήσωμεν, ἵνα μὴ πάλιν ἑτέρας δεηθῶμεν πληγῆς. Μὴ γὰρ οὐκ ἠδύνατο κωλῦσαι τὰ γεγενημένα ὁ Θεός; Ἀλλ' ἀφῆκεν, ἵνα τοὺς καταφρονοῦντας αὐ-

---

35. Β' Πέτρ. 2, 22.

σύρεις εἰς τὰ δικαστήρια, καὶ καθόλου μέχρι σήμερον δὲν ἐτιμωρήθης.

7. Εἴθε νὰ γίνῃ λοιπὸν κάποια καλὴ καὶ αἰσία μεταβολή. Τοῦτο ὅμως προλέγω καὶ σᾶς ὑπενθυμίζω ὅτι καὶ ἂν περάσῃ τὸ νέφος τοῦτο τῆς συμφορᾶς, ἐὰν ἐμεῖς ἐξακολουθήσωμεν νὰ μένωμεν πάλιν εἰς τὴν ἰδίαν ραθυμίαν, θὰ πάθωμεν πάλιν πολὺ χειρότερα ἀπ' ὅσα τώρα περιμένομεν· διότι ἀκόμα καὶ τώρα δὲν φοβοῦμαι τόσον τὴν ὀργὴν τοῦ βασιλέως ὅσον τὴν ἰδικήν σας ραθυμίαν. Διότι δὲν ἀρκεῖ, διὰ νὰ συγχωρηθῇ τὸ παράπτωμά μας, τὸ νὰ κάμωμεν λιτανείας δύο καὶ τρεῖς ἡμέρας, ἀλλὰ πρέπει νὰ κάμωμεν ἐξ ὁλοκλήρου μεταστροφὴν τοῦ τρόπου τῆς ζωῆς μας καὶ νὰ ἀποχωρισθῶμεν ἀπὸ τὴν ἁμαρτίαν καὶ νὰ μένωμεν διαρκῶς εἰς τὴν ἀρετήν. Διότι ὅπως οἱ ἀσθενεῖς ἂν δὲν ἔχουν κανονικὴν δίαιταν, δὲν ὠφελοῦνται εἰς τίποτε ἐὰν κάμουν δίαιταν τριῶν ἢ τεσσάρων ἡμερῶν, ἔτσι καὶ οἱ ἁμαρτάνοντες, ἂν δὲν ζοῦν συνεχῶς σώφρονα βίον, δὲν ὑπάρχει εἰς αὐτοὺς καμμία ὠφέλεια ἀπὸ τὴν διόρθωσιν τῶν δύο καὶ τριῶν ἡμερῶν. Διότι ὅπως λέγει ἡ Γραφή, ἐκεῖνο ποὺ λούζεται καὶ κατόπιν λερώνεται εἰς τὸν βόρβορον, δὲν ὠφελεῖται εἰς τίποτα[35], ἔτσι καὶ ἐκεῖνος ὁ ὁποῖος μετενόησεν ἐπὶ τρεῖς ἡμέρας, καὶ πάλιν ἐπανῆλθεν εἰς τὴν προηγουμένην του κατάστασιν, δὲν ἔκαμε τίποτε περισσότερον.

Ἂς μὴ κάμωμεν λοιπὸν τώρα ἐκεῖνο ποὺ πάντοτε πράττομεν· διότι καὶ ὅταν πολλάκις μᾶς ἔχουν εὕρει σεισμοί, καὶ πεῖνα, καὶ ξηρασία, ἀφοῦ ἐγίναμε σωφρονέστεροι καὶ καλύτεροι ἐπὶ τρεῖς καὶ τέσσαρας ἡμέρας, πάλιν ἐπανήλθαμεν εἰς τὸν προηγούμενον τρόπον ζωῆς μας, διὰ τοῦτο μᾶς συνέβη καὶ αὐτό. Ἀλλὰ αὐτὸ ποὺ δὲν ἔγινε πρωτύτερα ἂς γίνῃ τουλάχιστον τώρα, ἂς μείνωμεν συνεχῶς εἰς τὴν ἰδίαν εὐλάβειαν, καὶ ἂς διατηρήσωμεν τὴν ἰδίαν εὐσέβειαν, διὰ νὰ μὴ ἔχωμεν πάλιν ἀνάγκην διορθώσεως ἀπὸ ἄλλας τιμωρίας. Διότι μήπως δὲν ἠμποροῦσε νὰ ἐμποδίσῃ αὐτὰ ποὺ συνέβησαν ὁ Θεός; Ὅμως τὰ ἐπέτρεψε νὰ γίνουν διὰ

τοῦ ἐν τῷ τοῦ συνδούλου φόβῳ σωφρονεστέρους ἐργάσηται. Καὶ μή μοι λεγέτω τις, ὅτι πολλοὶ τῶν αἰτίων διέφυγον, πολλοὶ δὲ τῶν ἀναιτίων ἐνέπεσον· καὶ γὰρ τοῦτο πολλῶν πολλάκις ἀκούω λεγόντων, οὐκ ἐπὶ τῆς παρούσης στάσεως μόνον, ἀλλὰ καὶ ἐν ἑτέραις πολλαῖς τοιαύταις περιστάσεσι.

Τί οὖν ἂν εἴποιμι πρὸς τοὺς τὰ τοιαῦτα λέγοντας; Ὅτι εἰ καὶ τῆς παρούσης στάσεως ἀναίτιος ἦν ὁ ἁλούς, ἀλλ' ἑτέραν ἁμαρτίαν εἰργάσατό ποτε χαλεπωτέραν, εἶτα μὴ μεταβαλλόμενος, ἐν τῇ παρούσῃ δίκην ἔδωκε. Καὶ γὰρ ἔθος τῷ Θεῷ τοῦτο ποιεῖν· ὅταν ἁμάρτωμεν, οὐκ εὐθέως ἐπεξέρχεται τοῖς πλημμελήμασιν, ἀλλ' ἀνίησι, διδοὺς ἡμῖν προθεσμίαν μετανοίας, ὥστε διορθώσασθαι καὶ μεταβαλέσθαι· ἂν δὲ διὰ τὸ μὴ δοῦναι δίκην, νομίσαντες καὶ τὸ ἁμάρτημα ἐξηλεῖφθαι, καταφρονήσωμεν, ἔνθα οὐχ ὑπονοοῦμεν, ἐκεῖ μετὰ ταῦτα ἁλωσόμεθα πάντως. Τοῦτο δὲ γίνεται, ἵνα ὅταν ἁμάρτωμεν, καὶ μὴ κολασθῶμεν, μὴ θαρσήσωμεν, ἂν μὴ μεταβαλώμεθα, εἰδότες ὅτι ἔνθα οὐ προσδοκῶμεν, ἐμπεσούμεθα πάντως. Ὥστε, ἂν ἁμαρτήσῃς, καὶ μὴ κολασθῇς, μὴ καταφρονήσῃς, ἀγαπητέ· ἀλλὰ δι' αὐτὸ τοῦτο μειζόνως φοβήθητι, εἰδὼς ὅτι κοῦφον τῷ Θεῷ, ὅτε ἂν θέλῃ ἀνταποδοῦναι πάλιν. Διὰ τοῦτο γὰρ τότε σε οὐκ ἐκόλασεν, ἵνα λάβῃς προθεσμίαν μετανοίας.

Μὴ τοίνυν λέγωμεν, ὅτι ἀναίτιος ὢν ἐνέπεσεν ὁ δεῖνα, ἕτερος δὲ αἴτιος ὢν διέφυγεν· ὅ τε γὰρ ἀναίτιος ἐμπεσών, ὥσπερ ἔφην, ἑτέρων ἁμαρτημάτων ἔδωκε δίκην, ὅ τε νῦν διαφυγών, ἐὰν μὴ μεταβάληται, εἰς ἑτέραν ἁλώσεται παγίδα. Ἂν οὕτω διακεισώμεθα, οὐδέποτε τῶν οἰκείων ἁμαρτημάτων ἐπιλησόμεθα, ἀλλ' ἀεὶ δεδοικότες, τρέμοντες, μή ποτε ὑπόσχωμεν δίκην, ἀναμνησθησώμεθα ταχέως αὐτῶν. Οὐδὲν γὰρ οὕτως ἁμαρτίας ἀναμιμνήσκειν εἴωθεν, ὡς τι-

νὰ κάμῃ φρονιμωτέρους αὐτοὺς ποὺ τὸν περιφρονοῦν διὰ τοῦ φόβου τοῦ βασιλέως ποὺ εἶναι ὅμοιος μὲ αὐτούς. Καὶ ἂς μὴ μοῦ εἰπῇ κανεὶς ὅτι πολλοὶ ἀπὸ τοὺς ἐνόχους διέφυγον καὶ συνελήφθησαν πολλοὶ ἀθῶοι· αὐτὸ τὸ ἀκούω νὰ λέγεται πολλάκις ἀπὸ πολλούς, καὶ ὄχι μόνον διὰ τὴν παροῦσαν περίστασιν, ἀλλὰ καὶ διὰ πολλὰς ἄλλας περιστάσεις ὁμοίας μὲ αὐτήν

Τί λοιπὸν θὰ ἀπαντήσωμεν εἰς αὐτοὺς ποὺ λέγουν τοιαῦτα; Ὅτι, ἂν καὶ δὲν εἶναι ἔνοχος ὁ συλληφθεὶς εἰς τὴν παροῦσαν στάσιν, ἀλλὰ ἐπειδὴ κάποτε ἔκαμε χειροτέραν ἁμαρτίαν ἀπὸ αὐτὴν καὶ δὲν μετενόησε, τιμωρεῖται τώρα. Διότι αὐτὸ συνηθίζει νὰ κάμῃ ὁ Θεός· ὅταν ἁμαρτάνωμεν, δὲν μᾶς τιμωρεῖ ἀμέσως, ἀλλὰ ἀναβάλλει τὴν τιμωρίαν, δίδων εἰς ἡμᾶς καιρὸν μετανοίας, ὥστε νὰ διορθωθῶμεν καὶ νὰ ἀλλάξωμεν· ἂν δέ, ἐπειδὴ δὲν ἐτιμωρήθημεν, νομίσωμεν ὅτι συνεχωρήθη καὶ τὸ ἁμάρτημά μας καὶ ἀδιαφορήσωμεν, ἐκεῖ ποὺ δὲν ὑποπτευόμεθα, ἐκεῖ ὁπωσδήποτε θὰ συλληφθῶμεν καὶ θὰ τιμωρηθῶμεν. Τοῦτο δὲ γίνεται διὰ νὰ μάθωμεν ὅτι ὅταν ἁμαρτάνωμεν καὶ δὲν τιμωρηθοῦμε, δὲν πρέπει νὰ παίρνωμεν θάρρος, ἀλλὰ νὰ ἔχωμεν ὑπ' ὄψιν ὅτι ἂν δὲν μετανοήσωμεν θὰ τιμωρηθοῦμε ἀπὸ ἐκεῖ ποὺ δὲν τὸ ἀναμένομεν, ὥστε, ὅταν ἁμαρτήσῃς καὶ δὲν τιμωρηθῇς, μὴ τὸ ἀψηφίσῃς, ἀγαπητέ, ἀλλὰ ἀπεναντίας περισσότερον νὰ φοβηθῇς, γνωρίζων ὅτι εἶναι εὔκολον εἰς τὸν Θεόν, ὅταν θέλῃ, νὰ σὲ τιμωρήσῃ. Διὰ τοῦτο λοιπὸν δὲν σὲ τιμωρεῖ τότε, διὰ νὰ ἔχῃς καιρὸν νὰ μετανοήσῃς.

Ἂς μὴ λέγωμεν λοιπὸν ὅτι ὁ τάδε καίτοι εἶναι ἀθῶος συνελήφθη, ἄλλος δὲ ἂν καὶ ἦτο ἔνοχος, διέφυγε· διότι καὶ ὁ ἀθῶος ποὺ συνελήφθη, ὅπως εἶπα, ἐτιμωρήθη δι' ἄλλα ἁμαρτήματα, καὶ αὐτὸς ποὺ τώρα διέφυγε, ἐὰν δὲν μετανοήσῃ, θὰ πιασθῇ εἰς ἄλλην παγίδα. Ἂν ἔτσι σκεπτώμεθα, δὲν θὰ λησμονήσωμεν τὰ ἁμαρτήματά μας, ἀλλὰ φοβούμενοι πάντοτε καὶ τρέμοντες, μήπως τιμωρηθοῦμε, θὰ τὰ ἐνθυμούμεθα πάντοτε. Διότι τίποτε δὲν συνηθίζει νὰ μᾶς ὑπενθυμί-

μωρία καὶ κόλασις· καὶ τοῦτο δῆλον ἀπὸ τῶν τοῦ Ἰωσὴφ ἀδελφῶν. Ἐπειδὴ γὰρ ἀπέδοντο ἐκεῖνοι τὸν δίκαιον, καὶ ἔτη τρία καὶ δέκα παρῆλθεν, ὑποπτεύοντες κολάζεσθαι, καὶ περὶ τῶν ἐσχάτων δεδοικότες, ἀνεμνήσθησαν τῆς ἁμαρτίας, καὶ πρὸς ἀλλήλους ἔλεγον· «Ναί, ἐν ἁμαρτίαις γάρ ἐσμεν περὶ τοῦ ἀδελφοῦ ἡμῶν τοῦ Ἰωσήφ». Ὁρᾷς πῶς ὁ φόβος ἀνέμνησεν αὐτοὺς τῆς πλημμελείας ἐκείνης; Καὶ ὅτε μὲν ἡμάρτανον, οὐκ ᾔσθάνοντο· ὅτε δὲ κολάζεσθαι προσεδόκησαν, τότε ἀνεμνήσθησαν.

Ταῦτ᾽ οὖν εἰδότες ἅπαντα, ποιησώμεθα τοῦ βίου μεταβολήν, καὶ διόρθωσιν, καὶ πρὸ τῆς ἀπαλλαγῆς τῆς ἐπικειμένης ἀγωνίας ὑπὲρ εὐλαβείας καὶ ἀρετῆς φροντίσωμεν. Καὶ τέως τρεῖς ἐντολὰς ὑμῖν παρακαταθέσθαι βούλομαι, ἵνα μοι ταύτας ἐπὶ τῆς νηστείας κατορθώσητε· τὸ μηδένα κακῶς λέγειν, τὸ μηδένα ἐχθρὸν ἔχειν, τὸ καθόλου πᾶσαν ἐκ τοῦ στόματος ἀπελάσαι τὴν πονηρὰν τῶν ὅρκων συνήθειαν. Καὶ καθάπερ ἐπειδὰν χρυσίον ἐπιβληθὲν ἀκούσωμεν, ἀπιὼν οἴκαδε ἕκαστος, καὶ τὴν γυναῖκα καλέσας, καὶ τὰ τέκνα, καὶ τοὺς οἰκέτας σκοπεῖ μετ᾽ ἐκείνων καὶ βουλεύεται, πόθεν τὴν εἰσφορὰν καταβάλῃ ταύτην· οὕτω καὶ ἐπὶ τῶν ἐντολῶν ποιήσωμεν τούτων τῶν πνευματικῶν. Ἀναχωρήσας οἴκαδε ἕκαστος, καλείτω τὴν γυναῖκα, καὶ τὰ παιδία, καὶ λεγέτω ὅτι εἰσφορὰ ἐπεβλήθη πνευματικὴ τήμερον, εἰσφορὰ δι᾽ ἧς ἔσται τις λύσις τῶν δεινῶν τούτων, καὶ ἀπαλλαγή, εἰσφορὰ οὐχὶ πένητας τοὺς καταβάλλοντας, ἀλλὰ πλουσιωτέρους ποιοῦσα, ὥστε μηδένα ἐχθρὸν ἔχειν, μηδένα κακῶς λέγειν, μηδὲ ὀμνύναι καθόλου.

Σκοπήσωμεν, φροντίσωμεν, βουλευσώμεθα, ὅπως ἐκπληρώσωμεν τὰς ἐντολὰς ταύτας· πᾶσαν εἰσενεγκώμεθα

36. Γεν. 42, 21.

ζῃ τὰς ἁμαρτίας τόσον, ὅσον ἡ κόλασις καὶ ἡ τιμωρία· καὶ τοῦτο γίνεται φανερὸν ἀπὸ τὸ παράδειγμα τῶν ἀδελφῶν τοῦ Ἰωσήφ. Ἐπειδὴ ἐπώλησαν ἐκεῖνοι τὸν δίκαιον καὶ ἐπέρασαν δεκατρία ἔτη, ὑποψιασθέντες ὅτι τιμωροῦνται δι' αὐτὸ καὶ φοβούμενοι ὅτι θὰ ὑποστοῦν τὴν ἐσχάτην τῶν ποινῶν, ἐνεθυμήθησαν τὴν ἁμαρτίαν των καὶ ἔλεγον μεταξύ των· «Ναὶ εἴμεθα ἔνοχοι διὰ τὴν πρὸς τὸν ἀδελφόν μας Ἰωσὴφ ἁμαρτίαν»[36]. Βλέπεις πῶς τοὺς ἔκαμεν ὁ φόβος νὰ ἐνθυμηθοῦν ἐκείνην τὴν ἁμαρτίαν των; Καὶ ὅταν μὲν διέπραττον τὴν ἁμαρτίαν, δὲν τὸ ᾐσθάνοντο, ὅταν ὅμως ἐπερίμεναν νὰ νὰ τιμωρηθοῦν, τότε τὸ ἐθυμήθηκαν.

Αὐτὰ λοιπὸν ὅλα ἔχοντες ὑπ' ὄψιν, ἂς κάμωμεν μεταβολὴν καὶ διόρθωσιν τοῦ βίου, καὶ ἂς φροντίσωμεν διὰ τὴν εὐσέβειαν καὶ τὴν ἀρετὴν πρὶν ἀπὸ τὴν ἀγωνίαν διὰ τὴν εὐσέβειαν καὶ τὴν ἀρετήν, πρὶν ἀπὸ τὴν ἀγωνίαν διὰ τὴν τιμωρίαν. Καὶ θέλω νὰ παρακαταθέσω εἰς σᾶς τρεῖς ἐντολάς, διὰ νὰ τὰς φυλάξητε μαζὶ μὲ τὴν νηστείαν· κανένα νὰ μὴ κακολογῆτε, κανένα ἄνθρωπον νὰ μὴ ἔχετε ἐχθρόν, νὰ κόψετε τελείως ἀπὸ τὸ στόμα σας τὴν κακὴν συνήθειαν τῶν ὅρκων. Καθὼς δὲ κάνομεν, ὅταν ἀκούσωμεν ὅτι μᾶς ἐπεβλήθη κάποια χρηματικὴ εἰσφορά, ποὺ καθένας, ἀφοῦ ὑπάγῃ εἰς τὸ σπίτι του καὶ καλέσῃ τὴν γυναῖκα του καὶ τὰ παιδιά του καὶ τοὺς ὑπηρέτας του σκέπτεται καὶ ἐξετάζει μὲ αὐτοὺς πῶς θὰ πληρώσῃ αὐτὴν τὴν εἰσφοράν, ἔτσι νὰ κάμωμεν καὶ διὰ τὰς ἐντολὰς αὐτὰς τὰς πνευματικάς. Ἀφοῦ ὑπάγῃ καθένας εἰς τὸ σπίτι του, ἂς καλῇ τὴν γυναῖκα του, καὶ τὰ παιδιὰ καὶ ἂς τοὺς λέγῃ ὅτι σήμερον ἐπεβλήθη πνευματικὴ εἰσφορά, διὰ τῆς ὁποίας θὰ ἐπέλθῃ κάποια λύσις καὶ ἀπαλλαγὴ ἀπὸ τὰ κακά, εἰσφορὰ ποὺ αὐτοὺς ποὺ τὴν καταβάλλουν δὲν τοὺς κάνει πτωχούς, ἀλλὰ πλουσιωτέρους, ὥστε κανένα ἐχθρὸν νὰ μὴ ἔχουν, κανένα νὰ μὴ κακολογοῦν, οὔτε νὰ ὁρκίζωνται καθόλου.

Ἂς ἐξετάσωμεν, ἂς φροντίσωμεν, ἂς σκεφθῶμεν, πῶς θὰ ἐκτελέσωμεν τὰς ἐντολὰς αὐτάς· ἂς καταβάλωμεν κάθε

σπουδήν, ἀλλήλους ὑπομνήσωμεν, ἀλλήλους διορθωσώμεθα, ἵνα μὴ ὀφείλοντες ἀπέλθωμεν ἐκεῖ, εἶτα δεόμενοι δανείσασθαι παρ' ἑτέρων, μὴ τὸ τῶν παρθένων πάθωμεν τῶν μωρῶν, καὶ τῆς ἀθανάτου σωτηρίας ἐκπέσωμεν. Ἂν οὕτω τὸν ἑαυτῶν ῥυθμίζωμεν βίον, ἐντεῦθεν ὑμῖν ἐγγυῶμαι καὶ ὑπισχνοῦμαι, ὅτι καὶ τῆς παρούσης συμφορᾶς ἔσται τις λύσις, καὶ τῶν δεινῶν τούτων ἀπαλλαγή· καὶ τὸ δὴ πάντων μεῖζον, τῶν μελλόντων ἀγαθῶν ἡ ἀπόλαυσις.

Ἔδει μὲν γὰρ ὑμῖν ὁλόκληρον ἐγχειρίζειν τὴν ἀρετήν, ἀλλὰ τοῦτον ἄριστον ἡγοῦμαι τρόπον διορθώσεως, τὸ κατὰ μέρος λαμβάνοντας τοὺς νόμους κατορθοῦν, καὶ τότε ἐπὶ τοὺς ἄλλους ἰέναι. Καθάπερ γὰρ ἀρούρας προκειμένης, ὁ γηπόνος κατὰ μέρος διασκάπτων ἅπασαν, οὕτως ἐπὶ τὸ τέλος ἔρχεται· οὕτω καὶ ἡμεῖς ἐὰν νόμον ἑαυτοῖς τοῦτον θῶμεν, ὥστε κατὰ τὴν παροῦσαν τεσσαρακοστὴν ταύτας μετὰ ἀκριβείας κατορθῶσαι τὰς τρεῖς ἐντολάς, πάντως καὶ τῇ τῆς καλῆς συνηθείας ἀσφαλείᾳ παραδοῦναι τὴν φυλακὴν μετὰ πλείονος τῆς εὐκολίας καὶ ἐπὶ τὰς λοιπὰς ἥξομεν, καὶ πρὸς αὐτὴν ἐλθόντες τῆς φιλοσοφίας τὴν κορυφήν, καὶ τὸν παρόντα βίον μετὰ χρηστῆς τῆς ἐλπίδος καρπωσώμεθα, καὶ ἐν τῷ μέλλοντι μετὰ πολλῆς παραστησόμεθα παρρησίας τῷ Χριστῷ, καὶ τῶν ἀπορρήτων ἀπολαύσομεν ἀγαθῶν· ὧν γένοιτο πάντας ἡμᾶς ἀξιωθῆναι, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μεθ' οὗ τῷ Πατρὶ ἡ δόξα, ἅμα τῷ ἁγίῳ Πνεύματι εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

37. Πρβλ. Ματθ. 25, 1-13.

προσπάθειαν, ἂς ὑπενθυμίζῃ αὐτὰς ὁ ἕνας εἰς τὸν ἄλλον, ἂς διορθώνῃ ὁ ἕνας τὸν ἄλλον, διὰ νὰ μὴ μεταβῶμεν εἰς τὴν ἄλλην ζωὴν χρεῶσται καὶ μὲ τὸ νὰ ζητῶμεν νὰ δανεισθῶμεν, πάθωμεν ὅ,τι καὶ αἱ μωραὶ παρθένοι τῆς παραβολῆς, καὶ ἐκπέσωμεν τῆς ἀθανάτου σωτηρίας[37]. Ἂν ἔτσι κανονίζωμεν τὸν βίον μας, σᾶς ὑπόσχομαι καὶ σᾶς ἐγγυῶμαι ὅτι καὶ τῆς παρούσης συμφορᾶς θὰ γίνῃ κάποια λύσις, καὶ ἀπαλλαγὴ ἀπὸ τὰ κακὰ αὐτά, καὶ τὸ σπουδαιότερον ὅλων, ἡ ἀπόλαυσις τῶν μελλόντων ἀγαθῶν.

Ἔπρεπε λοιπὸν νὰ σᾶς εἴπω νὰ κάμετε κάθε ἀρετήν, ἀλλὰ νομίζω ὅτι αὐτὸς εἶναι ὁ ἄριστος τρόπος τῆς διορθώσεως, τὸ νὰ παίρνῃ κανεὶς χωριστὰ μίαν μίαν ἐντολὴν καὶ ἀφοῦ τὴν ἐφαρμόσῃ τότε νὰ προχωρῇ εἰς τὰς ἄλλας. Καθὼς ὅταν πρόκειται νὰ σκάψῃ ὁ γεωργὸς καλλιεργήσιμον ἔκτασιν, φθάνει εἰς τὸ τέλος τῆς ἐργασίας του, σκάπτων αὐτὴν κατὰ τεμάχια, ἔτσι καὶ ἡμεῖς ἐὰν θέσωμεν εἰς τὸν ἑαυτόν μας ὡς ὅρον ἀπαράβατον, νὰ ἐκτελέσωμεν, κατὰ τὴν παροῦσαν τεσσαρακοστήν, μὲ μεγάλην ἀκρίβειαν τὰς τρεῖς αὐτὰς ἐντολάς, ἡ καλὴ αὐτὴ συνήθεια τὴν ὁποίαν ἐξασφαλίσαμεν, χωρὶς ἄλλο θὰ μᾶς βοηθήσῃ, ὥστε μὲ περισσοτέραν εὐκολίαν νὰ φθάσωμεν καὶ εἰς τὴν τήρησιν τῶν ἄλλων ἐντολῶν καὶ θὰ ἔλθωμεν εἰς τὴν κορυφὴν τῆς χριστιανικῆς φιλοσοφίας, καὶ τὸν παρόντα βίον θὰ ἀπολαύσωμεν μὲ καλὰς ἐλπίδας, καὶ εἰς τὸν μέλλοντα μὲ πολλὴν παρρησίαν θὰ παραστῶμεν ἐνώπιον τοῦ Χριστοῦ καὶ θὰ ἀπολαύσωμεν τὰ ἀπόρρητα ἀγαθά, τῶν ὁποίων εἴθε ὅλοι νὰ ἀξιωθῶμεν διὰ τῆς χάριτος καὶ φιλανθρωπίας τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μετὰ τοῦ ὁποίου ἂς εἶναι ἡ δόξα εἰς τὸν Πατέρα καὶ εἰς τὸ ἅγιον Πνεῦμα εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ΟΜΙΛΙΑ ΤΕΤΑΡΤΗ

ΠΑΡΑΚΛΗΣΙΣ ΠΡΟΣ ΤΟΝ ΛΑΟΝ

περὶ καρτερίας καὶ ὑπομονῆς ἐκ παραδειγμάτων τοῦ τε Ἰὼβ καὶ τῶν τριῶν παίδων· καὶ περὶ τῆς τῶν ὅρκων ἀποχῆς.

1. Εὐλογητὸς ὁ Θεός, ὁ παρακαλέσας τὰς ὀδυνωμένας ὑμῶν ψυχάς, ὁ στηρίξας δονουμένας ὑμῶν τὰς διανοίας. Ὅτι γὰρ ἱκανὴν ἐδέξασθε παράκλησιν, διὰ τῆς σπουδῆς ταύτης ἐδείξατε, καὶ διὰ τῆς περὶ τὴν ἀκρόασιν προθυμίας. Οὐ γάρ ἐστι ψυχὴν ὀδυνωμένην, καὶ νέφει κατεχομένην ἀθυμίας, δυνηθῆναι μετὰ προθυμίας ἀκοῦσαί τι τῶν λεγομένων· ὑμᾶς δὲ ὁρῶ μετὰ πολλῆς τῆς εὐνοίας, καὶ σφοδρᾶς τῆς σπουδῆς ἡμῖν προσέχοντας, καὶ πάντα ἀποτιναξαμένους τὰ λυπηρά, καὶ τῷ τῆς ἀκροάσεως ἔρωτι παρωσαμένους τὴν ἐπικειμένην ὀδύνην. Διὰ τοῦτο εὐχαριστῶ τῷ Θεῷ μεθ' ὑμῶν, ὅτι οὐκ ἤλεγξεν ὑμῶν τὴν φιλοσοφίαν ἡ συμφορά, οὐδὲ ἐξέλυσεν ὑμῶν τὸν τόνον ὁ φόβος, οὐδὲ ἔσβεσεν ὑμῶν τὴν προθυμίαν ἡ θλῖψις, οὐδὲ ἐμάρανεν ὑμῶν τὸν ζῆλον ὁ κίνδυνος, οὐδὲ ἐνίκησε τὸν περὶ Θεὸν πόθον ὁ τῶν ἀνθρώπων φόβος, οὐδὲ κατέβαλεν ὑμῶν τὴν σπουδὴν ἡ τοῦ καιροῦ δυσκολία· καὶ οὐ μόνον οὐ κατέβαλεν, ἀλλὰ καὶ ἐπέρρωσεν· οὐ μόνον οὐκ ἐξέλυσεν, ἀλλὰ καὶ ἐπέτεινεν· οὐ μόνον οὐκ ἔσβεσεν, ἀλλὰ καὶ ἀνῆψε πλέον.

Κεκένωται μὲν ἡ ἀγορά, ἡ δὲ ἐκκλησία πεπλήρωται· ἐκείνη τραγῳδίας ὑπόθεσις, αὕτη χαρᾶς καὶ εὐφροσύνης πνευματικῆς ἀφορμή. Ὅταν οὖν ἐμβάλῃς εἰς τὴν ἀγοράν, ἀγαπητέ, καὶ τὴν ἐρημίαν θεασάμενος στενάξῃς, κατάφυγε

ΟΜΙΛΙΑ ΤΕΤΑΡΤΗ

ΠΡΟΤΡΟΠΗ ΠΡΟΣ ΤΟΝ ΛΑΟΝ

περὶ καρτερίας καὶ ὑπομονῆς ἐκ τῶν παραδειγμάτων καὶ τοῦ Ἰὼβ καὶ τῶν τριῶν παίδων· καὶ περὶ ἀποχῆς ἀπὸ τοὺς ὅρκους.

1. Ἂς εἶναι εὐλογητὸς ὁ Θεός, ὁ ὁποῖος ἐπαρηγόρησε τὰς λυπημένας ψυχάς σας καὶ ἐστήριξε τὰς δονουμένας διανοίας σας. Διότι περὶ τοῦ ὅτι ἐδεχθήκατε ἀρκετὴν παρηγορίαν τὸ ἐδείξατε διὰ τοῦ ζήλου σας καὶ διὰ τῆς προθυμίας διὰ τὴν ἀκρόασιν. Διότι δὲν εἶναι δυνατὸν ψυχὴ θλιμμένη καὶ κατεχομένη ἀπὸ νέφος ἀθυμίας, νὰ ἠμπορέσῃ νὰ ἀκούσῃ μὲ προθυμίαν κάτι ἀπὸ αὐτὰ ποὺ λέγονται· σᾶς βλέπω δὲ μὲ πολλὴν εὐνοϊκὴν διάθεσιν καὶ μὲ μεγάλον ζῆλον νὰ προσέχετε εἰς ἐμένα καὶ νὰ ἔχετε διώξει μακρυὰ τὰς λυπητερὰς σκέψεις καὶ ἕνεκα τοῦ ἔρωτος τῆς ἀκροάσεως νὰ ἔχετε παραμερίσει τὴν μεγάλην λύπην ποὺ σᾶς κατεῖχε. Διὰ τοῦτο μαζὶ μὲ σᾶς εὐχαριστῶ τὸν Θεὸν διότι δὲν ἐπηρέασε τὸν χριστιανικὸν τρόπον ζωῆς σας ἡ συμφορά, οὔτε παρέλυσε τὴν ἀντοχήν σας ὁ φόβος, οὔτε ἔσβησε τὴν προθυμίαν σας ἡ θλῖψις, οὔτε ἐμάρανε τὸν ζῆλον σας ὁ κίνδυνος, οὔτε ἐνίκησε τὸν πόθον σας διὰ τὸν Θεὸν ὁ φόβος τῶν ἀνθρώπων, οὔτε κατέβαλε τὴν προθυμίαν σας ἡ δυσκολία τῶν περιστάσεων· καὶ ὄχι μόνον δὲν τὴν κατέβαλεν, ἀλλὰ ἀντιθέτως τὴν ἐδυνάμωσεν· καὶ ὄχι μόνον δὲν τὴν παρέλυσεν, ἀλλὰ τὴν ἔκαμε πιὸ ἔντονον· καὶ ὄχι μόνον δὲν τὴν ἔσβησεν, ἀλλὰ περισσότερον τὴν ἄναψεν.

Ἔχει ἀδειάσει ἡ ἀγορά, ἔχει γεμίσει ἡ ἐκκλησία· ἐκείνη ἔχει γίνει ὑπόθεσις τραγωδίας, αὐτὴ (ἡ ἐκκλησία) ἔγινε ἀφορμὴ χαρᾶς καὶ εὐφροσύνης πνευματικῆς. Ὅταν λοιπόν, ἀγαπητέ, εἰσέλθῃς εἰς τὴν ἀγορὰν καὶ ἡ ἔρημος ὄψις αὐτῆς

πρὸς τὴν μητέρα, καὶ παραμυθήσεταί σε εὐθέως τῷ πλήθει τῶν οἰκείων τέκνων, καὶ δείξει σοι τῶν ἀδελφῶν ἀπηρτισμένον τὸν χορόν, καὶ πᾶσαν ἀποκρούσεταί σου τὴν ἀθυμίαν.

Ἐπὶ μὲν γὰρ τῆς πόλεως ἐπιθυμοῦμεν ἄνδρας ἰδεῖν, καθάπερ οἱ τὰς ἐρήμους οἰκοῦντες· εἰς δὲ τὴν ἐκκλησίαν καταφεύγοντες ὑπὸ τοῦ πλήθους στενοχωρούμεθα· καὶ καθάπερ τῆς θαλάττης στασιαζούσης, καὶ πολλῷ τῷ χειμῶνι μαινομένης, εἰς τὸν λιμένα καταφεύγειν ἀναγκάζει ὁ φόβος ἔξωθεν ἅπαντας· οὕτω καὶ νῦν τὰ τῆς ἀγορᾶς κύματα, καὶ ὁ τῆς πόλεως χειμών, πάντας εἰς τὴν ἐκκλησίαν συνελαύνει πάντοθεν, καὶ τῷ συνδέσμῳ τῆς ἀγάπης σφίγγει μετ' ἀλλήλων τὰ μέλη. Εὐχαριστῶμεν τοίνυν καὶ διὰ ταῦτα τῷ Θεῷ, ὅτι τοσοῦτον ἀπὸ τῆς θλίψεως ἐκαρπωσάμεθα κέρδος, ὅτι τοσαύτην ἀπὸ τοῦ πειρασμοῦ τὴν ὠφέλειαν ἐλάβομεν.

Ἐὰν μὴ πειρασμός, οὐδὲ στέφανος· ἐὰν μὴ παλαίσματα, οὐδὲ βραβεῖα· ἐὰν μὴ σκάμματα, οὐδὲ τιμαί· ἐὰν μὴ θλῖψις, οὐδὲ ἄνεσις· ἐὰν μὴ χειμών, οὐδὲ θέρος· καὶ τοῦτο οὐκ ἐπ' ἀνθρώπων μόνον, ἀλλὰ καὶ ἐπ' αὐτῶν τῶν σπερμάτων ἐστὶν ἰδεῖν. Καὶ γὰρ ἐκεῖ πολὺν μὲν τὸν ὑετόν, πολλὴν δὲ τῶν νεφῶν τὴν συνδρομήν, πολὺν δὲ γενέσθαι δεῖ τὸν κρυμόν, εἰ μέλλοι κομῶν ὁ στάχυς ἀνίστασθαι· ὅπου δὲ σπόρου καιρός, καὶ ὑετοῦ καιρός. Ἐπεὶ οὖν καὶ νῦν ἐφέστηκε χειμὼν ψυχῶν, οὐκ ἀέρας, σπείρωμεν καὶ ἡμεῖς ἐν τῷ χειμῶνι τούτῳ, ἵνα ἐν τῷ θέρει θερίσωμεν· σπείρωμεν δάκρυα, ἵνα θερίσωμεν ἀγαλλίασιν. Οὐκ ἐμὸς οὗτος ὁ λόγος, προφητικὸν ἐστι τὸ παράγγελμα, «Οἱ σπείροντες ἐν δάκρυσι, ἐν ἀγαλλιάσει θεριοῦσιν»[1]. Οὐχ οὕτω τὰ σπέρματα καταφερόμενος ὑετὸς θάλλειν ποιεῖ καὶ αὔξεσθαι, ὡς τὸν τῆς εὐσεβείας

---

1. Ψαλμ. 126, 5.

σὲ κάμῃ νὰ ἀναστενάξῃς, νὰ καταφύγῃς πρὸς τὴν μητέρα καὶ θὰ σὲ παρηγορήσῃ ἀμέσως μὲ τὸ πλῆθος τῶν τέκνων της, καὶ θὰ σοῦ δείξῃ πλήρη τὴν χορείαν τῶν ἀδελφῶν καὶ θὰ σοῦ ἀπομακρύνῃ ὅλην τὴν λύπην.

Διότι εἰς μὲν τὴν πόλιν ἐπιθυμοῦμεν νὰ ἰδοῦμεν ἀνθρώπους, ὅπως αὐτοὶ ποὺ κατοικοῦν εἰς τὰς ἐρήμους, εἰς δὲ τὴν ἐκκλησίαν καταφεύγοντες, στενοχωρούμεθα ἀπὸ τὸ πλῆθος· καὶ ὅπως ὅταν ταράσσεται ἡ θάλασσα καὶ μαίνεται ἀπὸ τὴν κακοκαιρίαν, ἀναγκάζει ὅλους τοὺς θαλασσινοὺς ὁ φόβος νὰ καταφύγουν εἰς τὸν λιμένα, ἔτσι καὶ τώρα τὰ κύματα τῆς ἀγορᾶς καὶ ἡ τρικυμία τῆς πόλεως, συναθροίζει ὅλους ἀπὸ παντοῦ εἰς τὴν ἐκκλησίαν, καὶ τοὺς συσφίγγει μὲ τὸν δεσμὸν τῆς ἀγάπης. Ἂς εὐχαριστῶμεν λοιπὸν καὶ διὰ ταῦτα τὸν Θεόν, διότι τόσον μεγάλο κέρδος ἀπεκομίσαμεν ἀπὸ τὴν θλῖψιν, διότι τόσον μεγάλην ὠφέλειαν ἐλάβαμεν ἀπὸ τὸν πειρασμόν.

Ἐὰν δὲν ὑπάρξῃ πειρασμός, δὲν ὑπάρχει οὔτε στέφανος· ἐὰν δὲν ὑπάρξουν ἀγῶνες δὲν θὰ ὑπάρξουν οὔτε βραβεῖα· ἂν δὲν ὑπάρξουν σκάμματα, δὲν ὑπάρχουν καὶ τιμαί· ἐὰν δὲν ὑπάρξῃ θλῖψις, δὲν θὰ ἔχωμεν οὔτε ἄνεσιν· ἐὰν δὲν ὑπάρξῃ χειμών, δὲν θὰ ὑπάρχῃ θέρος· καὶ αὐτὸ δὲν συμβαίνει μόνον εἰς τοὺς ἀνθρώπους, ἀλλὰ ἠμπορεῖ νὰ τὸ ἰδῇ κανεὶς καὶ εἰς αὐτοὺς τοὺς σπόρους. Διότι καὶ ἐκεῖ χρειάζεται πολλὴ βροχή, πολλὴ συννεφιά, πρέπει νὰ γίνῃ πολὺ κρύο, διὰ νὰ σηκωθοῦν ἀπὸ τὴν γῆν τὰ στάχυα μεστωμένα· καὶ ὅπου εἶναι καιρὸς σπορᾶς, εἶναι καὶ καιρὸς βροχῆς. Ἐπειδὴ λοιπὸν ἔφθασε καὶ τώρα ὁ χειμὼν τῶν ψυχῶν, ὄχι τῆς φύσεως, ἂς σπείρωμεν καὶ ἡμεῖς κατὰ τὸν χειμῶνα τόσον διὰ νὰ θερίσωμεν κατὰ τὸ θέρος· ἂς σπείρωμεν δάκρυα, διὰ νὰ θερίσωμεν ἀγαλλίασιν Τὰ λόγια αὐτὰ δὲν εἶναι ἰδικά μου, ἀλλὰ τὸ παράγγελμα αὐτὸ εἶναι προφητικόν, διότι λέγει· «Αὐτοὶ ποὺ σπείρουν μὲ δάκρυα, θὰ θερίσουν σκιρτῶντες ἀπὸ ἀγαλλίασιν»[1]. Δὲν συντελεῖ τόσον ἡ βροχή, ποὺ πίπτει ἀπὸ τὸν οὐρανόν, εἰς τὸ νὰ μεγαλώνουν καὶ νὰ γίνων-

σπόρον ἀνίστησι καὶ παρασκευάζει κομᾶν ὁ ἐκ τῶν δακρύων καταφερόμενος ὑετός· οὗτος ἀποσμήχει ψυχήν, ἄρδει διάνοιαν, προκόψαι ταχέως ποιεῖ τῆς διδασκαλίας τὴν βλάστησιν· διὰ τοῦτο καὶ αὔλακα βαθεῖαν ἀνατεμεῖν ἀναγκαῖον.

Καὶ γὰρ καὶ τοῦτο ὁ προφήτης παρήνεσεν, οὕτως εἰπών· «Νεώσατε ἑαυτοῖς νεώματα, καὶ μὴ σπείρετε ἐπ' ἀκάνθαις». Καθάπερ οὖν ὁ τὸ ἄροτρον ἐμβαλὼν κάτωθεν τὴν γῆν ἀναρρήγνυσιν, ἀσφαλῆ τοῖς σπέρμασι προπαρασκευάζων τὴν φυλακήν, ὥστε μὴ κατενεχθέντα ἄνω κεῖσθαι ἐπὶ τῆς ἐπιφανείας, ἀλλ' εἰς αὐτὰς τῆς γῆς παραπεμφθῆναι τὰς λαγόνας, καὶ ἐν ἀσφαλεῖ καταθέσθαι τὰς ῥίζας· οὕτω καὶ ἡμᾶς ἀναγκαῖον ποιεῖν, καὶ καθάπερ ἀρότρῳ τῇ θλίψει καταχρησαμένου ἀναρρῆξαι τῆς καρδίας τὸ βάθος. Τοῦτο γὰρ καὶ ἕτερος προφήτης παραινεῖ λέγων, «Διαρρήξατε τὰς καρδίας ὑμῶν, καὶ μὴ τὰ ἱμάτια ὑμῶν».

Διαρρήξωμεν τοίνυν τὰς καρδίας, ἵνα εἴ τις πονηρὰ βοτάνη καὶ λογισμὸς δολερός ἐστιν ἐν ἡμῖν, πρόρριζον αὐτὸν ἀνασπάσωμεν, καὶ καθαρὰς τοῖς τῆς εὐσεβείας σπέρμασι παράσχωμεν τὰς ἀρούρας. Ἐὰν γὰρ μὴ νῦν νεώσωμεν, ἐὰν μὴ νῦν σπείρωμεν, ἐὰν μὴ νῦν δακρύσωμεν, ὅτε θλῖψις καὶ νηστεία, πότε ἄλλοτε ἥξομεν εἰς κατάνυξιν; Ὅταν ἄνεσις ᾖ καὶ τρυφή; Ἀλλὰ τοῦτο ἀδύνατον. Ἡ γὰρ ἄνεσις καὶ ἡ τρυφὴ εἰς ῥαθυμίαν ἐνάγειν εἴωθεν, ὥσπερ ἡ θλῖψις πρὸς σπουδὴν ἐπανάγει, καὶ πεπλανημένην ἔξω, καὶ περὶ πολλὰ τὴν διάνοιαν κεχηνυῖαν, πρὸς ἑαυτὴν ἐπιστρέφει.

Μὴ τοίνυν ἀλγῶμεν ὑπὲρ τῆς ἀθυμίας ταύτης, ἀλλὰ καὶ εὐχαριστῶμεν τῷ Θεῷ· πολὺ γὰρ ἀπὸ τῆς θλίψεως τὸ κέρδος. Καὶ γὰρ ὁ γεωργὸς ἐπειδὰν σπείρῃ τὰ μετὰ πολλοῦ τοῦ πόνου συλλεγέντα σπέρματα, χειμῶνα γενέσθαι εὔχεται· καὶ

2. Ἱερ. 4, 3.
3. Ἰωὴλ 2, 13.

ται θαλεροὶ οἱ σπόροι, ὅσον συντελεῖ ἡ βροχὴ τῶν δακρύων ἐκ τῶν θλίψεων εἰς τὸ νὰ μεγαλώνῃ καὶ καρποφορῇ ὁ σπόρος τῆς ἀρετῆς· αὐτὴ ἡ βροχὴ τῶν δακρύων σπογγίζει τὴν ψυχήν, ποτίζει τὴν διάνοιαν, καὶ κάμει νὰ μεγαλώσῃ γρήγορα ἡ βλάστησις τῆς διδασκαλίας· διὰ τοῦτο πρέπει καὶ τὸ αὐλάκι νὰ σκάπτεται βαθύ.

Καὶ αὐτὴν τὴν προτροπὴν τὴν ἔδωσεν ὁ προφήτης λέγων· «κάμετε ὀργώματα εἰς τὰ χέρσα χωράφια καὶ μὴ σπείρετε εἰς μέρη ποὺ εἶναι ἀγκάθια»[2]. Ὅπως λοιπὸν αὐτὸς ποὺ βάζει τὸ ἄροτρον καὶ ἀνασηκώνει ἀπὸ κάτω τὸ χῶμα, καὶ ἑτοιμάζει ἀσφαλὲς μέρος διὰ τὰ σπέρματα, ὥστε, ὅταν θὰ σπείρῃ νὰ μὴ μείνουν εἰς τὴν ἐπιφάνειαν καὶ χαθοῦν, ἀλλὰ νὰ πέσουν βαθειὰ εἰς τὴν γῆν καὶ εἰς ἀσφαλὲς μέρος καὶ νὰ ριζώσουν. Ἔτσι καὶ ἡμεῖς πρέπει νὰ κάμωμεν, καὶ μὲ ἄροτρον τὴν θλῖψιν νὰ σᾶς σχίσωμεν εἰς δύο καὶ νὰ ἀνασηκώσωμεν τὸ βάθος τῆς καρδίας σας. Διότι τοῦτο καὶ ἄλλος προφήτης παραινῶν τὸ λέγει· «σχίσατε τὰς καρδίας σας καὶ ὄχι τὰ ροῦχα σας»[3].

Ἂς σχίσωμεν λοιπὸν τὰς καρδίας διὰ νὰ βγάλωμεν μαζὶ μὲ τὰς ρίζας ἐξ αὐτῆς, ἐὰν ὑπάρχῃ κάποιο πονηρὸ χόρτον, καὶ δολερὸς λογισμός, καὶ νὰ παραδώσωμεν καθαρὰν τὴν γῆν εἰς τοὺς σπόρους τῆς ἀρετῆς. Διότι ἂν τώρα δὲν ὀργώσωμεν, ἂν τώρα δὲν σπείρωμεν, ἂν τώρα δὲν δακρύσωμεν, τώρα ποὺ ἔχομεν θλῖψιν καὶ νηστείαν, πότε ἄλλοτε θὰ ἔλθωμεν εἰς κατάνυξιν; Ὅταν ἔχωμεν ἄνεσιν καὶ καλοπέρασιν; Ἀλλὰ τότε εἶναι ἀδύνατον αὐτό. Διότι ἡ ἄνεσις καὶ ἡ καλοπέρασις συνήθως ὁδηγεῖ εἰς τὴν ραθυμίαν, ὅπως ἡ θλῖψις μᾶς φέρει εἰς προθυμίαν, καὶ τὴν διάνοιαν ἡ ὁποία πλανᾶται ἔξω ἀπὸ τὸν ὀρθὸν δρόμον καὶ χάσκει ἐδῶ καὶ ἐκεῖ, τὴν ἐπαναφέρει εἰς τὸν ἑαυτόν της.

Ἂς μὴ στενοχωρούμεθα λοιπὸν διὰ τὴν θλῖψιν αὐτήν, ἀλλὰ μᾶλλον νὰ εὐχαριστοῦμεν τὸν Θεόν· διότι μεγάλο κέρδος θὰ ἔχωμεν ἀπὸ τὴν θλῖψιν αὐτήν. Διότι καὶ ὁ γεωργὸς ὅταν σπείρῃ τοὺς σπόρους τοὺς ὁποίους μὲ πολὺν κόπον

ὁ μὲν ἰδιώτης θεωρῶν τὰ γινόμενα ἅπαντα θαυμάσεται, καὶ πρὸς ἑαυτὸν ἴσως ἐρεῖ· τί ποτε ὁ ἄνθρωπος οὗτος ποιεῖ; Τὰ συλλεγέντα σκορπίζει, καὶ οὐχὶ σκορπίζει μόνον, ἀλλὰ καὶ ἀναμίγνυσι μετὰ πολλῆς ἀκριβείας τῇ γῇ, ὥστε αὐτὰ μηδὲ συλλέξαι δυνηθῆναι ῥαδίως, καὶ οὐκ ἀναμίγνυσι μόνον τῇ γῇ, ἀλλὰ καὶ εὔχεται γενέσθαι σφοδρὸν τὸν ὑετόν, ὥστε κατασαπῆναι τὰ καταβληθέντα ἅπαντα, καὶ γενέσθαι πηλόν· καὶ θορυβεῖται βλέπων βροντὰς καταρρηγνυμένας, καὶ ἀστραπὰς καταφερομένας· ὁ δὲ γηπόνος οὐχ οὕτως, ἀλλὰ χαίρει καὶ ἀγάλλεται χειμῶνα ὁρῶν· οὐ γὰρ τὰ παρόντα βλέπει, ἀλλὰ τὰ μέλλοντα ἀναμένει· οὐ πρὸς τὰς βροντὰς ὁρᾷ, ἀλλὰ τὰ δράγματα ἀναλογίζεται· οὐ τὰ σηπόμενα σπέρματα, ἀλλὰ τοὺς κομῶντας στάχυας· οὐ τὸν φορτικὸν ὑετόν, ἀλλὰ τὸν ἥδιστον τῆς ἅλω κονιορτόν· οὕτω δὴ καὶ ἡμεῖς, μὴ τὴν θλῖψιν ὁρῶμεν τὴν παροῦσαν, μηδὲ τὴν ὀδύνην, ἀλλὰ τὴν ἐξ αὐτῆς γινομένην ὠφέλειαν, τὸν ἐξ αὐτῆς τικτόμενον καρπόν.

Ἀναμένωμεν τῆς ἅλω τὰ δράγματα· καὶ γὰρ ἐὰν νήφωμεν, πολὺν ἀπὸ τοῦ καιροῦ τούτου δυνησόμεθα συναγαγεῖν τὸν καρπόν, καὶ πληρῶσαι τὰ ταμιεῖα τῆς διανοίας τῆς ἡμετέρας· ἂν νήφωμεν, οὐ μόνον οὐδὲν πεισόμεθα ἀπὸ τῆς θλίψεως ταύτης δεινόν, ἀλλὰ καὶ μυρία καρπωσόμεθα ἀγαθά· ἂν δὲ ῥαθυμῶμεν, καὶ ἡ ἄνεσις ἡμᾶς ἀπολεῖ· τὸν μὲν γὰρ μὴ προσέχοντα ἑκάτερα βλάπτει, τὸν δὲ μετὰ ἀκριβείας ζῶντα ἀμφότερα ὠφελεῖ. Καὶ καθάπερ τὸ χρυσίον κἂν ὕδασιν ὁμιλήσῃ, τὴν οἰκείαν εὐπρέπειαν ἐπιδείκνυται, κἂν εἰς χωνευτήριον ἐμπέσῃ, φαιδρότερον γίνεται πάλιν· ὁ δὲ πηλὸς καὶ ὁ χόρτος ἂν ὕδασιν ἀναμιχθεὶς τύχῃ, ὁ μὲν διαλύεται, ὁ δὲ σήπεται· κἂν εἰς πῦρ ἐμπέσῃ, ὁ μὲν φρύγεται, ὁ δὲ

συνέλεξεν, εὔχεται νὰ γίνῃ χειμώνας· καὶ ἐκεῖνος ποὺ δὲν γνωρίζει ἀπὸ γεωργίαν θὰ τοῦ φανοῦν παράξενα ὅλα αὐτὰ ποὺ βλέπει, καὶ θὰ εἰπῇ εἰς τὸν ἑαυτόν του· τί κάνει αὐτὸς ὁ ἄνθρωπος; Σκορπίζει αὐτὰ ποὺ ἐμάζεψε, καὶ ὄχι μόνον τὰ σκορπίζει, ἀλλὰ τὰ ἀνακατώνει καὶ μὲ μεγάλην ἐπιμέλειαν μὲ τὸ χῶμα, ὥστε νὰ μὴ ἠμπορέσῃ αὐτὰ νὰ τὰ ξαναμαζέψῃ μὲ εὐκολίαν, καὶ δὲν τὰ ἀνακατώνει μόνον μὲ τὸ χῶμα, ἀλλὰ καὶ παρακαλεῖ νὰ βρέξῃ πολὺ ὥστε νὰ σαπίσουν ὅλα ὅσα ἔρριψεν εἰς τὴν γῆν καὶ νὰ γίνουν λάσπη· καὶ θορυβεῖται ὅταν βλέπῃ νὰ ξεσποῦν βρονταὶ καὶ ἀστραπαί· ὁ γεωργὸς ὅμως βλέπων ὅλα αὐτὰ δὲν αἰσθάνεται ἔτσι, ἀλλὰ ἀντιθέτως χαίρει καὶ ἀγάλλεται βλέπων τὸν χειμῶνα. Διότι δὲν ἀποβλέπει εἰς τὰ παρόντα, ἀλλὰ ἀναμένει τὰ μέλλοντα· δὲν ἀποβλέπει πρὸς τὰς βροντάς, ἀλλ' ἀναλογίζεται τὰ δράγματα· δὲν σκέπτεται τοὺς σπόρους ποὺ σαπίζουν, ἀλλὰ τὰ μεστωμένα στάχυα· οὔτε τὴν ἐνοχλητικὴν βροχήν, ἀλλὰ τὴν πολὺ εὐχάριστον σκόνην τοῦ ἁλωνισμοῦ· ἔτσι λοιπὸν καὶ ἡμεῖς ἂς μὴ βλέπωμεν μόνον τὴν παροῦσαν θλῖψιν, οὔτε τὸν πόνον, ἀλλὰ τὴν ὠφέλειαν ποὺ θὰ προέλθῃ ἀπὸ αὐτήν, τὸν καρπὸν ποὺ θὰ προέλθῃ ἀπὸ αὐτήν.

Ἂς ἀναμένωμεν τὰ δράγματα τοῦ ἁλωνισμοῦ· διότι ἐὰν εἴμεθα νηφάλιοι θὰ ἀποκομίσωμεν πολὺν καρπὸν ἀπὸ τὰς δυσκόλους αὐτὰς περιστάσεις καὶ θὰ γεμίσωμεν τὰς ἀποθήκας τῆς διανοίας μας· ἂν εἴμεθα νηφάλιοι, ὄχι μόνον δὲν θὰ πάθωμεν κανένα κακὸν ἀπὸ τὰς θλίψεις αὐτάς, ἀλλὰ θὰ ἀπολαύσωμεν καὶ ἀναρίθμητα καλά· ἂν ὅμως εἴμεθα ράθυμοι, ἀκόμη καὶ αὐτὴ ἡ ἄνεσις θὰ μᾶς καταστρέψῃ· διότι αὐτὸν ποὺ δὲν προσέχει τὸν βλάπτουν καὶ τὰ δύο, αὐτὸν δὲ ποὺ ζῇ μὲ εὐλάβειαν τὸν ὠφελοῦν καὶ τὰ δύο. Καὶ ὅπως ὁ χρυσός, ἀκόμα καὶ ἂν πέσῃ εἰς τὸ νερὸ δείχνει τὴν ἀξίαν του καὶ ὡραιότητά του, ἂν πάλιν ἐμπέσῃ εἰς τὸ χωνευτήριον, γίνεται λαμπρότερος, ἡ δὲ λάσπη καὶ τὸ χορτάρι ἂν τύχῃ καὶ ἀναμειχθοῦν μὲ τὸ χορτάρι, ἡ μὲν λάσπη διαλύεται, τὸ δὲ χορτάρι σαπίζει· ἂν πάλιν πέσουν εἰς τὴν φωτιάν, ἡ μὲν

κατακαίεται· οὕτω δὴ καὶ ὁ δίκαιος, καὶ ὁ ἁμαρτωλός· ὁ μὲν γὰρ κἂν ἀνέσεως ἀπολαύῃ, μένει λαμπρός, καθάπερ τὸ χρυσίον περικλυζόμενον ὕδατι· κἂν εἰς πειρασμὸν ἐμπέσῃ, φαιδρότερος γίνεται, καθάπερ τὸ χρυσίον βασανιζόμενον ὑπὸ τοῦ πυρός· ὁ δὲ ἁμαρτωλὸς κἂν ἀνέσεως τύχῃ διαλύεται καὶ κατασήπεται, καθάπερ ὁ χόρτος καὶ ὁ πηλὸς ὁμιλῶν ὕδατι· κἂν πειρασμὸν ὑπομείνῃ, κατακαίεται καὶ ἀπολλύεται, καθάπερ ὁ χόρτος καὶ πηλὸς ὑπὸ τοῦ πυρός.

2. Μὴ τοίνυν ἀλύωμεν ἐπὶ τοῖς παροῦσι δεινοῖς· ἐὰν γὰρ ἁμαρτίας ἔχῃς, ἀφανίζονται καὶ κατακαίονται ῥαδίως ὑπὸ τῆς θλίψεως· ἐὰν δὲ ἀρετὴν ἔχῃς, λαμπρύνῃ καὶ φαιδρύνῃ ὑπ' αὐτῆς· ἐὰν γὰρ ἀγρυπνῇς διηνεκῶς καὶ νήφῃς, ἀνώτερος ἔσῃ βλάβης ἁπάσης. Οὐ γὰρ ἡ τῶν πειρασμῶν φύσις, ἀλλ' ἡ τῶν πειραζομένων ῥαθυμία τὰ πτώματα ἐργάζεσθαι πέφυκεν. Ὥστε εἰ βούλει τρυφᾶν καὶ ἀνέσεως ἀπολαύειν καὶ ἡδονῆς, μὴ ζήτει ἡδονὴν μήτε ἄνεσιν, ἀλλὰ ζήτει ψυχὴν ὑπομονῆς γέμουσαν καὶ καρτερίαν ἐπιδείξασθαι δυναμένην· ὡς ἐὰν μὴ τοῦτο ἔχῃς, οὐχὶ πειρασμός σε ἐλέγξει μόνον, ἀλλὰ καὶ ἄνεσίς σε ἀπολεῖ καὶ καταβαλεῖ μειζόνως.

Ὅτι γὰρ οὐχ ἡ τῶν δεινῶν προσβολή, ἀλλ' ἡ τῆς ἡμετέρας διανοίας ῥαθυμία ἀνατρέπει τὴν σωτηρίαν ἡμῶν, ἄκουσον τί φησιν ὁ Χριστός· «Πᾶς ὅστις ἀκούει μου τοὺς λόγους τούτους, καὶ ποιεῖ αὐτούς, ὁμοιωθήσεται ἀνδρὶ φρονίμῳ, ὅστις ᾠκοδόμησε τὴν οἰκίαν αὐτοῦ ἐπὶ τὴν πέτραν, καὶ κατέβη ἡ βροχή, καὶ ἦλθον οἱ ποταμοί, καὶ ἔπνευσαν οἱ ἄνεμοι, καὶ προσέρρηξαν τῇ οἰκίᾳ ἐκείνῃ, καὶ οὐκ ἔπεσεν· τεθεμελίωτο γὰρ ἐπὶ τὴν πέτραν»· καὶ πάλιν· «Ὅστις ἀκούει

λάσπη ψήνεται, τὸ δὲ χορτρι κατακαίεται, ἔτσι συμβαίνει καὶ μὲ τὸν δίκαιον καὶ τὸν ἁμαρτωλόν· διότι ὁ μὲν δίκαιος καὶ ὅταν ἀπολαμβάνῃ τὴν ἄνεσιν, παραμένει λαμπρός, ὅπως ὁ χρυσὸς ποὺ περιβρέχεται ἀπὸ τὰ νερά, καὶ ὅταν ἐμπέσῃ εἰς τὸν πειρασμὸν γίνεται λαμπρότερος, ὅπως ὁ χρυσὸς ποὺ δοκιμάζεται ἀπὸ τὴν φωτιάν· ὁ δὲ ἁμαρτωλός, καὶ ὅταν ἀπολαμβάνῃ τὴν ἄνεσιν διαλύεται καὶ σήπεται, ὅπως τὸ χορτάρι καὶ ἡ λάσπη ὅταν πέσουν εἰς τὸ νερόν, ἂν δὲ πέσῃ εἰς τὸν πειρασμὸν κατακαίεται καὶ καταστρέφεται, ὅπως τὸ χορτάρι καὶ ἡ λάσπη ἀπὸ τὴν φωτιάν.

2. Ἂς μὴ δυσφοροῦμεν λοιπὸν διὰ τὰ παρόντα κακά· διότι ἐὰν ἔχῃς ἁμαρτίας, ἐξαφανίζονται καὶ κατακαίονται εὔκολα ἀπὸ τὴν θλῖψιν· ἐὰν δὲ ἔχῃς ἀρετὴν γίνεσαι λαμπρὸς καὶ φαιδρὸς ἀπὸ αὐτήν· διότι ἐὰν διαρκῶς ἀγρυπνῇς καὶ εἶσαι νηφάλιος, θὰ εἶσαι ἀνώτερος ἀπὸ κάθε βλάβην. Διότι δὲν εἶναι αἰτία τῶν ἠθικῶν πτώσεων ἡ φύσις τῶν πειρασμῶν, ἀλλὰ ἡ ἀμέλεια αὐτῶν ποὺ πειράζονται. Ὥστε ἐὰν θέλῃς νὰ ζῇς μὲ ἄνεσιν καὶ μὲ εὐχαρίστησιν νὰ μὴ ἐπιδιώκῃς νὰ εὕρῃς εὐχαρίστησιν καὶ ἄνεσιν, ἀλλὰ νὰ ἐπιδιώκῃς ψυχὴν ποὺ εἶναι γεμάτη ἀπὸ ὑπομονὴν καὶ νὰ ἠμπορῇ νὰ ἐπιδείξῃ καρτερίαν· διότι ἐὰν δὲν ἔχῃς τοῦτο, ὄχι μόνον θὰ σὲ ἐλέγξῃ ὁ πειρασμός, ἀλλὰ καὶ ἡ ἄνεσις θὰ σὲ καταστρέψῃ πολὺ περισσότερον.

Ὅτι δὲ αἰτία νὰ χάσωμεν τὴν σωτηρίαν τῆς ψυχῆς μας εἶναι ἡ ἀμέλειά μας καὶ ὄχι ἡ προσβολὴ τῶν κακῶν, ἄκουσε τί λέγει ὁ Χριστός· «Ἰδικός μου θὰ εἶναι κάθε ἕνας, ὁ ὁποῖος ἀκούει μὲ προσοχὴν αὐτοὺς τοὺς λόγους μου καὶ τοὺς ἐφαρμόζει εἰς τὴν ζωήν του, καὶ τὸν ὁποῖον ἐγὼ παρομοιάζω μὲ ἄνδρα συνετὸν καὶ φρόνιμον, ποὺ ἔκτισε τὸ σπίτι του ἐπάνω εἰς τὴν πέτραν, καὶ ἔπεσεν ἡ βροχὴ καὶ ξεχύθηκαν τὰ ποτάμια τῆς νεροποντῆς καὶ ἐφύσησαν οἱ ἰσχυροὶ ἄνεμοι καὶ ἔπεσαν μὲ ὁρμὴν ὅλα ἐπάνω εἰς τὸ σπίτι αὐτὸ καὶ αὐτὸ δὲν ἐκρημνίσθη, διότι ἦτο στερεὰ θεμελιωμένον ἐπάνω εἰς τὴν πέτραν τῆς ἀληθινῆς καὶ ζωντανῆς πίστεως»· καὶ πάλιν λέ-

μου τοὺς λόγους τούτους, καὶ οὐ ποιεῖ αὐτούς, ὁμοιωθήσεται ἀνδρὶ μωρῷ, ὅστις ᾠκοδόμησεν αὐτοῦ τὴν οἰκίαν ἐπὶ τὴν ψάμμον, καὶ κατέβη ἡ βροχή, καὶ ἦλθον οἱ ποταμοί, καὶ ἔπνευσαν οἱ ἄνεμοι, καὶ προσέρρηξαν τῇ οἰκίᾳ ἐκείνῃ, καὶ κατέπεσε, καὶ ἦν ἡ πτῶσις αὐτῆς μεγάλη».

Ὁρᾷς ὅτι οὐχ αἱ τῶν πειρασμῶν προσβολαί, ἀλλ' ἡ τῶν οἰκοδομούντων ἄνοια τὴν πτῶσιν ἐποίησεν; Καὶ γὰρ ἐκεῖ βροχή, καὶ ἐνταῦθα βροχή· κἀκεῖ ποταμοί, καὶ ἐνταῦθα ποταμοί· κἀκεῖ πνευμάτων προσβολαί, καὶ ἐνταῦθα τὸ αὐτὸ τοῦτο· κἀκεῖνος ᾠκοδόμησε, καὶ οὗτος ᾠκοδόμησε· καὶ ἡ αὐτὴ οἰκοδομή, καὶ οἱ αὐτοὶ πειρασμοί· ἀλλ' οὐ τὸ αὐτὸ τέλος, ἐπειδὴ οὐχ ὁ αὐτὸς θεμέλιος. Οὐ γὰρ τῶν πειρασμῶν ἡ φύσις, ἀλλὰ τοῦ οἰκοδομήσαντος ἡ ἄνοια τὴν πτῶσιν ἐποίησεν· ἐπεὶ ἔδει καὶ τὴν ἐπὶ τῆς πέτρας οἰκοδομηθεῖσαν καταπεσεῖν οἰκίαν, νῦν δὲ οὐδὲν τοιοῦτον ἔπαθεν.

Ἀλλὰ μὴ περὶ οἰκίας εἰρῆσθαι ταῦτα νομίζητε· περὶ γὰρ ψυχῆς ἐστιν ὁ λόγος τὴν τῶν θείων λόγων ἀκρόασιν διὰ τῶν ἔργων ἐπιδεικνυμένης ἢ διακρουομένης. Οὕτως ᾠκοδόμησεν ἑαυτοῦ τὴν ψυχὴν ὁ Ἰώβ· κατέβη ἡ βροχή, πῦρ γὰρ ἔπεσεν ἐκ τοῦ οὐρανοῦ, καὶ κατέφαγε πάντα τὰ ποίμνια· ἦλθον οἱ ποταμοί, οἱ πυκνοὶ καὶ συνεχεῖς καὶ ἐπάλληλοι τῶν συμφορῶν ἄγγελοι, ὁ μὲν τῶν αἰπολίων, ὁ δὲ τῶν καμήλων, ὁ δὲ τῶν παίδων λέγων τὴν ἀπώλειαν· ἔπνευσαν οἱ ἄνεμοι, τὰ πικρὰ τῆς γυναικὸς ῥήματα· «Εἰπόν γάρ τι», φησί, «ῥῆμα πρὸς Κύριον, καὶ τελεύτα»· καὶ οὐκ ἔπεσεν ἡ οἰκία, οὐχ ὑπεσκελίσθη ἡ ψυχή, οὐκ ἐβλασφήμησεν ὁ δίκαιος, ἀλλὰ καὶ ηὐχαρίστησεν οὕτως εἰπών· «Ὁ Κύριος ἔδωκεν, ὁ Κύριος ἀφείλετο, ὡς τῷ Κυρίῳ ἔδοξεν, οὕτω καὶ ἐγένετο». Ὁρᾷς ὅτι οὐχὶ τῶν πειρασμῶν ἡ φύσις, ἀλλ' ἡ τῶν ῥαθυμούντων ὀλιγωρία τὴν πτῶσιν ποιεῖν εἴωθεν; Ὡς τόν γε ἰσχυρὸν

4. Ματθ. 7, 24-27.
5. Ἰώβ, 2, 9.
6. Ἰὼβ 1, 21.

γει «Καθένας πού ἀκούει τούς λόγους μου, καὶ δὲν τοὺς ἐκτελεῖ, θὰ εἶναι ὅμοιος μὲ ἄνθρωπον ἀνόητον, ποὺ ἔκτισε τὸ σπίτι του ὄχι εἰς στερεὸν θεμέλιον, ἀλλ' ἐπάνω εἰς τὴν ἄμμον· καὶ ἔπεσεν ἡ βροχὴ καὶ ἦλθον τὰ ποτάμια, ποὺ σχηματίζονται ἀπὸ τὴν βροχήν, καὶ ἐφύσηξαν οἱ ἄνεμοι ποὺ ἐκτύπησαν εἰς τὸ σπίτι ἐκεῖνο καὶ ἔπεσε, καὶ ἡ πτῶσις του ἦτο ὁλοκληρωτικὴ καὶ πλήρης»[4].

Βλέπεις ὅτι ὄχι ἡ προσβολὴ τῶν στοιχείων τῆς φύσεως, ἀλλὰ ἡ ἀνοησία ἐκείνων ποὺ ἔκτισαν, ἔγινεν αἰτία νὰ πέσῃ τὸ σπίτι; Διότι καὶ ἐκεῖ βροχὴ καὶ ἐδῶ βροχή· καὶ ἐκεῖ ποταμοὶ καὶ ἐδῶ ποταμοί· καὶ ἐκεῖ προσβολαὶ ἀνέμων καὶ ἐδῶ τὸ ἴδιον· καὶ ἐκεῖνος οἰκοδόμησε καὶ ὁ ἄλλος· καὶ ἡ οἰκοδομὴ ἦτο ἡ ἰδία καὶ τὰ στοιχεῖα τῆς φύσεως τὰ ἴδια· ὅμως δὲν ἦτο τὸ ἴδιον ἀποτέλεσμα, ἐπειδὴ ἦτο διαφορετικὸν τὸ θεμέλιον. Διότι δὲν ἐπέφερε τὴν πτῶσιν ἡ φύσις τῶν πειρασμῶν, ἀλλὰ ἡ ἀνοησία αὐτοῦ ποὺ ἔκτισε, διότι ἄλλως ἔπρεπε νὰ πέσῃ καὶ τὸ σπίτι μὲ τὸ γερὸ θεμέλιον, πρᾶγμα ποὺ δὲν συνέβη.

Ἀλλὰ μὴ νομίζετε ὅτι αὐτὰ ἔχουν λεχθῆ περὶ κάποιας οἰκίας, διότι περὶ ψυχῆς εἶναι ὁ λόγος ἡ ὁποία δεικνύει διὰ τῶν ἔργων ὅτι εἰσακούει τὸν θεῖον λόγον ἢ τὸν ἀποκρούει. Ἔτσι ἔκτισε τὴν ψυχήν του ὁ Ἰώβ· κατέβη ἡ βροχή, ἡ φωτιὰ δηλαδὴ ποὺ ἔπεσεν ἀπὸ τὸν οὐρανόν, καὶ κατέστρεψεν ὅλα τὰ κοπάδια του· ἦλθαν οἱ ποταμοί, οἱ ἄνθρωποι ποὺ τοῦ ἀνήγγειλαν τὰς πυκνάς, συνεχεῖς καὶ ἀλλεπαλλήλους συμφοράς, ἄλλος μὲν τὴν καταστροφὴν τῶν αἰγῶν, ἄλλος δὲ τῶν καμήλων, ἄλλος τὸν θάνατον τῶν παιδιῶν του· ἐφύσηξαν οἱ ἄνεμοι, δηλαδὴ τὰ πικρὰ λόγια τῆς γυναίκας, διότι τοῦ εἶπε· «λέγε κάποιον λόγον ἐναντίον τοῦ Κυρίου καὶ ἂς πεθάνῃς»[5]· καὶ ὅμως δὲν ἔπεσε τὸ σπίτι, δὲν ἐκινήθη ἡ ψυχή, δὲν ἐβλασφήμησεν ὁ δίκαιος, ἀλλὰ καὶ εὐχαρίστησε τὸν Θεὸν λέγων τὰ ἑξῆς· «Ὁ Κύριος τὰ ἔδωκεν ὁ Κύριος τὰ ἀφήρεσεν, ὅπως ἐφάνη καλὸν εἰς τὸν Κύριον ἔτσι καὶ ἔγινε»[6]. Βλέπεις ὅτι ὄχι ἡ φύσις τῶν πειρασμῶν, ἀλλ' ἡ ἀδιαφορία τῶν ἀμελῶν συνήθως προκαλεῖ τὴν πτῶσιν; Ὅπως βέβαια

καὶ ἰσχυρότερον ἡ θλῖψις ἐργάζεται. Τίς ταῦτά φησιν; Ὁ ἐν τῇ θλίψει τραφείς, ὁ μακάριος Παῦλος, οὕτω λέγων· «Ἡ θλῖψις ὑπομονὴν κατεργάζεται, ἡ δὲ ὑπομονὴ δοκιμήν, ἡ δὲ δοκιμὴ ἐλπίδα».

Καὶ καθάπερ τὰ ἰσχυρὰ τῶν δένδρων ἡ τῶν ἀνέμων ῥύμη προσπίπτουσα καὶ πάντοθεν ῥιπίζουσα οὐκ ἀνασπᾷ, ἀλλὰ στερρότερα καὶ ἰσχυρότερα ταῖς προσβολαῖς ταύταις κατασκευάζει· οὕτω καὶ ψυχὴν ἁγίαν, καὶ εὐλαβείᾳ συζῶσαν, αἱ τῶν πειρασμῶν ἐπαγωγαί, καὶ τῶν θλίψεων, οὐχ ὑποσκελίζουσιν, ἀλλὰ πρὸς πλείονα ὑπομονὴν ἀλείφουσι, καθάπερ καὶ τὸν μακάριον Ἰὼβ λαμπρότερον ἐποίησαν καὶ σεμνότερον. Νῦν μὲν οὖν ἄνθρωπος ἡμῖν ὀργίζεται, ἄνθρωπος ὁμοιοπαθὴς καὶ ὁμόψυχος, καὶ δεδοίκαμεν· τότε δὲ ἐκείνῳ δαίμων πονηρὸς καὶ ἄγριος ἦν ὀργιζόμενος, καὶ οὐχ ἁπλῶς ὠργίζετο, ἀλλὰ πάντα ἐκίνει τὰ μηχανήματα, καὶ πᾶσαν προσῆγεν μαγγανείαν, καὶ οὐδὲ οὕτως ἤλεγξε τοῦ δικαίου τὴν ἀνδρείαν.

Καὶ οὗτος μὲν ἄνθρωπος ὤν, νῦν μὲν ὀργίζεται, νῦν δὲ καταλλάττεται, καὶ ὅμως ἀποτεθνήκαμεν τῷ δέει· τότε δὲ διάβολος ἦν ὁ μηδέ ποτε καταλλαττόμενος τῇ τῶν ἀνθρώπων φύσει, ἀλλὰ πόλεμον ἄσπονδον καὶ μάχην ἀκήρυκτον πρὸς τὸ γένος ἡμῶν ἀράμενος· ἀλλ' ὅμως κατεγέλασεν αὐτοῦ τῶν βελῶν ὁ δίκαιος. Τίνα οὖν ἂν ἔχοιμεν ἀπολογίαν, ἢ ποίαν συγγνώμην, οὕτως ἀνθρώπινον πειρασμὸν οὐ φέροντες οἱ τοσαῦτα φιλοσοφοῦντες ἐν τῇ χάριτι, τοῦ πρὸ τῆς χάριτος καὶ τῆς παλαιᾶς διαθήκης οὕτω τὸν ἀφόρητον πόλεμον ἐκεῖνον ἐνεγκόντος γενναίως;

Ταῦτα οὖν ἀεὶ διαλεγώμεθα, ἀγαπητοί, πρὸς ἀλλήλους, καὶ διὰ τούτων ἑαυτοὺς παρακαλῶμεν τῶν λόγων. Καὶ γὰρ ὑμεῖς μάρτυρες, καὶ τὸ συνειδὸς τὸ ὑμέτερον, ὅσον ἀπὸ τοῦ

7. Ρωμ. 5, 3-4.

τὸν ἰσχυρὸν ἡ θλῖψις τὸν κάμει ἰσχυρότερον. Ποῖος λέγει αὐτά; Αὐτὸς ποὺ ἐτράφη μὲ τὴν θλῖψιν, ὁ μακάριος Παῦλος, λέγει τὰ ἑξῆς· «ἡ θλῖψις ἐργάζεται σιγὰ - σιγὰ καὶ φέρει ὡς πολύτιμον ἀγαθὸν τὴν ὑπομονήν, ἡ δὲ ὑπομονὴ ἔχει ὡς καρπόν της τὴν δοκιμασμένην ἀρετήν, ἡ δὲ δοκιμασμένη ἀρετὴ φέρει τὴν σταθερὰν ἐλπίδα πρὸς τὸν Θεόν»[7].

Καὶ ὅπως ἡ ὁρμὴ τῶν ἀνέμων ποὺ κτυπᾷ τὰ γερὰ δένδρα καὶ ἀπὸ παντοῦ φυσᾷ καὶ τὰ κουνᾷ, δὲν τὰ ξερριζώνει, ἀλλὰ τὰ κάνει στερεώτερα καὶ ἰσχυρότερα μὲ τὰς προσβολὰς αὐτάς, ἔτσι καὶ οἱ ἐπερχόμενοι πειρασμοὶ καὶ αἱ θλίψεις τὴν ἁγίαν ψυχήν, ποὺ ζῇ μὲ εὐλάβειαν, δὲν τὴν νικοῦν, ἀλλὰ τὴν προπαρασκευάζουν νὰ ἔχῃ μεγαλυτέραν ὑπομονήν, ὅπως ἔκαμαν καὶ τὸν μακάριον Ἰὼβ ἐνδοξότερον καὶ σεμνότερον. Καὶ τώρα μὲν ἄνθρωπος ὀργίζεται ἐναντίον μας, ἄνθρωπος ὁμοιοπαθὴς καὶ ὁμόψυχος μὲ ἡμᾶς καὶ ἔχομεν φοβηθῆ· τότε δὲ ἐναντίον ἐκείνου ὠργίζετο ὁ πονηρὸς καὶ ἄγριος δαίμων, καὶ ὄχι μόνον ἁπλῶς ὠργίζετο, ἀλλὰ ἔκαμε χρῆσιν ὅλων τῶν τεχνασμάτων του καὶ ὅλων τῶν ἀπατῶν, καὶ ἐν τούτοις δὲν κατέβαλε τὴν ἀνδρείαν τοῦ δικαίου.

Καὶ αὐτὸς μὲν ποὺ εἶναι ἄνθρωπος, ἄλλοτε μὲν ὀργίζεται, ἄλλοτε δὲ πάλιν συμφιλιώνεται μὲ ἡμᾶς, καὶ ὅμως ἔχομεν πεθάνει ἀπὸ τὸν φόβον μας· τότε δὲ ἦτο ὁ διάβολος ὁ ὁποῖος ποτὲ δὲν συμφιλιώνεται μὲ τὴν ἀνθρωπίνην φύσιν, ἀλλὰ ἔχει κινήσει ἄσπονδον καὶ ἀκήρυκτον πόλεμον ἐναντίον τοῦ γένους μας, καὶ ὅμως τὰς ἐπιθέσεις αὐτοῦ τὰς περιεφρόνησεν ὁ δίκαιος. Ποίαν λοιπὸν ἀπολογίαν θὰ ἔχωμεν ἢ ποίαν συγγνώμην ποὺ δὲν ἠμποροῦμεν νὰ ὑποφέρωμεν ἀνθρώπινον πειρασμόν, ἡμεῖς ποὺ τόσα φιλοσοφοῦμεν διὰ τῆς χάριτος τοῦ Θεοῦ, ἐνῷ ἐκεῖνος ποὺ ἐζοῦσε πρὸ τῆς χάριτος καὶ τῆς Παλαιᾶς Διαθήκης ὑπέφερε τόσον γενναίως τὸν ἀφόρητον ἐκεῖνον πόλεμον;

Αὐτὰ λοιπὸν πάντοτε νὰ συζητῶμεν μεταξύ μας, ἀγαπητοί, καὶ μὲ αὐτοὺς τοὺς λόγους ἂς παρηγορούμεθα. Διότι καὶ σεῖς εἶσθε μάρτυρες καὶ ἡ συνείδησίς σας μαρτυρεῖ πό-

πειρασμοῦ τούτου τὸ κέρδος ἐσχήκαμεν· ὁ ἀκόλαστος σώφρων ἐγένετο νῦν, ὁ θρασὺς ἐπιεικέστερος, ὁ ῥάθυμος σπουδαῖος, οἱ μηδέ ποτε ἐκκλησίαν ἰδόντες, ἀλλ' ἐν θεάτροις προσεδρεύοντες, ἐν ἐκκλησίᾳ διημερεύουσι νῦν. Διὰ ταῦτα οὖν ἀλγεῖς, εἰπέ μοι, ὅτι σε σπουδαῖον τῷ φόβῳ ἐποίησεν ὁ Θεός; ὅτι σε τῇ θλίψει πρὸς αἴσθησιν τῆς σεαυτοῦ σωτηρίας ἤγαγεν; Ἀλλ' ὀδυνᾶταί σου τὸ συνειδός; ἀλλὰ τιτρώσκεταί σου καθ' ἑκάστην ἡμέραν ἡ διάνοια θάνατον προσδοκῶσα, καὶ ἀπειλὴν μεγίστην; Ἀλλὰ καὶ ἐντεῦθεν ἡμῖν πολλὴ πρὸς ἀρετὴν ἐπίδοσις ἔσται, ἐπιτεινομένης ἡμῖν τῆς εὐλαβείας διὰ τῆς ἀγωνίας. Δυνατὸς μὲν γὰρ ὁ Θεὸς ἅπαντα λῦσαι σήμερον τὰ δεινά· ἀλλ' ἕως ἂν ἴδῃ καθαρθέντας ὑμᾶς, ἕως ἂν ἴδῃ γενομένην ἐπιστροφήν, καὶ μετάνοιαν παγίαν καὶ ἄσειστον, οὐ καταλύει τὴν θλῖψιν.

Καὶ γὰρ ὁ χρυσοχόος, ἕως ἂν ἴδῃ τὸ χρυσίον καλῶς ἐκκαθαρθέν, οὐκ ἀνασπᾷ τοῦ χωνευτηρίου· οὕτω καὶ ὁ Θεὸς οὐ παράγει τοῦτο τὸ νέφος, ἕως ἂν ἡμᾶς σωφρονίσῃ καλῶς. Ὁ γὰρ συγχωρήσας τὸν πειρασμόν, αὐτὸς οἶδεν καὶ τὸν καιρὸν τῆς λύσεως τοῦ πειρασμοῦ. Οὕτω καὶ ὁ κιθαρῳδός, οὔτε ἐπιτείνει τὴν νευράν, ἵνα μὴ διαρρήξῃ, οὔτε χαλᾷ πέρα τοῦ μέτρου, ἵνα μὴ λυμήνηται τὴν συμφωνίαν τῆς ἁρμονίας· οὕτω καὶ ὁ Θεὸς ποιεῖ, οὔτε ἐν ἀνέσει διηνεκεῖ, οὔτε ἐν θλίψει μακρᾷ τὴν ἡμετέραν καθίστησι ψυχήν, κατὰ τὴν αὐτοῦ σύνεσιν ἀμφότερα ταῦτα ποιῶν. Οὐκ ἀφίησι μὲν γὰρ διηνεκοῦς ἀνέσεως ἀπολαύειν, ἵνα μὴ γενώμεθα ῥαθυμότεροι· οὐκ ἀφίησι δὲ ἐν θλίψει συνεχεῖ εἶναι πάλιν, ἵνα μὴ καταπέσωμεν, μηδὲ ἀπαγορεύσωμεν.

3. Αὐτῷ τοίνυν παραχωρῶμεν τὸν καιρὸν τῆς ἀπαλλαγῆς τῶν δεινῶν, ἡμεῖς δὲ εὐχώμεθα μόνον, ἡμεῖς ἐν εὐλαβείᾳ ζήσωμεν. Ἡμῶν μὲν γὰρ ἔργον τὸ μεταβαλέσθαι πρὸς ἀρετήν, τοῦ Θεοῦ δὲ ἔργον τὸ λῦσαι τὰ δεινά· καὶ γάρ σου

σον ἔχετε ὠφεληθῆ ἀπὸ τὸν πειρασμὸν τοῦτον· ὁ ἀκόλαστος ἔγινε τώρα σώφρων, ὁ θρασὺς μετριοπαθέστερος, ὁ ἀμελὴς ζηλωτής, ἐκεῖνοι ποὺ οὐδέποτε εἶδαν ἐκκλησίαν, ἀλλὰ ἔμεναν πάντοτε εἰς τὰ θέατρα, τώρα ἀπὸ τὸ πρωὶ ὡς τὸ βράδυ εἶναι εἰς τὴν ἐκκλησίαν. Λοιπὸν δι' αὐτὰ πονεῖς, εἰπέ μου, διότι σὲ ἔκαμε σπουδαῖον ὁ Θεὸς διὰ τοῦ φόβου; Ὅτι διὰ τῆς θλίψεως σὲ ὡδήγησε νὰ καταλάβῃς τὴν ἰδικήν σου σωτηρίαν; Ἀλλὰ λυπᾶται ἡ συνείδησίς σου; Ἀλλ' ὑποφέρει πάρα πολὺ καὶ πληγώνεται ἡ διάνοιά σου καθημερινῶς διότι περιμένει θάνατον καὶ μεγίστην τιμωρίαν; Ἀλλὰ καὶ αὐτὸ θὰ συντελέσῃ εἰς τὸ νὰ προκόψωμεν πολὺ εἰς τὴν ἀρετήν, διότι ἡ ἀγωνία ἐπιτείνει τὴν εὐλάβειαν. Διότι ὁ μὲν Θεὸς εἶναι δυνατὸς καὶ ἠμπορεῖ νὰ μᾶς ἀπαλλάξῃ σήμερον ἀπὸ τὰ δεινά· ἀλλὰ ἂν δὲν μᾶς ἰδῇ νὰ καθαρισθῶμεν τελείως, ἂν δὲν μᾶς ἰδῇ νὰ μετανοήσωμεν σταθερῶς καὶ εἰλικρινῶς δὲν καταπαύει τὴν θλῖψιν.

Διότι ὅπως ὁ χρυσοχόος ἂν δὲν ἰδῇ νὰ καθαρισθῇ καλὰ ὁ χρυσὸς δὲν τὸν βγάζει ἀπὸ τὸ χωνευτήρι, ἔτσι καὶ ὁ Θεὸς δὲν ἀφήνει νὰ περάσῃ αὐτὸ τὸ σύννεφον προτοῦ νὰ μᾶς σωφρονίσῃ. Διότι αὐτὸς ποὺ ἐπέτρεψε τὸν πειρασμόν, αὐτὸς γνωρίζει καὶ τὸν χρόνον τῆς ἀπαλλαγῆς ἀπὸ τὸν πειρασμόν. Ὅπως καὶ ὁ κιθαρῳδός, οὔτε τεντώνει τὴν χορδὴν πολύ, διὰ νὰ μὴ σπάσῃ, οὔτε πάλιν τὴν χαλαρώνει περισσότερον τοῦ κανονικοῦ, διὰ νὰ μὴ χαλάσῃ ἡ συμφωνία τῆς ἁρμονίας τοῦ ᾄσματος, ἔτσι κάμει καὶ ὁ Θεός, οὔτε εἰς συνεχῆ ἄνεσιν μᾶς ἀφήνει, οὔτε εἰς μεγάλην καὶ πολυχρόνιον θλῖψιν τὴν ἰδικήν μας ψυχήν, ἀλλὰ κάμνει καὶ τὰ δύο κατὰ τὴν ἰδικήν του σοφίαν. Διότι δὲν μᾶς ἀφήνει νὰ εἴμεθα εἰς διαρκῆ ἄνεσιν, διὰ νὰ μὴ γίνωμεν ράθυμοι, δὲν μᾶς ἀφήνει πάλιν εἰς συνεχῆ θλῖψιν, διὰ νὰ μὴ καταπέσωμεν ψυχικῶς καὶ ἀπογοητευθοῦμε.

3. Εἰς αὐτὸν λοιπὸν ἂς ἀναθέσωμεν τὸν χρόνον τῆς ἀπαλλαγῆς μας ἀπὸ τὰ δεινά, ἡμεῖς δὲ νὰ προσευχώμεθα μόνον καὶ νὰ ζοῦμε μὲ ἀρετὴν καὶ εὐλάβειαν. Διότι ἰδικόν μας ἔργον εἶναι νὰ προοδεύσωμεν εἰς τὴν ἀρετήν, ἔργον δὲ

τοῦ πειραζομένου μᾶλλον αὐτὸς βούλεται σβέσαι τὴν πυρὰν ταύτην, ἀλλ' ἀναμένει σου τὴν σωτηρίαν. Ὥσπερ οὖν ἐξ ἀνέσεως ἐγένετο θλῖψις, οὕτω καὶ ἀπὸ θλίψεως ἄνεσιν χρὴ προσδοκᾶν. Οὐδὲ γὰρ ἀεὶ χειμών, οὐδὲ ἀεὶ θέρος, οὐκ ἀεὶ κύματα, οὐδὲ ἀεὶ γαλήνη, οὐκ ἀεὶ νύξ, οὐδὲ ἀεὶ ἡμέρα· οὕτως οὐδὲ ἀεὶ θλῖψις, ἀλλ' ἔσται καὶ ἄνεσις, μόνον ἐὰν ἐν τῇ θλίψει διαπαντὸς εὐχαριστῶμεν τῷ Θεῷ.

Καὶ γὰρ οἱ τρεῖς παῖδες εἰς κάμινον ἐνεβλήθησαν, καὶ οὐδὲ οὕτως ἐπελάθοντο τῆς εὐλαβείας, οὐδὲ ἐφόβησεν αὐτοὺς ἡ φλόξ, ἀλλὰ τῶν ἐν θαλάμῳ καθημένων, καὶ μηδὲν πασχόντων δεινόν, σπουδαιότερον τῷ πυρὶ κυκλούμενοι τὰς ἱερὰς ἐκείνας ἀνέπεμπον εὐχάς. Διὰ τοῦτο τεῖχος αὐτοῖς ἐγένετο τὸ πῦρ, καὶ στολὴ ἡ φλόξ, καὶ πηγὴ ἡ κάμινος, καὶ δεδεμένους λαβοῦσα λελυμένους ἀπέδωκεν· ἔλαβε θνητὰ σώματα, καὶ ὡς ἀθανάτων ἀπέσχετο· ἔγνω τὴν φύσιν, ἀλλ' ᾐδέσθη τὴν εὐλάβειαν· ἔδησε τοὺς πόδας ὁ τύραννος, καὶ ἔδησαν οἱ πόδες τοῦ πυρὸς τὴν ἐνέργειαν.

Ὢ παραδόξου πράγματος· τοὺς δεδεμένους ἔλυσεν ἡ φλόξ, καὶ αὐτὴ λοιπὸν ὑπὸ τῶν δεδεμένων ἐδέδετο· μετέβαλε γὰρ τῶν πραγμάτων τὴν φύσιν τῶν νεανίσκων ἡ εὐλάβεια, μᾶλλον δὲ οὐ τὴν φύσιν μετέβαλεν, ἀλλ' ὃ πολλῷ θαυμαστότερον ἦν, μενούσης τῆς φύσεως τὴν ἐνέργειαν ἔστησεν. Οὐ γὰρ ἔσβεσε τὸ πῦρ, ἀλλὰ καιόμενον ἀργὸν ἐποίησε· καὶ τὸ δὴ θαυμαστὸν παράδοξον, οὐκ ἐπὶ τῶν σωμάτων τοῦτο τῶν ἁγίων ἐγένετο μόνον, ἀλλὰ καὶ ἐπὶ τῶν ἱματίων αὐτῶν, καὶ ἐπὶ τῶν ὑποδημάτων, καὶ καθάπερ ἐπὶ τῶν ἀποστόλων, τὰ ἱμάτια Παύλου νοσήματα καὶ δαίμονας ἤλαυνε, καὶ αἱ σκιαὶ Πέτρου θάνατον ἐφυγάδευον· οὕτω δὴ καὶ

---

8. Προβλ. Πράξ. 19, 12.
9. Προβλ. Πράξ. 5, 16.

τοῦ Θεοῦ εἶναι νὰ μᾶς ἀπαλλάξῃ ἀπὸ τὰ δεινά· διότι περισσότερον ἀπὸ ἐσὲ ποὺ ὑποφέρεις θέλει αὐτὸς νὰ σβήσῃ τὴν φωτιὰν αὐτὴν τῆς θλίψεως, ἀλλὰ περιμένει τὴν ἰδικήν σου σωτηρίαν. Ὅπως λοιπὸν ἀπὸ τὴν ἄνεσιν προῆλθε θλῖψις ἔτσι πρέπει νὰ περιμένῃς καὶ ἀπὸ τὴν ἄνεσιν θλῖψιν. Διότι ὅπως οὔτε πάντοτε εἶναι χειμώνας, οὔτε πάντοτε καλοκαίρι, οὔτε πάντοτε κύματα, οὔτε πάντοτε γαλήνη, οὔτε πάντοτε νύκτα, οὔτε πάντοτε ἡμέρα· ἔτσι δὲν θὰ εἶναι πάντοτε θλῖψις, ἀλλὰ θὰ ὑπάρχῃ καὶ ἄνεσις μόνον ἐὰν κατὰ τὸν χρόνον τῶν θλίψεων συνεχῶς εὐχαριστοῦμεν τὸν Θεόν.

Καθ' ὅσον καὶ οἱ τρεῖς παῖδες ἐρρίφθησαν εἰς τὴν κάμινον καὶ ὅμως οὔτε τότε ἐλησμόνησαν τὸ καθῆκον τῆς προσευχῆς, οὔτε τοὺς ἐτρόμαξεν ἡ φωτιά, ἀλλὰ μὲ μεγαλυτέραν προθυμίαν ἀπὸ ἐκείνους ποὺ κάθονται εἰς τὸ δωμάτιόν των ἀνέπεμπον τὰς ἱερὰς ἐκείνας προσευχάς. Διὰ τοῦτο ἔγινεν εἰς αὐτοὺς ἡ φωτιὰ τεῖχος, καὶ ἡ φλόγα στολή, καὶ ἡ κάμινος πηγὴ καὶ ἐνῷ τοὺς ἐδέχθη δεμένους, τοὺς ἔδωκε πίσω λυμένους· ἐνῷ ἔλαβε θνητὰ σώματα ἀπεμακρύνθη ἀπὸ αὐτὰ ὡσὰν νὰ ἦσαν ἀθάνατα· ἐγνώρισε τὴν φύσιν αὐτῶν, ἀλλὰ ἐσεβάσθη τὴν εὐσέβειάν των· ἔδεσε τὰ πόδια των ὁ τύραννος, καὶ τὰ δεμένα πόδια ἔδεσαν τὴν ἐνέργειαν τοῦ πυρός.

Παράδοξον πρᾶγμα· αὐτοὺς ποὺ ἦσαν δεμένοι τοὺς ἔλυσεν ἡ φωτιά, καὶ αὐτὴ ἐδένετο ὑπὸ τῶν δεμένων· διότι ἡ εὐσέβεια τῶν νέων αὐτῶν μετέβαλε τὴν φύσιν τῶν πραγμάτων, μᾶλλον δὲ δὲν μετέβαλε τὴν φύσιν, ἀλλὰ συνέβη αὐτὸ ποὺ εἶναι πολὺ ἐκπληκτικώτερον, ὅτι δηλαδὴ ἐνῷ ἡ φύσις ἔμενεν ἀμετάβλητος, ἐσταμάτησε τὴν ἐνέργειάν της. Διότι δὲν ἔσβησεν ἡ φωτιὰ ἀλλὰ ἐνῷ ἦτο ἀναμμένη τὴν ἔκαμε νὰ μὴ καίῃ· καὶ τὸ πλέον θαυμαστὸν καὶ παράδοξον εἶναι ὅτι τοῦτο δὲν παρετηρήθη μόνον εἰς τὰ σώματα τῶν ἁγίων, ἀλλὰ καὶ εἰς τὰ ἐνδύματα καὶ εἰς τὰ ὑποδήματα αὐτῶν· καὶ ὅπως συνέβαινεν εἰς τοὺς ἀποστόλους, νὰ ἐκδιώκουν τὰ ἐνδύματα τοῦ Παύλου νοσήματα καὶ δαίμονας[8], καὶ αἱ σκιαὶ τοῦ Πέτρου νὰ ἐκδιώκουν τὸν θάνατον[9], ἔτσι λοιπὸν

ἐνταῦθα τῶν παίδων τούτων τὰ ὑποδήματα τὴν τοῦ πυρὸς δύναμιν ἔσβεσεν.

Οὐκ οἶδα πῶς εἴπω· τὸ γὰρ θαῦμα πᾶσαν ὑπερβαίνει λόγου διήγησιν. Καὶ γὰρ ἔσβεστο ἡ ἐνέργεια, καὶ οὐκ ἔσβεστο· ὅτε μὲν γὰρ τοῖς σώμασιν ὡμίλει τῶν ἁγίων ἐκείνων, ἔσβεστο· ὅτε δὲ τὰ δεσμὰ διαρρῆξαι ἔδει, οὐκ ἔσβεστο· τὰ γοῦν δεσμὰ διέρρηξε, καὶ τῶν ἀστραγάλων οὐχ ἥψατο. Εἶδες πόση ἡ ἐγγύτης; Καὶ οὐκ ἠπατήθη τὸ πῦρ, οὐδὲ ἐνδοτέρω τῶν δεσμῶν προελθεῖν ἐτόλμησεν. Ἔδησεν ὁ τύραννος, καὶ ἔλυσεν ἡ φλόξ, ἵνα μάθῃς καὶ τοῦ βαρβάρου τὴν ὠμότητα καὶ τοῦ στοιχείου τὴν ὑπακοήν. Τίνος δὲ ἕνεκεν ἔδησεν εἰς πῦρ ἐμβαλεῖν μέλλων; Ἵνα τὸ θαῦμα μεῖζον γένηται, ἵνα παραδοξότερον τὸ σημεῖον, ἵνα μὴ νομίσῃς ὀφθαλμῶν ἀπάτην εἶναι τὰ ὁρώμενα. Εἰ γὰρ μὴ πῦρ ἦν ἐκεῖνο τὸ πῦρ, οὐκ ἂν τὰ δεσμὰ κατέφαγεν· καὶ ὃ πολλῷ μεῖζον ἦν, οὐκ ἂν τοὺς ἔξωθεν στρατιώτας καθημένους ἥρπασεν· νῦν δὲ ἐν μὲν τοῖς ἔξω τὴν δύναμιν ἐπεδείξατο, ἐν δὲ τοῖς ἔνδον ὑπακοὴν ἔδειξε.

Σὺ δέ μοι σκόπει πανταχοῦ, πῶς ὁ διάβολος δι' ὧν πολεμεῖ τοῖς τοῦ Θεοῦ δούλοις, διὰ τούτων τὴν οἰκείαν δύναμιν καθαιρεῖ, οὐχ ἑκών, ἀλλὰ τοῦ Θεοῦ τοῦ σοφοῦ καὶ εὐμηχάνου τοῖς ὅπλοις ἐκείνου καὶ ταῖς μεθοδίαις κατὰ τῆς ἐκείνου κεχρημένου κεφαλῆς. Ὃ δὴ καὶ ἐνταῦθα γέγονεν. Ὁ μὲν γὰρ διάβολος ἐμπνεύσας τῷ τυράννῳ τότε ἐκείνῳ, οὔτε σιδήρῳ τὰς τῶν ἁγίων ἀποτμηθῆναι κεφαλὰς ἀφῆκεν, οὔτε θηρίοις παραδοθῆναι, οὔτε ἄλλῳ τινὶ τοιούτῳ τρόπῳ κολασθῆναι· ἀλλ' εἰς τὸ πῦρ ἐμβληθῆναι, ἵνα μηδὲ τὰ λείψανα μένῃ τῶν ἁγίων ἐκείνων, τῶν σωμάτων αὐτοῖς ἀφανισθέντων, καὶ τῆς τέφρας αὐτῶν τῇ τέφρᾳ τῶν κληματίδων

---

10. Δαν. 3, 24.

καὶ ἐδῶ τὰ ὑποδήματα τῶν παιδιῶν τούτων ἔσβησαν τὴν δύναμιν τοῦ πυρός.

Δὲν γνωρίζω πῶς νὰ τὸ εἰπῶ· διότι τὸ θαῦμα αὐτὸ εἶναι ἀνώτερον ἀπὸ κάθε διήγησιν. Διότι καὶ ἔκαιεν ἡ φωτιὰ καὶ δὲν ἔκαιε· διότι ὅταν ἤρχετο εἰς ἐπαφὴν μὲ τὰ σώματα τῶν ἁγίων ἐκείνων, δὲν τὰ ἔκαιεν· ὅταν δὲ ἔπρεπε νὰ σπάσῃ τὰ δεσμά, ἔκαιε· τὰ δεσμὰ λοιπὸν τὰ ἔκαψε, ἀλλὰ δὲν ἔθιξε τοὺς ἀστραγάλους τῶν παιδιῶν. Εἶδες πόσον πλησίον ἦτο; Καὶ ὅμως δὲν ἐξηπατήθη ἀπὸ τὴν ἀπόστασιν, οὔτε ἐτόλμησε νὰ προχωρήσῃ πιὸ πέρα ἀπὸ τὰ δεσμά. Ὁ τύραννος ἔδεσεν, ἡ φωτιὰ ἔλυσε, διὰ νὰ μάθῃς καὶ τὴν σκληρότητα τοῦ βαρβάρου καὶ τὴν ὑπακοὴν τῶν στοιχείων τῆς φύσεως πρὸς τὸν Θεόν. Διατί τοὺς ἔδεσεν ἀφοῦ ἐπρόκειτο νὰ τοὺς βάλῃ εἰς τὴν φωτιάν; Διὰ νὰ γίνῃ μεγαλυτέρα ἡ ἐντύπωσις τοῦ θαύματος διὰ νὰ φανῇ παραδοξότερον τὸ σημεῖον, διὰ νὰ μὴ νομίσῃς ὅτι τὰ ὁρώμενα ὀφείλονται εἰς ἀπάτην τῶν ὀφθαλμῶν. Διότι ἐὰν δὲν ἦτο φωτιά, ἡ φωτιὰ ἐκείνη δὲν θὰ ἠμποροῦσε νὰ καταφάγῃ τὰ δεσμὰ ἐκεῖνα· καὶ τὸ κυριώτερον, δὲν θὰ ἥρπαζε τοὺς στρατιώτας ποὺ ἐκάθηντο ἔξω ἀπὸ τὸν λάκκον[10]· τώρα δὲ εἰς αὐτοὺς μὲν ποὺ ἦσαν ἔξω ἔδειξε τὴν δύναμίν της, εἰς αὐτοὺς δὲ ποὺ ἦσαν μέσα τὴν ὑπακοήν της.

Σὺ ὅμως πρόσεξε παντοῦ, πῶς ὁ διάβολος διὰ τῶν μέσων ποὺ πολεμάει τοὺς δούλους τοῦ Θεοῦ, διὰ τῶν ἰδίων τούτων μέσων καταστρέφει τὴν δύναμίν του, καὶ ὄχι μὲ τὴν θέλησίν του, ἀλλὰ τοῦτο εἶναι πάλιν ἔργον τοῦ Θεοῦ τοῦ σοφοῦ καὶ εὐμηχάνου, ὁ ὁποῖος τὰ ὅπλα καὶ τὰ τεχνάσματα ἐκείνου τὰ χρησιμοποιεῖ ἐναντίον τῆς κεφαλῆς του. Αὐτὸ λοιπὸν ἔγινε καὶ ἐδῶ. Διότι ὁ μὲν διάβολος ἐνέπνευσε τότε εἰς τὸν τύραννον ἐκεῖνον οὔτε νὰ ἀποκεφαλισθοῦν οἱ ἅγιοι ἐκεῖνοι, οὔτε νὰ ριφθοῦν εἰς τὰ θηρία, οὔτε νὰ τιμωρηθοῦν μὲ ἄλλον τρόπον· ἀλλὰ νὰ ριφθοῦν εἰς τὴν φωτιάν, διὰ νὰ μὴ διασωθοῦν οὔτε τὰ λείψανα τῶν ἁγίων ἐκείνων, ἀφοῦ θὰ ἐξηφανίζοντο τὰ σώματά των ὅταν θὰ ἐκαίοντο, καὶ ἡ στάχτη αὐτῶν θὰ ἀνεμειγνύετο μὲ τὴν στάχτην τῶν κληματιδίων. Ὁ

ἀναμιγείσης. Ὁ δὲ Θεὸς αὐτῷ δὴ τούτῳ πρὸς ἀναίρεσιν τῆς ἀσεβείας ἐχρήσατο, καὶ πῶς, ἐγὼ λέγω.

Θεὸς παρὰ τοῖς Πέρσαις εἶναι νομίζεται τὸ πῦρ, καὶ τιμῶσιν αὐτὸ μετὰ πολλῆς τῆς θεραπείας οἱ βάρβαροι, οἱ τὴν χώραν ἐκείνην οἰκοῦντες ἔτι καὶ νῦν. Βουλόμενος τοίνυν ὁ Θεὸς πρόρριζον ἀνελεῖν τῆς ἀσεβείας τὴν ὑπόθεσιν, συνεχώρησεν αὐτῷ τῷ τρόπῳ τῆς κολάσεως ταύτης, ἵνα κατ' ὀφθαλμοὺς τῶν θεραπευόντων αὐτὸ πάντων τοῖς αὐτοῦ δούλοις τὰ νικητήρια δῷ, διὰ τῶν ἔργων αὐτῶν πείσας αὐτούς, ὅτι οἱ τῶν Ἑλλήνων θεοὶ οὐχὶ τὸν Θεὸν μόνον, ἀλλὰ καὶ τοὺς τοῦ Θεοῦ δούλους δεδοίκασι.

4. Καὶ σκόπει διὰ τῶν ἐναντίον πλεκόμενον τῆς νίκης τὸν στέφανον, καὶ μάρτυρας τοῦ τροπαίου γενομένους αὐτοὺς τοὺς ἐχθρούς. «Ἀπέστειλε γάρ», φησί, «Ναβουχοδονόσορ ὁ βασιλεὺς συναγαγεῖν πάντας τοὺς ὑπάτους, καὶ στρατηγούς, καὶ τοπάρχας, ἡγουμένους, καὶ τυράννους, καὶ τοὺς ἐπ' ἐξουσιῶν, καὶ πάντας τοὺς ἄρχοντας τῶν χωρῶν ἐλθεῖν εἰς τὰ ἐγκαίνια τῆς εἰκόνος· καὶ συνήχθησαν πάντες». Ὁ ἐχθρὸς συνάγει τὸ θέατρον, καὶ αὐτὸς συγκροτεῖ τοὺς θεατάς· αὐτὸς τὰ σκάμματα τίθησι, καὶ θέατρον οὐ τῶν τυχόντων ἀνθρώπων, οὐκ ἰδιωτῶν τινων, ἀλλὰ τῶν ἐντίμων πάντων τῶν ἐν ἀρχαῖς, ἵνα καὶ ἡ μαρτυρία ἀξιόπιστος γένηται παρὰ τοῖς πολλοῖς.

Ἦλθον ἐφ' ἑτέρᾳ κληθέντες ὑποθέσει, καὶ ἕτερα θεασάμενοι πάντες ἀπῆλθον. Ἦλθον προσκυνήσαντες τὴν εἰκόνα, καὶ τῆς μὲν εἰκόνος καταγελάσαντες, ἐκπλαγέντες δὲ τοῦ Θεοῦ τὴν δύναμιν, διὰ τῶν εἰς τοὺς παῖδας τούτους γενομένων σημείων, ἀπῆλθον. Καὶ ὅρα ποῦ τὸ στάδιον ἀνεῴγει τοῦτο· οὐκ ἐν πόλει, οὐδὲ ἐν χώρᾳ τινί, ἀλλ' ὕπτια καὶ ψιλὰ πεδία δέχεται τοῦτο τῆς οἰκουμένης τὸ θέατρον. Ἐν γὰρ πεδίῳ Δεηρᾶ, τῆς πόλεως ἔξω, τὴν εἰκόνα ἔστησε, καὶ ὁ κῆρυξ παρελθὼν ἐβόα· «Ὑμῖν λέγεται ἔθνη, φυλαί, λαοί, γλῶσ-

---

11. Δαν. 3, 2.

Θεὸς ὅμως αὐτὸ τοῦτο τὸ ἴδιον τὸ μέσον τὸ μετεχειρίσθη, διὰ νὰ καταργήσῃ τὴν ἀσέβειαν, καὶ πῶς, ἐγὼ θὰ σᾶς εἰπῶ.

Ἡ φωτιὰ θεωρεῖται καὶ πιστεύεται ἀπὸ τοὺς Πέρσας ὡς Θεός, καὶ οἱ βάρβαροι μὲ πολλὴν εὐλάβειαν τιμοῦν αὐτήν, ἀκόμη καὶ σήμερον. Θέλων λοιπὸν ὁ Θεὸς ἀπὸ τὴν ρίζαν νὰ ἐκριζώσῃ τὴν ἀσέβειαν αὐτήν, ἐπέστρεψεν νὰ τιμωρηθοῦν μὲ αὐτὸν τὸν τρόπον, διὰ νὰ ἰδοῦν μὲ τὰ μάτια τους, αὐτοὶ ποὺ λατρεύουν τὴν φωτιάν, τὴν νίκην ποὺ θὰ δώσῃ εἰς τοὺς δούλους του, καὶ ἐμπράκτως νὰ τοὺς πείσῃ ὅτι οἱ θεοὶ τῶν ἐθνικῶν ὄχι μόνον τὸν Θεόν, ἀλλὰ καὶ τοὺς δούλους τοῦ Θεοῦ φοβοῦνται.

4. Καὶ παρατήρησε ὅτι ἀπὸ τοὺς ἀντιθέτους πλέκεται ὁ στέφανος τῆς νίκης καὶ ὅτι μάρτυρες τοῦ θριάμβου γίνονται αὐτοὶ οἱ ἴδιοι οἱ ἐχθροί. Διότι λέγει· «ἀπέστειλεν ὁ βασιλεὺς Ναβουχοδονόσορ ἀνθρώπους διὰ νὰ συγκεντρώσῃ ὅλους τοὺς ὑπάτους καὶ στρατηγοὺς καὶ τοπάρχας καὶ διοικητὰς καὶ τυράννους, καὶ αὐτοὺς ποὺ εἶχαν ἐξουσίαν, καὶ ὅλους τοὺς ἄρχοντας τῶν χωρῶν νὰ ἔλθουν εἰς τὰ ἐγκαίνια τῆς εἰκόνος· καὶ ἐμαζεύθησαν ὅλοι»[11]. Ὁ ἐχθρὸς ἑτοιμάζει τὸ θέατρον καὶ ὁ ἴδιος συγκεντρώνει τοὺς θεατάς· αὐτὸς ὁρίζει τὰ ἀθλήματα καὶ φέρει θεατὰς ὄχι τυχαίους ἀνθρώπους, οὔτε κάποιους ἀσήμους, ἀλλὰ ἐπισήμους καὶ ἀξιωματούχους διὰ νὰ γίνῃ καὶ ἡ μαρτυρία ἀξιόπιστος ἀπὸ τοὺς πολλούς.

Ἦλθον κληθέντες δι' ἄλλην ὑπόθεσιν καὶ ἔφυγαν ὅλοι ἀφοῦ εἶδαν ἄλλα. Ἦλθον διὰ νὰ προσκυνήσουν τὴν εἰκόνα, καὶ τὴν εἰκόνα μὲν περιεφρόνησαν, ἐξεπλάγησαν δὲ διὰ τὴν δύναμιν τοῦ Θεοῦ, λόγῳ τῶν γενομένων σημείων ἀπὸ αὐτὸν εἰς τοὺς παῖδας, καὶ ἀνεχώρησαν. Πρόσεξε ποῦ ἔγινε τὸ θέατρον τοῦτο· δὲν ἔγινε μέσα εἰς τὴν πόλιν, οὔτε μέσα εἰς κάποιαν χώραν, ἀλλὰ εἰς ὁμαλὴν καὶ γυμνὴν πεδιάδα συγκροτεῖται τὸ θέατρον τοῦτο τῆς οἰκουμένης. Διότι εἰς τὴν πεδιάδα Δεηρά, ἔξω ἀπὸ τὴν πόλιν ἔστησε τὴν εἰκόνα, καὶ διαβαίνων ὁ κῆρυξ ἐφώναζεν· «δίδεται ἐντολὴ εἰς σᾶς ἔθνη, φυλαί, λαοί, γλῶσσαι, τὴν ὥραν κατὰ τὴν ὁποίαν θὰ ἀκού-

σαι, ἐν ᾗ ἂν ὥρᾳ ἀκούσητε τῆς φωνῆς τῆς σάλπιγγος, σύριγγός τε, καὶ κιθάρας, σαμβύκης τε, καὶ ψαλτηρίου, καὶ συμφωνίας, καὶ παντὸς γένους μουσικῶν, πεσόντες προσκυνήσατε τῇ εἰκόνι τῇ χρυσῇ (ὄντως γὰρ πεσεῖν ἦν τὸ προσκυνῆσαι τὸ εἴδωλον)· καὶ ὃς ἐὰν μὴ προσκυνήσῃ πεσών, ἐν αὐτῇ τῇ ὥρᾳ ἐμβληθήσεται εἰς κάμινον τοῦ πυρὸς τὴν καιομένην».

Εἶδες πῶς χαλεπὰ τὰ παλαίσματα γίνεται, καὶ ὅσαι τῆς ἐπιβουλῆς αἱ ἀνάγκαι, καὶ πῶς βαθὺ τὸ βάραθρον, καὶ κρημνὸς ἑκατέρωθεν; Ἀλλὰ μὴ δείσῃς· ὅσῳ περ ἂν αὐξήσῃ τὰ μηχανήματα ὁ ἐχθρός, τοσούτῳ μᾶλλον δείκνυσι τῶν παίδων τὴν ἀνδρείαν. Διὰ γὰρ τοῦτο συμφωνία μουσικῶν τοσούτων, διά τοῦτο ἡ κάμινος ἡ καιομένη, ἵνα καὶ ἡδονὴ καὶ φόβος πολιορκῇ τὰς τῶν παρόντων ψυχάς.

Πικρός τίς ἐστι τῶν παρόντων καὶ δυσένδοτος; Μαλαττέτω, φησίν, αὐτὸν γοητεύουσα τῆς παναρμονίου μουσικῆς ἡ μελῳδία. Ἀλλ' ἀνώτερος ταύτης γίνεται τῆς ἐπιβουλῆς; Φοβείτω καὶ καταπληττέτω τῆς φλογὸς ἡ ὄψις. Καὶ ἦν φόβος καὶ ἡδονή, ἡ μὲν διὰ τῶν ὤτων, ὁ δὲ διὰ τῶν ὀφθαλμῶν ἐπεισιὼν τῇ ψυχῇ· ἀλλὰ τὸ γενναῖον τῶν νεανίσκων ἐκείνων οὐδὲν τούτων ἤλεγξεν, ἀλλ' ὥσπερ εἰς τὸ πῦρ ἐμπεσόντες, ἐκράτησαν τῆς φλογός· οὕτω πάσης ἐπιθυμίας καὶ ἀγωνίας κατεγέλασαν. Πάντα γὰρ ταῦτα δι' ἐκείνους ὁ διάβολος προπαρεσκεύασεν· οὐ γὰρ περὶ τῶν ὑπηκόων ἠμφισβήτει, ἀλλὰ καὶ σφόδρα ἐθάρρει, ὅτι οὐδεὶς ἀντιπεσεῖται τῷ νόμῳ τοῦ βασιλέως.

Ἐπειδὴ δὲ ἅπαντες ἔπεσον καὶ ἡττήθησαν, τότε εἰς μέσον οἱ παῖδες ἄγονται μόνοι, ἵνα καὶ ταύτῃ ἡ νίκη λαμπροτέρα γένηται, ἐν τοσούτῳ πλήθει νικώντων καὶ ἀνακηρυτ-

---

12. Μουσικὸν ὄργανον ἔγχορδον ἐντατόν, ὕψους πλέον τοῦ ἑνὸς καὶ ἐνίοτε μέχρι δύο μέτρων, ἔχον σχῆμα ἐπιμήκους ὀρθογωνίου περίπου τριγώνου, στηριζόμενον κατὰ τὴν ὀξυτέραν γωνίαν ἐπὶ τοῦ ἐδάφους· αἱ χορδαὶ εἰς ἄλλας μὲν ἦσαν τέσσαρες εἰς ἄλλας περισσότεραι καὶ εἰς τὴν Αἴγυπτον ἔφθαναν μέχρι 38.

σετε τὴν φωνὴν τῆς σάλπιγγος καὶ τῆς κιθάρας καὶ τῆς σαμβύκης[12] καὶ τοῦ ψαλτηρίου καὶ συμφωνίας καὶ παντὸς εἴδους μουσικῶν ὀργάνων, νὰ πέσετε καὶ νὰ προσκυνήσετε τὴν εἰκόνα τὴν χρυσῆν (διότι πράγματι ἦτο πτῶσις τὸ νὰ προσκυνήσουν τὸ εἴδωλον)· καὶ ὅποιος δὲν πέσῃ νὰ προσκυνήσῃ τὴν ἰδίαν ὥραν θὰ ριφθῇ εἰς τὸ ἀναμμένον καμίνι»[13].

Εἶδες πόσον δύσκολοι γίνονται οἱ ἀγῶνες καὶ πόσον βιαία ἡ ἐπιβουλή, καὶ πόσον βαθὺ τὸ βάραθρον καὶ ὅτι ὑπάρχει κρημνὸς καὶ ἀπὸ τὰ δύο μέρη; Ἀλλὰ μὴ φοβηθῇς· διότι ὅσον περισσότερον αὐξάνει τὰ μηχανήματά του ὁ ἐχθρός, τόσον περισσότερον φανερώνει τὴν ἀνδρείαν τῶν παίδων. Διότι διὰ τοῦτο ὑπῆρχε τόσων μουσικῶν ὀργάνων συμφωνία, διὰ τοῦτο ὑπῆρχεν ἡ καιομένη κάμινος, διὰ νὰ πολιορκῇ τὰς ψυχὰς τῶν παρόντων φόβος καὶ εὐχαρίστησις.

Εἶναι κάποιος ἀπὸ τοὺς παρόντας δύστροπος; Ἂς τὸν κάμῃ μαλακόν, λέγει, αὐτὸν ἡ μελῳδία τῆς παναρμονίου μουσικῆς ποὺ γοητεύει. Ἀλλ' εἶναι κανεὶς ἀνώτερος τῆς ἐπιβουλῆς; Ἂς τοῦ προξενῇ φόβον καὶ κατάπληξιν ἡ ὄψις τῆς φωτιᾶς τῆς καμίνου. Καὶ ὑπῆρχε φόβος καὶ εὐχαρίστησις, καὶ αὐτὴ μὲν διὰ τῶν ὀφθαλμῶν, ὁ δὲ διὰ τῶν ὤτων εἰσῆρχετο εἰς τὴν ψυχήν· ὅμως τὴν γενναιότητα τῶν νεανίσκων ἐκείνων τίποτε ἀπὸ αὐτὰ δὲν τὴν κατενίκησεν, ἀλλ' ὅπως ὅταν ἔπεσαν εἰς τὴν φωτιὰν ἔγιναν κύριοι αὐτῆς, ἔτσι καὶ κάθε ἐπιθυμίαν καὶ ἀγωνίαν περιεφρόνησαν. Διότι ὅλα αὐτὰ τὰ προπαρασκεύασεν ὁ διάβολος δι' ἐκείνους· καθ' ὅσον διὰ τοὺς ὑπηκόους του ὄχι μόνον δὲν ἀμφέβαλλεν, ἀλλὰ ἀντιθέτως εἶχε μεγάλην πεποίθησιν ὅτι οὐδεὶς θὰ ἀντισταθῇ εἰς τὴν διαταγὴν τοῦ βασιλέως.

Ἐπειδὴ δὲ ὅλοι ἔπεσαν καὶ ἐνικήθησαν, τότε ὁδηγοῦνται εἰς τὸ μέσον ὅλων τὰ παιδιὰ αὐτὰ μόνα, διὰ νὰ γίνῃ λαμπροτέρα διὰ τοῦ τρόπου αὐτοῦ ἡ νίκη, διότι θὰ ἐνικοῦ-

13. Δαν. 6, 4-6.

τομένων αὐτῶν. Οὐδὲ γὰρ ἦν οὕτω θαυμαστόν, εἰ μηδενὸς ὑποσκελισθέντος οὗτοι παρελθόντες ἠνδρίσαντο πρῶτοι. Τὸ δὲ μέγιστον καὶ παράδοξον, ὅτι τῶν πεπτωκότων τὸ πλῆθος οὐκ ἐφόβησεν αὐτούς, οὐδὲ ἐξέλυσεν, οὐδὲ εἶπον πρὸς ἑαυτούς τι τοιοῦτον, ὃ πολλοὶ πολλάκις λέγειν εἰώθασιν· εἰ μὲν γὰρ πρῶτοι καὶ μόνοι προσκυνεῖν ἡμεῖς ἐμέλλομεν τὴν εἰκόνα, ἔγκλημα τὸ γινόμενον ἦν· εἰ δὲ μετὰ τοσούτων μυριάδων τοῦτο ποιοῦμεν, τίς οὐ δώσει συγγνώμην; τίς ἀπολογίας οὐκ ἀξιώσει; Ἀλλ' οὐδὲν οὔτε εἶπον, οὔτε ἐνενόησάν τι τοιοῦτον ἐκεῖνοι, τὰ πτώματα τῶν τοσούτων ἰδόντες τυράννων.

Σὺ δέ μοι σκόπει καὶ τῶν διαβαλλόντων αὐτοὺς τὴν κακουργίαν, πῶς καὶ κακοήθως αὐτῶν καὶ πικρῶς κατηγόρησαν ἐκεῖνοι. «Εἰσὶ γάρ», φησίν, «ἄνδρες Ἰουδαῖοι, οὓς κατέστησας ἐπὶ τὰ ἔργα τῆς χώρας Βαβυλῶνος»· οὐ γὰρ ἁπλῶς ἐμνημόνευσαν τοῦ ἔθνους, ἀλλὰ καὶ τῆς τιμῆς ἀνέμνησαν, ἵνα ἐκκαύσωσι τὴν τοῦ βασιλέως ὀργήν, μονονουχὶ λέγοντες, ὅτι τοὺς δούλους τοὺς αἰχμαλώτους τοὺς ἀπόλιδας ἄρχοντας ἡμῶν ἐποίησας. Οἱ δὲ καὶ τὴν τοσαύτην τιμὴν ὑβρίζουσι, καὶ παροινοῦσιν εἰς τὸν τετιμηκότα. Διὰ τοῦτο λέγουσιν, «οἱ Ἰουδαῖοι, οὓς κατέστησας ἐπὶ τὰ ἔργα τῆς χώρας Βαβυλῶνος, οὐχ ὑπήκουσαν τῷ δόγματί σου, καὶ τοῖς θεοῖς σου οὐ λατρεύουσι». Μέγιστος ἔπαινος ἡ κατηγορία, καὶ τὰ ἐγκλήματα ἐγκώμια γίνεται, καὶ ἡ μαρτυρία ἀνύποπτος, τῶν ἐχθρῶν αὐτὴν παρεχομένων.

Τί οὖν ὁ βασιλεύς; Ἐκέλευσεν εἰς μέσον ἀχθῆναι αὐτοὺς ὥστε πάντοθεν αὐτοὺς φοβῆσαι. Ἀλλ' οὐδὲν ἐκείνους ἐξέπληξεν, οὐχ ὁ θυμὸς τοῦ βασιλέως, οὐ τὸ μόνους ἐν μέσῳ τοσούτων ἀπειλῆφθαι, οὐ τὸ πῦρ ὁρώμενον, οὐχ αἱ σάλπιγγες

14. Δαν. 3, 12.
15. Δαν. 3, 12.

σαν μέσα εἰς τόσον μεγάλο πλῆθος καὶ θὰ ἀνεκηρύσσοντο νικηταί. Δὲν θὰ ἦτο δὲ τὸ πρᾶγμα τόσον θαυμαστὸν ἐὰν χωρὶς νὰ νικηθῇ κανεὶς αὐτοὶ παρουσιάζοντο καὶ πρῶτοι ἐφανέρωναν τὴν ἀνδρείαν των. Τὸ δὲ μέγιστον καὶ παράδοξον εἶναι ὅτι δὲν τοὺς ἐφόβησε τὸ πλῆθος ποὺ ἔπεσε καὶ προσεκύνησε τὴν εἰκόνα, οὔτε τοὺς παρέλυσε ψυχικῶς, οὔτε εἶπαν μέσα τους κάτι ἀπὸ ἐκεῖνα ποὺ πολλοὶ πολλάκις συνηθίζουν νὰ λέγουν· διότι ἐὰν μὲν ἐπρόκειτο πρῶτοι καὶ μόνοι ἐμεῖς νὰ προσκυνήσωμεν τὴν εἰκόνα θὰ ἦτο ἔγκλημα αὐτό· ἀφοῦ ὅμως κάμνομεν τοῦτο μαζὶ μὲ τόσας μυριάδας ἄλλων, ποῖος δὲν θὰ μᾶς συγχωρήσῃ; ποῖος δὲν θὰ ἀξιώσῃ ἀπολογίας; Καὶ ὅμως οὔτε εἶπαν τίποτε ἀπὸ αὐτά, οὔτε διενοήθησαν κάτι τέτοιον ἐκεῖνοι, βλέποντες τὴν πτῶσιν τόσων τυράννων.

Πρόσεξε ἀκόμη καὶ τὴν κακουργίαν ἐκείνων ποὺ τοὺς διέβαλον, πῶς καὶ μὲ κακοήθειαν καὶ μὲ σκληρότητα τοὺς κατηγόρησαν. «Διότι εἶναι», λέγουν, «ἄνδρες Ἰουδαῖοι τοὺς ὁποίους διώρισες εἰς τὰ ἔργα τῆς χώρας Βαβυλῶνος»[14]· διότι δὲν ἐμνημόνευσαν μόνον τὸ ἔθνος, ἀλλὰ ὑπενθύμησαν καὶ τὴν τιμὴν ποὺ ἔλαβον, διά νά ἐρεθίσουν περισσότερον τὴν ὀργὴν τοῦ βασιλέως, λέγοντες κατὰ κάποιον τρόπον, ὅτι τοὺς δούλους, τοὺς αἰχμαλώτους, τοὺς ἀπάτριδας τοὺς ἔκαμες ἄρχοντας ἡμῶν. Αὐτοὶ δὲ περιφρονοῦν καὶ τὴν τόσον μεγάλην τιμήν, καὶ ἀσεβοῦν πρὸς ἐκεῖνον ποὺ τοὺς ἐτίμησε. Διὰ τοῦτο λέγουν «οἱ Ἰουδαῖοι τοὺς ὁποίους διώρισες εἰς τὰ ἔργα τῆς χώρας Βαβυλῶνος, δὲν ὑπήκουσαν εἰς τὴν διαταγήν σου καὶ δὲν λατρεύουν τοὺς θεούς σου»[15]. Μέγιστος ἔπαινος εἶναι ἡ κατηγορία, καὶ τὰ ἐγκλήματα γίνονται ἐγκώμια, καὶ ἡ περὶ αὐτῶν μαρτυρία δὲν παρέχει ὑποψίαν ὅτι εἶναι ἀνακριβὴς διότι τὴν δίδουν οἱ ἐχθροί.

Τί ἔκαμε λοιπὸν ὁ βασιλεύς; Διέταξε νὰ τοὺς φέρουν εἰς τὸ μέσον, ὥστε νὰ φοβηθοῦν ἀπὸ παντοῦ. Ὅμως τίποτε δὲν τοὺς ἐτρόμαξεν, οὔτε ὁ θυμὸς τοῦ βασιλέως, οὔτε τὸ ὅτι ἔμειναν μόνοι μέσα εἰς τόσον πολὺ πλῆθος, οὔτε ἡ φωτιὰ

ἠχοῦσαι, οὐ πάντες εἰς αὐτοὺς πῦρ βλέποντες, ἀλλὰ πάντων τούτων καταγελάσαντες, ὡς εἰς ψυχρὰν πηγὴν ὑδάτων ἐμπίπτειν μέλλοντες, ἐπὶ τὴν κάμινον εἰσήεσαν, τὴν μακαρίαν ἐκείνην ἀφιέντες φωνήν, ὅτι «Τοῖς θεοῖς σου οὐ λατρεύομεν, καὶ τῇ εἰκόνι τῇ χρυσῇ ᾗ ἔστησας οὐ προσκυνοῦμεν».

Καὶ ταύτην οὐχ ἁπλῶς ἐκίνησα τὴν ἱστορίαν, ἀλλ' ἵνα μάθητε, ὅτι κἂν θυμὸς ᾖ βασιλικός, κἂν ἐπιβουλὴ στρατιωτῶν, κἂν φθόνος ἐχθρῶν, κἂν αἰχμαλωσία, κἂν ἐρημία, κἂν πῦρ, κἂν κάμινος, κἂν μυρία δεινά, τὸν δίκαιον οὐδὲν ἐλέγξαι, οὐδὲ φοβῆσαι δυνήσεται. Εἰ γάρ, ἔνθα ἀσεβὴς ἦν ὁ βασιλεύς, οὐκ ἐξεπλάγησαν οἱ νεανίσκοι τὸν τοῦ τυράννου θυμόν, πολλῷ μᾶλλον ἡμᾶς θαρρεῖν χρὴ φιλάνθρωπον καὶ ἥμερον ἔχοντας βασιλέα, καὶ χάριν εἰδέναι τῷ Θεῷ τῆς θλίψεως ταύτης, ἀπὸ τῶν εἰρημένων μαθόντας, ὅτι αἱ θλίψεις λαμπροτέρους ποιοῦσι, καὶ παρὰ Θεῷ, καὶ παρὰ ἀνθρώποις, τοὺς εἰδότας αὐτὰς φέρειν γενναίως. Καὶ γάρ, εἰ μὴ ἐγένοντο οὗτοι δοῦλοι, οὐκ ἂν ἔγνωμεν αὐτῶν τὴν ἐλευθερίαν· εἰ μὴ αἰχμάλωτοι ἐγένοντο, οὐκ ἂν αὐτῶν ἐμάθομεν τὴν εὐγένειαν τῆς ψυχῆς· εἰ μὴ τῆς κάτω πατρίδος ἐξέπεσον, οὐκ ἂν ἔγνωμεν τῆς ἄνω πολιτείας αὐτῶν τὴν ἀρετήν· εἰ μὴ ὠργίσθη αὐτοῖς ὁ ἐν τῇ γῇ βασιλεύς, οὐκ ἂν ἐμάθομεν τὴν εὔνοιαν, ἣν εἶχε περὶ αὐτοὺς ὁ ἐπουράνιος βασιλεύς.

5. Καὶ σὺ τοίνυν ἐὰν ἔχῃς ἐκεῖνον εὐμενῆ, κἂν εἰς κάμινον ἐμπέσῃς, μὴ ἀπογνῷς· ὥσπερ ἂν ὀργίζηται, κἂν ἐν παραδείσῳ ᾖς, μὴ θαρρήσῃς. Καὶ γὰρ ἐν παραδείσῳ ἦν Ἀδάμ, καὶ ἐπειδὴ Θεὸν παρώργισεν, οὐδὲν ὠφέλησεν ὁ παράδεισος·

16. Δαν. 3, 58.

πού έβλεπαν, ούτε αί σάλπιγγες πού ήχοῦσαν, οὔτε τὸ ὅτι τοὺς ἔβλεπαν ὅλοι νὰ εἶναι ἐντὸς τῆς φωτιᾶς, ἀλλ' ὅλα αὐτά τὰ περιφρόνησαν ὡσὰν νὰ ἐπρόκειτο νὰ πέσουν εἰς δροσερὴν πηγὴν ὕδατος καὶ ἔμπαιναν μέσα εἰς τὴν κάμινον, λέγοντες τὰ μακάρια ἐκεῖνα λόγια ὅτι «τοὺς θεούς σου δὲν λατρεύομεν καὶ τὴν χρυσῆν εἰκόνα πού ἔστησες δὲν προσκυνοῦμεν»[16].

Καὶ αὐτὴν τὴν ἱστορίαν δὲν σᾶς τὴν ἀνέφερα χωρὶς λόγον, ἀλλὰ διὰ νὰ μάθετε ὅτι καὶ ἂν ἀκόμα ὑπάρχῃ θυμὸς τοῦ βασιλέως καὶ φθόνος ἐχθρῶν καὶ αἰχμαλωσία καὶ ἐρημία καὶ πῦρ καὶ κάμινος καὶ ἀναρίθμητα κακά, τίποτε ἀπὸ αὐτὰ δὲν θὰ ἠμπορέσῃ νὰ νικήσῃ καὶ νὰ φοβίσῃ τὸν δίκαιον. Διότι, ἐάν, ἐκεῖ πού ἦτο ἀσεβὴς ὁ βασιλεύς, δὲν ἐφοβήθησαν οἱ νέοι τὸν θυμὸν τοῦ βασιλέως, πολὺ περισσότερον ἡμεῖς πρέπει νὰ ἔχωμεν θάρρος καὶ νὰ μὴ φοβούμεθα, διότι ἔχομεν ἥμερον καὶ φιλάνθρωπον βασιλέα, καὶ νὰ εὐχαριστοῦμεν τὸν Θεὸν διὰ τὴν θλῖψιν αὐτήν, διότι ἐμάθαμεν ἀπὸ τὰ λεχθέντα ὅτι αἱ θλίψεις κάμουν λαμπροτέρους ἐνώπιον τοῦ Θεοῦ καὶ ἐνώπιον τῶν ἀνθρώπων, ἐκείνους πού γνωρίζουν νὰ ὑποφέρουν αὐτὰς μὲ γενναιότητα. Διότι ἐὰν αὐτοὶ δὲν ἐγένοντο δοῦλοι δὲν θὰ ἐμαθαίναμεν τὴν ἐλευθερίαν τῆς γνώμης των· ἐὰν δὲν ἐγένοντο αἰχμάλωτοι δὲν θὰ ἐμαθαίναμεν τὴν εὐγένειαν τῆς ψυχῆς των· ἐὰν δὲν ἔχαναν τὴν πατρίδα των αὐτὴν ἐδῶ, δὲν θὰ ἐγνωρίζαμεν τὴν ἀρετὴν τῆς ἄνω πολιτείας των· ἐὰν δὲν ὠργίζετο ἐναντίον αὐτῶν ὁ ἐπίγειος βασιλεὺς δὲν θὰ ἠμπορούσαμεν νὰ μάθωμεν τὴν εὔνοιαν τὴν ὁποίαν ἐξεδήλωσε πρὸς αὐτοὺς ὁ ἐπουράνιος βασιλεύς.

5. Καὶ σὺ λοιπὸν ἐὰν ἔχῃς τὴν εὔνοιαν τοῦ Θεοῦ καὶ ἂν ἀκόμα πέσῃς μέσα εἰς κάμινον, νὰ μὴ ἀπελπισθῇς· ὅπως ἂν ὀργίζεται ἐναντίον σου καὶ ἂν ἀκόμα εὑρίσκεσαι εἰς τὸν παράδεισον, νὰ μὴ ἔχῃς θάρρος. Διότι καὶ ὁ Ἀδὰμ ἦτο εἰς τὸν παράδεισον καὶ ἐπειδὴ παρώργισε τὸν Θεόν, δὲν τὸν ὠφέλησεν εἰς τίποτε ὁ παράδεισος· αὐτοὶ εὑρίσκοντο μέσα

ἐν καμίνῳ ἦσαν οὗτοι, καὶ ἐπειδὴ εὐδοκίμησαν, οὐδὲν ἔβλαψεν ἡ κάμινος· ἐν παραδείσῳ ἦν ὁ Ἀδάμ, καὶ ἐπειδὴ ῥάθυμος ἦν, ὑπεσκελίσθη· ἐν κοπρίᾳ ἐκάθητο Ἰώβ, καὶ ἐπειδὴ ἔνηφεν, ἐκράτει. Καί τοι πόσῳ βέλτιον παράδεισος κοπρίας; Ἀλλ' οὐδὲν ὠφέλησεν ἡ ἀρετὴ τοῦ χωρίου τὸν ἐνοικοῦντα, ἐπειδὴ προύδωκαν ἑαυτὸν ἐκεῖνος· ὥσπερ οὖν οὐδὲν ἔβλαψεν ἡ εὐτέλεια τοῦ τόπου τὸν ἀρετῇ πάντοθεν τετειχισμένον.

Καὶ ἡμεῖς τοίνυν τὴν ψυχὴν ἀσφαλισώμεθα τὴν ἡμετέραν· κἂν γὰρ ζημία χρημάτων ἐπίῃ, κἂν θάνατος, τὴν δὲ εὐσέβειαν μηδεὶς ἡμᾶς ἀφέληται, μακαριώτεροι πάντων ἐσμέν. Τοῦτο καὶ ὁ Χριστὸς ἐπέταξεν εἰπών, «Γίνεσθε οὖν φρόνιμοι ὡς οἱ ὄφεις». Καθάπερ γὰρ ἐκεῖνος τὸ λοιπὸν προΐεται ἅπαν σῶμα, ὥστε διασῶσαι τὴν κεφαλήν· οὕτω καὶ σύ, κἂν χρήματα, κἂν σῶμα, κἂν τὴν παροῦσαν ζωήν, κἂν πάντα προέσθαι δέῃ, ὥστε διατηρῆσαι τὴν εὐσέβειαν, μὴ ἀθύμει. Ἂν γὰρ ἐκείνην ἔχων ἀπέλθῃς, πάντα σοι μετὰ πλείονος ἀποδώσει τῆς λαμπρότητος ὁ Θεός, καὶ τὸ σῶμα μετὰ μείζονος δόξης ἀναστήσει πάλιν, καὶ ἀντὶ χρημάτων τὰ ἀγαθὰ τὰ πᾶσαν ὑπερβαίνοντα λόγου δύναμιν.

Οὐσὶ γυμνὸς ἐπὶ τῆς κοπρίας ἐκάθητο ὁ Ἰώβ, μυρίων θανάτων χαλεπωτέραν ὑπομένων ζωήν; Ἀλλ' ἐπειδὴ τὴν εὐσέβειαν οὐκ ἀπέβαλε, πάντα μετὰ πλείονος αὐτῷ ἐπανῆλθε τῆς περιουσίας τὰ πρότερα, σώματος ὑγεία καὶ κάλλος, τῶν παίδων ὁ χορὸς ἅπας, τὰ κτήματα, καὶ τὸ δὴ μεῖζον ἁπάντων, ὁ λαμπρὸς τῆς ὑπομονῆς στέφανος. Καθάπερ γὰρ ἐπὶ τῶν δένδρων γίνεται, κἂν τὸν καρπόν τις ἀφέληται μετὰ τῶν φύλλων, κἂν τοὺς κλάδους πάντας ἐκκόψῃ, τῆς ῥίζης μενούσης, ὁλόκληρον καὶ μετὰ πλείονος ἀνίσταται τῆς εὐπρεπείας τὸ δένδρον· οὕτω δὴ καὶ ἐφ' ἡμῶν, ἐὰν ἡ ῥίζα μένῃ

17. Ματθ. 10, 16.

εἰς τὴν κάμινον καὶ ἐπειδὴ ἦσαν ἐνάρετοι, δὲν τοὺς ἔβλαψεν εἰς τίποτε ἡ κάμινος· εἰς τὸν παράδεισον ἦτο ὁ Ἀδάμ, καὶ ἐπειδὴ ἦτο ράθυμος, ἐνικήθη ἀπὸ τὸν διάβολον· ἐπάνω εἰς τὴν κόπρον ἐκάθητο ὁ Ἰὼβ καὶ ἐπειδὴ ἦτο νηφάλιος ἐνικοῦσε. Πόσον καλύτερος εἶναι ὁ παράδεισος ἀπὸ τὴν κόπρον; Καὶ ὅμως τίποτε δὲν ὠφέλησεν ἡ ὡραιότης τοῦ τόπου τὸν κατοικοῦντα εἰς αὐτόν, ἐπειδὴ ἐπρόδωσε τὸν ἑαυτόν του· ὅπως δὲν ἔβλαψεν εἰς τίποτε ἡ ἀσημότης τοῦ τόπου τὸν περιφρουρούμενον ἀπὸ παντοῦ ὑπὸ τῆς ἀρετῆς.

Καὶ ἡμεῖς λοιπὸν ἂς περιφρουρήσωμεν τὴν ψυχήν μας· διότι τότε καὶ ἂν ἀκόμα ἔλθῃ ζημία χρημάτων, ἢ θάνατος, τὴν ἀρετὴν ὅμως δὲν θὰ ἠμπορέσῃ κανεὶς νὰ μᾶς ἀφαιρέσῃ, καὶ θὰ εἴμεθα οἱ εὐτυχέστεροι ἀπὸ ὅλους τοὺς ἀνθρώπους. Αὐτὸ καὶ ὁ Χριστὸς τὸ εἶπε «νὰ γίνετε φρόνιμοι ὅπως εἶναι τὰ φίδια»[17]. Διότι ὅπως ἐκεῖνο ἀφήνει τὸ ὑπόλοιπον σῶμα καὶ φροντίζει νὰ διασώσῃ τὸ κεφάλι, ἔτσι καὶ σὺ ἂν παραστῇ ἀνάγκη μὴ διστάσῃς νὰ θυσιάσῃς εἴτε χρήματα, εἴτε σῶμα, εἴτε τὴν παροῦσαν ζωήν, εἴτε ὅλα ὅσα ἔχεις, διὰ νὰ διατηρήσῃς τὴν εὐσέβειαν. Διότι ἂν φύγῃς ἀπὸ ἐδῶ ἔχων αὐτήν, ὅλα θὰ σοῦ τὰ δώσῃ ὁ Θεὸς μὲ μεγαλυτέραν λαμπρότητα, καὶ τὸ σῶμα σου μὲ μεγαλυτέραν δόξαν θὰ τὸ ἀναστήσῃ πάλιν καὶ ἀντὶ χρημάτων θὰ σοῦ δώσῃ τὰ ἀγαθὰ ποὺ δὲν ἠμποροῦν νὰ περιγραφοῦν μὲ λόγια.

Δὲν ἐκάθητο ἐπάνω εἰς τὴν κοπριὰν γυμνὸς ὁ Ἰὼβ ὑπομένων ζωὴν χειροτέραν ἀπὸ ἀναριθμήτους θανάτους; Ἐπειδὴ ὅμως δὲν ἀπέβαλε τὴν εὐσέβειαν, ὅλα τὰ ἀγαθὰ ποὺ εἶχε προηγουμένως τὰ ἀπέκτησε πάλιν μὲ μεγαλυτέραν ἀφθονίαν, τὴν ὑγείαν καὶ τὸ κάλλος τοῦ σώματος, ὁλόκληρον τὸν ὅμιλον τῶν παιδιῶν του, τὰ κτήματα, καὶ τὸ σπουδαιότερον ὅλων τὸν λαμπρὸν στέφανον τῆς ὑπομονῆς. Διότι τὸ ἴδιον συμβαίνει καὶ μὲ τὰ δένδρα, καὶ ἂν κόψῃ κάποιος τὸν καρπὸν μαζὶ μὲ τὰ φύλλα, καὶ ἂν κόψῃ ὅλα τὰ κλαδιά, ἂν μείνῃ ἡ ρίζα, ὁλόκληρον τὸ δένδρον ξαναγίνεται μὲ περισσοτέραν ἰκμάδα· ἔτσι καὶ εἰς ἡμᾶς, ἂν μένῃ ἡ ρίζα τῆς

τῆς εὐσεβείας, κἂν ὁ πλοῦτος ἀφαιρεθῇ, κἂν τὸ σῶμα διαφθαρῇ, πάντα πάλιν μετὰ μείζονος ἡμῖν ἐπάνεισι τῆς δόξης.

Πᾶσαν τοίνυν μέριμναν τῆς ψυχῆς ἐκβαλόντες καὶ φροντίδα περιττήν, πρὸς ἑαυτοὺς ἐπανέλθωμεν, καὶ τὸ σῶμα, καὶ τὴν ψυχὴν καλλωπίσωμεν τῷ κόσμῳ τῆς ἀρετῆς, ὅπλα δικαιοσύνης, ἀλλὰ μὴ ὅπλα ἁμαρτίας τὰ μέλη τοῦ σώματος ἡμῶν κατασκευάζοντες· καὶ πρῶτον ἁπάντων τὴν γλῶτταν παιδεύσωμεν εἶναι διάκονον τῆς τοῦ πνεύματος χάριτος, πάντα ἰὸν καὶ πονηρίαν ἐκ τοῦ στόματος ἐκβάλλοντες, καὶ ῥημάτων αἰσχρῶν μελέτην. Καὶ γὰρ ἡμεῖς ἐσμεν κύριοι καὶ πονηρίας καὶ δικαιοσύνης ὄργανον ἕκαστον τῶν ἡμετέρων ποιῆσαι μελῶν.

Ἄκουσον γοῦν πῶς τὴν γλῶτταν οἱ μὲν ἁμαρτίας, οἱ δὲ δικαιοσύνης ἐποίησαν ὅπλον. «Ἡ γλῶσσα αὐτῶν μάχαιρα ὀξεῖα». Ἕτερος δέ τίς φησι, περὶ τῆς ἑαυτοῦ γλώσσης· «Ἡ γλῶσσά μου κάλαμος γραμματέως ὀξυγράφου». Ἐκείνη φόνον εἰργάσατο, αὕτη νόμον ἔγραφε θεῖον· διὰ τοῦτο μάχαιρα μὲν ἐκείνη, κάλαμος δὲ ἦν αὕτη, οὐ παρὰ τὴν οἰκείαν φύσιν, ἀλλὰ παρὰ τὴν προαίρεσιν τῶν χρωμένων. Ἡ μὲν γὰρ φύσις τῆς γλώττης καὶ ταύτης κἀκείνης ἦν μία, ἡ δὲ ἐργασία οὐ μία.

Καὶ περὶ τοῦ στόματος δὲ πάλιν ὁμοίως τὸ αὐτὸ τοῦτό ἐστιν ἰδεῖν· οἱ μὲν γὰρ εἶχον τὸ στόμα σηπεδόνος γέμον καὶ πονηρίας· διὰ τοῦτο ὁ κατηγορῶν ἔλεγε, «Τὸ στόμα αὐτῶν ἀρᾶς καὶ πικρίας γέμει»· τὸ δὲ αὐτοῦ οὐ τοιοῦτον, ἀλλά, «Τὸ στόμα μου λαλήσει σοφίαν, καὶ ἡ μελέτη τῆς καρδίας μου σύνεσιν». Ἕτεροι δὲ πάλιν χεῖρας εἶχον ἀνομίας ἐμπεπλησμένας, καὶ τούτων κατηγορῶν πάλιν ἔλεγεν· «Ἐν ταῖς χερσὶν αὐτῶν αἱ ἀνομίαι, καὶ ἡ δεξιὰ αὐτῶν ἐπλήσθη δώρων»· αὐτὸς δὲ χεῖρας εἶχεν οὐδὲν ἕτερον ἢ πρὸς τὸν οὐρα-

18. Ψαλμ. 56, 5.
19. Ψαλμ. 44, 2.
20. Ψαλμ. 13, 3.
21. Ψαλμ. 48, 4.
22. Ψαλμ. 25, 10.

εὐσεβείας, καὶ ἂν ἀκόμα ἀφαιρεθῇ ὁ πλοῦτος, καὶ ἂν καταστραφῇ τὸ σῶμα, ὅλα πάλιν μὲ μεγαλυτέραν δόξαν θὰ τὰ ἐπανεύρωμεν.

Λοιπὸν ἂς ἐκβάλωμεν κάθε περιττὴν φροντίδα καὶ ἀνησυχίαν, ἂς συνέλθωμεν καὶ ἂς στολίσωμεν καὶ τὸ σῶμα καὶ τὴν ψυχὴν μὲ τὸν στολισμὸν τῆς ἀρετῆς, κάμνοντες τὰ μέλη τοῦ σώματός μας ὅπλα δικαιοσύνης καὶ ὄχι ὅπλα τῆς ἁμαρτίας· καὶ πρῶτα ἐξ ὅλων ἂς συνηθίσωμεν τὴν γλῶσσαν μας νὰ εἶναι ὑπηρέτης τῆς χάριτος τοῦ πνεύματος, ἐκβάλλοντες κάθε δηλητήριον καὶ πονηρίαν καὶ μελέτην αἰσχρῶν λόγων ἀπὸ τὸ στόμα μας. Καθ' ὅσον ἀπὸ τὴ θέλησίν μας ἐξαρτᾶται νὰ κάμωμεν κάθε μέλος μας ὄργανον ἁμαρτίας ἢ κακίας.

Ἄκουσον, λοιπόν, πῶς ἔκαμαν τὴν γλῶσσαν ἄλλοι μὲν ὅπλον ἁμαρτίας, ἄλλοι δὲ ἀρετῆς. «Ἡ γλῶσσα αὐτῶν εἶναι μάχαιρα κοπτερά»[18]. Κάποιος ἄλλος δὲ λέγει διὰ τὴν γλῶσσαν του· «Ἡ γλῶσσα μου κινεῖται ὡς κάλαμος ταχυγράφου γραφέως»[19]. Ἐκείνη ἡ γλῶσσα ἔκαμε φόνον, αὐτὴ δὲ ἔγραφε θεῖον νόμον· διὰ τοῦτο ἐκείνη μὲν ἦτο μάχαιρα καὶ αὐτὴ κάλαμος, ὄχι λόγῳ τῆς φύσεώς της ἀλλὰ λόγῳ τῆς θελήσεως ἐκείνων ποὺ τὴν χρησιμοποιοῦν. Διότι ἡ φύσις τῆς γλώσσης καὶ αὐτῆς καὶ ἐκείνης ἦτο μία, ἡ δὲ ἐργασία των δὲν ἦτο ἡ ἰδία.

Καὶ περὶ τοῦ στόματος δὲ πάλιν τὸ ἴδιον ἠμπορεῖ νὰ ἰδῇ κανείς· διότι ἄλλοι μὲν εἶχον τὸ στόμα γεμᾶτο ἀπὸ σαπίλαν καὶ πονηρίαν· διὰ τοῦτο αὐτὸς ποὺ τοὺς κατηγοροῦσε ἔλεγε «τὸ στόμα αὐτῶν εἶναι γεμᾶτο ἀπὸ βλασφημίας πρὸς τὸν Θεὸν καὶ πικρίαν πρὸς τοὺς ἀνθρώπους»[20], τὸ στόμα ὅμως αὐτοῦ δὲν ἦτο τοιοῦτον, ἀλλὰ «τὸ στόμα μου θὰ λαλήσῃ σοφίαν καὶ ἡ βαθεῖα μελέτη τῆς καρδίας μου θὰ ἐκδηλωθῇ εἰς συνετοὺς λόγους»[21]. Ἄλλοι πάλιν εἶχον χέρια γεμᾶτα ἀπὸ ἀνομίας καὶ κατηγορῶν τούτους πάλιν ἔλεγεν «εἰς τὰ χέρια των εἶναι αἱ ἀνομίαι καὶ ἡ δεξιά των εἶναι γεμάτη ἀπὸ δῶρα»[22]· αὐτὸς ὅμως εἶχε χέρια ποὺ δὲν εἶχαν τίποτε ἄλλο

νὸν ἀνατείνεσθαι μεμελετηκυίας· διὸ καὶ περὶ τούτων ἔλεγεν· «Ἔπαρσις τῶν χειρῶν μου θυσία ἑσπερινή».

Καὶ ἐπὶ τῆς καρδίας τὸ αὐτὸ τοῦτο πάλιν ἔστιν ἰδεῖν· τῶν μὲν γὰρ ἡ καρδία ματαία ἦν, τούτου δὲ ἀληθής· διὸ καὶ περὶ ἐκείνων φησίν, «Ἡ καρδία αὐτῶν ματαία»· περὶ δὲ τῆς ἑαυτοῦ, «Ἐξηρεύξατο ἡ καρδία μου λόγον ἀγαθόν». Καὶ ἐπὶ ἀκοῆς δὲ τὸ αὐτὸ τοῦτο ἴδοι τις ἄν. Οἱ μὲν γὰρ εἶχον θηρίων ἀκοὴν ἀμείλικτον καὶ ἀσύγγνωστον, καὶ κακίζων αὐτοὺς οὕτως ἔλεγεν, «Ὡσεὶ ἀσπίδος κωφῆς καὶ βυούσης τὰ ὦτα αὐτῆς»· ἡ δὲ αὐτοῦ ἀκοὴ δοχεῖον τῶν θείων ῥημάτων ἦν. Καὶ τοῦτο αὐτὸ πάλιν ἐδήλωσεν εἰπών, «Κλινῶ εἰς παραβολὴν τὸ οὖς μου, ἀνοίξω ἐν ψαλτηρίῳ τὸ πρόβλημά μου».

6. Ταῦτ' οὖν εἰδότες πάντοθεν ἑαυτοὺς ἀρετῇ τειχίσωμεν, καὶ οὕτως ἀποκρουσόμεθα τοῦ Θεοῦ τὴν ὀργήν, καὶ τὰ μέλη τοῦ σώματος ὅπλα δικαιοσύνης ποιήσωμεν, καὶ ὀφθαλμούς, καὶ στόμα, καὶ χεῖρας, καὶ πόδας, καὶ καρδίαν, καὶ γλῶτταν, καὶ πᾶν τὸ σῶμα παιδεύσωμεν ἀρετῇ χρήσιμον εἶναι μόνῃ. Καὶ τῶν τριῶν δὲ ἐκείνων μνημονεύσωμεν περὶ ὧν πρὸς τὴν ὑμετέραν διελέχθην ἀγάπην, παρακαλῶν μηδένα ἔχειν ἐχθρόν, μηδὲ κακῶς λέγειν τινὰ τῶν λελυπηκότων ὑμᾶς, καὶ τὴν πονηρὰν τῶν ὅρκων ἐκβαλεῖν ἀπὸ τοῦ στόματος ὑμῶν συνήθειαν.

Καὶ περὶ μὲν τῶν δυοῖν ἐντολῶν ἐν ἑτέρῳ καιρῷ διαλεξόμεθα, τὴν δὲ παροῦσαν ἑβδομάδα ἅπασαν περὶ τῶν ὅρκων ὑμῖν ἐροῦμεν, ἀπὸ τῆς εὐκολωτέρας ἐντολῆς ποιούμενοι τὴν ἀρχήν. Οὐδὲ γὰρ πόνος οὐδεὶς περιγενέσθαι τῆς τῶν ὅρκων συνηθείας, ἐὰν θελήσωμεν μικρὰν γοῦν εἰσενεγκεῖν σπουδήν, ἀλλήλους ὑπομιμνήσκοντες, νουθετοῦντες, τη-

---

23. Ψαλμ. 140, 2.
24. Ψαλμ. 5, 10.
25. Ψαλμ. 44, 2.
26. Ψαλμ. 57, 5.
27. Ψαλμ. 48, 5.

μάθει παρὰ νὰ ἀνυψώνωνται πρὸς τὸν Θεόν· διὰ τοῦτο καὶ περὶ αὐτῶν ἔλεγεν· «Ἡ ἱκετευτικὴ ὕψωσις τῶν χειρῶν μου ἂς γίνῃ δεκτὴ ὑπὸ σοῦ, Κύριε, ὡς ἑσπερινὴ θυσία»[23].

Καὶ ἐπὶ τῆς καρδίας τὸ ἴδιον πάλιν ἠμποροῦμε νὰ ἰδοῦμε· διότι ἡ καρδία μὲν ἐκείνων ἦτο πονηρά, αὐτοῦ δὲ ἦτο εἰλικρινής· διὰ τοῦτο καὶ περὶ αὐτῶν ἔλεγε· «Ἡ καρδία αὐτῶν εἶναι πονηρά»[24]· διὰ δὲ τὴν ἰδικήν του ἔλεγεν· «Ἀπὸ τὴν καρδίαν μου ἐξεπήδησε λόγος ἀγαθός»[25]. Καὶ ἐπὶ τῆς ἀκοῆς δὲ ἠμπορεῖ νὰ ἰδῇ κανεὶς τοῦτο. Διότι αὐτοὶ μὲν εἶχον ἀκοὴν θηρίων ἄκαμπτον καὶ ἀσυγχώρητον καὶ κακίζων αὐτοὺς ἔλεγε τὰ ἑξῆς· «ὡσὰν ἀσπίδα κωφὴ ποὺ κλείει τὰ αὐτιά της»[26]· ἡ ἀκοὴ δὲ αὐτοῦ ἦτο δοχεῖον θείων λόγων. Καὶ αὐτὸ πάλιν τὸ ἐφανέρωσε λέγων «θὰ κλίνω τὸ αὐτί μου εἰς παραβολὰς καὶ θὰ ἐξηγήσω μὲ κιθάραν τὸ δύσκολον πρόβλημά μου»[27].

6. Αὐτὰ λοιπὸν γνωρίζοντες ἂς περιφρουρήσωμεν μὲ τὴν ἀρετὴν τοὺς ἑαυτούς μας, καὶ τοιουτοτρόπως θ' ἀπομακρύνωμεν τὴν ὀργὴν τοῦ Θεοῦ, καὶ τὰ μέλη τοῦ σώματός μας ἂς τὰ κάμωμεν ὅπλα δικαιοσύνης καὶ τοὺς ὀφθαλμούς, καὶ τὸ στόμα, καὶ τὰ χέρια, καὶ τὰ πόδια, καὶ τὴν καρδίαν καὶ τὴν γλῶσσαν καὶ ὁλόκληρον τὸ σῶμα ἂς τὸ συνηθίσωμεν νὰ εἶναι κατάλληλον μόνον διὰ τὴν ἀρετήν. Ἂς μνημονεύσωμεν δὲ καὶ τὰ τρία ἐκεῖνα ζητήματα περὶ τῶν ὁποίων ὡμίλησα εἰς τὴν ἀγάπην σας, παρακαλῶν νὰ μὴ ἔχετε κανένα ἐχθρόν, οὔτε νὰ κακολογῆτε κανένα ἀπὸ αὐτοὺς ποὺ σᾶς ἐλύπησαν καὶ νὰ ἀποβάλετε ἀπὸ τὸ στόμα σας τὴν πονηρὰν συνήθειαν τῶν ὅρκων.

Καὶ περὶ μὲν τῶν δύο ἐντολῶν θὰ σᾶς ὁμιλήσω ἄλλοτε, τὴν ἑβδομάδα ὅμως αὐτὴν ὁλόκληρον θὰ τὴν ἀφιερώσωμεν ὁμιλοῦντες περὶ τῶν ὅρκων, κάμνοντες ἀρχὴν ἀπὸ τὴν πλέον εὐκολωτέραν ἐντολήν. Διότι δὲν χρειάζεται μεγάλος κόπος διὰ νὰ κόψωμεν τὴν συνήθειαν τῶν ὅρκων, ἐὰν θελήσωμεν νὰ καταβάλωμεν ἔστω καὶ μικρὰν φροντίδα, ὑπενθυμίζοντες τοῦτο ὁ ἕνας εἰς τὸν ἄλλον, νουθετοῦντες,

νὸν ἀνατείνεσθαι μεμελετηκυίας· διὸ καὶ περὶ τούτων ἔλεγεν· «Ἔπαρσις τῶν χειρῶν μου θυσία ἑσπερινή».

Καὶ ἐπὶ τῆς καρδίας τὸ αὐτὸ τοῦτο πάλιν ἔστιν ἰδεῖν· τῶν μὲν γὰρ ἡ καρδία ματαία ἦν, τούτου δὲ ἀληθής· διὸ καὶ περὶ ἐκείνων φησίν, «Ἡ καρδία αὐτῶν ματαία»· περὶ δὲ τῆς ἑαυτοῦ, «Ἐξηρεύξατο ἡ καρδία μου λόγον ἀγαθόν». Καὶ ἐπὶ ἀκοῆς δὲ τὸ αὐτὸ τοῦτο ἴδοι τις ἄν. Οἱ μὲν γὰρ εἶχον θηρίων ἀκοὴν ἀμείλικτον καὶ ἀσύγγνωστον, καὶ κακίζων αὐτοὺς οὕτως ἔλεγεν, «Ὡσεὶ ἀσπίδος κωφῆς καὶ βυούσης τὰ ὦτα αὐτῆς»· ἡ δὲ αὐτοῦ ἀκοὴ δοχεῖον τῶν θείων ῥημάτων ἦν. Καὶ τοῦτο αὐτὸ πάλιν ἐδήλωσεν εἰπών, «Κλινῶ εἰς παραβολὴν τὸ οὖς μου, ἀνοίξω ἐν ψαλτηρίῳ τὸ πρόβλημά μου».

6. Ταῦτ' οὖν εἰδότες πάντοθεν ἑαυτοὺς ἀρετῇ τειχίσωμεν, καὶ οὕτως ἀποκρουσόμεθα τοῦ Θεοῦ τὴν ὀργήν, καὶ τὰ μέλη τοῦ σώματος ὅπλα δικαιοσύνης ποιήσωμεν, καὶ ὀφθαλμούς, καὶ στόμα, καὶ χεῖρας, καὶ πόδας, καὶ καρδίαν, καὶ γλῶτταν, καὶ πᾶν τὸ σῶμα παιδεύσωμεν ἀρετῇ χρήσιμον εἶναι μόνῃ. Καὶ τῶν τριῶν δὲ ἐκείνων μνημονεύσωμεν περὶ ὧν πρὸς τὴν ὑμετέραν διελέχθην ἀγάπην, παρακαλῶν μηδένα ἔχειν ἐχθρόν, μηδὲ κακῶς λέγειν τινὰ τῶν λελυπηκότων ὑμᾶς, καὶ τὴν πονηρὰν τῶν ὅρκων ἐκβαλεῖν ἀπὸ τοῦ στόματος ὑμῶν συνήθειαν.

Καὶ περὶ μὲν τῶν δυοῖν ἐντολῶν ἐν ἑτέρῳ καιρῷ διαλεξόμεθα, τὴν δὲ παροῦσαν ἑβδομάδα ἅπασαν περὶ τῶν ὅρκων ὑμῖν ἐροῦμεν, ἀπὸ τῆς εὐκολωτέρας ἐντολῆς ποιούμενοι τὴν ἀρχήν. Οὐδὲ γὰρ πόνος οὐδεὶς περιγενέσθαι τῆς τῶν ὅρκων συνηθείας, ἐὰν θελήσωμεν μικρὰν γοῦν εἰσενεγκεῖν σπουδήν, ἀλλήλους ὑπομιμνήσκοντες, νουθετοῦντες, τη-

---

23. Ψαλμ. 140, 2.
24. Ψαλμ. 5, 10.
25. Ψαλμ. 44, 2.
26. Ψαλμ. 57, 5.
27. Ψαλμ. 48, 5.

μάθει παρὰ νὰ ἀνυψώνωνται πρὸς τὸν Θεόν· διὰ τοῦτο καὶ περὶ αὐτῶν ἔλεγεν· «Ἡ ἱκετευτικὴ ὕψωσις τῶν χειρῶν μου ἂς γίνῃ δεκτὴ ὑπὸ σοῦ, Κύριε, ὡς ἑσπερινὴ θυσία»[23].

Καὶ ἐπὶ τῆς καρδίας τὸ ἴδιον πάλιν ἠμποροῦμε νὰ ἰδοῦμε· διότι ἡ καρδία μὲν ἐκείνων ἦτο πονηρά, αὐτοῦ δὲ ἦτο εἰλικρινής· διὰ τοῦτο καὶ περὶ αὐτῶν ἔλεγε· «Ἡ καρδία αὐτῶν εἶναι πονηρά»[24]· διὰ δὲ τὴν ἰδικήν του ἔλεγεν· «Ἀπὸ τὴν καρδίαν μου ἐξεπήδησε λόγος ἀγαθός»[25]. Καὶ ἐπὶ τῆς ἀκοῆς δὲ ἠμπορεῖ νὰ ἰδῇ κανεὶς τοῦτο. Διότι αὐτοὶ μὲν εἶχον ἀκοὴν θηρίων ἄκαμπτον καὶ ἀσυγχώρητον καὶ κακίζων αὐτοὺς ἔλεγε τὰ ἑξῆς· «ὡσὰν ἀσπίδα κωφὴ ποὺ κλείει τὰ αὐτιά της»[26]· ἡ ἀκοὴ δὲ αὐτοῦ ἦτο δοχεῖον θείων λόγων. Καὶ αὐτὸ πάλιν τὸ ἐφανέρωσε λέγων «θὰ κλίνω τὸ αὐτί μου εἰς παραβολὰς καὶ θὰ ἐξηγήσω μὲ κιθάραν τὸ δύσκολον πρόβλημά μου»[27].

6. Αὐτὰ λοιπὸν γνωρίζοντες ἂς περιφρουρήσωμεν μὲ τὴν ἀρετὴν τοὺς ἑαυτούς μας, καὶ τοιουτοτρόπως θ' ἀπομακρύνωμεν τὴν ὀργὴν τοῦ Θεοῦ, καὶ τὰ μέλη τοῦ σώματός μας ἂς τὰ κάμωμεν ὅπλα δικαιοσύνης καὶ τοὺς ὀφθαλμούς, καὶ τὸ στόμα, καὶ τὰ χέρια, καὶ τὰ πόδια, καὶ τὴν καρδίαν καὶ τὴν γλῶσσαν καὶ ὁλόκληρον τὸ σῶμα ἂς τὸ συνηθίσωμεν νὰ εἶναι κατάλληλον μόνον διὰ τὴν ἀρετήν. Ἂς μνημονεύσωμεν δὲ καὶ τὰ τρία ἐκεῖνα ζητήματα περὶ τῶν ὁποίων ὡμίλησα εἰς τὴν ἀγάπην σας, παρακαλῶν νὰ μὴ ἔχετε κανένα ἐχθρόν, οὔτε νὰ κακολογῆτε κανένα ἀπὸ αὐτοὺς ποὺ σᾶς ἐλύπησαν καὶ νὰ ἀποβάλετε ἀπὸ τὸ στόμα σας τὴν πονηρὰν συνήθειαν τῶν ὅρκων.

Καὶ περὶ μὲν τῶν δύο ἐντολῶν θὰ σᾶς ὁμιλήσω ἄλλοτε, τὴν ἑβδομάδα ὅμως αὐτὴν ὁλόκληρον θὰ τὴν ἀφιερώσωμεν ὁμιλοῦντες περὶ τῶν ὅρκων, κάμνοντες ἀρχὴν ἀπὸ τὴν πλέον εὐκολωτέραν ἐντολήν. Διότι δὲν χρειάζεται μεγάλος κόπος διὰ νὰ κόψωμεν τὴν συνήθειαν τῶν ὅρκων, ἐὰν θελήσωμεν νὰ καταβάλωμεν ἔστω καὶ μικρὰν φροντίδα, ὑπενθυμίζοντες τοῦτο ὁ ἕνας εἰς τὸν ἄλλον, νουθετοῦντες,

ροῦντες, δίκην ἀπαιτοῦντες, καὶ εὐθύνας τοὺς ἐπιλανθανομένους. Τί γὰρ ὄφελος ἡμῖν τῆς τῶν βρωμάτων ἀποχῆς, ἐὰν μὴ τὰς πονηρὰς τῆς ψυχῆς συνηθείας ἐξελάσωμεν; Ἰδού, τὴν ἡμέραν ἄσιτοι διετελέσαμεν σήμερον ἅπασαν, καὶ τράπεζαν ἐν ἑσπέρᾳ παραστησόμεθα οὐχ ὁμοίαν τῇ χθεσινῇ τραπέζῃ, ἀλλ' ἐνηλλαγμένην καὶ σεμνοτέραν. Ἆρ' οὖν ἔχει τις εἰπεῖν ἡμῶν, ὅτι καὶ τὸν βίον αὐτοῦ τὸν σήμερον ἐνήλλαξε, καθάπερ τὴν τράπεζαν; Ὅτι καὶ τὴν πονηρὰν μετέβαλε συνήθειαν, καθάπερ καὶ τὴν τροφήν; Οὐκ ἔγωγε, οἶμαι. Τί οὖν ὄφελος ἡμῖν τῆς νηστείας;

Διὰ τοῦτο παρακαλῶ, καὶ παρακαλῶν οὐ παύσομαι, ὥστε ἑκάστην ἐντολὴν ἀπολαβόντας καθ' ἑαυτήν, δύο καὶ τρεῖς ἡμέρας εἰς τὴν κατόρθωσιν αὐτῆς ἀναλίσκειν, καὶ καθάπερ εἰσί τινες, οἱ πρὸς ἀλλήλους φιλοτιμούμενοι τῇ τῶν σιτίων ἀποχῇ, καὶ θαυμαστὴν ἅμιλλαν ποιούμενοι· καὶ οἱ μὲν ὁλοκλήρους ἡμέρας δύο διατελοῦσιν ἄσιτοι, οἱ δὲ οὐκ οἴνου μόνον, ἀλλὰ ἐλαίου, ἀλλὰ παντὸς ἐδέσματος χρῆσιν τῆς ἑαυτῶν ἐκβάλλοντες τραπέζης, ἄρτῳ καὶ ὕδατι χρώμενοι μόνον τὴν τεσσαρακοστὴν διανύουσιν ἅπασαν· οὕτω δὴ καὶ ἡμεῖς ἁμιλλώμεθα πρὸς ἀλλήλους, ὥστε τῶν ὅρκων τὰς νιφάδας ἀνελεῖν. Τοῦτο γὰρ πάσης νηστείας χρησιμώτερον, τοῦτο πάσης σκληραγωγίας ἐπικερδέστερον, καὶ τὴν σπουδήν, ἣν περὶ τὴν ἀποχὴν τῶν σιτίων ποιούμεθα, ταύτην περὶ τὴν ἀποχὴν τῶν ὅρκων ἐπιδειξώμεθα, ἐπεὶ τῆς ἐσχάτης ἀνοίας ὑποστησόμεθα ἔγκλημα, τῶν μὲν κεκωλυμένων καταφρονοῦντες, περὶ δὲ τὰ ἀδιάφορα πᾶσαν κινοῦντες σπουδήν. Τὸ μὲν γὰρ φαγεῖν οὐ κεκώλυται, τὸ δὲ ὀμόσαι κεκώλυται· ἡμεῖς δὲ τῶν συγκεχωρημένων ἀποστάντες, τῶν κεκωλυμένων κατατολμῶμεν. Διὰ τοῦτο παρακαλῶ τὴν ὑμε-

ἐπιβλέποντες, τιμωροῦντες καὶ ζητοῦντες εὐθύνας ἀπὸ αὐτοὺς ποὺ τὸ ξεχνοῦν. Διότι ποία ὠφέλεια θὰ προκύψῃ ἐκ τῆς ἀποχῆς τῶν τροφῶν, ἐὰν δὲν ἀπομακρύνωμεν ἐκ τῆς ψυχῆς μας τὰς κακὰς συνηθείας; Ἰδού, σήμερον ἔχομεν παραμείνει νηστικοὶ καὶ τὸ βράδυ θὰ παρακαθήσωμεν εἰς τράπεζαν ὄχι ὁμοίαν μὲ τὴν χθεσινήν, ἀλλὰ διαφορετικὴν καὶ λιτήν. Ἆρά γε ἠμπορεῖ νὰ εἰπῇ κανεὶς ἀπὸ ἡμᾶς ὅτι ἤλλαξε καὶ τὸν βίον του τὸν σημερινόν, ὅπως καὶ τὴν τράπεζαν; Ὅτι μετέβαλε καὶ τὴν πονηρὰν συνήθειαν, ὅπως καὶ τὴν τροφήν; Νομίζω τουλάχιστον ὅτι κανεὶς δὲν εἶναι εἰς θέσιν νὰ τὸ εἰπῇ. Ποία λοιπὸν εἶναι εἰς ἡμᾶς ἡ ὠφέλεια ἐκ τῆς νηστείας;

Διὰ τοῦτο σᾶς παρακαλῶ, καὶ δὲν θὰ παύσω νὰ σᾶς παρακαλῶ, παίρνοντες κάθε μίαν ἐντολὴν χωριστά, νὰ ἀσχοληθῆτε ἐπὶ δύο καὶ τρεῖς ἡμέρας καὶ νὰ προσπαθῆτε νὰ τὴν ἐφαρμόσετε, καὶ ὅπως ὑπάρχουν μερικοὶ οἱ ὁποῖοι συναγωνίζονται μεταξύ των εἰς τὴν ἀποχὴν ἀπὸ τὰ φαγητὰ καὶ δημιουργοῦν μεταξύ των θαυμαστὴν ἅμιλλαν, καὶ ἄλλοι μὲν δύο ἡμέρας μένουν νηστικοί, ἄλλοι δὲ ὄχι μόνον κρασὶ καὶ λάδι, ἀλλὰ καὶ κάθε φαγητὸν γενικῶς ἀπομακρύνουν ἀπὸ τὸ τραπέζι των, καὶ περνοῦν ὅλην τὴν τεσσαρακοστὴν κάνοντες χρῆσιν μόνον ἄρτου καὶ ὕδατος, ἔτσι λοιπὸν καὶ ἡμεῖς ἂς ἀναπτύξωμεν μεταξύ μας ἅμιλλαν, ὥστε νὰ ἐξαφανίσωμεν τὰς νιφάδας τῶν ὅρκων. Τοῦτο εἶναι ὠφελιμώτερον ἀπὸ κάθε εἴδους νηστείαν τροφῶν, τοῦτο εἶναι ἐπικερδέστερον ἀπὸ κάθε σκληραγωγίαν, καὶ τὴν προθυμίαν τὴν ὁποίαν δεικνύομεν εἰς τὴν ἀποχὴν ἀπὸ τὰ φαγητά, αὐτὴν νὰ ἐπιδείξωμεν καὶ εἰς τὴν ἀποχὴν ἀπὸ τοὺς ὅρκους, διότι θὰ κατηγορηθοῦμεν ὑπερβολικὰ μὲ τὸ νὰ περιφρονοῦμεν ὅσα εἶναι ἀπηγορευμένα, δι' ἐκεῖνα δὲ ποὺ εἶναι ἀδιάφορα νὰ δείχνωμε μεγάλην φροντίδα. Διότι τὸ νὰ φάγῃ κανεὶς δὲν ἀπαγορεύεται, τὸ νὰ ὁρκίζεται ὅμως ἀπαγορεύεται· ἡμεῖς δὲ ἐνῷ ἀπομακρυνόμεθα ἀπὸ τὰ ἐπιτρεπόμενα, παραβαίνομεν ἐκεῖνα ποὺ ἀπαγορεύονται. Διὰ τοῦτο παρακαλῶ τὴν ἰδικήν

τέραν ἀγάπην ποιήσασθαί τινα μεταβολήν, καὶ τὴν ἀρχὴν ἐντεῦθεν ἡμῖν ἐπιδείξασθαι.

Ἂν γὰρ μετὰ τοσαύτης σπουδῆς τὴν παροῦσαν διανύσωμεν νηστείαν, τῇ μὲν ἑβδομάδι ταύτῃ τὸ μηδ᾽ ὅλως ὀμνύναι κατορθώσαντες, τῇ δ᾽ ἐπιούσῃ τὴν ὀργὴν σβέσαντες, τῇ δὲ μετ᾽ ἐκείνην τὴν κακηγορίαν πρόρριζον ἀνελόντες, καὶ τῇ μετὰ ταύτην ἕτερα πλείονα διορθώσαντες, οὕτως ὁδῷ προβαίνοντες κατὰ μικρὸν ἐπ᾽ αὐτὴν ἥξομεν τῆς ἀρετῆς τὴν κορυφήν, καὶ τὸν παρόντα διαφευξόμεθα κίνδυνον, καὶ τὸν Θεὸν ἵλεω καταστήσομεν, καὶ τὸ πλῆθος ἐπὶ τὴν πόλιν ἡμῖν ἐπανήξει πάλιν, καὶ τοὺς δραπετεύσαντας νῦν παιδεύσομεν, μὴ τόπων ἀσφαλείᾳ, μηδὲ ἀποφυγῇ καὶ ἀναχωρήσει, ἀλλ᾽ εὐλαβείᾳ ψυχῆς, καὶ τρόπων ἀρετῇ τὰς ἐλπίδας τῆς σωτηρίας ἐγχειρίζειν τῆς ἡμετέρας. Καὶ οὕτω καὶ τῶν ἐνταῦθα, καὶ τῶν ἐκεῖ ἐπιτευξόμεθα ἀγαθῶν· ὧν γένοιτο πάντας ἡμᾶς ἀξιωθῆναι, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, δι᾽ οὗ καὶ μεθ᾽ οὗ τῷ Πατρὶ ἡ δόξα, ἅμα τῷ ἁγίῳ Πνεύματι νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

σας ἀγάπην νὰ κάμετε κάποιαν μεταβολήν, καὶ νὰ δείξετε τὴν ἀρχὴν τῆς ἀλλαγῆς ἀπὸ αὐτό.

Διότι ἂν περάσωμεν τὴν παροῦσαν περίοδον τῆς νηστείας μὲ τόσην προθυμίαν καὶ αὐτὴν μὲν τὴν ἑβδομάδα ἐπιτύχωμεν τὸ νὰ μὴ ὁρκισθοῦμε καθόλου, τὴν δὲ ἑπομένην νὰ σβήσωμεν τὴν ὀργήν, τὴν δὲ ἄλλην ποὺ ἀκολουθεῖ νὰ ἐκριζώσωμεν τὴν κακολογίαν, καὶ τὴν μετέπειτα ἄλλα πάλιν πολλὰ νὰ κατορθώσωμεν, ἔτσι, προχωροῦντες σιγὰ - σιγά, θὰ φθάσωμεν εἰς τὴν κορυφὴν τῆς ἀρετῆς καὶ ἀφ' ἑνὸς μὲν θὰ ἀποφύγωμεν τὸν παρόντα κίνδυνον καὶ ἀφ' ἑτέρου θὰ κάμωμεν τὸν Θεὸν εὐμενῆ πρὸς ἡμᾶς, καὶ τὸ πλῆθος πάλιν θὰ ἐπιστρέψῃ εἰς τὴν πόλιν μας, καὶ αὐτοὺς ποὺ ἐδραπέτευσαν τώρα θὰ τοὺς διδάξωμεν ὅτι, ὄχι εἰς τὴν ἀσφάλειαν τῶν τόπων, οὔτε εἰς τὴν φυγὴν καὶ τὴν ἀναχώρησιν, ἀλλὰ εἰς τὴν εὐλάβειαν τῆς ψυχῆς καὶ εἰς τοὺς ἐναρέτους τρόπους πρέπει νὰ ἀναθέτωμεν τὰς ἐλπίδας τῆς ἰδικῆς μας σωτηρίας. Καὶ κατ' αὐτὸν τὸν τρόπον θὰ ἐπιτύχωμεν καὶ τῶν ἐδῶ καὶ τῶν ἐκεῖ ἀγαθῶν τῶν ὁποίων εἴθε νὰ ἀξιωθῶμεν ὅλοι ἡμεῖς, διὰ τῆς χάριτος καὶ φιλανθρωπίας τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, διὰ τοῦ ὁποίου καὶ μετὰ τοῦ ὁποίου εἰς τὸν Πατέρα ἀνήκει ἡ δόξα συγχρόνως δὲ καὶ εἰς τὸ ἅγιον Πνεῦμα, τώρα καὶ πάντοτε καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ΟΜΙΛΙΑ ΠΕΜΠΤΗ

ΕΤΙ ΠΑΡΑΚΛΗΣΙΣ

Πρὸς τὸν λαὸν περὶ τοῦ φέρειν γενναίως τὴν ἐπικειμένην ἀπειλήν, ἔχοντα παραδείγματα ἐκ τῶν συμβάντων τῷ τε Ἰὼβ καὶ τοῖς Νινευΐταις· καὶ ὅτι οὐ χρὴ δεδιέναι τὸν θάνατον, ἀλλὰ τὴν ἁμαρτίαν· καὶ τί τὸ κακῶς ἀποθανεῖν· καὶ περὶ τοῦ μετὰ πάσης σπουδῆς φεύγειν τοὺς ὅρκους· καὶ εἰς τὸν σεισμόν.

1. Τῶν τριῶν παίδων, καὶ τῆς Βαβυλωνίας καμίνου ἡ διήγησις, οὐ μετρίως ὡς ἔοικε παρεκάλεσεν ὑμῶν τὴν ἀγάπην χθές· ἔτι δὲ καὶ τὸ παράδειγμα τὸ κατὰ τὸν Ἰώβ, καὶ ἡ κοπρία ἡ παντὸς θρόνου βασιλικοῦ σεμνοτέρα. Ἀπὸ μὲν γὰρ τοῦ θρόνου ἰδεῖν βασιλικὸν οὐδὲν ἔσται τοῖς θεωμένοις τὸ κέρδος, ἀλλὰ πρόσκαιρος τέρψις, ὄνησιν οὐδεμίαν ἔχουσα· ἀπὸ δὲ τοῦ τὴν κοπρίαν ἰδεῖν τοῦ Ἰὼβ πᾶσάν τις δέξεται ὠφέλειαν, καὶ φιλοσοφίαν πολλήν, καὶ παράκλησιν εἰς ὑπομονῆς λόγον. Διὰ τοῦτο πολλοὶ νῦν μακράν τινα καὶ διαπόντιον ἀποδημίαν στέλλονται ἀπὸ τῶν περάτων τῆς γῆς εἰς τὴν Ἀραβίαν τρέχοντες, ἵνα τὴν κοπρίαν ἐκείνην ἴδωσι, καὶ θεασάμενοι καταφιλήσωσι τὴν γῆν, τὴν τὰ σκάμματα τοῦ στεφανίτου δεξαμένην ἐκείνου, καὶ τοῦ χρυσίου παντὸς τιμιώτερον αἷμα. Οὐδὲ γὰρ οὕτως ἐστὶν ἁλουργὶς λαμπρά, ὡς τὸ σῶμα ἐκεῖνο τότε ἀπέστιλβεν, οὐκ ἀλλοτρίῳ, ἀλλ' οἰκείῳ βαπτιζόμενον αἵματι.

Καὶ τὰ τραύματα δὲ ἐκεῖνα ἁπάντων λίθων ἦν τιμιώτερα. Μαργαριτῶν μὲν γὰρ φύσις οὐδὲν τὸν βίον ὠφελεῖ τὸν ἡ-

ΟΜΙΛΙΑ ΠΕΜΠΤΗ

ΚΑΙ ΑΛΛΗ ΠΡΟΤΡΟΠΗ ΠΡΟΣ ΤΟΝ ΛΑΟΝ

διὰ νὰ ὑποφέρῃ μὲ γενναιότητα τὴν ἀναμενομένην ἀπειλήν, ἔχων ὡς παράδειγμα αὐτὰ ποὺ συνέβησαν καὶ εἰς τὸν Ἰὼβ καὶ εἰς τοὺς Νινευΐτας· καὶ περὶ τοῦ ὅτι δὲν πρέπει νὰ φοβῆται τὸν θάνατον, ἀλλὰ τὴν ἁμαρτίαν· καὶ περὶ τοῦ ποῖος εἶναι ὁ κακὸς θάνατος· καὶ περὶ τοῦ ὅτι πρέπει νὰ ἀποφεύγῃ τοὺς ὅρκους μὲ κάθε ἐπιμέλειαν· καὶ εἰς τὸν σεισμόν.

1. Ἡ διήγησις περὶ τῶν τριῶν παίδων καὶ τῆς καμίνου τῆς Βαβυλῶνος, ὄχι ὀλίγον, ὡς φαίνεται, παρηγόρησε τὴν ἀγάπην σας χθές· ἀκόμη δὲ καὶ τὸ παράδειγμα τοῦ Ἰὼβ καὶ ἡ κόπρος, ἡ ὁποία ἔγινε λαμπροτέρα ἀπὸ κάθε θρόνον βασιλικόν. Διότι ἀπὸ τὸ νὰ βλέπῃ κανεὶς τὸν βασιλικὸν θρόνον κανένα κέρδος δὲν προκύπτει εἰς αὐτοὺς ποὺ βλέπουν, ἀλλὰ μόνον πρόσκαιρος εὐχαρίστησις ποὺ δὲν ἔχει καμμίαν πραγματικὴν ὠφέλειαν· ἀπὸ τὴν θέαν ὅμως τῆς κοπρίας τοῦ Ἰὼβ ἠμπορεῖ νὰ δεχθῇ κανεὶς κάθε ὠφέλειαν καὶ φιλοσοφίαν πολλὴν καὶ προτροπὴν εἰς τὸ νὰ εἶναι ὑπομονητικός. Διὰ τοῦτο τώρα πολλοὶ κάμνουν μεγάλο καὶ θαλάσσιον ταξίδι καὶ ἀπὸ τὰ πέρατα τῆς γῆς ἔρχονται εἰς τὴν Ἀραβίαν διὰ νὰ ἰδοῦν τὴν κοπρίαν ἐκείνην καὶ ἀφοῦ τὴν ἰδοῦν νὰ καταφιλήσουν τὸ χῶμα, τὸ ὁποῖον ἔγινε στάδιον ἀθλήσεως τοῦ στεφανωμένου ἐκείνου νικητοῦ καὶ ἐδέχθη τὸ αἷμα του ποὺ εἶναι πολυτιμότερον ἀπὸ χρυσόν. Διότι οὔτε ἡ στολὴ ἡ βασιλικὴ δὲν εἶναι τόσον λαμπρά, ὅσον λαμπρὸν ἦτο τὸ σῶμα ἐκεῖνο, ποὺ ἐβαπτίζετο ὄχι εἰς ξένον, ἀλλ' εἰς ἰδικόν του αἷμα.

Καὶ ἐκεῖναι αἱ πληγαί του ἦσαν πολυτιμότεραι ἀπὸ ὅλους τοὺς πολυτίμους λίθους. Διότι ἡ μὲν φύσις τῶν μαργαριτῶν

μέτερον, οὐδὲ χρείαν τινὰ πληροῖ τοῖς ἔχουσιν ἀναγκαίαν· τὰ δὲ τραύματα ἐκεῖνα πάσης ἀθυμίας ἐστὶ παράκλησις. Καὶ ἵνα μάθῃς, ὅτι τοῦτό ἐστιν ἀληθές, ἐὰν ἀποβάλῃ τις υἱὸν γνήσιον καὶ μονογενῆ, δεῖξον αὐτῷ μυρίους μαργαρίτας, καὶ οὐ παραμυθήσῃ τὸ πάθος, οὐδὲ θεραπεύσεις τὴν ὀδύνην· ἀναμνήσας δὲ αὐτὸν τῶν τραυμάτων τοῦ Ἰώβ, ῥᾳδίως δυνήσῃ θεραπεῦσαι, οὕτω λέγων· τί πενθεῖς, ἄνθρωπε; σὺ μὲν τέκνον ἀπέβαλες ἕν, ὁ δὲ μακάριος ἐκεῖνος μετὰ τὸ τῶν παίδων ὁλόκληρον ἀφαιρεθῆναι τὸν χορὸν καὶ αὐτῇ τῇ σαρκὶ τὴν πληγὴν ἐδέξατο, καὶ γυμνὸς ἐπὶ τῆς κοπρίας ἐκάθητο ἰχῶρι πάντοθεν καταρρεόμενος, κατὰ μικρὸν αὐτῷ τῆς σαρκὸς δαπανωμένης, ὁ δίκαιος, ὁ ἀληθινός, ὁ θεοσεβής, ὁ ἀπεχόμενος ἀπὸ παντὸς πονηροῦ πράγματος, ὁ καὶ Θεὸν μάρτυρα τῆς ἀρετῆς ἔχων.

Ἂν γὰρ ταῦτα εἴπῃς τὰ ῥήματα, πᾶσαν ἔσβεσας τοῦ πενθοῦντος τὴν ἀθυμίαν, καὶ πᾶσαν ἀνεῖλες τὴν ὀδύνην, καὶ γίνεται οὕτω χρησιμώτερα μαργαριτῶν τὰ τραύματα τοῦ δικαίου. Ὑπογράψατε τοίνυν ἑαυτοῖς τὸν ἀθλητὴν καὶ ὑμεῖς, καὶ νομίσατε βλέπειν τὴν κοπρίαν ἐκείνην, καὶ αὐτὸν ἐν μέσῳ καθήμενον τῆς κοπρίας, τὸν ἀνδριάντα τὸν χρυσοῦν, τὸν διάλιθον, τὸν πῶς εἴπω οὐκ οἶδα· οὐδὲ γὰρ ἔχω τιμίαν οὕτως ὕλην εὑρεῖν, ὡς δυνηθῆναι τὸ ᾑμαγμένον ἐκεῖνο σῶμα παραβαλεῖν· οὕτω πάσης ὕλης τιμαλφεστάτης ἐκ πολλοῦ τοῦ περιόντος, τῆς σαρκὸς ἐκείνης ἡ φύσις ἦν τιμιωτέρα, καὶ τὰ τραύματα τὰ τῶν ἡλιακῶν ἀκτίνων φαιδρότερα· αὗται μὲν γὰρ τὰς τοῦ σώματος καταυγάζουσιν ὄψεις, ἐκεῖνα δὲ τῆς διανοίας ἡμῶν φωτίζει τὰ ὄμματα, ἐκεῖνα καθάπαξ τὸν διάβολον ἀπετύφλωσεν. Διὰ γοῦν τοῦτο, μετὰ τὴν πληγὴν ἐκείνην ἀπεπήδησε, καὶ οὐκ ἐφάνη λοιπόν.

δὲν ὠφελεῖ εἰς τίποτε τὴν ζωήν μας, οὔτε ἱκανοποιεῖ τὰς ἀπολύτους ἀνάγκας τῶν ἀνθρώπων· αἱ πληγαὶ ὅμως ἐκεῖναι εἶναι παρηγορία εἰς κάθε λύπην. Καὶ διὰ νὰ μάθῃς ὅτι αὐτὸ ποὺ λέγω εἶναι ἀληθὲς σοῦ λέγω τὸ ἑξῆς παράδειγμα· ἐὰν χάσῃ κάποιος τὸν γνήσιον καὶ μονογενῆ παιδί του καὶ δείξῃς εἰς αὐτὸν ἀναριθμήτους μαργαρίτας, δὲν θὰ ἠμπορέσῃς νὰ τὸν παρηγορήσῃς δι' αὐτὸ ποὺ ἔπαθε, οὔτε θὰ τοῦ ἐξαλείψῃς τὸν πόνον· ὅταν ὅμως τοῦ ὑπενθυμίσῃς τὰς πληγὰς τοῦ Ἰώβ, εὔκολα θὰ τὸν παρηγορήσῃ ὁ λέγων εἰς αὐτὸν τὰ ἑξῆς· Διατί πενθεῖς, καλέ μου ἄνθρωπε; Σὺ μὲν ἔχασες μόνο ἕνα παιδί, ὁ μακάριος ὅμως ἐκεῖνος, ἀφοῦ ἔχασεν ὅλα τὰ παιδιά του, ἐδέχθη καὶ εἰς αὐτὸ τὸ σῶμα του τὴν πληγὴν καὶ γυμνὸς ἐκάθητο ἐπὶ τῆς κοπρίας καὶ ἔτρεχεν ἀπὸ ὅλον τὸ σῶμα του πῦον, καὶ ὀλίγον κατ' ὀλίγον ἐξηντλεῖτο σωματικῶς, ὁ δίκαιος αὐτός, ὁ ἀληθινός, ὁ θεοσεβής, αὐτὸς ποὺ ἀπεῖχε ἀπὸ κάθε πονηρὸν πρᾶγμα καὶ εἶχε ὡς μάρτυρα τῆς ἀρετῆς του τὸν Θεόν.

Ἂν λοιπὸν τοῦ εἰπῇς αὐτὰ τὰ λόγια, ἔσβησες ὅλην τὴν λύπην τοῦ πενθοῦντος, καὶ ἔδιωξες ὅλον τὸν πόνον του, καὶ κατ' αὐτὸν τὸν τρόπον τὰ τραύματα τοῦ δικαίου γίνονται ὠφελιμώτερα ἀπὸ τοὺς μαργαρίτας. Ζωγραφίσατε λοιπὸν καὶ σεῖς νοερῶς ἐντός σας τὸν ἀθλητὴν καὶ θὰ νομίσετε ὅτι βλέπετε τὴν κοπρίαν ἐκείνην, καὶ αὐτὸν νὰ κάθηται εἰς τὸ μέσον αὐτῆς, τὸν ἀνδριάντα τὸν χρυσοῦν τὸν στολισμένον διὰ πολυτίμων λίθων τὸ πῶς νὰ τὸν χαρακτηρίσω δὲν γνωρίζω· διότι οὔτε εὑρίσκω τόσον πολύτιμον ὕλην ποὺ νὰ ἠμπορῶ νὰ τὴν παραβάλω μὲ τὸ ματωμένον ἐκεῖνο σῶμα· τόσον ἡ φύσις τῆς σαρκὸς ἐκείνης ἦτο ἀσυγκρίτως πολυτιμοτέρα ἀπὸ κάθε πολυτιμοτάτην ὕλην καὶ αἱ πληγαὶ λαμπρότεραι τῶν ἡλιακῶν ἀκτίνων· διότι αὐταὶ μὲν φωτίζουν τὰ μάτια τοῦ σώματος, ἐκεῖνα ὅμως φωτίζουν τὰ μάτια τῆς διανοίας καὶ διὰ πάντα τὸν διάβολον ἐτύφλωσαν. Διὰ τοῦτο λοιπὸν μετὰ τὴν πληγὴν ἐκείνην ἀπεμακρύνθη καὶ ἐξηφανίσθη.

Σὺ δέ μοι κἀντεῦθεν, ἀγαπητέ, μάνθανε τὸ τῆς θλίψεως κέρδος πόσον ἐστίν. Ἡνίκα μὲν γὰρ ἐπλούτει καὶ ἀνέσεως ἀπήλαυεν ὁ δίκαιος, διαβάλλειν ἔσχεν αὐτόν, ψευδῶς μέν, ἔσχε δ' οὖν ὅμως εἰπεῖν, «Μὴ δωρεὰν σέβεταί σε ὁ Ἰώβ;»[1]. Ἐπειδὴ δὲ αὐτὸν ἐγύμνωσε καὶ ἐποίησε πένητα, οὐδὲ γρύξαι λοιπὸν ἐτόλμησε· καὶ ὅτε μὲν πλούσιος ἦν, ὑπισχνεῖτο παλαίειν αὐτῷ, καὶ ὑποσκελίζειν ἠπείλει· ἐπειδὴ δὲ πένητα εἰργάσατο, καὶ πάντων ἀπεστέρησε, καὶ εἰς ἐσχάτην ὀδύνην ἐνέβαλε, τότε ἀπεπήδησε· καὶ ὅτε μὲν ὑγιὲς αὐτοῦ τὸ σῶμα ἦν, τὰς χεῖρας ἀντῆρεν, ὅτε δὲ αὐτοῦ κατέκοψε τὴν σάρκα, τότε ἔφυγεν ἡττηθείς.

Εἶδες πόσον πενία πλούτου, καὶ ἀρρωστία καὶ νόσος ὑγείας, καὶ πειρασμὸς ἀνέσεως βέλτιον τοῖς νήφουσι καὶ χρησιμώτερον, καὶ λαμπροτέρους καὶ εὐτονωτέρους τοὺς ἀθλοῦντας ποιεῖ; Τίς εἶδε, τίς ἤκουσεν οὕτω θαυμαστὰ παλαίσματα; Οἱ τῶν ἔξωθεν ἀγώνων πύκται, ἐπειδὰν κατακόψωσι τὰς κεφαλὰς τῶν ἀντιπάλων, τότε νικῶσι καὶ στεφανοῦνται· οὗτος δέ, ὅτε κατέκοψε τὸ σῶμα τοῦ δικαίου, παντοδαποῖς ἕλκεσιν αὐτὸ διατρήσας, καὶ ἀσθενέστερον ἐποίησε, τότε ἐνικήθη καὶ ἀνεχώρησε· καὶ ἐπειδὴ διώρυξεν αὐτοῦ πάντοθεν τὰς πλευράς, αὐτῷ μὲν πλέον οὐδὲν ἐγένετο, τὸν γὰρ ἐναποκείμενον θησαυρὸν οὐκ ἀπεσύλησεν, ἡμῖν δὲ φανερώτερον αὐτὸν ἐποίησε, καὶ διὰ τῆς διωρυγῆς ἐκείνης ἔδωκεν ἅπασιν εἰς τὸ ἔνδον βλέπειν, καὶ καταμανθάνειν αὐτοῦ τὸν πλοῦτον ἅπαντα· καὶ ὅτε κρατεῖν προσεδόκησε, τότε μετ' αἰσχύνης πολλῆς ἀνεχώρησε, καὶ οὐδεμίαν οὐκέτι φωνὴν ἀφῆκε.

Τί γέγονεν, ὦ διάβολε; Τίνος ἕνεκεν ἀναχωρεῖς; Οὐκ ἐγένετο πάντα ὅσα ἠθέλησας; Οὐκ ἀνεῖλες αὐτοῦ τὰ ποίμνια, τὰ βουκόλια, τὰς ἀγέλας τῶν ἵππων, τῶν ἡμιόνων; Οὐχὶ καὶ τὸν χορὸν τῶν παίδων ἀπώλεσας, καὶ τὴν σάρκα κατέ-

1. Ἰὼβ 1, 9.

Σὺ δὲ ἀγαπητέ, ἀπὸ αὐτὸ τὸ γεγονὸς μάθε πόσον μεγάλην ὠφέλειαν φέρουν αἱ θλίψεις. Διότι ὅταν ὁ δίκαιος ἔζη μέσα εἰς τὰ πλούτη καὶ ἀπελάμβανεν ἀνέσεως, ἐτόλμησε νὰ τὸν διαβάλῃ ὁ διάβολος πρὸς τὸν Θεόν, ψευδῶς μέν, ὅμως ἐτόλμησε νὰ εἰπῇ «Μήπως σὲ σέβεται δωρεὰν ὁ Ἰώβ;»[1]. Ἐπειδὴ ὅμως τὸν ἐγύμνωσε καὶ τὸν ἔκαμε πτωχὸν δὲν ἐτόλμησε νὰ εἰπῇ τὸ παραμικρόν· καὶ ὅταν μὲν ἦτο πλούσιος ἤθελε νὰ παλαίσῃ ἐναντίον του, καὶ ἀπειλοῦσε νὰ τὸν νικήσῃ· ὅταν ὅμως τὸν ἔκαμε πτωχὸν καὶ τὸν ἐστέρησε ἀπὸ ὅλα, καὶ τὸν ἔρριψεν εἰς πολὺ μεγάλην θλῖψιν, τότε ἔφυγε μακρυὰ ἀπὸ αὐτόν· καὶ ὅταν ἦτο τὸ σῶμα του ὑγιές, ἐσήκωνεν ἐναντίον του τὰ χέρια, ὅταν δὲ κατεκομμάτιασε τὸ σῶμα του τότε νικηθεὶς ἔφυγε.

Εἶδες πόσον ἀνωτέρα εἶναι ἡ πτωχεία ἀπὸ τὸν πλοῦτον καὶ ἡ ἀδιαθεσία καὶ ἡ ἀσθένεια ἀπὸ τὴν ὑγείαν καὶ ὁ πειρασμὸς ἀπὸ τὴν ἄνεσιν εἰς αὐτοὺς ποὺ εἶναι νηφάλιοι, καὶ πῶς κάμνει τοὺς ἀθλητὰς λαμπροτέρους καὶ δυνατωτέρους; Ποῖος εἶδε, ποῖος ἤκουσε τόσον θαυμαστοὺς ἀγῶνας; Οἱ πυγμάχοι τῶν κοσμικῶν ἀγώνων, ὅταν κατακτυπήσουν τὰ κεφάλια τῶν ἀντιπάλων, τότε νικοῦν καὶ στεφανοῦνται· αὐτὸς δὲ (ὁ διάβολος) ὅταν κατεπλήγωσε τὸ σῶμα τοῦ δικαίου, τρυπήσας αὐτὸ μὲ κάθε εἴδους πληγάς, καὶ τὸ ἔκαμε ἀσθενέστερον, τότε ἐνικήθη καὶ ἀπεμακρύνθη· καὶ ὅταν τοῦ ἔσχισεν ἀπὸ παντοῦ τὰς πλευράς, αὐτὸς δὲν ἐκέρδισε τίποτε περισσότερον, διότι δὲν ἠμπόρεσε νὰ ἀφαιρέσῃ τὸν ἐναποκείμενον ψυχικὸν θησαυρόν, εἰς ἡμᾶς δὲ τὸν ἔκαμε λαμπρότερον, καὶ διὰ τῶν πληγῶν ἐκείνων ἐπέτρεψεν εἰς ὅλους νὰ βλέπουν ἐντός του καὶ νὰ μανθάνουν τὸν πλοῦτον του ὅλον· καὶ ὅταν ἐνόμισε ὅτι ἐνίκησε, τότε μὲ πολὺν ἐντροπὴν ἀνεχώρησε καὶ δὲν εἶπε τίποτε.

Τί συνέβη, διάβολε; Διατί ἀναχωρεῖς; Δὲν ἔγιναν ὅλα ὅσα ἠθέλησες; Δὲν κατέστρεψες τὰ ποίμνιά του, τὰ κοπάδια τῶν βοῶν του, τὰς ἀγέλας τῶν ἵππων καὶ τῶν ἡμιόνων; Δὲν κατέστρεψες καὶ ὅλα τὰ παιδιά του καὶ δὲν κατεπλήγωσες

κοψας ἅπασαν; Τίνος ἕνεκεν ἀνεχώρησας; Ὅτι ἐγένετο μὲν πάντα, ὅσα ἐθέλησα, φησίν· ὃ δὲ γενέσθαι μάλιστα ἐβουλόμην, καὶ δι᾽ ὃ πάντα ἐκεῖνα ἐποίησα, τοῦτο οὐκ ἐγένετο· οὐδὲ γὰρ ἐβλασφήμησε· διὰ γὰρ τοῦτο ἐκεῖνα ἐποίουν, φησίν, ἵνα τοῦτο ἐξέλθῃ. Τούτου δὲ μὴ γενομένου, οὐδέν μοι πλέον ἀπὸ τῆς ζημίας τῶν χρημάτων ἐγένετο, καὶ τῆς τῶν παίδων ἀπωλείας, καὶ τῆς τοῦ σώματος πληγῆς, ἀλλὰ τοὐναντίον ἤπερ ἐβουλόμην ἐξέβη, λαμπρότερον ἐποίησα τὸν ἐχθρόν, καὶ φαιδρότερον εἰργασάμην.

Ἔγνως ὅσον τῆς θλίψεως τὸ κέρδος, ἀγαπητέ; Καλὸν μὲν γὰρ τὸ σῶμα, καὶ ὑγιαῖνον ἦν, πολλῷ δὲ σεμνότερον γέγονε κατατμηθὲν ὑπὸ τῶν τραυμάτων ἐκείνων· ἐπεὶ καὶ ἔρια καλὰ μὲν καὶ πρὸ τῆς βαφῆς, ἐπειδὰν δὲ ἁλουργὰ γένηται, ἄφατον προσλαμβάνει τὸ κάλλος, καὶ πολλὴν τὴν εὐπρέπειαν. Εἰ δὲ μὴ ἀπέδυσεν αὐτόν, οὐκ ἂν ἔγνωμεν τοῦ στεφανίτου τὴν εὐεξίαν· εἰ μὴ διέτρησεν αὐτοῦ τὸ σῶμα ταῖς ὠτειλαῖς, οὐκ ἂν ἀντέλαμψαν ἔνδοθεν αἱ ἀκτῖνες· εἰ μὴ ἐκάθιζεν αὐτὸν ἐπὶ τῆς κοπρίας, οὐκ ἂν ἔγνωμεν αὐτοῦ τὸν πλοῦτον. Οὐδὲ γὰρ οὕτω λαμπρὸς ἐπὶ θρόνου καθήμενος βασιλεύς, ὡς ἐκεῖνος ἐπὶ τῆς κοπρίας τότε καθήμενος ἦν καὶ περιφανής. Μετὰ μὲν γὰρ τὸν βασιλικὸν θρόνον θάνατος, μετὰ δὲ τὴν κοπρίαν ἐκείνην οὐρανῶν βασιλεία.

2. Ταῦτα οὖν ἅπαντα ἀναλογιζόμενοι ἀνενέγκωμεν ἐκ τῆς κατεχούσης ἀθυμίας ἡμᾶς. Καὶ γὰρ ταύτας ὑμῖν παρατίθημι τὰς ἱστορίας, οὐχ ἵνα ἐπαινῆτε τὰ λεγόμενα, ἀλλ᾽ ἵνα μιμῆσθε τὴν ἀρετήν, καὶ τὴν ὑπομονὴν τῶν γενναίων ἐκείνων ἀνδρῶν, ἵνα διὰ τῶν ἔργων αὐτῶν μάθητε, ὅτι οὐδὲν δεινὸν τῶν ἀνθρωπίνων δεινῶν, ἀλλ᾽ ἡ ἁμαρτία μόνον, οὐ πενία, οὐ νόσος, οὐχ ὕβρις, οὐκ ἐπήρεια, οὐκ ἀτιμία, οὐ τὸ πάντων δοκοῦν ἔσχατον εἶναι τῶν κακῶν ὁ θάνατος. Ὀνόματα γὰρ

τὸ σῶμα του; Διατί λοιπὸν ἀνεχώρησες; Διότι ἔγιναν μὲν ὅλα ὅσα ἠθέλησα, λέγει· ἐκεῖνο ὅμως ποὺ κατ' ἐξοχὴν ἤθελα νὰ γίνῃ, καὶ διὰ τὸ ὁποῖον ἔκαμα ὅλα τὰ ἄλλα, αὐτὸ δὲν ἐγένετο· διότι δὲν ἐβλασφήμησε· διότι διὰ νὰ τὸν κάμω νὰ βλασφημήσῃ ἔκαμα ὅλα ἐκεῖνα, λέγει. Ἀφοῦ δὲ αὐτὸ δὲν ἔγινε, οὐδεμία ὠφέλεια μοῦ ἔγινε ἀπὸ τὴν ζημίαν τῶν χρημάτων ποὺ ἔκαμα, ἀπὸ τὴν ἀπώλειαν τῶν παιδιῶν, καὶ ἀπὸ τὰς πληγὰς τοῦ σώματος, ἀλλὰ ἔγινε τὸ ἀντίθετον ἀπὸ ἐκεῖνο ποὺ ἤθελα, τὸν ἔκαμα τὸν ἐχθρόν μου λαμπρότερον καὶ ἐνδοξότερον.

Ἀντελήφθης πόσον μεγάλο εἶναι τὸ κέρδος ἐκ τῆς θλίψεως, ἀγαπητέ; Διότι ἦτο ὡραῖον τὸ σῶμα καὶ ὑγιαῖνον, ἔγινε δὲ πολὺ ὡραιότερον, ὅταν κατεκόπη ἀπὸ τὰς πληγὰς ἐκείνας· ἐπειδὴ καὶ τὰ μαλλιὰ εἶναι καλὰ καὶ πρὸ τῆς βαφῆς, ὅταν ὅμως βαφοῦν πορφυρᾶ παίρνουν ἀνέκφραστον ὡραιότητα. Ἐὰν δὲν ἐξέδυεν αὐτὸν δὲν θὰ ἐγνωρίζαμεν τὴν καλὴν σωματικὴν κατάστασιν τοῦ νικητοῦ· ἐὰν δὲν τοῦ ἐτρυποῦσε τὸ σῶμα μὲ τὰς πληγάς, δὲν θὰ ἔλαμπαν ἀπὸ μέσα αἱ ἀκτῖνες· ἐὰν δὲν ἐκάθιζεν αὐτὸν ἐπὶ τῆς κοπρίας, δὲν θὰ ἐγνωρίζαμεν τὸν πνευματικὸν πλοῦτον του. Διότι δὲν εἶναι τόσον λαμπρὸς ὁ βασιλεὺς ποὺ κάθεται ἐπάνω εἰς τὸν θρόνον, ὅσον ἦτο ἐκεῖνος λαμπρὸς καὶ ἐπιφανὴς καθήμενος ἐπὶ τῆς κόπρου. Ἐπειδὴ μετὰ τὸν βασιλικὸν θρόνον εἶναι ὁ θάνατος, μετὰ τὴν κοπρίαν ἐκείνην ἡ βασιλεία τῶν οὐρανῶν.

2. Αὐτὰ ὅλα λοιπὸν ἔχοντες ὑπ' ὄψιν ἃς συνέλθωμεν ἀπὸ τὴν λύπην ποὺ μᾶς κατέχει. Διότι σᾶς παραθέτω αὐτὰς τὰς ἱστορίας, ὄχι διὰ νὰ ἐπαινῆτε ὅσα λέγω, ἀλλὰ διὰ νὰ μιμῆσθε τὴν ἀρετὴν καὶ τὴν ὑπομονὴν τῶν γενναίων ἐκείνων ἀνδρῶν, διὰ νὰ μάθετε ἀπὸ αὐτὰ τὰ ἴδια τὰ πράγματα ὅτι τίποτε δὲν εἶναι κακὸν ἀπὸ τὰ ἀνθρώπινα κακὰ παρὰ μόνον ἡ ἁμαρτία, οὔτε ἡ πτωχεία, οὔτε ἡ ἀσθένεια, οὔτε ἡ ὕβρις, οὔτε ἡ ζημία, οὔτε ἡ περιφρόνησις, οὔτε αὐτὸ ποὺ θεωρεῖται ὅτι εἶναι τὸ χειρότερον τῶν κακῶν, δηλαδὴ ὁ θάνατος. Διότι εἰς ἐκείνους ποὺ ζοῦν χριστιανικὴν ζωὴν εἶναι

ταῦτά ἐστι μόνον τοῖς φιλοσοφοῦσι, συμφορῶν ὀνόματα, πραγμάτων ἔρημα· ἡ δ' ἀληθὴς συμφορὰ τὸ προσκροῦσαι Θεῷ, καὶ ποιεῖν τι τῶν μὴ δοκούντων αὐτῷ. Τί γὰρ ἔχει δεινὸν ὁ θάνατος, εἰπέ μοι; Ὅτι σε ταχύτερον ἐπὶ τὸν εὔδιον λιμένα παραπέμπει, καὶ τὴν ἀτάραχον ἐκείνην ζωήν; Κἂν γὰρ ἄνθρωπος μὴ ἀποκτείνῃ, αὐτὸς τῆς φύσεως ὁ νόμος ἐπελθών, οὐ διαλύει τὸ σῶμα ἀπὸ τῆς ψυχῆς; Κἂν γὰρ μὴ νῦν γένηται τοῦτο, ἔσται μικρὸν ὕστερον, ὃ νῦν δεδοίκαμεν. Καὶ ταῦτα λέγω οὐ προσδοκῶν τι δεινόν, οὐδὲ λυπηρόν· μὴ γένοιτο· ἀλλὰ ὑπὲρ τῶν δεδοικότων τὸν θάνατον αἰσχυνόμενος.

Τοσαῦτα προσδοκῶν, εἰπέ μοι, ἀγαθά, «ἃ μήτε ὀφθαλμὸς εἶδεν, μήτε οὖς ἤκουσε, μήτε ἐπὶ καρδίαν ἀνθρώπου ἀνέβη», ἀναδύῃ πρὸς τὴν ἀπόλαυσιν, καὶ ἀμελεῖς καὶ ὀκνεῖς; Καὶ οὐκ ὀκνεῖς μόνον, ἀλλὰ καὶ δέδοικας καὶ φρίττεις; Καὶ πῶς οὐκ αἰσχρόν, ὅτι σὺ διὰ θάνατον ὀδυνᾶσαι, Παῦλος δὲ διὰ τὴν παροῦσαν ἔστενε ζωήν; Καὶ Ῥωμαίους γράφων ἔλεγεν, ὅτι «Καὶ ἡ κτίσις συστενάζει, καὶ ἡμεῖς αὐτοὶ τὴν ἀπαρχὴν τοῦ πνεύματος ἔχοντες στενάζομεν».

Καὶ ταῦτα ἔλεγεν οὐχὶ τῶν παρόντων καταγινώσκων, ἀλλὰ τὰ μέλλοντα ποθῶν. Ἐγευσάμην, φησί, τῆς χάριτος, καὶ οὐ στέγω τὴν ἀναβολήν· τὴν ἀπαρχὴν ἔχω τοῦ πνεύματος, καὶ πρὸς τὸ πᾶν ἐπείγομαι· ἀνέβην εἰς τρίτον οὐρανόν, εἶδον τὴν δόξαν ἐκείνην τὴν ἄρρητον, εἶδον τὰ βασίλεια τὰ λαμπρά, ἔμαθον τίνων ἀπεστέρημαι διατρίβων ἐνταῦθα, καὶ διὰ ταῦτα στενάζω. Εἰπὲ γάρ μοι, εἴ τίς σε εἰς βασιλικὰς εἰσήγαγεν αὐλάς, καὶ χρυσὸν ἔδειξε, πάντοθεν ἀπὸ τῶν τοίχων ἀστράπτοντα, καὶ τὴν ἄλλην εὐπρέπειαν ἅπασαν, εἶτά σε ἐκεῖθεν εἰς καλύβην πένητος εἰσήγαγε, καὶ μετὰ

2. Α' Κορ. 2, 9.
3. Ρωμ. 7, 22-23.

μόνον ὀνόματα, ὀνόματα συμφορῶν, χωρὶς πραγματικὸν περιεχόμενον· ἡ δὲ ἀληθινὴ συμφορὰ εἶναι τὸ νὰ προσκρούσῃς εἰς τὸν Θεὸν καὶ νὰ κάμῃς κάτι ποὺ δὲν ἀρέσει εἰς αὐτόν. Διότι, εἰπέ μου, τί κακὸν προξενεῖ ὁ θάνατος; Τὸ ὅτι σὲ φέρει συντομώτερα εἰς τὸν γαλήνιον λιμένα καὶ τὴν ἀτάραχον ἐκείνην ζωήν; Διότι καὶ ἂν ἀκόμα δὲν σὲ φονεύσῃ ἄνθρωπος, αὐτὸς ὁ νόμος τῆς φύσεως ἀφοῦ ἔλθῃ δὲν θὰ διαλύσῃ τὸ σῶμα ἀπὸ τὴν ψυχήν; Καὶ ἂν αὐτὸ ποὺ ἐφοβήθημεν δὲν γίνῃ τώρα, θὰ γίνῃ λίγο ἀργότερα. Καὶ τὰ λέγω αὐτὰ ὄχι προαισθανόμενος κάποιο κακόν, ἢ λυπηρόν· μὴ γένοιτο· ἀλλὰ μόνον καὶ μόνον, διότι ἐντρέπομαι δι' ἐκείνους ποὺ φοβοῦνται τὸν θάνατον.

Ἐνῷ περιμένεις τόσα ἀγαθὰ «τὰ ὁποῖα οὔτε μάτι εἶδε, οὔτε αὐτὶ ἤκουσε, οὔτε ἀνθρώπινος νοῦς ἐφαντάσθη»[2] δὲν προθυμοποιεῖσαι νὰ τὰ ἀπολαύσῃς, ἀλλὰ ἀμελεῖς καὶ εἶσαι τεμπέλης; Καὶ δὲν εἶσαι μόνον τεμπέλης, ἀλλὰ καὶ φοβᾶσαι καὶ φρίττεις; Καὶ πῶς δὲν εἶναι ἄσχημον, ὅτι σὺ ὀδυνᾶσαι διὰ τὸν θάνατον, ὁ Παῦλος δὲ ἀναστέναζε ὄχι διὰ τὸν θάνατον ἀλλὰ διὰ τὴν ζωήν; Καὶ γράφων πρὸς τοὺς Ρωμαίους ἔλεγεν ὅτι «καὶ ἡ κτίσις ὅλη μαζὶ στενάζει καὶ ἡμεῖς καίτοι ἀπολαύομεν τῶν δωρεῶν τοῦ ἁγίου Πνεύματος στενάζομεν ἀπὸ τὸ βάθος τῶν καρδιῶν μας»[3].

Καὶ τὰ ἔλεγεν αὐτὰ ὄχι ἐπειδὴ ἐθεωροῦσεν ὡς κακὸν τὴν παροῦσαν ζωήν, ἀλλὰ ἐπειδὴ ἐποθοῦσε τὰ μέλλοντα. Ἐγεύθην, λέγει, τὴν θείαν χάριν καὶ δὲν ἀνέχομαι τὴν ἀναβολήν· ἔχω τὰς ἀπαρχὰς τῶν δωρεῶν τοῦ ἁγίου Πνεύματος καὶ σπεύδω νὰ τὸ ἀποκτήσω· ἀνέβην εἰς τὸν τρίτον οὐρανόν, εἶδον τὴν δόξαν ἐκείνην τὴν ἀνέκφραστον, εἶδον τὰ λαμπρὰ βασίλεια, ἔμαθα ποῖα πράγματα ἔχω στερηθῆ, παραμένων ἐδῶ, καὶ διὰ τοῦτο στενάζω. Διότι, εἰπέ μου, ἐὰν κάποιος σὲ εἰσαγάγῃ εἰς τὰ ἀνάκτορα τοῦ βασιλέως καὶ σοῦ δείξῃ χρυσὸν καὶ νὰ ἀπαστράπτουν ἀπὸ παντοῦ οἱ τοῖχοι καὶ ὅλην τὴν ἄλλην λαμπρὰν ἐμφάνισιν, καὶ μετὰ ἀπὸ ἐκεῖ νὰ σὲ εἰσαγάγῃ εἰς πτωχικὴν καλύβην καὶ μετ' ὀλίγον χρό-

χρόνον βραχὺν ὑπέσχετο εἰς τὰ βασίλεια ἀπάξειν ἐκεῖνα, καὶ διηνεκῆ δώσειν ἐκεῖ μονήν· ἆρα οὐκ ἔμελλες ἀλύειν, καὶ δυσαναασχετεῖν, καὶ πρὸς αὐτὰς τὰς ὀλίγας ἡμέρας; Τοῦτο δὲ καὶ ἐπὶ τῶν οὐρανῶν λογίζου, καὶ ἐπὶ τῆς γῆς, καὶ στένε μετὰ Παύλου, μὴ διὰ τὸν θάνατον, ἀλλὰ διὰ τὴν παροῦσαν ζωήν.

Καὶ δός μοι κατὰ Παῦλον γενέσθαι, φησί, καὶ οὐδέποτε φοβηθήσομαι θάνατον. Καὶ τί τὸ κωλύον κατὰ Παῦλον γενέσθαι σε, ἄνθρωπε; Οὐχὶ πένης ἦν ἐκεῖνος; οὐχὶ σκηνοποιός; οὐκ ἰδιώτης; Εἰ μὲν γὰρ πλούσιος ἦν καὶ εὐγενής, εἶχον ἴσως οἱ πένητες πρὸς τὸν αὐτὸν καλούμενοι ζῆλον, τὴν ἑαυτῶν προβάλλεσθαι πενίαν· νυνὶ δὲ οὐδὲν τούτων ἔχεις εἰπεῖν. Καὶ χειροτέχνης ὁ ἄνθρωπος ἦν, καὶ ἐκ τῶν καθημερινῶν ἀπεστρέφετο πόνων· καὶ σὺ μὲν ἐξ ἀρχῆς τὴν εὐσέβειαν διεδέξω παρὰ πατέρων, καὶ ἐκ πρώτης ἡλικίας τοῖς ἱεροῖς γράμμασιν ἐνετράφης· ἐκεῖνος δὲ καὶ βλάσφημος γέγονε, καὶ διώκτης, καὶ ὑβριστής, καὶ τὴν Ἐκκλησίαν ἐπόρθησεν, ἀλλ' ὅμως οὕτως ἀθρόον μετεβάλετο, ὡς ἅπαντας ὑπερβαλέσθαι τῇ τῆς προθυμίας σφοδρότητι, καὶ βοᾷ λέγων, «Μιμηταί μου γίνεσθε, καθὼς κἀγὼ Χριστοῦ». Ἐκεῖνος τὸν Δεσπότην ἐμιμήσατο, σὺ δὲ τὸν σύνδουλον οὐ μιμῇ, ὁ ἐξ ἀρχῆς ἐν εὐσεβείᾳ τραφείς, τὸν ὕστερον ἐκ μεταβολῆς προσελθόντα τῇ πίστει;

Οὐκ οἶσθα, ὅτι οἱ ἐν ἁμαρτίαις ὄντες, κἂν ζῶσιν, ἀπέθανον; οἱ δὲ ἐν δικαιοσύνῃ ζῶντες, κἂν ἀποθάνωσι, ζῶσι; Καὶ οὐκ ἐμὸς οὗτος ὁ λόγος· ἀπόφασίς ἐστι τοῦ Χριστοῦ πρὸς τὴν Μάρθαν λέγοντος, «Πᾶς ὁ πιστεύων εἰς ἐμέ, κἂν ἀποθάνῃ, ζήσεται». Μὴ γὰρ μῦθός ἐστι τὰ ἡμέτερα; Εἰ Χριστιανὸς εἶ, πίστευε τῷ Χριστῷ· εἰ πιστεύεις τῷ Χριστῷ, διὰ τῶν ἔργων ἐπίδειξόν μοι τὴν πίστιν. Πῶς δὲ ἐπι-

---

4. Α' Κορ. 11, 1.
5. Ἰω. 11, 25.

νον πάλιν νὰ σὲ ἐπαναφέρῃ εἰς ἐκεῖνα τὰ βασιλικὰ ἀνάκτορα καὶ νὰ σοῦ ἐπιτρέψῃ νὰ παραμείνῃς ἐκεῖ πάντα, δὲν θὰ ἐδυσφοροῦσες καὶ ἀνησυχοῦσες ἔστω καὶ ἂν ἔμενες ὀλίγας ἡμέρας; Αὐτὸ νὰ σκέπτεσαι καὶ διὰ τὸν οὐρανὸν καὶ τὴν γῆν, καὶ νὰ ἀναστενάζῃς μαζὶ μὲ τὸν Παῦλον, ὄχι διὰ τὸν θάνατον, ἀλλὰ διὰ τὴν παροῦσαν ζωήν.

Καὶ ἂς γίνω ἐγὼ ὅπως ὁ Παῦλος, λέγει, καὶ οὐδέποτε θὰ φοβηθῶ τὸν θάνατον. Καὶ τί σὲ ἐμποδίζει, ἄνθρωπε, νὰ γίνῃς ὅπως ὁ Παῦλος; Δὲν ἦτο πτωχὸς καὶ ἐκεῖνος; Δὲν ἦτο σκηνοποιός; Δὲν ἦτο ἁπλοῦς πολίτης; Διότι ἐὰν ἦτο πλούσιος καὶ εὐγενὴς ὅταν θὰ προετρέποντο οἱ πτωχοὶ νὰ μιμηθοῦν τὸν ζῆλον αὐτοῦ, θὰ εἶχον νὰ προβάλλουν τὴν πτωχείαν των, τώρα ὅμως τίποτε ἀπὸ αὐτὰ δὲν ἠμπορεῖς νὰ εἰπῇς. Καὶ χειρώναξ ἦτο ὁ ἄνθρωπος, καὶ ἐτρέφετο ἀπὸ τοὺς καθημερινοὺς κόπους του· καὶ σὺ μὲν ἀπὸ τὴν ἀρχὴν τῆς ζωῆς σου διεδέχθης τὴν εὐσέβειαν ἀπὸ τοὺς πατέρας σου καὶ ἐκ μικρᾶς ἡλικίας ἀνετράφης μὲ τὰ ἱερὰ γράμματα· ἐκεῖνος ὅμως ἔγινε καὶ βλάσφημος καὶ διώκτης καὶ ὑβριστὴς καὶ τὴν ἐκκλησίαν ἔβλαψε, καὶ ὅμως τόσον ἀπότομα μετεβλήθη, ὥστε ὅλους νὰ τοὺς ὑπερβάλῃ εἰς τὴν προθυμίαν καὶ φωνάζει λέγων· «Γίνεσθε μιμηταί μου καθὼς καὶ ἐγὼ ἔγινα μιμητὴς τοῦ Χριστοῦ»[4]. Ἐκεῖνος ἔγινε μιμητὴς τοῦ Δεσπότου, σὺ δὲ τὸν σύνδουλόν σου δὲν μιμεῖσαι, ὁ ὁποῖος προσῆλθεν εἰς τὴν πίστιν κατόπιν, ἐκ μεταβολῆς, ἐνῷ σὺ ἀνετράφης μὲ εὐσέβειαν ἀπὸ τὴν ἀρχήν;

Δὲν γνωρίζετε ὅτι ὅσοι εὑρίσκονται εἰς τὰς ἁμαρτίας, καὶ ἂν ἀκόμα ζοῦν, ἀπέθανον; Ἐνῷ ὅσοι ζοῦν μὲ τὴν ἀρετήν, καὶ ἂν ἀκόμα ἀποθάνουν, ζοῦν; Καὶ δὲν εἶναι ἰδικά μου τὰ λόγια αὐτά. Εἶναι ἀπόφασις τοῦ Χριστοῦ, ὁ ὁποῖος λέγει πρὸς τὴν Μάρθαν «ἐκεῖνος ποὺ πιστεύει εἰς ἐμέ, καὶ ἂν ἀποθάνῃ σωματικῶς, θὰ ζήσῃ»[5]. Μήπως νομίζεις ὅτι εἶναι παραμύθια ἡ ἰδική μας διδασκαλία; Ἐὰν εἶσαι χριστιανὸς νὰ πιστεύῃς εἰς τὸν Χριστόν· ἐὰν πιστεύῃς εἰς τὸν Χριστὸν δεῖξε μου διὰ τῶν ἔργων τὴν πίστιν σου. Πῶς δὲ θὰ δείξῃς

δείξῃ διὰ τῶν ἔργων τὴν πίστιν; Ἐὰν καταφρονῇς θανάτου. Καὶ γὰρ καὶ ταύτῃ διεστήκαμεν τῶν ἀπίστων· ἐκεῖνοι μὲν γὰρ καλῶς φοβοῦνται τὸν θάνατον, ἀναστάσεως γὰρ ἐλπίδα οὐκ ἔχουσι· σὺ δὲ ὁ πρὸς βελτίονα ὁδεύων ὁδόν, καὶ περὶ τῆς ἐλπίδος τῆς ἐκεῖ φιλοσοφεῖν ἔχων, ποίαν ἔχοις ἂν συγγνώμην, περὶ ἀναστάσεως μὲν θαρρῶν, ὁμοίως δὲ τοῖς ἀπιστοῦσι τῇ ἀναστάσει τὸν θάνατον δεδοικώς.

Ἀλλ' οὐ τὸν θάνατον δέδοικα, φησίν, οὐδὲ τὸ ἀποθανεῖν, ἀλλὰ τὸ κακῶς ἀποθανεῖν, τὸ ἀποτμηθῆναι τὴν κεφαλήν. Οὐκοῦν ὁ Ἰωάννης κακῶς ἀπέθανεν; Ἀπετμήθη γάρ· οὐκοῦν ὁ Στέφανος κακῶς ἀπέθανε; Κατελεύσθη γάρ· καὶ μάρτυρες δὲ πάντες ἀθλίως τὸ καθ' ὑμᾶς ἐτελεύτησαν· ἐπειδὴ οἱ μὲν ἐν πυρί, οἱ δὲ ἐν σιδήρῳ τὸν βίον κατέλυσαν· καὶ οἱ μὲν εἰς πέλαγος, οἱ δὲ εἰς κρημνόν, οἱ δὲ εἰς ὀδόντας ἐμπεσόντες θηρίων, οὕτως ἀπέθανον. Οὐ τοῦτό ἐστι τὸ κακῶς ἀποθανεῖν, ἄνθρωπε, τὸ βιαίῳ τελευτῆσαι θανάτῳ, ἀλλὰ τὸ ἐν ἁμαρτίαις ἀποθανεῖν· ἄκουσον γοῦν τοῦ προφήτου περὶ αὐτῶν τούτων φιλοσοφοῦντος καὶ λέγοντος, «Θάνατος ἁμαρτωλῶν πονηρός»· οὐκ εἶπε, θάνατος βίαιος πονηρός· ἀλλὰ τί; «Θάνατος ἁμαρτωλῶν πονηρός». Δικαίως· μετὰ γὰρ τὴν ἐντεῦθεν ἀποδημίαν κόλασις ἀφόρητος, τιμωρίαι ἀθάνατοι, ὁ σκώληξ ὁ ἰοβόλος, τὸ πῦρ τὸ ἄσβεστον, τὸ σκότος τὸ ἐξώτερον, τὰ δεσμὰ τὰ ἄλυτα, ὁ τῶν ὀδόντων βρυγμός, ἡ θλῖψις, ἡ στενοχωρία, καὶ ἡ αἰώνιος δίκη.

3. Ὅταν οὖν τοιαῦτα τοὺς ἁμαρτωλοὺς ἀναμένῃ κακά, τί γένοιτ' ἂν αὐτοῖς ὄφελος, κἂν οἴκοι, κἂν ἐπὶ τῆς ἑαυτῶν κλίνης καταλύσωσι τὴν ζωήν; Ὥσπερ οὖν τοῖς δικαίοις οὐδὲν ἂν γένοιτο βλάβος, ἐκ τοῦ ξίφει καὶ σιδήρῳ

6. Ψαλ. 33, 22.

τὴν πίστιν σου διὰ τῶν ἔργων; Ἐὰν περιφρονῇς τὸν θάνατον. Καθ' ὅσον καὶ εἰς αὐτὸ τὸ σημεῖον διαφέρομεν ἀπὸ τοὺς ἀπίστους· διότι ἐκεῖνοι μὲν καλῶς φοβοῦνται τὸν θάνατον, διότι δὲν ἔχουν ἐλπίδα ἀναστάσεως· σὺ ὅμως ποὺ βαδίζεις εἰς καλύτερον δρόμον, καὶ εἶσαι εἰς θέσιν νὰ φιλοσοφῇς περὶ τῆς μελλούσης ἐλπίδος, ποίαν δικαιολογίαν θὰ ἔχῃς, ἐνῷ πιστεύεις εἰς τὴν ἀνάστασιν, ὁμοίως μὲ τοὺς ἀπιστοῦντας εἰς τὴν ἀνάστασιν φοβᾶσαι τὸν θάνατον;

Ὅμως δὲν φοβοῦμαι τὸν θάνατον, λέγει, οὔτε τὸ νὰ ἀποθάνω, ἀλλὰ τὸν κακὸν θάνατον, τὴν ἀποκοπὴν τῆς κεφαλῆς. Λοιπὸν ὁ Ἰωάννης εἶχε κακὸν θάνατον; διότι ἀπεκεφαλίσθη· ἢ μήπως ὁ Στέφανος εἶχε κακὸν θάνατον; διότι ἐλιθοβολήθη· καὶ ὅλοι οἱ μάρτυρες κατὰ τὴν γνώμην σου ἀπέθανον μὲ ἄσχημον θάνατον· ἐπειδὴ ἄλλοι μὲν διὰ πυρός, ἄλλοι δὲ διὰ μαχαίρας ἐτελείωσαν τὸν βίον τους· καὶ ἄλλοι ἐρρίφθησαν εἰς τὴν θάλασσαν, ἄλλοι εἰς τὸν κρημνόν, ἄλλοι εἰς τὰ στόματα τῶν θηρίων καὶ ἔτσι ἀπέθανον. Δὲν εἶναι τοῦτο κακὸς θάνατος, ἄνθρωπε, τὸ νὰ ἀποθάνῃ κανεὶς μὲ βίαιον καὶ βασανιστικὸν θάνατον, ἀλλὰ κακὸς θάνατος εἶναι τὸ νὰ ἀποθάνῃ κανεὶς εἰς τὰς ἁμαρτίας· ἄκουσε λοιπὸν τὸν προφήτην ποὺ φιλοσοφεῖ περὶ αὐτῶν καὶ λέγει «ὁ θάνατος τῶν ἁμαρτωλῶν εἶναι κακός»[6]· δὲν εἶπε θάνατος βίαιος κακός· ἀλλὰ τί; «Ὁ θάνατος τῶν ἁμαρτωλῶν εἶναι κακό». Δικαίως τὸ εἶπε· διότι μετὰ τὴν ἀποδημίαν ἀπὸ τὸν κόσμον τοῦτον, τοὺς περιμένει ἀνυπόφορος κόλασις, τιμωρίαι αἰώνιοι, σκουλίκι φαρμακερόν, ἡ φωτιὰ ποὺ δὲν σβήνει, τὸ σκότος τὸ ἐξώτερον, τὰ δεσμὰ τὰ ἄλυτα, ὁ τριγμὸς τῶν ὀδόντων, ἡ θλῖψις, ἡ στενοχωρία καὶ ἡ αἰώνιος καταδίκη.

3. Ὅταν λοιπὸν τέτοια κακὰ περιμένουν τοὺς ἁμαρτωλούς, ποία ὠφέλεια ἠμποροῦσε νὰ προκύψῃ δι' αὐτοὺς ἂν ἀποθάνουν εἴτε εἰς τὸ σπίτι τους ἢ εἰς τὴν κλίνην τους; Ὅπως βέβαια καὶ εἰς τοὺς δικαίους καμμία ζημία δὲν ἠμπορεῖ νὰ γίνῃ ἀπὸ τὸ ὅτι θὰ τερματίσουν τὴν παροῦσαν ζωήν

καὶ πυρὶ τὴν παροῦσαν ἀποθέσθαι ζωήν, ὅταν πρὸς τὰ ἀθάνατα μέλλωσιν ἀποδημεῖν ἀγαθά. Ἀληθῶς θάνατος ἁμαρτωλῶν πονηρός. Τοιοῦτος ἦν ὁ τοῦ πλουσίου θάνατος, ἐκείνου τοῦ τὸν Λάζαρον ὑπεριδόντος, ὅς οἴκοι, καὶ ἐπὶ τῆς κλίνης καὶ τῶν ἐπιτηδείων παρόντων οἰκείᾳ τελευτῇ καταλύσας τὸν βίον, ἀπελθὼν ἀπετηγανίζετο, οὐδὲ μικρὰν παραμυθίαν ἐκ τῆς κατὰ τὸν παρόντα βίον εὐημερίας εὑρεῖν δυνηθεὶς ἐκεῖ.

Ἀλλ' οὐχ ὁ Λάζαρος οὕτως· ἀλλ' ἐπ' αὐτοῦ τοῦ ἐδάφους τῶν κυνῶν παρόντων καὶ λειχομένων τὰ τραύματα, βίαιον θάνατον ὑποστάς, (τί γὰρ λιμοῦ γένοιτ' ἂν ὀδυνηρότερον;) ἀπελθὼν ἐκεῖ τῶν αἰωνίων ἀπήλαυσεν ἀγαθῶν, ἐντρυφῶν τοῖς κόλποις τοῦ Ἀβραάμ. Τί τοίνυν παρέβλαψεν αὐτὸν τὸ βιαίως ἀποθανεῖν; Τί δὲ τὸν πλούσιον ὤνησε τὸ μὴ βιαίως ἀποθανεῖν; Ἀλλ' οὐ τὸ βιαίως, φησίν, ἀλλὰ τὸ ἀδίκως ἀποθανεῖν δεδοίκαμεν, καὶ τὸ μηδὲν τετολμηκότας, ὧν ὑποπτευόμεθα, τοῖς ἑαλωκόσι κολασθῆναι παραπλησίως. Τί λέγεις, εἰπέ μοι; Τὸ ἀδίκως ἀποθανεῖν δέδοικας; Ἀλλὰ δικαίως ἐβούλου; Καὶ τίς οὕτως ἄθλιος καὶ ταλαίπωρος, ὡς παρὸν ἀδίκως ἀποθανεῖν, δικαίως ἑλέσθαι μᾶλλον; Εἰ γὰρ θάνατον δεδοικέναι χρή, τὸν δικαίως ἡμῖν ἐπιόντα δεδοικέναι χρή, ὡς ὅγε ἀδίκως ἀποθανὼν κατ' αὐτὸ τοῦτο κοινωνεῖ τοῖς ἁγίοις ἅπασιν.

Οἱ γὰρ πλείους τῶν εὐδοκιμηκότων παρὰ τῷ Θεῷ καὶ λαμψάντων, ἄδικον ὑπέστησαν τελευτήν, καὶ πρῶτος ὁ Ἄβελ· οὐ γὰρ δὴ πλημμελήσας εἰς τὸν ἀδελφόν, οὐδὲ λυπήσας τι τὸν Κάϊν, ἀλλ' ἐπειδὴ τὸν Θεὸν ἐτίμησε, διὰ τοῦτο ἐσφάγη· ὁ δὲ Θεὸς συνεχώρησεν, ἆρα φιλῶν αὐτὸν ἢ μισῶν; Εὔδηλον ὅτι φιλῶν, καὶ λαμπρότερον αὐτῷ τὸν στέφανον ποιῆσαι βουλόμενος ἀπὸ τῆς ἀδικωτάτης σφαγῆς. Ὁρᾷς

---

7. Πρβλ. Λουκᾶ 16, 19-31.
8. Γεν. 4, 11.

των μὲ ξίφος ἢ μὲ μάχαιραν ἢ μὲ φωτιάν, ἀφοῦ πρόκειται νὰ ἀπέλθουν εἰς τὰ αἰώνια ἀγαθά. Πράγματι ὁ θάνατος τῶν ἁμαρτωλῶν εἶναι κακός. Τέτοιος ἦταν ὁ θάνατος τοῦ πλουσίου, ὁ ὁποῖος περιεφρόνησε τὸν Λάζαρον[7] καὶ ὁ ὁποῖος εἰς τὸ σπίτι του, ἐπάνω εἰς τὸ κρεββάτι, ἐπὶ παρουσία τῶν συγγενῶν του καὶ μὲ θάνατον ὄχι βίαιον, ὅταν ἐπῆγεν ἐκεῖ ἐτηγανίζετο, χωρὶς νὰ ἔχῃ τὴν παραμικρὰν παρηγορίαν ἀπὸ τὴν καλοπέρασιν ποὺ εἶχεν εἰς τὸν κόσμον τοῦτον.

Ὅμως δὲν συνέβη τὸ ἴδιον εἰς τὸν Λάζαρον· αὐτὸς ἂν καὶ ἀπέθανε μὲ βίαιον θάνατον (διότι τί ἠμπορεῖ νὰ γίνῃ ὀδυνηρότερον ἀπὸ τὴν πεῖναν) καὶ ὅταν ἦτο ἐδῶ τοῦ ἔγλειφαν τὰ σκυλιὰ τὰς πληγάς, ὅταν ἐπῆγεν ἐκεῖ ἀπήλαυσε τὰ αἰώνια ἀγαθά, ἐντρυφῶν εἰς τοὺς κόλπους τοῦ Ἀβραάμ. Λοιπὸν εἰς τί ἔβλαψε τοῦτον τὸ ὅτι ἀπέθανε μὲ βίαιον θάνατον; Καὶ τί ὠφέλησε τὸν πλούσιον τὸ ὅτι δὲν ἀπέθανε μὲ βίαιον θάνατον; Ἀλλὰ δὲν φοβούμεθα, λέγει, τὸν βίαιον θάνατον, ἀλλὰ τὸν ἄδικον θάνατον καὶ νὰ τιμωρηθοῦμε ὅπως οἱ ἔνοχοι, ἐνῷ δὲν ἐκάμαμεν τίποτε ἀπὸ αὐτὰ ποὺ μᾶς ὑποπτεύονται. Εἰπέ μου, τί λέγεις; Φοβᾶσαι τὸν ἄδικον θάνατον; Ἀλλὰ ἤθελες νὰ ἀποθάνῃς μὲ δίκαιον; Καὶ ποῖος εἶναι τόσον ἄθλιος καὶ ταλαίπωρος ὁ ὁποῖος ἐνῷ ἠμπορεῖ νὰ ἀποθάνῃ ἄδικα, νὰ προτιμᾷ νὰ ἀποθάνῃ δίκαια; Διότι ἐὰν πρέπει νὰ φοβούμεθα τὸν θάνατον, τὸν δίκαιον πρέπει νὰ φοβούμεθα, διότι αὐτὸς ποὺ θὰ ἀποθάνῃ ἄδικα ἐξ αἰτίας τούτου μετέχει εἰς τὴν κοινωνίαν τῶν ἁγίων.

Διότι οἱ περισσότεροι ἀπὸ ἐκείνους ποὺ ἐφάνησαν εὐάρεστοι ἐνώπιον τοῦ Θεοῦ, καὶ ἔλαμψαν, ὑπέστησαν ἄδικον θάνατον, καὶ πρῶτος ἐξ αὐτῶν ὁ Ἄβελ· διότι οὔτε ἐπειδὴ ἐζημίωσε τὸν ἀδελφόν του, οὔτε ἐπειδὴ ἐλύπησε εἰς κάτι τὸν Κάϊν, ἀλλὰ ἐπειδὴ ἐτίμησε τὸν Θεόν, διὰ τοῦτο ἐσφάγη[8]· ὁ δὲ Θεὸς ἐπέτρεψε τὸν φόνον τοῦτον, διότι ἀγαποῦσεν ἢ ἐμισοῦσε τὸν Κάιν. Εἶναι εὐνόητον ὅτι ἐπειδὴ τὸν ἀγαποῦσε καὶ ἤθελε ἀπὸ τὴν ἀδικωτάτην αὐτὴν σφαγὴν νὰ τοῦ κάμῃ λαμπρότερον τὸν στέφανον. Βλέπεις λοιπὸν ὅτι δὲν πρέπει

ὅτι οὐ τὸ βιαίως ἀποθανεῖν δεδοικέναι χρή, ἀλλὰ τὸ ἐν ἁμαρτίαις ἀποθανεῖν; Ὁ Ἄβελ ἀπέθανεν ἀδίκως, ὁ Κάϊν ἔζη στένων καὶ τρέμων· τίς οὖν, εἰπέ μοι, μακαριώτερος ἦν, ὁ μετὰ δικαιοσύνης ἀναπαυσάμενος, ἢ ὁ ἐν ἁμαρτίαις ζῶν; ὁ ἀδίκως ἀποθανών, ἢ ὁ δικαίως κολαζόμενος.

Βούλεσθε εἴπω πρὸς τὴν ὑμετέραν ἀγάπην, πόθεν δεδοίκαμεν θάνατον; Οὐκ ἔτρωσεν ἡμᾶς βασιλείας ἔρως, οὐδὲ ἀνῆψεν ἡμᾶς ὁ τῶν μελλόντων πόθος, ἐπεὶ πάντων ἂν ὑπερίδωμεν τῶν παρόντων, καθάπερ ὁ μακάριος Παῦλος. Καὶ πρὸς τούτοις πάλιν οὐ φοβούμεθα γέενναν, διὰ τοῦτο φοβούμεθα θάνατον· οὐκ ἴσμεν τῆς ἐκεῖ κολάσεως τὸ ἀφόρητον, διὰ τοῦτο τελευτὴν ἀντὶ ἁμαρτίας δεδοίκαμεν· ὡς εἰ ἐκεῖνος κατεῖχε τὴν ψυχὴν ἡμῶν ὁ φόβος, οὐδὲ ἐπεισελθεῖν οὗτος ἠδύνατο. Καὶ τοῦτο οὐ πόρρωθέν ποθεν, ἀλλ' οἴκοθεν, καὶ ἐξ αὐτῶν τῶν συμβεβηκότων ἡμῖν, ἐν ταῖς ἡμέραις ταύταις, πειράσομαι ποιῆσαι φανερόν.

Ἐπειδὴ γὰρ ἦλθε παρὰ βασιλέως τὰ γράμματα τὴν εἰσφορὰν ταύτην τὴν ἀφόρητον εἶναι δοκοῦσαν κελεύοντα καταθεῖναι, πάντες ἐστασίαζον, πάντες ἐφιλονείκουν, ἐδυσχέραινον, ἠγανάκτουν, πρὸς ἀλλήλους ἀπαντῶντες ἔλεγον· ἀβίωτος ἡμῶν ὁ βίος, ἀνετράπη ἡ πόλις, οὐδεὶς ὑποστῆναι δυνήσεται τῆς εἰσφορᾶς ταύτης τὸ μέγεθος, καὶ ἤσχαλλον πάντες ὡς περὶ τῶν ἐσχάτων κινδυνεύοντες. Μετὰ ταῦτα, ἐπειδὴ συνέβη τὰ τολμηθέντα, καί τινες μιαροὶ καὶ παμμίαροι τοὺς νόμους καταπατήσαντες, τοὺς ἀνδριάντας καθεῖλον, καὶ τὸν περὶ τῶν ἐσχάτων πᾶσιν ἐπεκρέμασαν κίνδυνον, καὶ νῦν περὶ τῆς ζωῆς αὐτῆς δεδοίκαμεν παροξύναντες τὸν βασιλέα· οὐκ ἔτι λοιπὸν ἡμᾶς ἡ τῶν χρημάτων δάκνει ζημία, ἀλλ' ἕτερα ἀντ' ἐκείνων πάντων ἀκούω λεγόντων· λαβέτω τὴν οὐσίαν ὁ βασιλεύς,

νὰ φοβούμεθα τὸν ἄδικον θάνατον, ἀλλὰ τὸ νὰ ἀποθάνωμεν μὲ τὰς ἁμαρτίας; Ὁ Ἄβελ ἀπέθανεν ἄδικα, ὁ Κάιν ἐζοῦσεν ἀναστενάζων καὶ τρέμων· λέγε μου λοιπόν, ποῖος ἦτο εὐτυχέστερος, ἐκεῖνος ποὺ ἀνεπαύθη διὰ παντὸς μὲ δικαιοσύνην, ἢ ἐκεῖνος ποὺ ἐζοῦσε μὲ τὴν ἁμαρτίαν;

Θέλετε νὰ εἰπῶ εἰς τὴν ἀγάπην σας διατί φοβούμεθα τὸν θάνατον; Διότι δὲν ἐκυρίευσε τὴν καρδίαν μας ὁ ἔρως τῆς βασιλείας τῶν οὐρανῶν, οὔτε ἤναψεν εἰς ἡμᾶς ὁ πόθος τῶν μελλόντων, διότι τότε θὰ περιφρονούσαμεν ὅλοι τὰ παρόντα, ὅπως ἀκριβῶς καὶ ὁ μακάριος Παῦλος. Καὶ ἐπὶ πλέον ἐπειδὴ δὲν φοβούμεθα τὴν γέενναν τοῦ πυρὸς διὰ τοῦτο φοβούμεθα τὸν θάνατον· δὲν γνωρίζομεν τὸ ἀνυπόφορον τῆς ἐκεῖ κολάσεως, διὰ τοῦτο φοβούμεθα τὸν θάνατον ἀντὶ τῆς ἁμαρτίας· διότι ἐὰν κατεῖχε τὴν ψυχήν μας ὁ φόβος ἐκεῖνος, δὲν θὰ ἠμποροῦσεν ὁ φόβος αὐτὸς οὔτε νὰ εἰσέλθῃ. Καὶ τοῦτο ὄχι μὲ ξένα παραδείγματα ἀλλὰ μὲ γνωστὰ καὶ ἀπὸ αὐτὰ ποὺ συνέβησαν εἰς ἡμᾶς, κατ' αὐτὰς τὰς ἡμέρας, θὰ προσπαθήσω νὰ σᾶς τὸ ἀποδείξω.

Διότι ἐπειδὴ ἦλθαν γράμματα ἀπὸ τὸν βασιλέα ποὺ διέτασσον νὰ πληρώσωμεν τὴν εἰσφορὰν ἐκείνην ποὺ ἐφαίνετο ὅτι ἦτο ἀνυπόφορος, ὅλοι ἐστασίαζον, ὅλοι ἐφιλονεικοῦσαν, ἐδυσανασχετοῦσαν, ἀγανακτοῦσαν, συναντῶντες ὁ ἕνας τὸν ἄλλον ἔλεγον· ἔγινεν ὁ βίος μας ἀβίωτος, ἐχάθη ἡ πόλις, κανεὶς δὲν θὰ ἠμπορέσῃ νὰ ὑποφέρῃ τὸ μέγεθος τῆς εἰσφορᾶς αὐτῆς καὶ ὅλοι ἀνησυχοῦσαν ὡσὰν νὰ διέτρεχαν τὸν ἔσχατον κίνδυνον. Ἔπειτα, ἐπειδὴ συνέβησαν αὐτὰ ποὺ ἀπετολμήθησαν καὶ μερικοὶ ἀχρεῖοι καὶ μάλιστα πάρα πολύ, κατεπάτησαν τοὺς νόμους, ἔσπασαν τοὺς ἀνδριάντας καὶ ἐπεκρέμασαν εἰς ὅλους ἡμᾶς τὸν κίνδυνον τὸν ἔσχατον, καὶ τώρα φοβούμεθα διὰ τὴν ἰδίαν τὴν ζωήν μας, ἐπειδὴ παρωργίσαμεν τὸν βασιλέα· καὶ τώρα πλέον δὲν μᾶς δαγκώνει πλέον ἡ χρηματικὴ ζημία, διὰ τοῦτο ἄλλα ἀπὸ ἐκεῖνα ποὺ ἐλέγοντο, ἀκούω νὰ λέγωνται τώρα· ἂς μᾶς πάρῃ τὴν περιουσίαν ὁ βασιλεύς, εὐχαρίστως ἂς χάσωμεν καὶ τὰ χω-

ἀποστησόμεθα καὶ τῶν ἀγρῶν καὶ τῶν οὐσιῶν ἀγαπητῶς, μόνον ἂν τὸ σῶμα γυμνόν τις ἡμῖν ὑπόσχηται διασώζειν.

Ὥσπερ οὖν πρὶν ἢ τὸν τοῦ θανάτου φόβον ἡμῖν ἐπιστῆναι, ἔδακνεν ἡμᾶς ἡ ζημία τῶν χρημάτων, ἐπειδὴ δὲ ἐτολμήθη τὰ παράνομα ταῦτα τολμήματα, ὁ τοῦ θανάτου φόβος ἐπεισελθὼν τὴν ὀδύνην τῆς ζημίας ἀπώθησεν· οὕτως εἰ ὁ τῆς γεέννης φόβος κατεῖχεν ἡμῶν τὰς ψυχάς, οὐκ ἂν ὁ τοῦ θανάτου φόβος κατέσχεν· ἀλλ' ὥσπερ ἐπὶ τῶν σωμάτων, ὅταν δύο ἡμᾶς κατάσχωσιν ὀδύναι, ἡ δυνατωτέρα τὴν καταδεεστέραν ἀποκρύπτειν εἴωθεν· οὕτω καὶ νῦν ἐγένετο ἄν· εἰ το τῆς μελλούσης κολάσεως δέος ἔμενεν ἐπὶ τῆς ψυχῆς, πάντα ἀνθρώπινον ἀπέκρυψε φόβον. Ὥστε εἴ τις σπουδάζει διὰ παντὸς μεμνῆσθαι γεέννης, πάσης καταγελάσατε τελευτῆς· καὶ τοῦτο οὐ τῆς παρούσης αὐτὸν ἀπαλλάξαι μόνον ἀγωνίας, ἀλλὰ κἀκείνης ἐξαιρήσεται τῆς φλογός. Ὁ γὰρ διὰ παντὸς γέενναν δεδοικώς, οὐδέ ποτ' εἰς τὸ γεέννης ἐμπεσεῖται πῦρ, τῷ διηνεκεῖ τούτῳ σωφρονιζόμενος φόβῳ. Δότε μοι πρὸς ὑμᾶς εὐκαίρως εἰπεῖν νῦν, ἀδελφοί· «μὴ παιδία γίνεσθε ταῖς φρεσίν, ἀλλὰ τῇ κακίᾳ νηπιάζετε».

Καὶ γὰρ παιδικὸν φοβούμεθα φόβον θάνατον δεδοικότες, ἁμαρτίαν δὲ μὴ δεδοικότες. Καὶ γὰρ τὰ παιδία τὰ μικρὰ προσωπεῖα μὲν δέδοικε, πῦρ' δ' οὐ δέδοικεν· ἀλλ' ἐὰν βασταζόμενα τύχῃ παρὰ λυχνίαν λύχνον ἔχουσαν, ἀπερισκέπτως τὴν χεῖρα ἐπαφίησι τῇ λυχνίᾳ καὶ τῇ φλογί· καὶ τὸ μὲν εὐκαταφρόνητον φρίττει προσωπεῖον, τὸ δ' ἀληθῶς φοβερὸν οὐ δέδοικε πῦρ· οὕτω δὴ καὶ ἡμεῖς θάνατον μὲν δεδοίκαμεν, ὅπερ ἐστὶν εὐκαταφρόνητον προσωπεῖον, ἁμαρτίαν δι' οὐ δεδοίκαμεν, ὅπερ ἐστὶν ἀληθῶς φοβερόν, καὶ πυρὸς δίκην κατεσθίει τὸ συνειδός. Καὶ ταῦτα οὐκ ἀπὸ τῆς τῶν πραγμάτων

9. Α' Κορ. 14, 20.

ράφια μας καὶ τὴν περιουσίαν μας, ἀρκεῖ νὰ μᾶς ὑποσχεθῇ κάποιος ὅτι θὰ διασώσωμεν μόνον τὸ σῶμα μας γυμνόν.

Ὅπως λοιπὸν πρὶν ἐμφανισθῇ ὁ κίνδυνος τοῦ θανάτου μᾶς ἐστοίχιζεν ἡ χρηματικὴ ζημία, ὅταν ὅμως συνέβησαν τὰ παράνομα αὐτὰ τολμήματα, καὶ εἰσῆλθεν ἐντός μας ὁ φόβος τοῦ θανάτου ἔδιωξε τὴν λύπην διὰ τὴν ζημίαν τῶν χρημάτων ποὺ θὰ ὑφιστάμεθα, ἔτσι ἐὰν κατεῖχε τὰς ψυχάς μας ὁ φόβος τῆς γεέννης δὲν θὰ μᾶς κατεκυρίευεν ὁ φόβος τοῦ θανάτου· καὶ ὅπως εἰς τὰ σώματα, ὅταν μᾶς κυριεύσουν δύο πόνοι, ὁ ἰσχυρότερος συνήθως ἀποκρύπτει τὸν ἀσθενέστερον, ἔτσι καὶ τώρα θὰ ἐγίνετο ἐὰν ὁ φόβος τῆς μελλούσης κολάσεως ἔμενεν εἰς τὴν ψυχήν, θὰ ἐξηφάνιζε κάθε ἀνθρώπινον φόβον. Ὥστε ἐὰν κανεὶς φροντίζῃ νὰ ἐνθυμῆται διαρκῶς τὴν γέενναν, θὰ περιφρονήσῃ κάθε εἶδος θανάτου· καὶ τοῦτο δὲν θὰ τὸν ἀπαλλάξῃ μόνον ἀπὸ τὴν παροῦσαν ἀγωνίαν, ἀλλὰ καὶ ἀπὸ τὴν φλόγαν τῆς γεέννης θὰ τὸν ἀπαλλάξῃ. Διότι ἐκεῖνος ποὺ φοβᾶται συνεχῶς τὴν γέενναν τοῦ πυρός, οὐδέποτε θὰ πέσῃ μέσα εἰς τὴν φωτιὰν τῆς γεέννης ἐκείνης, διότι θὰ σωφρονίζεται μὲ τὸν συνεχῆ αὐτὸν φόβον. Ἐπιτρέψατέ μου τώρα νὰ σᾶς εἰπῶ εἰς τὴν κατάλληλον περίπτωσιν «μὴ συμπεριφέρεσθε ὡσὰν νὰ εἶσθε ἀκόμη παιδιὰ ὡς πρὸς τὸ μυαλό, ἀλλὰ νὰ γίνεται νήπια ὡς πρὸς τὴν κακίαν καὶ τὴν ἀθωότητα»[9].

Διότι ὅταν φοβούμεθα τὸν θάνατον καὶ δὲν φοβούμεθα τὴν ἁμαρτίαν ἔχομεν παιδικὸν φόβον. Καὶ τὰ μικρὰ τὰ παιδιὰ φοβοῦνται τὰς προσωπίδας, δὲν φοβοῦνται ὅμως τὴν φωτιάν· ἂν ὅμως τύχῃ καὶ βαστάζωνται κοντὰ εἰς λυχνάρι ποὺ ἔχει φωτιά, ἁπλώνουν ἀπερίσκεπτα τὸ χέρι των εἰς τὴν λυχνίαν καὶ τὴν φλόγα· καὶ τὴν μὲν προσωπίδα τὴν φοβοῦνται, τὸ φοβερὸν δὲ πράγματι πῦρ δὲν φοβοῦνται· ἔτσι κάμνομεν καὶ ἡμεῖς, φοβούμεθα τὸν θάνατον, ὁ ὁποῖος ὁμοιάζει μὲ τὸ εὐκαταφρόνητον προσωπεῖον, τὴν ἁμαρτίαν δὲ δὲν τὴν φοβούμεθα, αὐτὴ ποὺ εἶναι πράγματι φοβερὸν πρᾶγμα, καὶ ὡς φωτιὰ κατατρώει τὴν συνείδησίν μας. Καὶ τοῦτο συμβαί-

φύσεως, ἀλλ᾽ ἐξ ἀνοίας ἡμῖν συμβαίνειν εἴωθεν· ὡς ἐὰν λογιζώμεθα, τί ποτ᾽ ἐστι θάνατος, οὐδέποτ᾽ αὐτὸν δείσομεν.

Τί ποτ᾽ οὖν ἐστὶ θάνατος; Ὅπερ ἐστὶν ἱμάτιον ἀποδύσασθαι· καθάπερ γὰρ ἱμάτιον, τὸ σῶμα τῇ ψυχῇ περίκειται, καὶ τοῦτο πρὸς βραχὺ διὰ τῆς τελευτῆς ἀποθέμενοι λαμπρότερον ἀποληψόμεθα πάλιν. Τί ποτέ ἐστι θάνατος; Ἀποδημία πρόσκαιρος, ὕπνος μακρότερος τοῦ συνήθους. Ὥστε εἰ δέδοικας θάνατον, φοβοῦ καὶ ὕπνον· εἰ διὰ τοὺς τελευτῶντας ἀλγεῖς, ἄλγησον καὶ διὰ τοὺς ἐσθίοντας καὶ διὰ τοὺς πίνοντας. Ὥσπερ γὰρ τοῦτο φυσικόν, οὕτω κἀκεῖνο. Μὴ λυπείτω σε τὰ τῆς φύσεως, λυπείτω σε μᾶλλον τὰ τῆς πονηρᾶς προαιρέσεως, μηδὲ τὸν τελευτῶντα πενθήσῃς, ἀλλὰ πένθησον τὸν ἐν ἁμαρτίαις ζῶντα.

4. Βούλει εἴπω καὶ ἑτέραν αἰτίαν, δι᾽ ἣν τὸν θάνατον δεδοίκαμεν; Οὐ ζῶμεν μετ᾽ ἀκριβείας, οὐκ ἔχομεν συνειδὸς ἀγαθόν· ὡς εἰ τοῦτο ἦν, οὐδὲν ἡμᾶς ἂν ἐφόβησεν, οὐ θάνατος, οὐ λιμός, οὐ ζημία χρημάτων, οὐκ ἄλλο τι τῶν ὄντων οὐδέν. Τὸν γὰρ ἐν ἀρετῇ ζῶντα οὐδὲν τούτων παραβλάψαι δυνήσεται, οὐδ᾽ ἀφελέσθαι τὴν ἔνδον ἡδονήν· τὸν γὰρ χρησταῖς συντρεφόμενον ἐλπίσι οὐδὲν εἰς ἀθυμίαν ἐμβαλεῖν δυνήσεται. Τί γὰρ ἐργάσεταί τις τοιοῦτο, δι᾽ οὗ τὸν γενναῖον ἄνδρα παρασκευάζει λυπεῖσθαι; Χρήματ᾽ ἀφαιρήσεται; Ἀλλ᾽ ἔχει πλοῦτον τὸν ἐν τοῖς οὐρανοῖς. Ἀλλὰ τῆς πατρίδος ἐκβαλεῖ; Ἀλλ᾽ εἰς τὴν ἄνω πόλιν στελεῖ. Ἀλλὰ δεσμὰ περιθήσει; Ἀλλ᾽ ἔχει τὸ συνειδὸς λελυμένον, καὶ τῆς ἔξωθεν ἁλύσεως οὐκ αἰσθάνεται. Ἀλλ᾽ ἀναιρήσει τὸ σῶμα; Ἀλλ᾽ ἀναστήσεται πάλιν· καὶ καθάπερ ὁ σκιᾷ πυκτεύων καὶ τὸν ἀέρα δέρων οὐδένα πλῆξαι δυνήσεται, οὕτως ὁ τῷ δικαίῳ πολεμῶν σκια-

νει ὄχι ἐξ αἰτίας τῆς φύσεως τῶν πραγμάτων, ἀλλὰ ἐκ τῆς ἰδικῆς μας ἀπερισκεψίας· διότι ἂν σκεπτώμεθα τί εἶναι ὁ θάνατος οὐδέποτε θὰ τὸν φοβηθοῦμε.

Τί εἶναι λοιπὸν ὁ θάνατος; Εἶναι ὅμοιον πρᾶγμα μὲ τὸ νὰ βγάλῃς τὸ ἔνδυμά σου· διότι ὅπως τὸ ἔνδυμα ἔτσι καὶ ἡ ψυχὴ φορεῖ τὸ σῶμα, καὶ τοῦτο δι' ὀλίγον χρόνον τὸ βγάζομεν διὰ τοῦ θανάτου καὶ θὰ τὸ ξαναφορέσωμεν πάλιν λαμπρότερον. Τί εἶναι λοιπὸν ὁ θάνατος; Ταξίδι προσωρινόν, ὕπνος μακρότερος τοῦ συνήθους. Ὥστε ἂν φοβᾶσαι τὸν θάνατον νὰ φοβᾶσαι καὶ τὸν ὕπνον· ἐὰν λυπᾶσαι δι' αὐτοὺς ποὺ πεθαίνουν, νὰ λυπᾶσαι καὶ δι' αὐτοὺς ποὺ τρώγουν καὶ δι' αὐτοὺς ποὺ πίνουν. Διότι ὅπως αὐτὸ εἶναι φυσικὸν ἔτσι εἶναι καὶ ἐκεῖνο. Ἂς μὴ σὲ λυποῦν τὰ φυσικὰ πράγματα, ἂς σὲ λυποῦν μᾶλλον αὐτὰ ποὺ προέρχονται ἀπὸ τὴν κακὴν προαίρεσιν, οὔτε νὰ πενθῇς δι' αὐτὸν ποὺ ἀπέθανε, ἀλλὰ νὰ πενθήσῃς δι' ἐκεῖνον ποὺ ζεῖ εἰς τὰς ἁμαρτίας.

4. Θέλεις νὰ ἀναφέρω καὶ ἄλλην αἰτίαν διὰ τὴν ὁποίαν φοβούμεθα τὸν θάνατον; Εἶναι τὸ ὅτι δὲν ζοῦμε μὲ εὐσέβειαν καὶ δὲν ἔχομεν ἀγαθὴν συνείδησιν· διότι ἐὰν ὑπῆρχον αὐτά, δὲν θὰ μᾶς ἐφόβιζε τίποτε, οὔτε ὁ θάνατος, οὔτε ἡ πεῖνα, οὔτε ἡ ζημία τῶν χρημάτων, οὔτε τίποτε ἄλλο ἀπὸ αὐτά. Διότι ἐκεῖνον ποὺ ζεῖ ἐνάρετα τίποτε ἀπὸ αὐτὰ δὲν ἠμπορεῖ νὰ τὸν βλάψῃ, οὔτε νὰ τοῦ ἀφαιρέσῃ τὴν ἐσωτερικὴν ἡδονήν· διότι ἐκεῖνον ποὺ τρέφεται μὲ καλὰς ἐλπίδας, τίποτε δὲν ἠμπορεῖ νὰ τὸν ρίψῃ εἰς λύπην. Διότι τί ἠμπορεῖ νὰ κάμῃ εἰς τὸν γενναῖον ἄνδρα ἀπὸ ὅλα αὐτὰ διὰ νὰ τὸν ρίψῃ εἰς τὴν λύπην; Θὰ τοῦ ἀφαιρέσῃ χρήματα; Ὅμως ἔχει πλοῦτον εἰς τὸν οὐρανόν. Θὰ τὸν ἐκδιώξῃ ἀπὸ τὴν πατρίδα του; Ὅμως θὰ τὸν στείλῃ εἰς τὴν ἄνω πατρίδα. Θὰ τὸν δέσῃ μὲ δεσμά; Ὅμως ἔχει τὴν συνείδησίν του ἐλευθέραν, καὶ δὲν αἰσθάνεται τὰ ἐξωτερικὰ δεσμά. Θὰ τὸν φονεύσῃ; Ὅμως πάλιν θὰ ἀναστηθῇ. Καὶ ὅπως ἐκεῖνος ποὺ κτυπᾷ τὴν σκιὰν καὶ δέρνει τὸν ἀέρα κανένα δὲν θὰ ἠμπορέσῃ νὰ κτυπήσῃ, ἔτσι καὶ ἐκεῖνος ποὺ πολεμάει τὸν δίκαιον

μαχεῖ μόνον, καὶ τὴν αὐτοῦ καταλύει δύναμιν, εἰς ἐκεῖνον δὲ οὐδεμίαν πληγὴν ἐναπερεῖσαι δυνήσεται. Δός μοι τοίνυν θαρρῆσαι περὶ τῆς βασιλείας τῶν οὐρανῶν, καὶ εἰ βούλει, σήμερόν με κατάσφαξον, καὶ χάριν εἴσομαί σοι τῆς σφαγῆς, ὅτι με ταχέως εἰς ἐκεῖνα πέμπεις τὰ ἀγαθά. Τοῦτο γάρ ἐστιν ὃ μάλιστα καὶ ἡμεῖς θρηνοῦμεν, φησίν, ὅτι τῷ πλήθει τῶν ἁμαρτιῶν κωλυόμενοι, τῆς ἐκεῖ βασιλείας οὐκ ἐπιτευξόμεθα.

Οὐκοῦν ἀφεὶς τὸ θρηνεῖν τὸν θάνατον, θρήνει τὰς ἁμαρτίας σου, ἵνα αὐτὰς καταλύσῃς. Καὶ γὰρ διὰ τοῦτο ἡ λύπη γεγένηται, οὐχ ἵνα ἐπὶ ζημίᾳ χρημάτων, οὐχ ἵνα ἐπὶ θανάτῳ, οὐθ' ἵνα ἐπ' ἄλλῳ τινὶ τῶν τοιούτων ἀλγῶμεν, ἀλλ' ἵνα εἰς τὴν τῶν ἁμαρτημάτων ἀναίρεσιν αὐτῇ καταχρώμεθα. Καὶ ὅτι τοῦτό ἐστιν ἀληθές, ἐκ παραδείγματος ὑμῖν αὐτὸ ποιήσω φανερόν. Τὰ φάρμακα τὰ ἰατρικὰ δι' ἐκεῖνα γεγένηται τὰ πάθη μόνον ἅπερ ἀνελεῖν δύναται, οὐ δι' ἐκεῖνα τὰ μηδὲν ὠφελούμενα παρ' αὐτῶν. Οἷόν τι λέγω· ἔτι γὰρ σαφέστερον ποιῆσαι βούλομαι τὸν λόγον· τὸ φάρμακον τὸ δυνάμενον ὀφθαλμοὺς νοσοῦντας ὠφελεῖν μόνον, ἕτερον δὲ πάθος μηδέν, διὰ τὴν τῶν ὀφθαλμῶν νόσον δικαίως ἂν τις εἴποι γεγενῆσθαι μόνον, οὐ διὰ στόμαχον, οὐ διὰ χεῖρας, οὐδὲ δι' ἕτερόν τι μέλος. Μεταγάγωμεν τοίνυν τὸν λόγον ἐπὶ τὴν λύπην, καὶ εὑρήσομεν, ὅτι τῶν ἄλλων μὲν οὐδὲν τῶν συμβαινόντων ἡμῖν ὠφελεῖ, ἁμαρτίαν δὲ διορθοῦται μόνην, εὔδηλον ὅτι διὰ τὴν ταύτης ἀναίρεσιν γεγένηται μόνον.

Ἐπέλθωμεν τοίνυν ἕκαστον τῶν συμπιπτόντων ἡμῖν δεινῶν, καὶ ἐπαγάγωμεν τὴν ἀθυμίαν, καὶ ἴδωμεν τί κέρδος ἀπὸ ταύτης γίνεται. Ἐζημιώθη τις χρήματα; Ἐλυπήθη, σὺ

ἄνθρωπον ματαιοπονεῖ μόνον καὶ καταναλίσκει τὴν δύναμίν του καὶ εἰς ἐκεῖνον οὐδεμίαν πληγὴν θὰ ἠμπορέσῃ νὰ ἐπιφέρῃ. Κάμε εἰς ἐμὲ νὰ ἔχω θάρρος καὶ πίστιν περὶ τῆς βασιλείας τοῦ Θεοῦ καὶ ἐὰν θέλῃς σήμερα νὰ μὲ σφάξῃς, θὰ σοῦ χρεωστῶ καὶ χάριν διὰ τὴν σφαγήν, διότι μὲ στέλνεις γρήγορα πρὸς ἐκεῖνα τὰ ἀγαθά. Διότι τοῦτο εἶναι ἐκεῖνο διὰ τὸ ὁποῖον κατ' ἐξοχὴν θρηνοῦμεν, λέγει, τὸ ὅτι ἐμποδιζόμενοι λόγῳ τῶν πολλῶν ἁμαρτιῶν δὲν θὰ ἀξιωθῶμεν τῆς ἐπουρανίου βασιλείας.

Λοιπὸν ἄφησε τὸν θρῆνον διὰ τὸν θάνατον καὶ νὰ θρηνῇς διὰ τὰς ἁμαρτίας σου, διὰ νὰ τὰς ἐξαλείψῃς. Διότι διὰ τοῦτο ἔχει γίνει ἡ λύπη, ὄχι διὰ νὰ λυπούμεθα διὰ χρηματικὴν ζημίαν, οὔτε διὰ τὸν θάνατον, οὔτε διὰ κάτι ἄλλο ὅμοιον μὲ αὐτά, ἀλλὰ διὰ νὰ λυπούμεθα διὰ τὰς ἁμαρτίας μας διὰ νὰ συγχωρηθοῦν. Καὶ ὅτι αὐτὸ εἶναι ἀληθὲς θὰ σᾶς τὸ κάμω γνωστὸν ἐκ τοῦ κατωτέρω παραδείγματος. Τὰ φάρμακα τὰ ἰατρικὰ ἔχουν γίνει δι' ἐκεῖνα τὰ νοσήματα μόνον τὰ ὁποῖα ἠμποροῦν νὰ θεραπεύσουν, καὶ ὄχι δι' ἐκεῖνα τὰ ὁποῖα καμμίαν θεραπείαν δὲν ἐπιδέχονται ἀπὸ αὐτά. Ἐννοῶ τὸ ἑξῆς μὲ αὐτὰ ποὺ λέγω, διότι θέλω νὰ κάμω σαφέστερον τὸν λόγον τοῦτον· τὸ φάρμακον τὸ ὁποῖον ἠμπορεῖ νὰ ὠφελήσῃ μόνον τοὺς ὀφθαλμοὺς ποὺ νοσοῦν καὶ καμμίαν ἄλλην πάθησιν, δικαίως θὰ ἠμποροῦσε νὰ εἰπῇ κανεὶς ὅτι ἔχει γίνει μόνον διὰ τὴν ἀσθένειαν τῶν ὀφθαλμῶν, ὄχι διὰ τὸν στόμαχον, οὔτε διὰ τὰ χέρια, οὔτε διὰ κανένα ἄλλο μέλος τοῦ σώματος. Ἂς μεταφέρωμεν λοιπὸν τὸν λόγον εἰς τὴν λύπην καὶ θὰ ἀντιληφθοῦμεν ὅτι εἰς κανένα ἄλλο, ἀπὸ ὅσα μᾶς συμβαίνουν, δὲν μᾶς ὠφελεῖ, παρὰ μόνον εἰς τὸ νὰ διορθώσωμεν τὰς ἁμαρτίας μας, ἄρα εἶναι φανερὸν ὅτι αὐτὴ γίνεται μόνον διὰ τὴν ἐξάλειψιν αὐτῶν.

Λοιπὸν ἂς ἐξετάσωμεν κάθε ἕνα ἀπὸ τὰ κακὰ ποὺ μᾶς συμβαίνουν χωριστὰ καὶ ἂς προσθέσωμεν εἰς αὐτὰ τὴν λύπην καὶ ἂς ἰδοῦμε τί ὠφέλεια προέρχεται ἐξ αὐτῆς. Ἔπαθε κάποιος ζημίαν χρηματικήν; Ἐλυπήθη, ὅμως ἡ λύπη δὲν

διώρθωσε τὴν ζημίαν. Ἀπέβαλέ τις υἱόν; Ἤλγησεν, οὐκ ἀνέστησε τὸν νεκρόν, οὐδὲ τὸν ἀπελθόντα ὠφέλησεν. Ἐμαστιγώθη τις, ἐρραπίσθη, ὑβρίσθη; Ἐλυπήθη, τὴν ὕβριν οὐκ ἀνεκαλέσατο. Ἀρρωστίᾳ τις περιέπεσε, καὶ νόσῳ χαλεπωτάτῃ; Ἠθύμησε, τὴν νόσον οὐκ ἀνεῖλεν, ἀλλὰ καὶ χαλεπωτέραν ἐποίησεν. Ὁρᾷς ἐπ' οὐδενὶ τούτων ὠφελοῦσάν τι τὴν λύπην; Ἥμαρτέ τις, ἐλυπήθη; Τὴν ἁμαρτίαν ἐξηφάνισεν, ἔλυσε τὸ πλημμέλημα.

Πόθεν τοῦτο δῆλον; Ἀπὸ τῆς ἀποφάσεως τοῦ Κυρίου· περὶ γάρ τινος ἡμαρτηκότος διαλεγόμενος ἔλεγε· «Δι' ἁμαρτίαν βραχύ τις ἐλύπησα αὐτόν, καὶ εἶδον ὅτι ἐλυπήθη, καὶ ἐπορεύθη στυγνός, καὶ ἰασάμην τὰς ὁδοὺς αὐτοῦ». Διὰ τοῦτο καὶ ὁ Παῦλος ἔφη· «Ἡ δὲ κατὰ Θεὸν λύπη μετάνοιαν εἰς σωτηρίαν ἀμεταμέλητον κατεργάζεται». Οὐκοῦν ἐπειδὴ σαφῶς ὁ λόγος ἀπέδειξεν, ὅτι οὔτε ζημίαν χρημάτων, οὐθ' ὕβριν, οὔτ' ἐπήρειαν, οὔτε μάστιγας, οὔτ' ἀρρωστίαν, οὔτε θάνατον, οὔτ' ἄλλο τι τῶν τοιούτων ἐπενεχθεῖσα λύπη διορθῶσαι δύναιτ' ἄν, ἀλλ' ἁμαρτίαν ἀφανίσαι μόνην, καὶ ταύτης ἐστὶν ἀναιρετική, εὔδηλον, ὅτι διὰ ταύτην ἐγένετο μόνην· μηκέτι οὖν ἐπὶ ζημίᾳ χρημάτων ἀλγῶμεν, ἀλλ' ὅταν ἁμαρτάνωμεν, ἀλγῶμεν μόνον. Πολὺ γὰρ τὸ κέρδος ἐνταῦθα ἀπὸ τῆς λύπης. Ἐζημιώθης; Μὴ ἀθυμήσῃς, οὐδὲ γὰρ ὠφελήσεις. Ἥμαρτες; Λυπήθητι, ὄφελος γάρ· καὶ σκόπει σύνεσιν Θεοῦ καὶ σοφίαν.

Δύο ταῦτα ἔτεκεν ἡμῖν ἡ ἁμαρτία, λύπην καὶ θάνατον. «Ἧ γὰρ ἂν ἡμέρᾳ φάγῃ», φησί, «θανάτῳ ἀποθανῇ»· καὶ πρὸς τὴν γυναῖκα, «Ἐν λύπαις τέξῃ τέκνα». Καὶ δι' ἀμφοτέρων τούτων τὴν ἁμαρτίαν ἀνεῖλε, καὶ ὑπὸ τῶν τέκνων

---

10. Ἠσ. 57, 17-18.
11. Β' Κορ. 7, 10.
12. Γεν. 2, 17.
13. Γεν. 3, 16.

διώρθωσε τὴν ζημίαν. Ἔχασε κάποιος τὸ παιδί του; Ἐπόνεσεν, ὅμως ὁ πόνος του δὲν ἀνέστησε τὸν νεκρόν, οὔτε καὶ ὠφέλησε τὸν ἀποθανόντα. Ἐμαστιγώθη κάποιος, ἐρραπίσθη, ὑβρίσθη; Ἐλυπήθη, ἀλλὰ δὲν ἐξήλειψε τὴν ὕβριν. Περιέπεσε κάποιος εἰς ἀρρώστειαν καὶ εἰς πολὺ σοβαρὰν ἀσθένειαν; Ἐλυπήθη, καὶ ὄχι μόνον δὲν ἀπεμάκρυνε τὴν νόσον, ἀλλὰ ἔγινε καὶ χειρότερα. Βλέπεις ὅτι εἰς τίποτε ἀπὸ αὐτὰ δὲν προξενεῖ καμμίαν ὠφέλειαν ἡ λύπη; Ἡμάρτησε κάποιος; Ἡ λύπη ἐξηφάνισε τὴν ἁμαρτίαν καὶ ἐξήλειψε τὸ παράπτωμα.

Ἀπὸ ποῦ φαίνεται τοῦτο; Ἀπὸ αὐτὴν τὴν ἀπόφασιν τοῦ Κυρίου, ὁ ὁποῖος ὁμιλῶν περὶ ἑνὸς ποὺ ἡμάρτησεν ἔλεγεν· «Ἕνεκα τῆς ἁμαρτίας του τὸν ἐλύπησα ἐπ' ὀλίγον, καὶ εἶδα ὅτι ἐλυπήθη καὶ ἐβάδιζε σκυθρωπὸς καὶ τὸν ἐθεράπευσα»[10]. Διὰ τοῦτο καὶ ὁ Παῦλος ἔλεγε· «Διότι ἡ κατὰ Θεὸν λύπη κατεργάζεται τὴν εἰλικρινῆ μετάνοιαν, διὰ τὴν ὁποίαν ποτὲ δὲν θὰ μεταμεληθῇ ὁ λυπούμενος»[11]. Ἐπειδὴ λοιπὸν σαφῶς ὁ λόγος ἀπέδειξεν ὅτι οὔτε χρηματικὴν ζημίαν, οὔτε ὕβριν, οὔτε βλάβην, οὔτε μαστίγωμα, οὔτε ἀσθένειαν, οὔτε θάνατον, οὔτε τίποτε ἄλλο ἀπὸ αὐτὰ ἠμπορεῖ νὰ διορθώσῃ ἡ λύπη μας δι' αὐτά, ἀλλὰ μόνον νὰ ἐξαφανίσῃ τὴν ἁμαρτίαν, καὶ ὅτι εἶναι καταστροφικὴ μόνον αὐτῆς, εἶναι φανερὸν ὅτι ἔγινε μόνον δι' αὐτήν· λοιπὸν ἂς μὴ ὑποφέρωμεν διὰ ζημίας χρημάτων, ἀλλ' ὅταν ἁμαρτάνωμεν, τότε μόνον νὰ λυπούμεθα. Διότι εἰς τὴν περίπτωσιν αὐτὴν εἶναι πολὺ μεγάλο τὸ κέρδος ἀπὸ τὴν λύπην. Ἐζημιώθης; Μὴ λυπηθῇς, διότι δὲν θὰ ὠφεληθῇς εἰς τίποτε. Ἡμάρτησες; Λυπήσου, διότι θὰ ὠφεληθῇς· καὶ πρόσεξε νὰ ἰδῇς τὴν σύνεσιν καὶ τὴν σοφίαν τοῦ Θεοῦ.

Δύο κακὰ ἐγέννησεν εἰς ἡμᾶς ἡ ἁμαρτία, τὴν λύπην καὶ τὸν θάνατον. Διότι λέγει «κατὰ τὴν ἡμέραν κατὰ τὴν ὁποίαν θὰ φάγῃ θὰ ἀποθάνῃς»[12]· καὶ πρὸς τὴν γυναῖκα λέγει· «μὲ λύπας θὰ γεννᾷς τὰ τέκνα σου»[13]. Καὶ διὰ τῶν δύο τούτων κατήργησε τὴν ἁμαρτίαν καὶ παρεσκεύασε τὴν κατα-

τὴν μητέρα ἀπολέσθαι παρεσκεύασεν. Ὅτι γὰρ μετὰ τῆς λύπης καὶ θάνατος ἁμαρτίαν ἀναιρεῖ, δῆλον μὲν καὶ ἀπὸ τῶν μαρτύρων, δῆλον δὲ καὶ ἐξ ὧν ὁ Παῦλος εἶπε πρὸς τοὺς ἁμαρτάνοντας, οὕτω λέγων· «Διὰ τοῦτο ἐν ὑμῖν πολλοὶ καὶ ἀσθενεῖς ἄρρωστοι, καὶ κοιμῶνται ἱκανοί»· ἐπειδὴ ἁμαρτάνετε, φησί, τελευτᾶτε, ὥστε τῇ τελευτῇ τὰ ἁμαρτήματα διαλύσασθαι. Ἐπήγαγε γοῦν λέγων· «Εἰ γὰρ ἑαυτοὺς διακρίνομεν, οὐκ ἂν ἐκρινόμεθα, κρινόμενοι δὲ ὑπὸ τοῦ Κυρίου παιδευόμεθα, ἵνα μὴ σὺν τῷ κόσμῳ κατακριθῶμεν». Καὶ καθάπερ ὁ σκώληξ ἀπὸ τοῦ ξύλου τίκτεται, καὶ κατεσθίει τὸ ξύλον, καὶ σὴς κατεσθίει τὸ ἔριον παρ' αὐτοῦ τὴν ἀρχὴν ἔχων· οὕτω λύπη καὶ θάνατος ἐτέχθησαν ἀπὸ τῆς ἁμαρτίας, καὶ κατέφαγον τὴν ἁμαρτίαν.

Μὴ τοίνυν φοβώμεθα θάνατον, ἀλλὰ φοβώμεθα ἁμαρτίαν μόνον, καὶ δι' ἐκείνην ἀλγῶμεν. Καὶ ταῦτα λέγω οὐ δεινόν τι προσδοκῶν, μὴ γένοιτο, ἀλλὰ φοβουμένους ὑμᾶς οὕτως ἀεὶ διακεῖσθαι θέλων, καὶ τὸν τοῦ Χριστοῦ νόμον ἐπὶ τῶν ἔργων πληροῦν· «Ἐὰν γάρ τις μὴ ἄρῃ τὸν σταυρὸν αὐτοῦ, καὶ ἀκολουθήσῃ μοι», φησίν, «οὐκ ἔστιν ἐμοῦ ἄξιος». Τοῦτο δ' ἔλεγεν οὐχ ἵνα ξύλον βαστάζωμεν ἐπὶ τῶν ὤμων, ἀλλ' ἵνα τὸν θάνατον ἀεὶ πρὸ τῶν ὀφθαλμῶν ἔχωμεν.

Καθάπερ οὖν καὶ ὁ Παῦλος καθ' ἡμέραν ἀπέθνησκε, καὶ κατεγέλα τῆς τελευτῆς, καὶ τοῦ παρόντος ὑπερεώρα βίου. Καὶ γὰρ στρατιώτης εἶ, καὶ διηνεκῶς ἐπὶ τῆς παρατάξεως ἕστηκας· στρατιώτης δὲ θάνατον δεδοικώς, οὐδὲν οὐδέποτ' ἐργάσεται γενναῖον· ὥσπερ οὖν οὐδὲ Χριστιανὸς ἄνθρωπος κινδύνους φοβούμενος ἐργάσεταί τι μέγα καὶ θαυμαστόν, ἀλλὰ πρὸς τούτοις καὶ εὐχείρωτος ἔσται· ἀλλ' οὐχ

---

14. Ἐννοεῖ ὅτι ἡ ἁμαρτία εἶναι ἡ μητέρα τῆς λύπης καὶ τοῦ θανάτου· ἡ λύπη ὅμως, ποὺ εἶναι τέκνον τῆς ἁμαρτίας, ἐξαφανίζει τὴν ἁμαρτίαν, διότι ὁ λυπούμενος καὶ μετανοῶν διὰ τὰ ἁμαρτήματά του σώζεται.
15. Α΄ Κορ. 14, 30.
16. Α΄ Κορ. 11, 31-32.
17. Ματθ. 10, 38.

στροφὴν τῆς μητέρας διὰ τῶν τέκνων της[14]. Τὸ ὅτι δὲ ἐκτὸς ἀπὸ τὴν λύπην καὶ ὁ θάνατος ἐξαλείφει τὴν ἁμαρτίαν, φαίνεται καὶ ἀπὸ τοὺς μάρτυρας τῆς πίστεως, φαίνεται καὶ ἐξ ὅσων ὁ Παῦλος εἶπε πρὸς αὐτοὺς ποὺ ἁματράνουν, λέγων τὰ ἑξῆς· «Διὰ τοῦτο μεταξύ σας εἶναι πολλοὶ ἀσθενεῖς καὶ ἄρρωστοι καὶ ἀρκετοὶ ἀπέθανον»[15]· ἐπειδή, λέγει, ἁμαρτάνετε, ἀποθνήσκετε, ὥστε διὰ τοῦ θανάτου νὰ ἐξαλείψετε τὰς ἁμαρτίας σας. Καὶ προσέθεσε, λέγων· ἐὰν ἐξητάζαμεν τὸν ἑαυτόν μας μὲ προσοχὴν καὶ μετανοούσαμε διὰ τὰ ἁμαρτήματά μας, δὲν θὰ κατεδικαζόμεθα. Τιμωρούμενοι δὲ τώρα ὑπὸ τοῦ Κυρίου, παιδαγωγούμεθα πρὸς μετάνοιαν καὶ διόρθωσιν, διὰ νὰ μὴ καταδικασθῶμεν ὁριστικῶς εἰς ἀπώλειαν μαζὶ μὲ τὸν κόσμον τῆς ἁμαρτίας»[16]. Καὶ ὅπως ὁ σκώληξ γεννᾶται ἀπὸ τὸ ξύλον καὶ κατατρώγει τὸ ξύλον, καὶ ὁ σκόρος κατατρώγει τὸ μαλλί, ἀπὸ τὸ ὁποῖον ἔχει τὴν ἀρχήν του, ἔτσι καὶ ἡ λύπη καὶ ὁ θάνατος ἐγεννήθησαν ἀπὸ τὴν ἁμαρτίαν καὶ κατέφαγαν τὴν ἁμαρτίαν.

Ἂς μὴ φοβούμεθα, λοιπόν, τὸν θάνατον, ἀλλὰ νὰ φοβούμεθα μόνον τὴν ἁμαρτίαν καὶ δι' ἐκείνην νὰ λυπούμεθα. Καὶ λέγω αὐτὰ ὄχι διότι περιμένω κάποιο κακό, μὴ γένοιτο, ἀλλὰ ἐπειδὴ θέλω νὰ φοβῆσθε καὶ πάντοτε νὰ διάκεισθε ἔτσι, καὶ νὰ δείχνετε τὸν νόμον τοῦ Χριστοῦ ἐμπράκτως· «Διότι ἐὰν ἕνας δὲν σηκώσῃ τὸν σταυρόν του καὶ δὲν μὲ ἀκολουθήσῃ» λέγει «δὲν ἀξίζει δι' ἐμέ»[17]. Ἔλεγε δὲ τοῦτο ὄχι διὰ νὰ βαστάζωμεν ἐπὶ τῶν ὤμων ξύλον ἀλλὰ διὰ νὰ ἔχωμεν πάντοτε τὸν θάνατον πρὸ τῶν ὀφθαλμῶν μας.

Ὅπως λοιπὸν καὶ ὁ Παῦλος ἀπέθνησκε καθημερινῶς καὶ δὲν ὑπελόγιζε τὸν θάνατον καὶ περιφρονοῦσε τὸν παρόντα βίον. Διότι εἶσαι στρατιώτης καὶ συνεχῶς ἵστασαι εἰς τὴν στρατιωτικὴν παράταξιν· στρατιώτης δὲ ποὺ φοβᾶται τὸν θάνατον, οὐδέποτε θὰ ἠμπορέσῃ νὰ κάμῃ κάποιαν γενναίαν πρᾶξιν· ὅπως λοιπὸν καὶ εἰς τὸν χριστιανὸν ποὺ φοβᾶται τοὺς κινδύνους, δὲν θὰ κάμῃ κανένα μεγάλο καὶ θαυμαστὸν ἔργον, ἀλλὰ καὶ ἐπὶ πλέον θὰ εἶναι εὐάλωτος εἰς

ὁ τολμήτης καὶ μεγαλόφρων, ἀλλ' ἀνάλωτος μένει καὶ ἀκαταγώνιστος. Καθάπερ οὖν οἱ παῖδες οἱ τρεῖς μὴ φοβηθέντες τὸ πῦρ, ἔφυγον τὸ πῦρ· οὕτω καὶ ἡμεῖς, ἂν μὴ φοβηθῶμεν θάνατον, διαφευξόμεθα θάνατον. Οὐκ ἐφοβήθησαν δὲ τὸ πῦρ, οὐ γὰρ ἔγκλημα τὸ καῆναι· ἀλλὰ ἐφοβήθησαν τὴν ἁμαρτίαν, ἔγκλημα γὰρ τὸ ἀσεβῆσαι. Τούτους καὶ ἡμεῖς ζηλώσωμεν, καὶ τοὺς κατ' ἐκείνους ἅπαντας, καὶ μὴ φοβώμεθα κινδύνους, καὶ διαφευξόμεθα κινδύνους.

5. «Οὐκ εἰμὶ μὲν γὰρ προφήτης, οὐδ' υἱὸς προφήτου», τὸ μέντοι μέλλον μετ' ἀκριβείας ἐπίσταμαι, καὶ μεγάλῃ καὶ λαμπρᾷ βοῶ τῇ φωνῇ, ὅτι εἰ μεταβαλλοίμεθα, καί τινα ἐπιμέλειαν τῆς ἡμετέρας ψυχῆς ποιησώμεθα, καὶ τῆς πονηρίας ἀποστῶμεν, οὐδὲν ἀηδὲς ἔσται καὶ λυπηρόν. Καὶ τοῦτο οἶδα σαφῶς ἀπὸ τῆς τοῦ Θεοῦ φιλανθρωπίας καὶ ἀφ' ὧν, καὶ εἰς ἄνδρας, καὶ πόλεις, καὶ ἔθνη, καὶ δήμους ὁλοκλήρους ἐποίησε. Καὶ γὰρ καὶ τῇ Νινευϊτῶν ἠπείλησε πόλει, καὶ εἶπεν, «Ἔτι τρεῖς ἡμέραι, καὶ Νινευῒ καταστραφήσεται». Τί οὖν, εἰπέ μοι, κατεστράφη ἡ Νινευΐ, καὶ ἀνετράπη ἡ πόλις; Τοὐναντίον μὲν οὖν ἅπαν, καὶ ἀνέστη, καὶ λαμπροτέρα γέγονε, καὶ χρόνος τοσοῦτος διελθὼν τὴν δόξαν αὐτῆς οὐκ ἠφάνισεν, ἀλλὰ πάντες αὐτὴν ᾄδομεν ἔτι, καὶ νῦν θαυμάζομεν, ὅτι λιμήν τις ἄριστος ἐξ ἐκείνου τοῦ χρόνου τοῖς ἁμαρτάνουσιν ἅπασι γέγονεν, οὐκ ἀφιεῖσα εἰς ἀπόγνωσιν ἐμπεσεῖν, ἀλλὰ καλοῦσα ἅπαντας εἰς μετάνοιαν, καὶ δι' ὧν ἔπραξε, καὶ δι' ὧν ἀπήλαυσε τῆς τοῦ Θεοῦ προνοίας, πείθουσα μηδέ ποτε τῆς οἰκείας ἀπογινώσκειν σωτηρίας, ἀλλὰ βίον ἄριστον ἐπιδεικνυμένους, καὶ τὴν ἀγαθὴν ἐλπίδα προβαλλομένους θαρρεῖν περὶ τοῦ τέλους ὡς ἐσομένου πάντως·

18. Ἀμὼς 3, 14.
19. Ἰω. 3, 4.

ὅλα· ὅμως δὲν συμβαίνει τὸ ἴδιον μὲ τὸν τολμηρὸν καὶ τὸν μεγαλόφρονα, ἀλλὰ αὐτὸς παραμένει ἀκατανίκητος καὶ ἀκαταγώνιστος. Ὅπως λοιπὸν οἱ τρεῖς παῖδες ποὺ δὲν ἐφοβήθησαν τὸ πῦρ, ἀπέφυγον τὸ πῦρ, ἔτσι καὶ ἡμεῖς ἂν δὲν φοβηθῶμεν τὸν θάνατον, θὰ ἀποφύγωμεν τὸν θάνατον. Δὲν ἐφοβήθησαν δὲ τὸ πῦρ, διότι δὲν ἦτο ἔγκλημα τὸ νὰ καοῦν· ἀλλὰ ἐφοβήθησαν τὴν ἁμαρτίαν, διότι ἦτο ἔγκλημα ἡ ἀσέβεια. Αὐτοὺς ὅλους καὶ ἡμεῖς ἂς ζηλεύσωμεν, καὶ ἐκείνους ποὺ ἦσαν ὅμοιοι μὲ αὐτούς, καὶ ἂς μὴ φοβούμεθα τοὺς κινδύνους, καὶ θὰ διαφύγωμεν τοὺς κινδύνους.

5. «Διότι δὲν εἶμαι προφήτης, οὔτε υἱὸς προφήτου»[18], γνωρίζω ὅμως μὲ ἀκρίβειαν τὸ μέλλον καὶ μὲ μεγάλην καὶ λαμπρὰν φωνὴν φωνάζω, ὅτι ἐὰν θέλωμεν νὰ μεταβληθῶμεν καὶ νὰ φροντίσωμεν διὰ τὴν ψυχήν μας καὶ νὰ ἀπομακρυνθῶμεν ἀπὸ τὴν πονηρίαν, κανένα δυσάρεστον καὶ λυπηρὸν δὲν θὰ μᾶς συμβῇ. Καὶ τοῦτο τὸ γνωρίζω σαφῶς ἀπὸ τὴν φιλανθρωπίαν τοῦ Θεοῦ καὶ ἀπὸ ἐκεῖνα ποὺ ἔκαμε καὶ εἰς ἄνδρας καὶ εἰς πόλεις καὶ εἰς τὰ ἔθνη καὶ εἰς ὁλόκληρους λαούς. Διότι καὶ τὴν πόλιν τῶν Νινευϊτῶν ἠπείλησε καὶ εἶπε «Ἀκόμη τρεῖς ἡμέραι καὶ ἡ Νινευῒ θὰ καταστραφῇ»[19]. Τί λοιπόν, εἰπέ μου, κατεστράφη ἡ Νινευΐ, καὶ ἀνετράπη ἡ πόλις; Τὸ ἀντίθετον ἐντελῶς συνέβη, ἡ πόλις καὶ ἀνωρθώθη καὶ ἔγινε λαμπροτέρα, καὶ παρ' ὅτι ἐπέρασεν τόσος χρόνος τὴν δόξαν αὐτῆς δὲν τὴν ἐξηφάνισεν, ἀλλὰ ἀκόμη καὶ σήμερον ὅλοι τὴν τραγουδοῦμεν καὶ τὴν θαυμάζομεν, διότι ἔκτοτε ἔγινεν ἄριστον λιμάνι εἰς ὅλους τοὺς ἁμαρτάνοντας, διότι δὲν τοὺς ἀφήνει νὰ ἐμπέσουν εἰς ἀπελπισίαν, ἀλλὰ τοὺς καλεῖ ὅλους εἰς μετάνοιαν, καὶ δι' ὅσων ἔπραξε καὶ δι' ὅσων ἀπήλαυσε τῆς προνοίας τοῦ Θεοῦ, πείθει ὅλους ποτὲ νὰ μὴ ἀπελπίζωνται διὰ τὴν σωτηρίαν των, ἀλλὰ νὰ δεικνύουν βίον ἄριστον καὶ μὲ τὴν ἐλπίδα πρὸς τὸν Θεὸν νὰ ἔχουν θάρρος πρὸς τὸν Θεὸν ὅτι τὸ τέλος των θὰ εἶναι ὁπωσδήποτε καλόν. Διότι ποῖος δὲν θὰ ἀνυψωθῇ ψυχικῶς,

χρηστοῦ. Τίς γὰρ οὐκ ἂν ἀνασταίη, τὸ κατ' ἐκείνους παράδειγμα ἀκούων, κἂν πάντων νωθρότατος εἴη;

Εἵλετο γοῦν τὴν ἑαυτοῦ πρόρρησιν διαπεσεῖν ὁ Θεός, καὶ μὴ διαπεσεῖν τὴν πόλιν· μᾶλλον δὲ οὐδὲ ἡ προφητεία διέπεσεν. Εἰ μὲν γὰρ ἐπὶ τῆς αὐτῆς πονηρίας τῶν ἀνθρώπων μενόντων οὐκ ἐξέβη εἰς ἔργον τὰ τῆς ἀποφάσεως, εἶχεν ἴσως ἄν τις ἐγκαλεῖν τοῖς εἰρημένοις· εἰ δὲ μεταβαλλομένων αὐτῶν καὶ τῆς αἰτίας ἀποστάντων ἀπέστη καὶ τῆς ὀργῆς ὁ Θεός, τίς δυνήσεται λοιπὸν ἐπιλαβέσθαι τῆς προφητείας, καὶ καταγνῶναι ψεῦδος τῶν εἰρημένων; Καὶ γὰρ τὸν νόμον, ὃν ἔθηκεν ὁ Θεὸς διὰ τοῦ προφήτου πᾶσιν ἀνθρώποις διαλεγόμενος, τοῦτον καὶ τότε διετήρησε. Τίς οὖν ἐστιν ὁ νόμος; «Πέρας λαλήσω», φησίν, «ἐπὶ ἔθνος καὶ ἐπὶ βασιλείαν τοῦ ἐκριζοῦν αὐτούς, καὶ κατασκάπτειν καὶ ἀπολλύειν· καὶ ἔσται, ἐὰν μετανοήσωσιν ἀπὸ τῆς κακίας, μετανοήσω κἀγὼ ἀπὸ τῆς ὀργῆς, ἧς ἐλάλησα ποιῆσαι αὐτοῖς».

Τοῦτον τοίνυν φυλάττων τὸν νόμον, μεταβαλομένους ἔσωσε, καὶ ἀποστάντας τῆς κακίας ἀπήλλαξε τῆς ὀργῆς. Ἤδει τῶν βαρβάρων τὴν ἀρετήν, διὰ τοῦτο τὸν προφήτην κατήπειγεν· οὕτω καὶ τότε ἐδονεῖτο ἡ πόλις, τῆς προφητικῆς ἀκούουσα φωνῆς, ἀλλ' οὐδὲν παρεβλάβη, ἀλλὰ καὶ ὠφελήθη παρὰ τοῦ φόβου. Ὁ γὰρ φόβος ἐκεῖνος τὴν σωτηρίαν ἔτεκεν· ἡ ἀπειλὴ τὸν κίνδυνον ἔλυσεν· ἡ τῆς καταστροφῆς ἀπόφασις τὴν καταστροφὴν ἔστησεν. Ὢ καινοῦ καὶ παραδόξου πράγματος· ἀπόφασις θάνατον ἀπειλοῦσα ζωὴν ἔτεκεν.

Ἀπόφασις μετὰ τὸ ἐξενεχθῆναι, τότε ἄκυρος γέγονεν ἀπεναντίας τοῖς ἔξωθεν δικάζουσιν· ἐπὶ μὲν γὰρ τούτων τὸ προενεχθῆναι τὴν ψῆφον εἰς μέσον κυρίαν ποιεῖ τὴν ψῆφον γενέσθαι, ἐπὶ δὲ τοῦ Θεοῦ τοὐναντίον τὸ προενεχθῆναι τὴν

---

20. Ἰερ. 18, 7-8.

ὅταν ἀκούσῃ τὸ παράδειγμά των καὶ ἂν ἀκόμα εἶναι ὁ νωθρότερος ὅλων;

Ἐπροτίμησε λοιπὸν ὁ Θεὸς νὰ μὴ ἐπαληθεύσῃ ἡ πρόρρησίς του καὶ νὰ μὴ καταστραφῇ ἡ πόλις· μᾶλλον δὲ οὔτε ἡ προφητεία διεψεύσθη. Διότι ἐὰν μὲν οἱ ἄνθρωποι ἔμεναν εἰς τὴν ἰδίαν πονηρίαν καὶ δὲν θὰ ἐπραγματοποιεῖτο ἡ ἀπόφασις τοῦ Θεοῦ, θὰ ἠμποροῦσε ἴσως κάποιος νὰ κατηγορήσῃ ὅτι δὲν ἐπραγματοποιήθη· ἐὰν ὅμως ἐπειδὴ αὐτοὶ μετεβλήθησαν ἠθικῶς, καὶ ἀπεμακρύνθησαν ἀπὸ τὴν αἰτίαν ποὺ ἐπροκάλεσε τὴν προφητείαν, ἀπεμάκρυνε καὶ ὁ Θεὸς τὴν ὀργήν του ἀπὸ αὐτούς, ποῖος θὰ ἠμπορέσῃ νὰ κατηγορήσῃ τὴν προφητείαν καὶ νὰ ἰσχυρισθῇ ὅτι ἦσαν ψέματα ὅσα ἐλέχθησαν ὑπ' αὐτῆς; Διότι καὶ τὸν νόμον, τὸν ὁποῖον ἀπὸ τὴν ἀρχὴν ἔθεσεν ὁ Θεὸς εἰς ὅλους τοὺς ἀνθρώπους, ὁμιλῶν διὰ τοῦ προφήτου, αὐτὸν ἐτήρησε καὶ τότε. Ποῖος εἶναι λοιπὸν ὁ νόμος; «Θὰ ἀποφασίσω νὰ καταστρέψω ἕνα ἔθνος καὶ μίαν βασιλείαν» λέγει «καὶ ἐὰν συμβῇ νὰ μετανοήσουν ἀπὸ τὴν κακίαν των, θὰ μετανοήσω καὶ ἐγὼ καὶ θὰ παύσω τὴν ὀργήν μου, ποὺ εἶπα νὰ στρέφω ἐναντίον των διὰ νὰ τοὺς καταστρέψω»[20].

Αὐτὸν λοιπὸν τὸν νόμον φυλάττων, ἐπειδὴ ἤλλαξαν τρόπον ζωῆς τοὺς ἔσωσε, καὶ ἐπειδὴ ἀπεμακρύνθησαν ἀπὸ τὴν κακίαν τοὺς ἀπήλλαξε ἀπὸ τὴν ὀργήν του. Ἐγνώριζε τὴν ἀρετὴν τῶν βαρβάρων καὶ διὰ τοῦτο ἐπίεζε τὸν προφήτην νὰ μεταβῇ ἐκεῖ γρήγορα· ἔτσι συνεκλονίζετο καὶ τότε ἡ πόλις τοῦ ἤκουσε τὴν φωνὴν τοῦ προφήτου, ὅμως δὲν ἔπαθε οὐδεμίαν βλάβην, ἀντιθέτως ὠφελήθη ἀπὸ τὸν φόβον. Διότι ὁ φόβος ἐκεῖνος ἐγέννησε τὴν σωτηρίαν· ἡ ἀπειλὴ ἔδιωξε τὸν κίνδυνον· ἡ ἀπόφασις τῆς καταστροφῆς ἐσταμάτησε τὴν καταστροφήν. Ὢ νέον καὶ παράδοξον πρᾶγμα· ἀπόφασις ἡ ὁποία ἀπειλοῦσε θάνατον, ἐγέννησε ζωήν.

Ἀπόφασις ἡ ὁποία μόλις ἐξεδόθη ἔγινε ἄκυρος, ἀντιθέτως μὲ ὅ,τι συμβαίνει μὲ τοὺς δικαστάς· διότι εἰς αὐτοὺς συμβαίνει τὸ ἑξῆς: ὅταν ἐκδοθῇ ἡ ἀπόφασις, εἶναι ἔγκυρος, εἰς τὸν Θεὸν ὅμως συμβαίνει τὸ ἀντίθετον, αὐτὴ ἡ ἔκδοσις

ψῆφον, τοῦτό ἐστι τὸ ποιῆσαν αὐτὴν ἄκυρον. Εἰ γὰρ μὴ προηνέχθη, οὐκ ἂν ἤκουσαν οἱ ἡμαρτηκότες· εἰ δὲ μὴ ἤκουσαν, οὐκ ἂν ἀπεκρούσαντο τὴν τιμωρίαν, οὐκ ἂν ἀπήλαυσαν τῆς παραδόξου σωτηρίας ἐκείνης. Πῶς γὰρ οὐ παράδοξος, ὅταν ὁ μὲν δικαστὴς ἀποφαίνηται, οἱ δὲ κατάδικοι τὴν ἀπόφασιν λύωσι διὰ τῆς μετανοίας; Οὐ γὰρ ἔφυγον τὴν πόλιν καθάπερ καὶ ἡμεῖς νῦν, ἀλλὰ μένοντες ἔστησαν. Παγὶς ἦν, καὶ τεῖχος αὐτὴν ἐποίησαν· βάραθρον ἦν, καὶ κρημνός, καὶ πύργον αὐτὴν ἀσφαλείας κατεσκεύασαν. Ἤκουσαν ὅτι πεσεῖται τὰ οἰκοδομήματα, καὶ οὐκ ἔφυγον τὰ οἰκοδομήματα, ἀλλ' ἔφυγον τὰ ἁμαρτήματα· οὐκ ἀπέστησαν ἕκαστος ἀπὸ τῆς οἰκίας αὐτοῦ καθάπερ ἡμεῖς νῦν, ἀλλ' ἀπέστησαν ἕκαστος ἀπὸ τῆς ὁδοῦ αὐτοῦ τῆς πονηρᾶς. Μὴ γὰρ οἱ τοῖχοι, φησί, τὴν ὀργὴν ἔτεκον; Ἡμεῖς αἴτιοι τοῦ τραύματος, ἡμεῖς τὸ φάρμακον κατασκευάσωμεν. Διὰ τοῦτο οὐ τόπων ἐναλλαγαῖς, ἀλλὰ τρόπων μεταβολῇ τὴν σωτηρίαν ἐπίστευσαν.

6. Ταῦτα οἱ βάρβαροι, καὶ οὐχ αἰσχυνόμεθα οὐδὲ ἐγκαλυπτόμεθα, ἐκείνων τρόπους μεταβαλλόντων, ἡμεῖς τόπους ἀμείβοντες, καὶ μεθυόντων ἀνθρώπων ἔργα ποιοῦντες, καὶ τὰς οὐσίας ὑπεκτιθέντες; Ὁ Δεσπότης ἡμῖν ὀργίζεται καὶ ἡμεῖς ἀφέντες καταλῦσαι τὴν ὀργήν, τὰ τῆς οἰκίας περιστρέφομεν καὶ περιερχόμεθα, ζητοῦντες ποῦ καταθώμεθα τὴν οὐσίαν, δέον ζητεῖν ποῦ τὴν ψυχὴν παρακαταθώμεθα· μᾶλλον δὲ οὐδὲ χρὴ ζητεῖν, ἀλλ' ἀρετῇ καὶ ὀρθότητι βίου τὴν ἀσφάλειαν αὐτῆς ἐγχειρίζειν. Οὐδὲ γὰρ εἰ πρὸς οἰκέτην ὀργιζομένων καὶ ἀγανακτούντων ἡμῶν, τὸ πρὸς τὴν ὀργὴν ἀπολογήσασθαι ἀφεὶς ἐκεῖνος εἰς τὸν οἰκίσκον τὸν ἑαυτοῦ κατελθών, τὰ ἱμάτια καὶ τὰ ἔπιπλα πάντα συναγαγών, καὶ καταδήσας

τῆς ἀποφάσεως κάμει αὐτὴν ἄκυρον. Διότι ἐὰν δὲν ἐξεδίδετο αὐτή, δὲν θὰ τὴν ἤκουον αὐτοὶ ποὺ ἡμάρτησαν· ἐὰν δὲν τὴν ἤκουον δὲν θὰ ἀπέφευγαν τὴν τιμωρίαν, δὲν θὰ ἀπελάμβανον τὴν παράδοξον ἐκείνην τιμωρίαν. Διότι πῶς δὲν εἶναι παράδοξος, ὅταν ὁ μὲν δικαστὴς ἐκδίδῃ ἀπόφασιν, οἱ δὲ κατάδικοι ἀκυρώνουν τὴν ἀπόφασιν μὲ τὴν μετάνοιαν; Διότι δὲν ἔφυγον ἀπὸ τὴν πόλιν ὅπως καὶ ἡμεῖς τώρα, ἀλλὰ ἔμενον εἰς αὐτήν. Ἦτο παγίδα ἡ πόλις καὶ τὴν ἔκαμαν τεῖχος· ἦτο βάραθρον καὶ κρημνὸς καὶ τὴν ἔκαμαν πύργον. Ἤκουσαν ὅτι θὰ πέσουν αἱ οἰκοδομαί, καὶ ὅμως δὲν ἔφυγαν ἀπὸ αὐτάς, ἀλλὰ ἔφυγαν ἀπὸ τὰ ἁμαρτήματα· δὲν ἀπεμακρύνθη κάθε ἕνας ἀπὸ τὸ σπίτι του ὅπως καὶ ἡμεῖς τώρα, ἀλλὰ ἀπεμακρύνθη κάθε ἕνας ἀπὸ τὸν δρόμον του τὸν πονηρόν. Μήπως οἱ τοῖχοι, λέγει, ἐγέννησαν τὴν ὀργὴν τοῦ Θεοῦ; Ἡμεῖς εἴμεθα αἴτιοι τοῦ τραύματος, ἡμεῖς οἱ ἴδιοι ἂς παρασκευάσωμεν τὸ φάρμακον. Διὰ τοῦτο ἐπίστευσαν ὅτι θὰ τύχουν τῆς σωτηρίας ὄχι διὰ τῆς ἀλλαγῆς τοῦ τόπου διαμονῆς, ἀλλὰ διὰ τῆς μεταβολῆς τοῦ τρόπου ζωῆς.

6. Αὐτὰ ἔκαμαν οἱ βάρβαροι καὶ δὲν ἐντρεπόμεθα, οὔτε καλύπτομεν τὸ πρόσωπον, διότι ἐνῷ ἐκεῖνοι μετέβαλον τρόπους ζωῆς, ἡμεῖς ἀλλάσσομεν τόπους, κάμνομεν σὰν μεθυσμένοι καὶ κρυφὰ μεταφέρομεν τὰ πράγματά μας; Ὁ Δεσπότης ὀργίζεται ἐναντίον μας καὶ ἡμεῖς ἀντὶ νὰ φροντίζωμεν νὰ καταστείλωμεν τὴν ὀργήν του μεταφέρομεν ἐδῶ καὶ ἐκεῖ τὰ πράγματα τοῦ σπιτιοῦ καὶ ζητοῦμε ποῦ νὰ ἐξασφαλίσωμεν τὴν περιουσίαν μας, ἐνῷ ἔπρεπε νὰ ζητοῦμε ποῦ νὰ ἐξασφαλίσωμεν τὴν ψυχήν μας· μᾶλλον δὲ οὔτε αὐτὸ πρέπει νὰ ζητοῦμεν, ἀλλὰ νὰ ἀναθέτωμεν τὴν ἀσφάλειαν αὐτῆς εἰς τὴν ἀρετὴν καὶ τὸν ὀρθὸν βίον. Διότι καὶ ἡμεῖς ἐὰν θὰ εἴχομεν ὀργισθῆ καὶ ἀγανακτήσει ἐναντίον κάποιου ὑπηρέτου μας καὶ ἐβλέπαμεν αὐτὸν ἀντὶ νὰ ἀπολογηθῇ εἰς ἡμᾶς διὰ τὴν αἰτίαν τῆς ἐναντίον του ὀργῆς, νὰ μαζεύῃ τὰ ροῦχα καὶ ἔπιπλα τοῦ δωματίου του, νὰ τὰ δένῃ καὶ νὰ θέλῃ

περὶ φυγῆς ἐβουλεύετο, πρᾴως ἂν ἐνέγκαμεν τὴν καταφρόνησιν ταύτην.

Παυσώμεθα τοίνυν τῆς ἀκαίρου ταύτης σπουδῆς, καὶ εἴπωμεν ἕκαστος πρὸς τὸν Θεόν· «ποῦ πορευθῶ ἀπὸ τοῦ πνεύματός σου, καὶ ἀπὸ τοῦ προσώπου σου ποῦ φύγω;». Μιμησώμεθα τὴν τῶν βαρβάρων φιλοσοφίαν· ἐκεῖνοι ἐπ' ἀδήλοις μετενόησαν· οὐ γὰρ εἶχεν ἡ ἀπόφασις τοῦτο, ὅτι ἐὰν ἐπιστρέψητε, καὶ μετανοήσητε, στήσω τὴν πόλιν, ἀλλ' ἁπλῶς· «Ἔτι τρεῖς ἡμέραι, καὶ Νυνευῒ καταστραφήσεται».

Τί οὖν ἐκεῖνοι; Τίς οἶδεν εἰ μετανοήσει ὁ Θεὸς ἀπὸ τῆς κακίας, ἧς ἐλάλησε ποιῆσαι ἡμῖν; Τίς οἶδεν; Οὐκ ἴσασι τὸ τέλος τοῦ πράγματος, καὶ οὐκ ἀμελοῦσι τῆς μετανοίας· οὐκ ἐπίστανται τῆς τοῦ Θεοῦ φιλανθρωπίας τὸν τρόπον, καὶ ἐπ' ἀδήλοις μεταβάλλονται· οὐδὲ γὰρ εἶχον πρὸς ἑτέρους Νινευΐτας ἰδεῖν μετανοήσαντας καὶ σωθέντας, οὐδὲ ἀνέγνωσαν προφήτας, οὐδὲ ἤκουσαν πατριαρχῶν, οὐκ ἀπήλαυσαν συμβουλῆς, οὐ μετέσχον παραινέσεως, οὐδὲ ἦσαν πεπεικότες ἑαυτούς, ὅτι πάντως ἐξιλεώσονται τὸν Θεὸν τῇ μετανοίᾳ· οὐδὲ γὰρ εἶχε τοῦτο ἡ ἀπειλή· ἀλλ' ἀμφέβαλλον καὶ ἠμφισβήτουν περὶ τούτου, καὶ ὅμως μετενόησαν μετ' ἀκριβείας ἁπάσης.

Τίς οὖν ἔσται λόγος ἡμῖν ὅταν οἱ μὲν περὶ τοῦ τέλους θαρρεῖν οὐκ ἔχοντες, τοσαύτην ἐπιδεικνύμενοι φαίνωνται τὴν μεταβολήν, σὺ δὲ ὁ θαρρεῖν ἔχων περὶ τῆς φιλανθρωπίας τοῦ Θεοῦ, καὶ πολλὰ πολλάκις ἐνέχυρα λαβὼν αὐτοῦ τῆς κηδεμονίας, καὶ προφητῶν καὶ ἀποστόλων ἀκούσας, καὶ δι' αὐτῶν παιδευθεὶς τῶν πραγμάτων, μηδὲ πρὸς τὸ αὐτὸ τῆς ἀρετῆς ἐκείνοις μέτρον φιλονεικήσῃς; Μεγάλη μὲν οὖν καὶ ἡ τῶν ἀνθρώπων τούτων ἀρετή, πολλῷ δὲ μείζων ἡ τοῦ Θεοῦ φιλαν-

21. Ψαλμ. 138, 7.
22. Ἰω. 3, 4.

νὰ φύγῃ δὲν θὰ ὑποφέραμεν τὴν περιφρόνησιν αὐτὴν μὲ πραότητα.

Ἂς παύσωμεν λοιπὸν τὴν ἄκαιρον αὐτὴν φροντίδα περὶ φυγῆς καὶ ἂς εἰποῦμε κάθε ἕνας πρὸς τὸν Θεὸν «Ποῦ νὰ ὑπάγω, ὥστε νὰ εἶμαι μακρὰν ἀπὸ τὸ πνεῦμα σου καὶ ποῦ νὰ φύγω, ὥστε νὰ μὴ παρακολουθοῦμαι ἀπὸ τὸ πρόσωπόν σου;»[21]. Ἂς μιμηθοῦμε τὴν φιλοσοφικὴν σκέψιν τῶν βαρβάρων· ἐκεῖνοι μετενόησαν χωρὶς νὰ ἔχουν ἀποδείξεις, διότι ἡ ἀπόφασις τοῦ Θεοῦ δὲν ἀνέφερεν, ὅτι ἐὰν ἐπιστρέψετε καὶ μετανοήσετε θὰ προστατεύσω τὴν πόλιν, ἀλλ' ἁπλῶς· «ἀκόμη τρεῖς ἡμέραι ὑπολείπονται καὶ ἡ Νινευῒ θὰ καταστραφῇ»[22].

Τί λοιπὸν εἶπαν ἐκεῖνοι; Ποῖος γνωρίζει ἐὰν θὰ μετανοήσῃ ὁ Θεὸς διὰ τὰ κακὰ τὰ ὁποῖα εἶπεν ὅτι θὰ κάμῃ εἰς ἡμᾶς; Ποῖος γνωρίζει; Δὲν ἐγνώριζαν τὸ τέλος τοῦ πράγματος καὶ δὲν παραμελοῦν τὴν μετάνοιαν· δὲν γνωρίζουν τὸν τρόπον τῆς φιλανθρωπίας τοῦ Θεοῦ καὶ μεταβάλλονται στηριζόμενοι εἰς ἄδηλα πράγματα· διότι δὲν εἶχον διὰ νὰ ἰδοῦν ἄλλους Νινευΐτας ποὺ μετενόησαν καὶ ἐσώθησαν, οὔτε ἐδιάβασαν προφήτας, οὔτε ἤκουσαν πατριάρχας, οὔτε ἀπήλαυσαν συμβουλῶν, οὔτε ἐδέχθησαν παραινέσεις, οὔτε εἶχαν πεποίθησιν ὅτι ἐξάπαντος θὰ ἐξιλεώσουν τὸν Θεὸν διὰ τῆς μετανοίας· διότι τίποτε δὲν ἔλεγε περὶ τούτου ἡ ἀπειλή· ἀλλὰ ἀμφέβαλλον καὶ ἠμφεσβήτουν περὶ αὐτοῦ, καὶ ὅμως μετενόησαν μὲ πᾶσαν εἰλικρίνειαν.

Ποίαν λοιπὸν δικαιολογίαν θὰ ἔχωμεν ὅταν αὐτοὶ ποὺ ἂν καὶ δὲν ἦσαν βέβαιοι περὶ τοῦ αἰσίου τέλους, ἔδειξαν τοιαύτην μεταβολήν, σὺ δὲ ποὺ εἶσαι βέβαιος διὰ τὴν φιλανθρωπίαν τοῦ Θεοῦ, καὶ ποὺ ἔλαβες πολλὰς ἀποδείξεις αὐτῆς, καὶ ἤκουσες τοὺς προφήτας καὶ τοὺς ἀποστόλους, καὶ ἐδιδάχθης δι' αὐτῶν τῶν πραγμάτων, νὰ μὴ φροντίζῃς νὰ φθάσῃς οὔτε εἰς τὸ ἴδιον μὲ ἐκείνους μέτρον τῆς ἀρετῆς; Μεγάλη μὲν λοιπὸν ἦτο καὶ τῶν ἀνθρώπων αὐτῶν ἡ ἀρετή, πολὺ ὅμως μεγαλυτέρα ἦτο ἡ φιλανθρωπία τοῦ Θεοῦ, τὴν

θρωπία, καὶ ταύτην ἀπ' αὐτοῦ τοῦ μεγέθους τῆς ἀπειλῆς ἔστιν ἰδεῖν. Διὰ γὰρ τοῦτο οὐ προσέθηκε τῇ ἀποφάσει, ὅτι ἐὰν δὲ μετανοήσητε, φείσομαι, ἵνα ἀδιόριστον ἐμβάλλων τὴν ψῆφον, αὐξήσῃ τὸν φόβον, καὶ τὸν φόβον αὐξήσας ταχύτερον πρὸς τὴν μετάνοιαν συνωθήσῃ.

Καὶ ὁ μὲν προφήτης αἰσχύνεται τὸ μέλλον προειδώς, καὶ στοχαζόμενος ὡς ἀτέλεστα μενεῖ τὰ εἰρημένα· ὁ δὲ Θεὸς οὐκ αἰσχύνεται, ἀλλ' ἓν μόνον ζητεῖ, τὴν τῶν ἀνθρώπων σωτηρίαν, καὶ τὸν οἰκέτην τὸν ἑαυτοῦ διορθοῦται. Ἐπειδὴ γὰρ εἰς τὸ πλοῖον εἰσῆλθεν ἐκεῖνος, διήγειρεν εὐθέως τὴν θάλατταν, ἵνα μάθῃς, ὅτι ὅπου ἁμαρτία, ἐκεῖ χειμών, ὅπου παρακοή, ἐκεῖ κλυδώνιον· καὶ ἐσαλεύετο μὲν ἡ πόλις διὰ τὰ ἁμαρτήματα τῶν Νινευϊτῶν, ἐσαλεύετο δὲ τὸ πλοῖον διὰ τὴν παρακοὴν τοῦ προφήτου. Ἐκεῖνοι μὲν οὖν τὸν Ἰωνᾶν εἰς τὸ πέλαγος ἔρριψαν, καὶ ἔστη τὸ πλοῖον· ἡμεῖς δὲ τὴν ἁμαρτίαν καταποντίσωμεν, καὶ στήσεται πάντως ἡ πόλις.

Ὥστε τῆς φυγῆς οὐδὲν ὄφελος ἡμῖν, οὐδὲ γὰρ ἐκεῖνον ὠφέλησεν ἡ φυγή· τοὐναντίον μὲν οὖν καὶ κατέβλαψεν. Ἔφυγε γοῦν τὴν γῆν, καὶ οὐκ ἔφυγε τὴν ὀργὴν τοῦ Θεοῦ· ἔφυγε τὴν γῆν, καὶ τὸν χειμῶνα εἰσήγαγεν εἰς τὴν θάλασσαν· καὶ οὐ μόνον αὐτὸς οὐδὲν ἀπώνατο τῆς φυγῆς ἀγαθόν, ἀλλὰ καὶ τοὺς ὑποδεξαμένους αὐτὸν εἰς ἔσχατον ἐνέβαλε κίνδυνον, καὶ ὅτε μὲν ἐπὶ τοῦ πλοίου καθήμενος ἔπλει, καὶ ναῦται καὶ κυβερνῆται παρῆσαν, καὶ ἅπασα τῆς νηὸς ἡ κατασκευή, περὶ τῶν ἐσχάτων ἐκινδύνευσεν· ἐπειδὴ δὲ εἰς τὸ πέλαγος καταποντισθείς, καὶ τὴν ἁμαρτίαν διὰ τῆς τιμωρίας ἀποθέμενος, εἰς τὸ ἀτερμάτιστον κατηνέχθη πλοῖον, τὴν γαστέρα φημὶ τοῦ κήτους, πολλῆς ἀπήλαυσε τῆς ἀδείας· ἵνα μάθῃς, ὅτι ὥσπερ τὸν ἐν ἁμαρτίᾳ ζῶντα οὐδὲ πλοῖον ὠφελεῖ,

ὁποίαν ἠμπορεῖς νὰ διαπιστώσῃς ἀπὸ αὐτὸ τοῦτο τὸ μέγεθος τῆς ἀπειλῆς. Διότι διὰ τοῦτο δὲν προσέθεσεν εἰς τὴν ἀπόφασιν, ὅτι ἐὰν μετανοήσετε θὰ σᾶς λυπηθῶ, διὰ νὰ εἶναι αὐτὴ ἀόριστος, καὶ διὰ νὰ αὐξήσῃ τὸν φόβον τους, καὶ ἀφοῦ αὐξήσῃ τὸν φόβον τους νὰ τοὺς ὁδηγήσῃ γρηγορότερα πρὸς τὴν μετάνοιαν.

Καὶ ὁ μὲν προφήτης ἐπειδὴ προγνωρίζει τὸ μέλλον, καὶ γνωρίζει ὅτι θὰ παραμείνουν ἀπραγματοποίητα ὅσα ἐλέχθησαν ἐντρέπεται· ὁ δὲ Θεὸς δὲν ἐντρέπεται ἀλλὰ ἕνα μόνον ἐπιζητεῖ, τὴν σωτηρίαν τῶν ἀνθρώπων καὶ διορθώνει τὸν δοῦλον του. Διότι ὅταν ἐμβῆκεν εἰς τὸ πλοῖον, ἐξεσήκωσεν ἀμέσως τὴν θάλασσαν καὶ ἔκαμε τρικυμίαν, διὰ νὰ μάθῃς, ὅτι ὅπου ὑπάρχει ἁμαρτία, ἐκεῖ εἶναι καὶ κακοκαιρία, ὅπου ὑπάρχει παρακοή, ἐκεῖ καὶ τρικυμία· καὶ ἐσαλεύετο ἡ πόλις διὰ τὰ ἁμαρτήματα τῶν Νινευϊτῶν, ἐσαλεύετο δὲ τὸ πλοῖον διὰ τὴν παρακοὴν τοῦ προφήτου. Ἐκεῖνοι μὲν λοιπὸν ἔρριψαν τὸν Ἰωνᾶν εἰς τὸ πέλαγος, καὶ δὲν κατεποντίσθη τὸ πλοῖον· ἡμεῖς δὲ ἂς καταποντίσωμεν τὴν ἁμαρτίαν καὶ ὁπωσδήποτε θὰ σωθῇ ἡ πόλις.

Ὥστε καμμία ὠφέλεια δὲν προέρχεται εἰς ἡμᾶς ἀπὸ τὴν φυγήν, καὶ οὔτε ἐκεῖνον ὠφέλησεν ἡ φυγή· ἀλλὰ ἀντιθέτως μάλιστα τὸν ἔβλαψεν. Ἀπέφυγε τὴν ξηρὰν καὶ δὲν ἀπέφυγε τὴν ὀργὴν τοῦ Θεοῦ· ἀπέφυγε τὴν ξηρὰν καὶ ἔφερεν εἰς τὴν θάλασσαν τὴν τρικυμίαν· καὶ ὄχι μόνον αὐτὸς δὲν ἐκέρδισε κανένα καλὸν ἀπὸ τὴν φυγήν, ἀλλὰ καὶ αὐτοὺς ποὺ τὸν ἐδέχθησαν μέσα εἰς τὸ πλοῖον τοὺς ἔφερεν εἰς τὸν ἔσχατον κίνδυνον, καὶ ὅταν μὲν ἔπλεε καθήμενος ἐπάνω εἰς τὸ πλοῖον καὶ ἦσαν παρόντες ναῦται καὶ κυβερνῆται, ὁλόκληρον τὸ πλοῖον ἐκινδύνευσεν· ὅταν ὅμως ἐρρίφθη εἰς τὸ πέλαγος καὶ διὰ τῆς τιμωρίας αὐτῆς ἐξεδίωξε τὴν ἁμαρτίαν τῆς παρακοῆς καὶ ἔφθασεν εἰς τὸ τεράστιον καὶ ἀσφαλὲς πλοῖον, ἐννοῶ τὴν κοιλίαν τοῦ κοίτους, ἀπήλαυσε πολλῆς ἡσυχίας· διὰ νὰ μάθῃς ὅτι ὅπως ἐκεῖνον ποὺ ζεῖ εἰς τὴν ἁμαρτίαν δὲν τὸν ὠφελεῖ οὔτε τὸ πλοῖον, ἔτσι καὶ ἐκεῖνον

οὕτω τὸν τὴν ἁμαρτίαν ἀποθέμενον οὐδὲ θάλαττα ἀπόλλυσιν οὐδὲ θηρία διαφθείρει.

Ἔλαβε γοῦν αὐτὸν τὰ κύματα, καὶ οὐκ ἀπέπνιξεν, ἔλαβε τὸ κῆτος, καὶ οὐκ ἀνεῖλεν· ἀλλὰ καὶ τὸ ζῶον, καὶ τὸ στοιχεῖον σῶαν τῷ Θεῷ τὴν παρακαταθήκην ἀπέδωκε, καὶ διὰ πάντων ἐμάνθανε φιλάνθρωπος, καὶ ἥμερος εἶναι ὁ προφήτης, καὶ μήτε ναυτῶν ἀνοήτων, μήτε κυμάτων ἀγρίων, μήτε θηρίων ὠμότερος εἶναι. Καὶ γὰρ οἱ ναῦται οὐκ ἐκ πρώτης εὐθέως, ἀλλὰ μετὰ πολλὴν αὐτὸν ἀνάγκην προύδωκαν, καὶ ἡ θάλαττα δὲ καὶ τὸ θηρίον μετὰ πολλῆς τῆς εὐνοίας ἐφύλαξαν, τοῦ Θεοῦ πάντα ταῦτα οἰκονομοῦντος.

Ἐπανῆλθε τοίνυν, ἐκήρυξεν, ἠπείλησεν, ἔπεισεν, ἔσωσεν, ἐφόβησεν, διώρθωσεν, ἔστησεν ἐξ ἑνὸς καὶ πρώτου κηρύγματος. Οὐ γὰρ ἐδεήθη πολλῶν ἡμερῶν οὐδὲ συνεχοῦς συμβουλῆς, ἀλλὰ τὰ ψιλὰ ἐκεῖνα εἰπὼν ῥήματα πάντας εἰς μετάνοιαν ἤγαγε. Διὰ τοῦτο αὐτὸν οὐκ εὐθέως ἐκ τοῦ πλοίου εἰς τὴν πόλιν ἐχειραγώγησεν ὁ Θεός, ἀλλὰ παρέδωκαν οἱ ναῦται τῇ θαλάττῃ, ἡ θάλαττα τῷ κήτει, τὸ κῆτος τῷ Θεῷ, ὁ Θεὸς τοῖς Νινευΐταις, καὶ διὰ μακρᾶς τῆς περιόδου τὸν φυγάδα ἐπανήγαγεν, ἵνα πάντας παιδεύσῃ, ὅτι Θεοῦ χεῖρας φυγεῖν ἀμήχανον. Ὅτι ὅπουπερ ἂν τις ἀφίκηται, τὴν ἁμαρτίαν ἐπισυρόμενος, μυρία ὑποστήσεται τὰ δεινά, κἂν τῶν ἀνθρώπων μηδεὶς παρῇ, αὐτὴ πανταχόθεν ἡ κτίσις ἀντιστήσεται μετὰ πολλῆς αὐτῷ τῆς σφοδρότητος.

Μὴ τοίνυν τῇ φυγῇ τὴν σωτηρίαν ἡμῶν ἐγχειρίσωμεν, ἀλλὰ τῇ τοῦ τρόπου μεταβολῇ. Μὴ γάρ, ἐπειδὴ μένεις ἐν τῇ πόλει, διὰ τοῦτο παροξύνεται ὁ Θεός, ἵνα φύγῃς; Ἐπειδὴ ἥμαρτες, διὰ τοῦτο ἀγανακτεῖ. Οὐκοῦν τὴν ἁμαρτίαν ἀπόθου,

ποὺ βγάζει ἀπὸ ἐπάνω του τὴν ἁμαρτίαν, οὔτε ἡ θάλασσα τὸν καταστρέφει, οὔτε τὰ θηρία τὸν κατασπαράσσουν.

Τὸν ἐπῆραν λοιπὸν τὰ κύματα καὶ δὲν τὸν ἔπνιξαν· τὸν ἐδέχθη ἐντός του τὸ κῆτος καὶ δὲ ντὸν ἐφόνευσεν· ἀλλὰ καὶ τὸ ζῶον τῆς θαλάσσης καὶ τὸ στοιχεῖον αὐτῆς σώαν τὴν παρακαταθήκην ἀπέδωκαν εἰς τὸν Θεόν, καὶ δι' ὅλων αὐτῶν ἐμάνθανε νὰ εἶναι ὁ προφήτης φιλάνθρωπος καὶ ἥμερος καὶ οὔτε ἀπὸ τοὺς ἀνοήτους ναύτας οὔτε ἀπὸ τὰ ἄγρια κύματα, οὔτε ἀπὸ τὰ θηρία νὰ εἶναι σκληρότερος. Διότι καὶ οἱ ναῦται ὄχι ἀπὸ τὴν πρώτην στιγμήν, ἀλλὰ κατόπιν, ὅταν τοὺς ἐπῆρεν ἡ μεγάλη ἀνάγκη τὸν ἔρριψαν εἰς τὴν θάλασσαν, καὶ ἡ θάλασσα δὲ πάλιν καὶ τὸ κῆτος τὸν διεφύλαξαν μὲ πολλὴν ἀγάπην, ἐπειδὴ ὅλα αὐτὰ τὰ οἰκονόμησεν ἔτσι ὁ Θεός.

Ἐπανῆλθε λοιπὸν εἰς τὴν Νινευΐ, ἐκήρυξεν, ἠπείλησεν, ἔπεισεν, ἔσωσεν, ἐφόβησε, διώρθωσε, τοὺς ἐστήριξεν ἀπὸ ἕνα καὶ μόνον κήρυγμα. Διότι δὲν ἐχρειάσθη κήρυγμα πολλῶν ἡμερῶν οὔτε συνεχὴς συμβουλή, ἀλλὰ ἀφοῦ εἶπε τὰ ἁπλᾶ ἐκεῖνα λόγια τοὺς ὡδήγησεν εἰς τὴν μετάνοιαν. Διὰ τοῦτο δὲν τὸν ὡδήγησεν ἀμέσως ἀπὸ τὸ πλοῖον εἰς τὴν πόλιν ὁ Θεός, ἀλλὰ τὸν παρέδωσαν οἱ ναῦται εἰς τὴν θάλασσαν, ἡ θάλασσα εἰς τὸ κῆτος, τὸ κῆτος εἰς τὸν Θεόν, ὁ Θεὸς εἰς τοὺς Νινευίτας καὶ διὰ μεγάλου γύρου ἐπανέφερε τὸν φυγάδα εἰς τὴν πόλιν διὰ νὰ διδάξῃ ὅλους ὅτι εἶναι ἀδύνατον νὰ διαφύγῃ κανεὶς ἀπὸ τὰ χέρια τοῦ Θεοῦ. Ὅτι ὁπουδήποτε καὶ ἂν ἤθελε μεταβῇ κανείς, ποὺ φέρει μαζί του τὴν ἁμαρτίαν, θὰ πάθῃ ἀναρίθμητα κακά, καὶ ἂν δὲν εἶναι παρὼν κανεὶς ἀπὸ τοὺς ἀνθρώπους, αὐτὴ ἡ ἰδία ἡ φύσις ἀπὸ παντοῦ θὰ ἀντισταθῇ μὲ πολλὴν σφοδρότητα.

Ἂς μὴ προσπαθήσωμεν λοιπὸν νὰ ἐξασφαλίσωμεν τὴν σωτηρίαν μας διὰ τῆς φυγῆς, ἀλλὰ διὰ τῆς μεταβολῆς τοῦ τρόπου τῆς ζωῆς μας. Διότι μήπως νομίζεις ὅτι ἐπειδὴ μένεις εἰς τὴν πόλιν διὰ τοῦτο παροργίζεται ὁ Θεός, καὶ διὰ τοῦτο θέλεις νὰ φύγῃς; Ἐπειδὴ ἡμάρτησες, διὰ τοῦτο ἀγανακτεῖ. Λοιπὸν ἀπώθησε τὴν ἁμαρτίαν καὶ ἀπὸ ἐκεῖ ποὺ προέρχεται

καὶ ὅθεν ἡ αἰτία τῷ τραύματι ἐκεῖθεν ἀνάστειλον τοῦ κακοῦ τὴν πηγήν· τὰ γὰρ ἐναντία τοῖς ἐναντίοις θεραπεύειν καὶ ἰατρῶν παῖδες κελεύουσιν. Ἐξ ἀδηφαγίας οὖν ἐτέχθη πυρετός; Ἀσιτίας μεθοδεύουσι τὸ νόσημα. Ἐξ ἀθυμίας ἠρρώστησέ τις; Εὐθυμίαν τούτῳ φάρμακον ἐπιτήδειον εἶναί φασιν. Οὕτω καὶ ἐπὶ τῶν τῆς ψυχῆς νοσημάτων ποιεῖν χρή. Ῥαθυμία τὴν ὀργὴν ἤγειρε; Σπουδῇ ταύτην ἀποκρουσώμεθα, καὶ πολλὴν ἐπιδειξώμεθα τὴν μεταβολήν. Ἔχομεν βοηθὸν μεγίστην καὶ σύμμαχον τὴν νηστείαν, καὶ μετὰ τῆς νηστείας τὴν ἐπικειμένην ἀγωνίαν, καὶ τὸν τοῦ κινδύνου φόβον· ἐπιθώμεθα τοίνυν τῇ ψυχῇ νῦν εἰς καιρόν· καὶ γὰρ εὐκόλως αὐτὴν δυνησόμεθα πεῖσαι πάντα ὅσα ἂν θέλωμεν. Ὁ γὰρ περιδεής, καὶ τρέμων καὶ τρυφῆς ἁπάσης ἀπηλλαγμένος, καὶ φόβῳ συζῶν, εὐκόλως δύναται φιλοσοφεῖν, καὶ μετὰ πολλῆς τῆς προθυμίας τὰ τῆς ἀρετῆς ὑποδέχεσθαι σπέρματα.

7. *Πείσωμεν τοίνυν αὐτὴν ἀπὸ τῆς τῶν ὅρκων φυγῆς πρώτην τὴν ἐπὶ τὸ βέλτιον ποιήσασθαι μεταβολήν· εἰ γὰρ καὶ χθὲς καὶ πρὸ ἐκείνης περὶ ταύτης ὑμῖν διελέχθην τῆς ὑποθέσεως, ἀλλ' οὐδὲ σήμερον ἀποστήσομαι, οὐδὲ ἐπιοῦσαν, οὐδὲ τὴν μετ' ἐκείνην ταῦτα συμβουλεύων. Καὶ τί λέγω τὴν αὔριον, καὶ τὴν μετ' ἐκείνην; Ἕως ἂν ὑμᾶς ἴδω κατορθοῦντας, οὐκ ἀφέξομαι. Εἰ γὰρ οἱ παραβαίνοντες τὸν νόμον οὐκ αἰσχύνονται, πολλῷ μᾶλλον ἡμᾶς τοὺς κελεύοντας μὴ παραβαίνειν, οὐκ ἄξιον αἰσχύνεσθαι τῇ συνεχείᾳ τῆς παραινέσεως. Τὸ γὰρ συνεχῶς περὶ τῶν αὐτῶν ὑπομιμνήσκειν, οὐ τοῦ λέγοντος ἀλλὰ τῶν ἀκουόντων ἐστὶν ἔγκλημα διηνεκοῦς δεομένων διδασκαλίας ὑπὲρ ψιλῶν καὶ εὐκατορθώτων πραγμάτων.*

Τί γὰρ εὐκολώτερον τοῦ μὴ ὀμνύναι; Συνηθείας ἐστὶ τὸ κατόρθωμα μόνον, οὐκ ἔστι πόνος σώματος, οὐκ ἔστι δα-

ἡ αἰτία τῆς πληγῆς, ἀπὸ ἐκεῖ νὰ σταματήσῃς τὴν πηγὴν τοῦ κακοῦ· διότι καὶ οἱ ἰατροὶ συνιστοῦν νὰ θεραπεύωμεν τὰ νοσήματα μὲ τὰ ἀντίθετα εἰς αὐτά. Ἀπὸ πολυφαγίαν λοιπὸν ἐδημιουργήθη πυρετός; Διὰ τῆς ἀσιτίας θεραπεύουν τὸ νόσημα. Ἀπὸ μελαγχολίαν ἠσθένησε κάποιος; Κατάλληλον φάρμακον διὰ τὴν ἀσθένειαν αὐτὴν λέγουν ὅτι εἶναι ἡ εὐθυμία. Ἔτσι πρέπει νὰ κάμωμεν καὶ διὰ τὰς ἀσθενείας τῆς ψυχῆς. Μᾶς ἐπροκάλεσεν ἡ ὀκνηρία τὴν ὀργήν; Ἂν τὴν ἀποκρούσωμεν διὰ τῆς σπουδῆς καὶ ἂς ἐπιδείξωμεν πολλὴν μεταβολήν. Ἔχομεν πολὺ μεγάλον βοηθὸν πρὸς τὸν σκοπὸν αὐτὸν τὴν νηστείαν, καὶ μαζὶ μὲ τὴν νηστείαν τὴν ἐπικειμένην ἀγωνίαν καὶ τὸν φόβον τοῦ κινδύνου· ἂς ἐπιβληθῶμεν λοιπὸν τώρα εἰς τὴν ψυχήν, τώρα ποὺ εἶναι εὐκαιρία· καθ' ὅσον εὔκολα αὐτὴν θὰ ἠμπορέσωμεν νὰ τὴν πείσωμεν νὰ κάμῃ ὅσα θέλωμεν. Διότι αὐτὸς ποὺ εἶναι κυριευμένος ἀπὸ κάποιον φόβον καὶ τρόμον, καὶ εἶναι ἀπηλλαγμένος ἀπὸ κάθε καλοπέρασιν, καὶ ζῇ μὲ τὸν φόβον, εὔκολα ἠμπορεῖ νὰ φιλοσοφῇ καὶ μὲ πολλὴν προθυμίαν νὰ δέχεται τὰ σπέρματα τῆς ἀρετῆς.

7. Ἂς πείσωμεν λοιπὸν αὐτὴν νὰ ἀρχίσῃ νὰ μεταβάλλεται εἰς τὸ καλύτερον κατ' ἀρχὴν ἀπὸ τὴν ἀποφυγὴν τῶν ὅρκων. Διότι ἂν καὶ χθὲς καὶ προχθὲς σᾶς ὡμίλησα περὶ τοῦ ζητήματος αὐτοῦ, ὅμως οὔτε καὶ σήμερον, οὔτε καὶ αὔριον, οὔτε καὶ μεθαύριον θὰ παύσω νὰ σᾶς ἀπευθύνω τὰς ἰδίας συμβουλάς. Καὶ διατί λέγω αὔριον καὶ μεθαύριον; Δὲν θὰ παύσω ποτὲ ἂν δὲν σᾶς ἰδῶ νὰ ἐφαρμώσετε ὅσα σᾶς εἶπα. Διότι ἂν αὐτοὶ ποὺ παραβαίνουν τὸν νόμον δὲν ἐντρέπωνται, πολὺ περισσότερον ἡμεῖς ποὺ προτρέπομεν νὰ μὴ τὸν παραβαίνουν, δὲν πρέπει νὰ ἐντρεπώμεθα διὰ τὰς συνεχεῖς παραινέσεις. Διότι τὸ νὰ σᾶς ὑπενθυμίζωμεν συνεχῶς τὰ ἴδια δὲν εἶναι σφάλμα τοῦ λέγοντος, ἀλλὰ τῶν ἀκροατῶν, ἐπειδὴ ἔχουν ἀνάγκην συνεχοῦς διδασκαλίας διὰ ἁπλᾶ καὶ εὐκολοκατόρθωτα πράγματα.

Διότι τί εἶναι εὐκολώτερον ἀπὸ τὸ νὰ μὴ ὁρκιζώμεθα; Τοῦτο εἶναι κατόρθωμα συνηθείας μόνον, δὲν ἐπιτυγχάνεται

πάνη χρημάτων. Βούλει μαθεῖν πῶς δυνατὸν περιγενέσθαι τοῦ νοσήμαος; πῶς δυνατὸν ἀπαλλαγῆναι τῆς πονηρᾶς συνηθείας; Ἐγώ σε διδάξω τρόπον τινά, ὃν ἂν ποιήσῃς, περιέσῃ πάντως. Ὅταν ἴδῃς ἢ σαυτόν, ἢ ἕτερόν τινα ἢ τῶν οἰκετῶν ἢ τῶν παίδων, ἢ τὴν γυναῖκα ἁλόντας τῷ κακῷ τούτῳ, συνεχῶς ὑπομνησθέντας καὶ οὐ διορθωθέντας, κέλευσον μὴ δειπνήσαντας καθευδῆσαι καὶ ταύτην καὶ σαυτῷ κἀκείνοις τὴν καταδίκην ἐπίθες, καταδίκην οὐχὶ ζημίαν, ἀλλὰ κέρδος φέρουσαν. Τοιαῦτα γὰρ τὰ πνευματικά· καὶ κέρδος φέρει, καὶ ταχίστην τὴν διόρθωσιν. Ἡ γὰρ γλῶσσα βασανιζομένη διηνεκῶς, καὶ μηδενὸς ὑπομιμνήσκοντος ἱκανὴν λαμβάνει παράκλησιν, ὑπὸ τοῦ δίψους κατατεινομένη, ὑπὸ τῆς πείνης ἀγχομένη· κἂν ἁπάντων ὦμεν ἀναισθητότεροι, διὰ πάσης ἡμέρας τῷ μεγέθει τῆς βασάνου ταύτης ὑπομιμνησκόμενοι, οὐ δεησόμεθα συμβουλῆς ἑτέρας καὶ παραινέσεως.

Ἐπῃνέσατε τὸ εἰρημένον, ἀλλ' ὅμως καὶ ἐπὶ τῶν ἔργων δείξατε τὸν ἔπαινον. Ἐπεὶ τί τὸ κέρδος τῆς ἐνταῦθα συλλογῆς; Εἰ καθ' ἑκάστην ἡμέραν τὸ παιδίον εἰς διδασκαλεῖον βαδίζοι, εἶτα μηδὲν μανθάνει πλέον, ἆρα ἀρκέσει εἰς ἀπολογίαν ἡμῖν, τὸ καθ' ἑκάστην ἡμέραν ἐκεῖ βαδίζειν αὐτό; Οὐκ αὐτὸ μὲν οὖν τοῦτο μέγιστον ποιησόμεθα ἔγκλημα, ὅτι καθ' ἑκάστην ἡμέραν ἐκεῖ βαδίζον, μάτην τοῦτο ποιεῖ. Τοῦτο δὴ καὶ ἐφ' ἡμῶν αὐτῶν λογιζώμεθα, καὶ πρὸς ἑαυτοὺς λέγωμεν· χρόνον τοσοῦτον εἰς ἐκκλησίαν ἀπαντῶντες, συνάξεως ἀπολαύοντες φρικωδεστάτης, καὶ πολὺ τὸ κέρδος ἐχούσης, ἂν τοιοῦτοι πάλιν ἀπέλθωμεν, οἷοι παρεγενόμεθα, μηδὲν τῶν ἡμετέρων κατορθώσαντες ἐλαττωμάτων, τί τὸ ὄφελος ἔσται ἡμῖν τῆς ἐνταῦθα ἀφίξεως; Καὶ γὰρ τὰ πολ-

μὲ κόπον σωματικόν, δὲν γίνεται μὲ δαπάνην χρημάτων. Θέλεις νὰ μάθῃς πῶς εἶναι δυνατὸν νὰ ὑπερισχύσῃς αὐτὸ τὸ νόσημα; Πῶς νὰ ἀπαλλαγῇς ἀπὸ τὴν κακὴν αὐτὴν συνήθειαν; Ἐγὼ θὰ σὲ διδάξω κάποιον τρόπον, τὸν ὁποῖον ἂν κάμῃς, ὁπωσδήποτε θὰ ἐπιτύχῃς. Ὅταν ἰδῇς ἢ τὸν ἑαυτόν σου ἢ κάποιον ἄλλον, ἢ κάποιον ἀπὸ τοὺς ὑπηρέτας σου ἢ τὰ παιδιά σου ἢ τὴν γυναῖκα σου νὰ ἔχουν κυριευθῇ ἀπὸ τὸ κακὸν τοῦτο, καὶ παρ' ὅλας τὰς ὑποδείξεις νὰ μὴ ἔχουν διορθωθῇ, νὰ διατάξῃς νὰ κοιμηθοῦν χωρὶς νὰ ἔχουν δειπνήσει, καὶ τὴν ἰδίαν τιμωρίαν νὰ ἐπιβάλῃς καὶ εἰς τὸν ἑαυτόν σου, τιμωρίαν ἡ ὁποία δὲν φέρει ζημίαν, ἀλλὰ κέρδος. Διότι ἔτσι συμβαίνει μὲ τὰς πνευματικὰς τιμωρίας· καὶ κέρδος φέρουν καὶ γρήγορα διορθώνουν. Διότι ὅταν ἡ γλῶσσα συνεχῶς βασανίζεται ἔστω καὶ ἂν κανεὶς δὲν ὑποδεικνύῃ ὠφελεῖται ἀρκετά, διότι ὑποφέρει ἀπὸ τὴν δίψαν καὶ τὴν πεῖναν· καὶ ἂν εἴμεθα ἀναισθητότεροι ἀπὸ ὅλους τοὺς ἀνθρώπους, ὅταν ἡ μεγάλη πεῖνα καὶ δίψα τὴν ὁποίαν ἐβάλαμεν ὡς ποινὴν καθ' ὅλην τὴν ἡμέραν μᾶς ὑπενθυμίζῃ τὴν ἀποχὴν ἀπὸ τοὺς ὅρκους, δὲν θὰ παραστῇ ἀνάγκη νὰ χρειασθῶμεν ἄλλην προτροπὴν καὶ συμβουλὴν δι' αὐτό.

Ἐπαινέσατε αὐτὸ ποὺ εἶπα, ὅμως νὰ δείξετε τὸν ἔπαινον καὶ ἐμπράκτως. Διότι, ἄλλως, ποῖον θὰ εἶναι τὸ κέρδος ἀπὸ τὴν ἐδῶ συγκέντρωσίν σας; Ἐὰν τὸ παιδὶ κάθε ἡμέραν πηγαίνῃ εἰς τὸ σχολεῖον, χωρὶς νὰ μαθαίνῃ τίποτε, εἶναι ἐπαρκὴς ἡ δικαιολογία τὸ ὅτι πηγαίνει καθημερινῶς εἰς τὸ σχολεῖον; Δὲν θὰ εἶναι αὐτὴ ἡ μετάβασίς του ἡ μεγαλυτέρα του καταδίκη, διότι ἂν καὶ καθημερινῶς πηγαίνῃ ματαίως τὸ κάμει αὐτό; Αὐτὸ τὸ ἴδιον νὰ σκεπτώμεθα καὶ δι' ἡμᾶς καὶ νὰ λέγωμεν πρὸς τοὺς ἑαυτούς μας· ἀφοῦ συχνάζωμεν εἰς τὴν ἐκκλησίαν τόσον χρόνον καὶ συμμετέχωμεν εἰς τὴν φρικωδεστάτην συγκέντρωσιν ἡ ὁποία ἔχει πολλὴν ὠφέλειαν, ἂν φύγωμεν ἀπὸ αὐτὴν πάλιν ὅπως εἴμεθα ὅταν ἤλθομεν, χωρὶς νὰ διορθώσωμεν κανένα ἐλάττωμά μας, κατὰ τί θὰ ὠφεληθῶμεν ἀπὸ τὸν ἐδῶ ἐρχομόν μας; Διότι πρέπει νὰ

λὰ τῶν πραγμάτων οὐ δι' αὐτὰ γίνεται, ἀλλὰ διὰ τὰ συμβαίνοντα ἐξ αὐτῶν. Οἷον τι λέγω· ὁ σπείρων οὐ διὰ τοῦτο σπείρει, ἵνα σπείρῃ μόνον, ἀλλ' ἵνα καὶ θερίζῃ, ὡς εἰ μὴ τοῦτο γένοιτο, καὶ ζημίαν ὁ σπόρος οἴσει, τῶν σπερμάτων κατασαπέντων εἰκῇ καὶ μάτην. Ὁ ἔμπορος οὐ διὰ τοῦτο πλεῖ, ἵνα πλῇ μόνον, ἀλλ' ἵνα διὰ τῆς ἀποδημίας πλείω ποιήσῃ τὴν οὐσίαν, ὡς εἰ μὴ τοῦτο προσγένοιτο, καὶ ζημία συμβήσεται ἐσχάτη, καὶ ἐπιβλαβὴς ἡ τῶν ἐμπόρων ἀποδημία.

Τοῦτο δὴ καὶ ἐφ' ἡμῶν αὐτῶν λογιζώμεθα· καὶ γὰρ ἡμεῖς εἰς ἐκκλησίαν ἀπαντῶμεν, οὐ δι' αὐτὸ τοῦτο μόνον ἵνα ἐνταῦθα διατρίβωμεν, ἀλλ' ἵνα τι κερδάναντες μέγα καὶ πνευματικὸν κέρδος ἀπέλθωμεν. Ἂν τοίνυν κενοὶ καὶ μηδὲν λαβόντες ἀπίωμεν, καὶ κατάκρισις ἡ σπουδὴ γίνεται. Ὅπως ἂν τοῦτο μὴ γένηται καὶ ζημία ἐσχάτη, ἀπιόντες ἐντεῦθεν, μετ' ἀλλήλων οἱ φίλοι, μετὰ τῶν τέκνων οἱ πατέρες, μετὰ τῶν οἰκετῶν οἱ δεσπόται, μελετᾶτε καὶ γυμνάζετε ὅπως τὸ ἐπιταχθὲν ἀνύσητε, ἵνα ἐπειδὴ ἐπανέλθητε πάλιν, καὶ περὶ τῶν αὐτῶν ἀκούητε συμβουλευόντων ἡμῶν, μὴ καταισχύνησθε τοῦ συνειδότος ὑμῶν ἐπιλαμβανομένου, ἀλλὰ χαίρητε καὶ εὐφραίνησθε συνορῶντες τὸ πλέον τῆς παραινέσεως ὑμῖν κατορθωθέν.

Ταῦτα μὴ μόνον ἐνταῦθα φιλοσοφῶμεν· οὐ γὰρ ἀρκεῖ τὸ πᾶν ἡ πρόσκαιρος αὕτη παραίνεσις ἐξελεῖν, ἀλλὰ καὶ ἐπὶ τῆς οἰκίας ἀνὴρ παρὰ γυναικὸς ταῦτα ἀκουέτω, καὶ γυνὴ παρ' ἀνδρός, καὶ ἅμιλλά τις γινέσθω σπουδαζόντων ἁπάντων προλαβεῖν εἰς τὴν τοῦ νόμου τούτου συμπλήρωσιν, καὶ ὁ προλαβὼν καὶ κατορθώσας ὀνειδιζέτω τῷ λειπομένῳ, ἵνα

ἔχωμεν ὑπ' ὄψιν μας ὅτι πολλὰ πράγματα γίνονται ὄχι δι' αὐτὰ τὰ ἴδια ἀλλὰ διὰ τὰ ἀποτελέσματα ποὺ προέρχονται ἀπὸ αὐτά. Ἐννοῶ τὸ ἑξῆς μὲ αὐτὸ ποὺ λέγω· αὐτὸς ποὺ σπέρνει δὲν τὸ κάμει αὐτὸ δι' αὐτὴν ταύτην τὴν πρᾶξιν τῆς σπορᾶς, δηλαδὴ διὰ νὰ σπείρῃ μόνον, ἀλλὰ καὶ διὰ νὰ θερίσῃ, διότι ἄλλως ἡ σπορὰ θὰ ἦτο ἐπιζήμιος, καθ' ὅσον οἱ σπόροι θὰ ἐσάπιζον εἰς τὸ χῶμα. Ὁ ἔμπορος δὲν ταξιδεύει μόνον καὶ μόνον διὰ νὰ ταξιδεύσῃ, ἀλλὰ διὰ τοῦ ταξιδίου του νὰ κάμῃ μεγαλυτέραν τὴν περιουσίαν του, διότι ἄλλως θὰ ζημιωθῇ πάρα πολὺ καὶ θὰ εἶναι ἐπιβλαβὲς τὸ ταξίδι τῶν ἐμπόρων.

Αὐτὸ νὰ σκεπτώμεθα καὶ διὰ τοὺς ἑαυτούς μας· διότι καὶ ἡμεῖς συχνάζομεν εἰς τὴν ἐκκλησίαν, ὄχι ἁπλῶς διὰ νὰ περνῶμεν τὸν καιρόν μας ἐκεῖ, ἀλλὰ διὰ νὰ φύγωμεν ἀπὸ ἐκεῖ ἀφοῦ ἔχομεν κερδίσει μεγάλην πνευματικὴν ὠφέλειαν. Ἂν λοιπὸν ἀπέλθωμεν ἀπὸ ἐκεῖ ἄδειοι χωρὶς νὰ ἔχωμεν λάβει τίποτε τὸ ὠφέλιμον, τότε ἡ σπουδή μας αὐτὴ γίνεται καὶ αἰτία κατακρίσεώς μας. Ὅμως διὰ νὰ μὴ γίνῃ τοῦτο καὶ ὑποστοῦμεν τὴν ἐσχάτην ζημίαν ὅταν φεύγωμεν ἀπὸ ἐδῶ, οἱ φίλοι μεταξύ των, οἱ πατέρες μετὰ τῶν παιδιῶν μας, οἱ κύριοι μετὰ τῶν ὑπηρετῶν των, νὰ μελετᾶτε ὅ,τι εἴπαμεν καὶ νὰ καταβάλλετε προσπάθειαν διὰ νὰ ἐφαρμόσετε τὴν ἐντολήν, ὥστε ὅταν ἐπανέλθετε πάλιν καὶ θὰ μᾶς ἀκούσετε νὰ σᾶς συμβουλεύωμεν πάλιν διὰ τὰ ἴδια νὰ μὴ κατεντροπιάζεσθε, ἐπειδὴ θὰ σᾶς ἐλέγχῃ ἡ συνείδησις ἀλλὰ νὰ χαίρετε καὶ νὰ εὐχαριστῆσθε ἔχοντες τὴν συναίσθησιν ὅτι ἐφαρμόσατε τὸ μεγαλύτερον μέρος τῆς ἐντολῆς.

Αὐτὰ νὰ μὴ τὰ ἐφαρμόζωμεν μόνον ἐδῶ· διότι δὲν ἀρκεῖ ἡ πρόσκαιρος αὐτὴ προτροπὴ ποὺ σᾶς ἔκαμα νὰ ἀφαιρέσῃ κάθε κακίαν, ἀλλὰ καὶ εἰς τὸ σπίτι ὁ ἄνδρας νὰ ἀκούῃ αὐτὰ ἀπὸ τὴν γυναῖκα του, καὶ ἡ γυναίκα ἀπὸ τὸν ἄνδρα της καὶ νὰ γίνῃ κάποια ἅμιλλα καὶ νὰ προσπαθοῦν ὅλοι ποιός θὰ ἐφαρμόσῃ πρωτύτερα τὸν νόμον, καὶ ἐκεῖνος ποὺ πρῶτος θὰ προλάβῃ νὰ τὸ κατορθώσῃ, ἂς περιγελᾷ αὐτὸν

αὐτὸν τοῖς σκώμμασι διεγείρῃ πλέον ὁ ὑστερήσας καὶ μηδέπω κατορθωκὼς βλεπέτω τὸν προλαβόντα, καὶ φιλονεικείτω φθάσαι πρὸς ἐκεῖνον ταχέως. Ἐὰν ταῦτα βουλευώμεθα, ἐὰν ταῦτα μεριμνῶμεν, ταχέως ἂν ἡμῖν καὶ τὰ ἄλλα κατευοδωθήσεται πράγματα. Σὺ μερίμνησον τὰ τοῦ Θεοῦ, καὶ αὐτὸς προνοήσεται τῶν σῶν.

Καὶ μή μοι λέγε, τί δὲ ἐὰν ἀνάγκην ὅρκον τις ἡμῖν ἐπιθῇ; τί δὲ ἐὰν μὴ πιστεύῃ; Μάλιστα μὲν γάρ, ὅπου παραβαίνεται νόμος, ἀνάγκης μεμνῆσθαι οὐ χρή. Μία γάρ ἐστιν ἀνάγκη ἀπαραίτητος, τὸ μὴ προσκροῦσαι Θεῷ. Πλὴν ἀλλὰ ἐκεῖνο λέγω, τέως τοὺς περιττοὺς περίκοψον ὅρκους, τοὺς ἁπλῶς, καὶ χωρὶς ἀνάγκης, τοὺς ἐπὶ τῆς οἰκίας, τοὺς ἐπὶ τῶν φίλων, τοὺς ἐπὶ τῶν οἰκετῶν· κἂν τούτους ἀνέλῃς, ἐν ἐκείνοις οὐδὲν ἐμοῦ δεήσῃ λοιπόν· αὐτὸ γὰρ τὸ στόμα μελετῆσαν δεδοικέναι καὶ φεύγειν τὰς πολιορκίας, οὐδ' ἂν μυριάκις τις ἀναγκάσῃ, καταδέξεται λοιπὸν εἰς ἐκείνην ἐμπεσεῖν τὴν συνήθειαν.

Ἀλλ' ὥσπερ νῦν μετὰ πολλοῦ τοῦ πόνου, καὶ μυρίας τῆς ἐνοχλήσεως φοβοῦντες, ἀπειλοῦντες, παραινοῦντες, συμβουλεύοντες, μόλις ἰσχύσαμεν εἰς ἑτέραν αὐτὸ μεταθεῖναι συνήθειαν· οὕτω δὴ καὶ τότε, κἂν μυρίαν ἀνάγκην ἐπιθῇ τις, οὐ δυνήσεται πεῖσαι τοῦτον παρασαλεῦσαι τὸν νόμον· ἀλλ' ὥσπερ δηλητηρίου τινὸς οὐκ ἂν ἕλοιτό ποτε οὐδὲ ἀνάγκης ἐπικειμένης ἀπογεύσασθαί τις, οὕτως οὐδὲ ὅρκον προέσθαι.

Τοῦτο δὲ ὑμῖν κατορθωθὲν παράκλησις ἔσται καὶ προτροπή, πρὸς τὸ καὶ τῶν λοιπῶν τῆς ἀρετῆς ἐφάψασθαι μερῶν. Ὁ μὲν γὰρ μηδὲν κατορθωκὼς ὅλως, ῥᾳθυμεῖ καὶ ἀ-

πού ὑπελείφθη διὰ νὰ τὸν κάμῃ αὐτὸν διὰ τοῦ ὀνειδισμοῦ νὰ κινηθῇ περισσότερον, καὶ ἐκεῖνος δὲ πού καθυστέρησε καὶ ἀκόμη δὲν ἔφθασεν εἰς τὴν ἐφαρμογὴν ἂς βλέπῃ ἐκεῖνον πού τὸν ἐπρόλαβε, καὶ ἂς φιλοτιμῆται νὰ τὸν φθάσῃ γρήγορα. Ἐὰν αὐτὰ σκεπτώμεθα, ἐὰν δι' αὐτὰ φροντίζωμεν, γρήγορα καὶ τὰ ἄλλα πράγματα θὰ μᾶς ἔλθουν εὐνοϊκά. Σὺ φρόντισε νὰ ἐκτελῇς τὰς ἐντολὰς τοῦ Θεοῦ καὶ ὁ Θεὸς θὰ φροντίσῃ διὰ τὰς ἀνάγκας σου.

Καὶ μὴ μοῦ λέγεις, τί θὰ κάμωμεν ὅταν κάποιος μᾶς ἀναγκάζῃ τὰ ὁρκισθῶμεν; Τί θὰ κάμωμεν ἐὰν δὲν πιστεύῃ εἰς ὅσα λέγομεν; Διότι κυρίως ὅπου παραβαίνεται ὁ νόμος δὲν πρέπει νὰ λαμβάνεται ὑπ' ὄψιν ἡ ἀνάγκη. Διότι μία εἶναι ἀπαραίτητος ἀνάγκη, τὸ νὰ μὴ ἔλθῃς ἀντιμέτωπος μὲ τὸν Θεόν. Πλὴν ὅμως τώρα συνιστῶ τὸ ἑξῆς: Νὰ κόψῃς τοὺς περιττοὺς ὅρκους, αὐτοὺς πού γίνονται εἰς τὸ σπίτι, χωρὶς νὰ ὑπάρχῃ καμμία ἀνάγκη, αὐτοὺς πού γίνονται εἰς τὸ σπίτι, μεταξὺ τῶν φίλων καὶ τῶν ὑπηρετῶν· ἂν παύσῃς αὐτοὺς δὲν θὰ χρειασθῇς τὰς συμβουλάς μου δι' ἐκείνους τοὺς ὅρκους· διότι αὐτὸ τὸ ἴδιον τὸ στόμα ἐπειδὴ ἐσυνήθισε νὰ φοβᾶται καὶ νὰ ἀποφεύγῃ τοὺς πολλοὺς ὅρκους, ἔστω καὶ ἂν κάποιος μυριάκις τὸ ἀναγκάσῃ, δὲν θὰ καταδεχθῇ νὰ ἐπανέλθῃ πλέον εἰς ἐκείνην τὴν συνήθειαν.

Ἀλλὰ ὅπως τώρα μὲ πολὺ κόπον καὶ ὑπερβολικὴν ἐνόχλησιν φοβερίζοντες, ἀπειλοῦντες, συμβουλεύοντες, μόλις ἠμπορέσωμεν νὰ τὸν μεταφέρωμεν εἰς ἄλλην συνήθειαν· ἔτσι καὶ τότε, καὶ ἂν τὸν φέρῃ κανεὶς εἰς ἐσχάτην ἀνάγκην, δὲν θὰ ἠμπορέσῃ νὰ πείσῃ αὐτὸν νὰ παραβῇ τὸν νόμον, καὶ ὅπως δὲν θὰ ἐδέχετο νὰ γευθῇ ποτὲ κάποιο δηλητήριον, ἔστω καὶ ἂν ἦτο μεγάλη ἀνάγκη, ἔτσι οὔτε τὸν ὅρκον θὰ ἐδέχετο νὰ ἐκστομίσῃ.

Ὅταν δὲ τοῦτο τὸ ἐπιτύχετε θὰ σᾶς γίνῃ αὐτὸ κίνητρον καὶ προτροπὴ διὰ νὰ καταπιασθῆτε καὶ μὲ τὰ ἄλλα μέρη τῆς ἀρετῆς. Διότι ἐκεῖνος πού δὲν κατώρθωσε τελείως τίποτε, γίνεται ράθυμος καὶ χάνει τὴν προθυμίαν του γρή-

ναπίπτει ταχέως· ὁ δὲ συνειδὼς ἑαυτῷ ὅτι μίαν γοῦν τινα ἐντολὴν ἐπλήρωσεν, εὔελπις ἀπὸ ταύτης γενόμενος, μετὰ πλείονος σπουδῆς ἐπὶ τὰς λοιπὰς βαδιεῖται πάλιν, εἶτα ἑτέραν προσλαβών, ἐφ' ἑτέραν ἥξει ταχέως, καὶ οὐ πρότερον ἀποστήσεται, ἕως ἂν ἐπ' αὐτὴν ἔλθῃ τὴν κεφαλήν. Εἰ γὰρ ἐπὶ τῶν χρημάτων, ὅσῳπερ ἄν τις πλείονα περιβάληται, τοσούτῳ πλειόνων ἐφίεται, πολλῷ μᾶλλον ἐπὶ τῶν κατορθωμάτων τῶν πνευματικῶν τοῦτο συμβαῖνον ἴδοι τις ἄν. Διὰ τοῦτο σπεύδω καὶ ἐπείγομαι ἀρχὴν τὸ πρᾶγμα λαβεῖν, καὶ προοίμιον τῆς ἀρετῆς καταβαλεῖν ἐν ταῖς ὑμετέραις ψυχαῖς, καὶ δεόμεθα καὶ ἀντιβολῶμεν τούτων τῶν ῥημάτων μὴ κατὰ τὴν παροῦσαν ὥραν μεμνῆσθαι μόνον, ἀλλὰ καὶ ἐπὶ τῆς οἰκίας, καὶ ἐπὶ τῆς ἀγορᾶς, καὶ ὅπουπερ ἂν διατρίβητε.

Εἴθε μοι δυνατὸν ἦν ὑμῖν συγγενέσθαι, καὶ οὐκ ἄν μοι τῆς μακρᾶς ταύτης ἐδέησε μακρηγορίας· νῦν δ' ἐπειδὴ τοῦτο οὐκ ἔνι, ἀντ' ἐμοῦ τῶν ἐμῶν μέμνησθε ῥημάτων, καὶ ἐπὶ τραπέζης καθήμενοι ἐπεισιέναι με νομίζετε καὶ παρεστάναι, καὶ ταῦτα ἐνηχεῖν ἅπερ ὑμῖν ἐνταῦθα λέγω νῦν. Καὶ ὅπουπερ ἂν περὶ ἐμοῦ λόγος ὑμῖν γίνηται, ἀντὶ πάντων ταύτης μέμνησθε τῆς ἐντολῆς, καὶ ταύτην μοι τῆς περὶ ὑμᾶς ἀγάπης ἀπόδοτε τὴν ἀμοιβήν. Ἐὰν ἴδω κατορθώσαντας ὑμᾶς, τὸ πᾶν ἀπείληφα, ἱκανὴν τῶν πόνων ἀπεδεξάμην τὴν ἀντίδοσιν. Ἵνα οὖν καὶ ἡμᾶς προθυμοτέρους ποιήσητε, καὶ ὑμεῖς εὔελπιδες γίνησθε, καὶ πλείονα ταῖς λοιπαῖς ἐντολαῖς πρὸς τὸ κατορθοῦσθαι παρασκευάσητε τὴν εὐκολίαν, μετὰ πολλῆς τοῦτον τὸν νόμον τῆς σπουδῆς ἐν ταῖς ὑμετέραις ἀπόθεσθε ψυχαῖς, καὶ τότε εἴσεσθε τῆς παραινέσεως τὴν ὠφέλειαν. Ἐπεὶ καὶ ἱμάτιον χρυσοῦν καλὸν μέν ἐστι καὶ ὁρώμενον, πολλῷ δὲ πλέον ἡμῖν φανεῖται περικείμενον ἡμῶν τῷ σώματι· οὕτω καὶ αἱ τοῦ Θεοῦ ἐντολαὶ καλαὶ μέν εἰσι καὶ ἐπαινούμεναι, πολλῷ δὲ καλλίους φαίνονται κατορθούμεναι.

γορα· αὐτὸς ὅμως ὁ ὁποῖος γνωρίζει ὅτι ἐξεπλήρωσεν ἔστω καὶ μίαν ἐντολήν, ἀφοῦ λάβῃ θάρρος ἀπὸ αὐτήν, μὲ περισσοτέραν προθυμίαν θὰ βαδίσῃ πάλιν καὶ πρὸς τὰς ἄλλας, καὶ ἀφοῦ παραλάβῃ ἄλλην, σύντομα θὰ ἔλθῃ καὶ εἰς ἄλλην, καὶ δὲν θὰ σταματήσῃ ἕως ὅτου φθάσῃ εἰς τὴν κορυφὴν τῶν ἀρετῶν. Διότι ἐὰν ἐπὶ τῶν χρημάτων συμβαίνῃ ὅσα περισσότερα ἀποκτᾷ κανείς, τόσον περισσότερα ἐπιθυμεῖ, πολὺ περισσότερον ἐπὶ τῶν κατορθωμάτων τῶν πνευματικῶν ἠμπορεῖ κανεὶς νὰ ἰδῇ ὅτι συμβαίνει τοῦτο. Διὰ τοῦτο σπεύδω καὶ βιάζομαι νὰ γίνῃ ἀρχὴ τοῦ πράγματος καὶ τὰ προοίμια τῆς ἀρετῆς νὰ ἐναποθέσω μέσα εἰς τὰς ψυχάς σας, καὶ σᾶς ἱκετεύω καὶ παρακαλῶ, αὐτὰ νὰ μὴ τὰ ἐνθυμῆσθε μόνον κατὰ τὴν παροῦσαν ὥραν, ἀλλὰ καὶ εἰς τὸ σπίτι σας, καὶ εἰς τὴν ἀγορὰν καὶ ὁπουδήποτε περνᾶτε τὸν καιρόν σας.

Μακάρι νὰ ἠμποροῦσα νὰ εἶμαι συνεχῶς μαζί σας, τότε δὲν θὰ ἦτο ἀνάγκη νὰ σᾶς εἰπῶ τόσα πολλά· ἐπειδὴ ὅμως τώρα τοῦτο δὲν εἶναι δυνατόν, ἀντὶ ἐμοῦ, νὰ ἐνθυμῆσθε τὰ λόγια μου, καὶ ὅταν κάθεσθε διὰ φαγητὸν εἰς τὸ τραπέζι νὰ νομίζετε ὅτι καὶ ἐγὼ ἔχω ἔλθει καὶ παρευρίσκομαι ἐκεῖ καὶ αὐτὰ ποὺ λέγω τώρα εἰς σᾶς νὰ ἠχοῦν εἰς τὰ αὐτιά σας. Καὶ ὁπουδήποτε γίνῃ λόγος περὶ ἐμοῦ νὰ ἐνθυμῆσθε αὐτὴν τὴν ἐντολὴν καὶ τοῦτο νὰ τὸ κάμετε ὡς ἀνταμοιβὴν τῆς ἀγάπης ποὺ ἔχω διὰ σᾶς. Ἐὰν ἰδῶ ὅτι τὸ ἔχετε κατορθώσει ἐκέρδισα τὸ πᾶν, ἐδέχθην ἀρκετὴν ἀμοιβὴν διὰ τοὺς κόπους μου. Διὰ νὰ κάμετε λοιπὸν καὶ ἡμᾶς νὰ ἔχωμεν μεγαλυτέραν προθυμίαν καὶ σεῖς νὰ γίνετε περισσότερον αἰσιόδοξοι, καὶ μὲ μεγαλυτέραν εὐκολίαν νὰ ἐφαρμόσετε τὰς ἄλλας ἐντολάς, μὲ πολὺ μεγάλην προθυμίαν νὰ βάλετε τὸν νόμον αὐτὸν εἰς τὰς ψυχάς σας καὶ τότε θὰ γνωρίσετε τὴν ὠφέλειαν τῆς συμβουλῆς αὐτῆς. Διότι καὶ τὸ χρυσοῦν ἔνδυμα εἶναι ὡραῖον καὶ ὅταν τὸ βλέπῃ κανείς, πολὺ δὲ ὡραιότερον φαίνεται, ὅταν τὸ φορῇ τὸ σῶμα μας, ἔτσι καὶ αἱ ἐντολαὶ τοῦ Θεοῦ εἶναι καλαὶ καὶ ὅταν ἐπαινοῦνται, πολὺ δὲ καλύτεραι φαίνονται ὅταν ἐφαρμόζωνται.

Νῦν μὲν γὰρ ἐν βραχείᾳ καιροῦ ῥοπῇ τὰ λεγόμενα ἐπαινεῖτε, ἐὰν δὲ κατορθώσητε, διὰ πάσης τῆς ἡμέρας, καὶ διὰ παντὸς τοῦ χρόνου, καὶ ἡμᾶς καὶ ὑμᾶς αὐτοὺς ἐπαινέσεσθε· καὶ οὐ τοῦτό ἐστι τὸ μέγα, ὅτι ἀλλήλους ἐπαινεσόμεθα, ἀλλ' ὅτι καὶ ὁ Θεὸς ἡμᾶς ἀποδέξεται, καὶ οὐκ ἀποδέξεται μόνον, ἀλλὰ καὶ ἀμείψεται ταῖς μεγάλαις ἐκείναις καὶ ἀπορρήτοις δωρεαῖς, ὧν γένοιτο πάντας ἡμᾶς ἀξιωθῆναι, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυριυυ ἡμῶν Ἰησοῦ Χριστοῦ, δι' οὗ καὶ μεθ' οὗ τῷ Πατρὶ ἡ δόξα, ἅμα τῷ ἁγίῳ Πνεύματι νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Διότι τώρα μὲν δι' ὀλίγον χρονικὸν διάστημα ἐπαινεῖτε ὅσα λέγω, ἂν ὅμως τὰ ἐφαρμόσετε, καθ' ὅλην τὴν ἡμέραν καὶ καθ' ὅλον τὸν χρόνον καὶ ἡμᾶς καὶ τοὺς ἑαυτούς σας θὰ ἐπαινέσητε καὶ δὲν εἶναι αὐτὸ τὸ σπουδαῖον, τὸ ὅτι θὰ ἐπαινέσωμεν ὁ ἕνας τὸν ἄλλον, ἀλλὰ τὸ ὅτι καὶ ὁ Θεὸς θὰ μᾶς ἀποδεχθῇ, καὶ ὄχι μόνον θὰ μᾶς ἀποδεχθῇ, ἀλλὰ καὶ θὰ μᾶς ἀνταμείψῃ διὰ τῶν μεγάλων ἐκείνων καὶ ἀνεκφράστων δωρεῶν, τῶν ὁποίων εἴθε ὅλοι νὰ ἀξιωθῶμεν διὰ τῆς χάριτος καὶ φιλανθρωπίας τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, διὰ τοῦ ὁποίου καὶ μετὰ τοῦ ὁποίου ἂς εἶναι δόξα εἰς τὸν Πατέρα καὶ εἰς τὸ ἅγιον Πνεῦμα τώρα καὶ πάντοτε καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ΟΜΙΛΙΑ ΕΚΤΗ

ΟΤΙ ΧΡΗΣΙΜΟΣ Ο ΤΩΝ ΑΡΧΟΝΤΩΝ *φόβος καὶ διήγησις τῶν κατὰ τὴν ὁδὸν συμβάντων τοῖς ἀγγελίαν τῆς στάσεως τῷ βασιλεῖ φέρουσι, καὶ ὅτι ὁ ἀδίκως τις πάσχων, καὶ εὐχαριστῶν τῷ συγχωροῦντι Θεῷ, ἴσος ἐστὶ τοῦ διὰ τὸν Θεὸν τὰ αὐτὰ πάσχοντος· καὶ τὰ παραδείγματα πάλιν ἐκ τῶν τριῶν παίδων καὶ τῆς Βαβυλωνίας καμίνου, καὶ περὶ τῆς τῶν ὅρκων ἀποχῆς.*

1. *Πολλὰς μὲν ἀνηλώσαμεν ἡμέρας παρακαλοῦντες ὑμῶν τὴν ἀγάπην· οὐ μὴν διὰ τοῦτο ἀποστησόμεθα τῆς ὑποθέσεως ταύτης, ἀλλ' ἕως ἂν μένῃ τὸ ἕλκος τῆς ἀθυμίας, καὶ τὸ φάρμακον τῆς παραμυθίας ἐπιθήσομεν. Εἰ γὰρ ἐπὶ τῶν τοῦ σώματος τραυμάτων οὐ παύονται ἐπαντλοῦντες ἰατρῶν παῖδες, ἕως ἂν ἴδωσι λῆξαν τὸ πάθος, πολλῷ μᾶλλον ἐπὶ τῆς ψυχῆς τοῦτο ποιεῖν χρή. Καὶ γὰρ ἕλκος ψυχῆς ἡ ἀθυμία, καὶ δεῖ συνεχῶς αὐτὴν ἐπαντλεῖν προσηνέσι ρήμασιν. Οὐδὲ γὰρ οὕτως οἴδημα σαρκὸς χαλᾶν εἴωθε θερμῶν ὑδάτων φύσις, ὡς ψυχῆς πάθος καταστέλλειν πέφυκε παρακλητικῶν λόγων δύναμις· οὐ χρεία σπογγίας ἐνταῦθα, καθάπερ ἐπὶ τῶν ἰατρῶν, ἀλλ' ἀντὶ σπόγγου τὴν γλῶτταν μεταχειρισόμεθα. Οὐ χρεία πυρὸς ἐνταῦθα, ἵνα θερμαίνωμεν ὕδατα, ἀλλ' ἀντὶ πυρὸς τῇ τοῦ Πνεύματος χρησώμεθα χάριτι.*

Φέρε οὖν καὶ τήμερον τὸ αὐτὸ τοῦτο πράξωμεν. Εἰ γὰρ μὴ ἡμεῖς ὑμᾶς παρακαλέσωμεν, πόθεν ἑτέρωθεν παράκλησιν δέξησθε; Δικασταὶ φοβοῦσιν· οὐκοῦν ἱερεῖς παρακαλεί-

ΟΜΙΛΙΑ ΕΚΤΗ

ΠΕΡΙ ΤΟΥ ΟΤΙ ΕΙΝΑΙ ΧΡΗΣΙΜΟΣ Ο ΦΟΒΟΣ ΤΩΝ ΑΡΧΟΝΤΩΝ

καὶ διήγησις τῶν συμβάντων καθ' ὁδὸν εἰς τοὺς φέροντας τὴν ἀγγελίαν τῆς στάσεως εἰς τὸν βασιλέα, καὶ ὅτι ἐκεῖνος ποὺ ὑποφέρει κάτι ἄδικα καὶ εὐχαριστεῖ τὸν Θεὸν ποὺ τὸ ἐπέτρεψεν εἶναι ἴσος μὲ ἐκεῖνον ποὺ πάσχει τὰ ἴδια διὰ τὸν Θεόν· καὶ τὰ παραδείγματα πάλιν ποὺ ἀναφέρονται εἶναι ἀπὸ τοὺς τρεῖς παῖδας καὶ τῆς καμίνου τῆς Βαβυλῶνος, καὶ περὶ ἀποχῆς ἀπὸ τοὺς ὅρκους.

1. Πολλὰς ἡμέρας κατηναλώσαμεν διὰ νὰ παρακαλέσωμεν τὴν ἰδικήν σας ἀγάπην· ὅμως δὲν θὰ ἀπομακρυνθοῦμεν ἀπὸ αὐτό, ἀλλ' ἐν ὅσῳ μένῃ ἡ πληγὴ τῆς λύπης, θὰ ἐξακολουθοῦμεν νὰ ἐπιθέτωμεν καὶ τὸ φάρμακον τῆς παρηγορίας. Διότι, ἐάν, προκειμένου περὶ σωματικῶν πληγῶν, δὲν παύουν οἱ ἰατροὶ νὰ τὰς πλύνουν καὶ νὰ τὰς καθαρίζουν, ἕως ὅτου ἰδοῦν ὅτι ἐθεραπεύθη ἡ πληγή, πολὺ περισσότερον τοῦτο πρέπει νὰ κάμωμεν διὰ τὴν ψυχήν. Διότι πράγματι ἡ λύπη εἶναι πληγὴ τῆς ψυχῆς καὶ πρέπει συνεχῶς νὰ τὴν πλύνωμεν μὲ κατάλληλα λόγια. Διότι δὲν συντελεῖ τόσον ἡ φύσις τοῦ θερμοῦ ὕδατος εἰς τὸ νὰ ἐλαττωθῇ πρήξιμον τοῦ σώματος, ὅσον ἡ δύναμις τῶν παρηγορητικῶν λόγων συντελεῖ εἰς τὸ νὰ καταστείλῃ τὸ ψυχικὸν πάθος· ἐδῶ δὲν ἔχομεν ἀνάγκην σπόγγου, ὅπως οἱ ἰατροί, ἀλλὰ ἀντὶ σπόγγου θὰ μεταχειρισθῶμεν τὴν γλῶσσαν. Οὔτε ἔχομεν ἀνάγκην φωτιᾶς ἐδῶ, διὰ νὰ θερμαίνωμεν τὰ νερά, ἀλλὰ ἀντὶ πυρὸς θὰ χρησιμοποιήσωμεν τὴν χάριν τοῦ ἁγίου Πνεύματος.

Ἐμπρὸς λοιπὸν καὶ σήμερον ἂς κάμωμεν τὸ ἴδιον. Διότι ἐὰν ἡμεῖς δὲν σᾶς παρηγορήσωμεν ἐδῶ, ἀπὸ ποῦ ἀλλοῦ θὰ δεχθῆτε παρηγορίαν; Οἱ δικασταὶ σᾶς φοβίζουν, λοιπὸν

τωσαν· ἄρχοντες ἀπειλοῦσιν· οὐκοῦν ἡ Ἐκκλησία παραμυθείσθω. Καὶ γὰρ ἐπὶ τῶν παιδίων τῶν μικρῶν οὕτω γίνεται· διδάσκαλοι τὰ παιδία φοβοῦσι, καὶ τύπτουσι, καὶ δεδακρυμένα πρὸς τὰς μητέρας παραπέμπουσιν· αἱ δὲ μητέρες ὑποδεξάμεναι τοῖς κόλποις τοῖς ἑαυτῶν κατέχουσι, καὶ περισφίγγουσι, καὶ τὰ δάκρυα καταψήσασαι καταφιλοῦσι, καὶ τὴν ὀδυνωμένην αὐτῶν ἀνακτῶνται ψυχήν, πείθουσαι δι' ὧν λέγουσιν, ὅτι χρήσιμος ὁ τῶν διδασκάλων αὐτοῖς φόβος.

Ἐπεὶ οὖν καὶ ὑμᾶς ἐφόβησαν ἄρχοντες, καὶ ἐναγωνίους ἐποίησαν, ἡ Ἐκκλησία, ἡ κοινὴ πάντων ἡμῶν μήτηρ, τοὺς κόλπους ἁπλώσασα, καὶ ὑπτίαις ὑποδεξαμένη χερσί, καθ' ἑκάστην παρακαλεῖ τὴν ἡμέραν, λέγουσα, ὅτι χρήσιμος καὶ ὁ τῶν ἀρχόντων φόβος ἐστί, καὶ ὅτι χρησίμη καὶ ἡ ἐντεῦθεν παράκλησις. Ἐκείνων μὲν γὰρ ὁ φόβος οὐκ ἀφίησιν ὑπὸ τῆς ῥαθυμίας ἐκλύεσθαι· ταύτης δὲ ἡ παράκλησις οὐκ ἀφίησιν ὑπὸ τῆς ἀθυμίας καταπίπτειν· καὶ δι' ἀμφοτέρων ὁ Θεὸς τὴν ἡμετέραν σωτηρίαν οἰκονομεῖ. Καὶ γὰρ τοὺς ἄρχοντας αὐτὸς ὥπλισεν, ἵνα φοβῶσι τοὺς ἀσελγαίνοντας· καὶ τοὺς ἱερέας αὐτὸς ἐχειροτόνησεν, ἵνα παρακαλῶσι τοὺς ὀδυνωμένους.

Καὶ ταῦτα ἀμφότερα, μετὰ τῶν Γραφῶν, καὶ αὐτὴ τῶν πραγμάτων ἡ πεῖρα διδάσκει. Εἰ γὰρ ἀρχόντων ὄντων, καὶ στρατιωτῶν ζώντων ἐν ὅπλοις, μανία ἀνθρώπων εὐαριθμήτων, μιγάδων, καὶ ἐπηλύδων, ἐν βραχείᾳ καιροῦ ῥοπῇ τοσαύτην ἡμῖν ἀνῆψε πυράν, καὶ χειμῶνα τοσοῦτον ἤγειρε, καὶ περὶ ναυαγίας δεδοικέναι ἐποίησεν ἅπαντας· εἰ καθόλου τῶν ἀρχόντων ὁ φόβος ἀνῄρητο, ποῦ οὐκ ἂν οὗτοι ἦλθον μανίας, ἆρα οὐκ ἂν ἐκ βάθρων ἡμῖν τὴν πόλιν ἀνέτρεψαν, καὶ πάντα ἄνω καὶ κάτω ποιήσαντες, αὐτὰς ἂν ἡμῶν ἀφείλοντο τὰς ψυχάς;

Ἐὰν γὰρ τὰ δικαστήρια ἀνέλῃς, πᾶσαν τῆς ζωῆς ἡμῶν

ἂς σᾶς παρηγορήσουν οἱ ἱερεῖς. Οἱ ἄρχοντες σᾶς ἀπειλοῦν, λοιπὸν ἂς σᾶς παρηγορήσῃ ἡ ἐκκλησία. Διότι τὸ ἴδιον γίνεται καὶ εἰς τὰ μικρὰ παιδιά· οἱ διδάσκαλοι φοβερίζουν αὐτὰ καὶ τὰ κτυποῦν καὶ τὰ στέλλουν δακρυσμένα εἰς τὰς μητέρας των· αἱ δὲ μητέρες των ἀφοῦ τὰ δεχθοῦν εἰς τὰς ἀγκάλας των, καὶ τὰ σφίξουν καὶ τὰ δάκρυά των σπογγίζουν καὶ τὰ καταφιλοῦν καὶ τὴν λυπημένην ψυχήν των εἰρηνεύουν, καὶ τὰ πείθουν μὲ ὅσα τὰ λέγουν ὅτι ὁ φόβος τῶν διδασκάλων εἶναι χρήσιμος εἰς αὐτά.

Ἐπειδὴ λοιπὸν καὶ σᾶς σᾶς ἐφόβησαν οἱ ἄρχοντες καὶ σᾶς ἐνέβαλαν εἰς ἀγωνίαν, ἡ Ἐκκλησία, ἡ κοινὴ μητέρα ὅλων μας, ἀφοῦ ἄνοιξε διάπλατα τοὺς κόλπους της καὶ μᾶς ὑπεδέχθη μὲ ἀνοικτὰς τὰς ἀγκάλας, καθημερινῶς μᾶς παρηγορεῖ, λέγουσα, ὅτι εἶναι χρήσιμος καὶ ὁ φόβος τῶν ἀρχόντων καὶ ὅτι ἡ παρηγορία ποὺ προέρχεται ἀπὸ ἐκεῖ εἶναι χρησίμη. Διότι ὁ φόβος ἐκείνων δὲν μᾶς ἀφήνει νὰ παραλύωμεν ὑπὸ τῆς ραθυμίας· ἡ παρηγορία δὲ αὐτῆς δὲν μᾶς ἀφήνει νὰ μᾶς καταβάλῃ ἡ λύπη, καὶ διὰ τῶν δύο ὁ Θεὸς φροντίζει διὰ τὴν ἰδικήν μας σωτηρίαν. Διότι καὶ τοὺς ἄρχοντας αὐτὸς τοὺς ὥπλισε, διὰ νὰ προξενοῦν φόβον εἰς αὐτοὺς ποὺ παραφέρονται· καὶ τοὺς ἱερεῖς αὐτὸς ἐχειροτόνησεν διὰ νὰ παρηγοροῦν τοὺς λυπημένους.

Καὶ τὰ δύο δὲ αὐτὰ ἐκτὸς ἀπὸ τὴν Γραφὴν μᾶς τὰ διδάσκει καὶ αὐτὴ ἡ ἰδία ἡ πεῖρα. Διότι ἐνῷ ὑπάρχουν οἱ ἄρχοντες καὶ οἱ στρατιῶται οἱ ἔνοπλοι, ἡ μανία ὀλίγον ἀνθρώπων, κατωτέρας ὑποστάθμης, καὶ ξένων, ἐντὸς ὀλίγου χρονικοῦ διαστήματος, τόσον μεγάλην φωτιὰν ἄναψεν εἰς ἡμᾶς, καὶ τόσην τρικυμίαν ἐσήκωσε, καὶ μᾶς ἔκαμεν ὅλους νὰ φοβούμεθα μήπως ναυαγήσωμεν· ἐὰν δὲν ὑπῆρχε καθόλου ὁ φόβος τῶν ἀρχόντων, εἰς ποῖον μεγάλον βαθμὸν τρέλλας θὰ εἶχον φθάσει, μήπως δὲν θὰ ἀνέτρεπαν ἐκ θεμελίων τὴν πόλιν μας, καὶ ὅλα ἀφοῦ τὰ ἔκαμαν ἄνω κάτω, δὲν θὰ ἀφαιροῦσαν ἀκόμη καὶ αὐτὰς τὰς ψυχάς μας;

Διότι ἐὰν ἀφαιρέσῃς τὰ δικαστήρια, ἀφήρεσες ὅλην τὴν

ἀνεῖλες τὴν εὐταξίαν· καὶ ὥσπερ νηὸς τὸν κυβερνήτην ἐὰν ἀποστήσῃς, κατεπόντισας τὸ σκάφος, καὶ τὸν στρατηγὸν ἂν ἀπαγάγῃς τοῦ στρατοπέδου, δεδεμένους τοῖς πολεμίοις παρέδωκας τοὺς στρατιώτας· οὕτω τῶν πόλεων τοὺς ἄρχοντας ἂν ἀνέλῃς θηρίων ἀλόγων ἀλογώτερον βιωσόμεθα βίον, δάκνοντες ἀλλήλους, καὶ κατεσθίοντες, τὸν πενέστερον ὁ πλούσιος, τὸν ἀσθενέστερον ὁ δυνατώτερος, τὸν ἐπιεικέστερον ὁ θρασύτερος. Ἀλλὰ νῦν τούτων οὐδέν ἐστι διὰ τὴν χάριν τοῦ Θεοῦ· οἱ μὲν γὰρ εὐλαβείᾳ συζῶντες οὐδὲν δέονται τῆς τούτων παιδαγωγίας. «Δικαίῳ γὰρ νόμος οὐ κεῖται», φησίν. Οἱ δὲ πολλοὶ πρὸς κακίαν βλέποντες, εἰ μὴ τὸν ἀπὸ τούτων φόβον εἶχον αὐτοῖς ἐπικείμενον, μυρίων ἂν κακῶν τὰς πόλεις ἐνέπλησαν, ἅπερ οὖν καὶ ὁ Παῦλος συνιδὼν ἔλεγεν· Οὐ γάρ ἐστιν ἐξουσία εἰ μὴ ὑπὸ Θεοῦ, καὶ αἱ οὖσαι ἐξουσίαι, ὑπὸ Θεοῦ τεταγμέναι εἰσίν».

Ὅπερ γάρ εἰσιν ἐν τοῖς οἰκίαις τῶν ξύλων αἱ ἱμαντώσεις, τοῦτο καὶ οἱ ἄρχοντες ἐν ταῖς πόλεσι· καὶ καθάπερ ἂν ἐκείνας ἀνέλῃς, διαλυθέντες οἱ τοῖχοι συμπίπτουσιν ἀλλήλοις αὐτόματοι· οὕτω τῆς οἰκουμένης ἂν ἀφέλῃς τοὺς ἄρχοντας, καὶ τὸν ἐκ τούτων φόβον, καὶ οἰκίαι καὶ πόλεις, καὶ ἔθνη μετὰ πολλῆς ἀλλήλοις συμπεσοῦνται τῆς ἀδείας, οὐδενὸς ὄντος τοῦ κατέχοντος καὶ ἀνακρουομένου, καὶ τῷ φόβῳ τῆς κολάσεως ἀναπείθοντος ἡσυχάζειν.

2. Μὴ τοίνυν ἀλγῶμεν, ἀγαπητοί, διὰ τὸν ἀπὸ τῶν ἀρχόντων φόβον, ἀλλὰ καὶ εὐχαριστῶμεν τῷ Θεῷ, ὅτι τὴν ῥαθυμίαν ἡμῶν ἀνέστειλε, καὶ σπουδαιοτέρους εἰργάσατο. Τί γάρ, εἰπέ μοι, γέγονε βλάβος ἀπὸ τῆς φροντίδος ταύτης, καὶ τῆς μερίμνης; Ὅτι σεμνότεροι γεγόναμεν καὶ

1. Α' Τιμ. 1, 9.
2. Ρωμ. 13, 1.

εὐταξίαν τῆς ζωῆς μας· καὶ ὅπως ἐὰν ἀπομακρύνῃς τὸν κυβερνήτην ἐκ τοῦ πλοίου, κατεβύθισες τὸ σκάφος, καὶ ἐὰν ἀπαγάγῃς τὸν στρατηγὸν ἀπὸ τὸ στρατόπεδον, παρέδωκες δεμένους τοὺς στρατιώτας εἰς τοὺς ἐχθρούς, ἔτσι ἐὰν ἀφαιρέσῃς τοὺς ἄρχοντας τῆς πόλεως, θὰ ζήσωμεν βίον χειρότερον ἀπὸ τῶν ἀλόγων θηρίων, δαγκάνοντες ὁ ἕνας τὸν ἄλλον καὶ κατατρώγοντες ὁ πλούσιος τὸν πτωχότερον, ὁ δυνατώτερος τὸν ἀσθενέστερον, ὁ θρασύτερος τὸν ἐπιεικέστερον. Ἀλλὰ τώρα τίποτε ἀπὸ αὐτὰ δὲν συμβαίνει ἐξ αἰτίας τῆς χάριτος τοῦ Θεοῦ· διότι αὐτοὶ ποὺ ζοῦν ἐν εὐσεβείᾳ δὲν χρειάζονται τὴν παιδαγωγίαν τούτων. Διότι «εἰς τὸν δίκαιον δὲν εἶναι ἀναγκαῖος ὁ νόμος»[1], λέγει ἡ Γραφή. Οἱ δὲ πολλοὶ ἐπειδὴ προσβλέπουν πρὸς τὴν κακίαν, ἐὰν δὲν εἶχον τὸν προερχόμενον φόβον ἀπὸ αὐτούς, θὰ ἐγέμιζον τὰς πόλεις μὲ ἀναρίθμητα κακά, τὰ ὁποῖα ἔχων ὑπ' ὄψιν του καὶ ὁ Παῦλος ἔλεγε· «δὲν ὑπάρχει κρατικὴ ἐξουσία ποὺ νὰ μὴ εἶναι ἀπὸ τὸν Θεόν, καὶ οἱ ἄρχοντες ποὺ ἀσκοῦν τὰς ἐξουσίας ὅλοι ἔχουν ταχθῇ ἀπὸ τὸν Θεόν»[2].

Διότι ὅ,τι εἶναι διὰ τὰς οἰκίας οἱ ξύλινοι δεσμοὶ τῶν τοίχων, αὐτὸ εἶναι καὶ οἱ ἄρχοντες διὰ τὰς πόλεις καὶ καθὼς ἂν ἀφαιρέσῃς ἐκείνους διαλύονται ἀμέσως οἱ τοῖχοι καὶ πέφτει ὁ ἕνας ἐπάνω εἰς τὸν ἄλλον, ἔτσι καὶ ἂν ἀφαιρέσῃς τοὺς ἄρχοντας ἀπὸ τὴν οἰκουμένην, καὶ τὸν φόβον ποὺ προέρχεται ἐξ αὐτῶν, καὶ οἰκίαι καὶ πόλεις καὶ ἔθνη μὲ πολλὴν ὁρμὴν θὰ πέσουν τὸ ἕνα ἐπάνω εἰς τὸ ἄλλο, ἀφοῦ δὲν θὰ ὑπάρχῃ κανεὶς ποὺ νὰ συγκρατῇ καὶ νὰ ἐμποδίζῃ πρὸς τοῦτο, καὶ μὲ τὸν φόβον τῆς τιμωρίας νὰ τὰ ἀναγκάζῃ νὰ εἶναι ἥσυχα.

2. Ἂς μὴ λυπούμεθα, ἀγαπητοί, διὰ τὸν φόβον ποὺ προέρχεται ἀπὸ τοὺς ἄρχοντας, ἀλλὰ ἀπεναντίας νὰ εὐχαριστῶμεν τὸν Θεόν, διότι δι' αὐτῶν ἐσταμάτησε τὴν ραθυμίαν μας καὶ μᾶς ἔκαμε σπουδαιοτέρους. Διότι, εἰπέ μου, ποία ζημία προῆλθεν εἰς σᾶς ἀπὸ τὴν φροντίδα αὐτὴν καὶ τὴν μέριμναν; Τὸ ὅτι ἔχομεν γίνει σεμνότεροι καὶ ἐπιεικέστεροι;

ἐπιεικέστεροι; ὅτι σπουδαιότεροι καὶ προσεκτικώτεροι; ὅτι μεθύοντα καὶ ᾄδοντα πορνικὰ ᾄσματα οὐδένα βλέπομεν; Ἀλλ' ὅτι λιταὶ διηνεκεῖς, καὶ δάκρυα, καὶ εὐχαί; ὅτι γέλως ἄκαιρος καὶ αἰσχρὰ ῥήματα, καὶ διάχυσις ἅπασα ἀπελήλαται, καὶ γυναῖκα εὐσχήμονα καὶ ἐλευθέραν ἡ πόλις ἡμῖν ἅπασα μιμεῖται νῦν;

Διὰ ταῦτα ἀλγεῖς, εἰπέ μοι; Διὰ ταῦτα μὲν οὖν χαίρειν δίκαιον καὶ εὐχαριστεῖν τῷ Θεῷ, ὅτι τοσαύτην βλακείαν ὀλίγων ἡμερῶν φόβῳ κατέλυσε. Ναί, φησίν, ἀλλ' εἰ μὲν μέχρι φόβου μόνον ἐκινδυνεύομεν, ἱκανὴν ἂν ἐκαρπωσάμεθα τὴν ὠφέλειαν· νυνὶ δὲ δεδοίκαμεν μὴ περαιτέρω προέλθῃ τὸ δεινόν, καὶ περὶ τῶν ἐσχάτων κινδυνεύσωμεν ἅπαντες. Ἀλλὰ μὴ δείσητε, Παῦλος ὑμᾶς παραμυθεῖται λέγων, ὅτι «Πιστὸς ὁ Θεός, ὃς οὐκ ἐάσει ὑμᾶς πειρασθῆναι ὑπὲρ ὃ δύνασθε, ἀλλὰ ποιήσει σὺν τῷ πειρασμῷ καὶ τὴν ἔκβασιν τοῦ δύνασθαι ὑμᾶς ὑπενεγκεῖν». «Αὐτὸς γὰρ εἶπεν· Οὐ μή σε ἀνῶ, οὐδ' οὐ μή σε ἐγκαταλίπω».

Εἰ γὰρ δι' ἔργων ἐβούλετο κολάσαι, καὶ διὰ τῆς πείρας αὐτῆς, οὐκ ἂν τοσούτων ἡμερῶν παρέδωκεν ἡμᾶς φόβῳ· ὅταν γὰρ μὴ βούληται κολάζειν, φοβεῖ. Ἐπεὶ εἰ μέλλοι κολάζειν, περιττὸς ὁ φόβος, περιττὴ ἡ ἀπειλή· νῦν δὲ μυρίων χαλεπωτέραν θανάτων ὑπέστημεν ζωήν, ἐν τοσαύταις ἡμέραις δεδοικότες καὶ τρέμοντες, καὶ τὰς σκιὰς αὐτὰς ὑποπτεύοντες, καὶ τὴν τοῦ Κάϊν τίνοντες δίκην, καὶ ἐκ μέσου τῶν ὕπνων ἀποπηδῶντες ἀπὸ τῆς διηνεκοῦς ἀγωνίας. Ὥστε εἰ καὶ παρωργίσαμεν τὸν Θεόν ἐξιλεωσάμεθα νῦν τοσαύτην ὑπομείναντες τὴν τιμωρίαν. Καὶ γὰρ εἰ καὶ μὴ τῶν ἁμαρτημάτων ἀξίαν ἐδώκαμεν δίκην, ἀλλ' ἀρκοῦσαν τῇ τοῦ Θεοῦ φιλανθρωπίᾳ.

Οὐκ ἐντεῦθεν δὲ μόνον, ἀλλὰ καὶ ἑτέρωθεν πολλαχόθεν θαρρεῖν χρή. Οὐδὲ γὰρ ὀλίγα ἡμῖν ἐνέχυρα τῶν χρηστῶν ἐλπίδων ἔδωκεν ὁ Θεὸς ἤδη. Καὶ πρῶτον μὲν ἁπάντων οἱ

---

3. Α' Κορ. 10, 13. 4. Ἑβρ. 13, 5.

Τὸ ὅτι δὲν βλέπομεν κανένα νὰ μεθᾷ καὶ νὰ τραγουδᾷ ἄσεμνα τραγούδια; Παρὰ βλέπομεν ἀντὶ τούτων λιτανείας συνεχεῖς καὶ δάκρυα καὶ προσευχάς; Τὸ ὅτι ἀνάρμοστα γέλοια καὶ αἰσχρὰ λόγια καὶ κάθε διασκέδασις ἔχει παύσει καὶ ἡ πόλις μας μιμεῖται τώρα γυναῖκα σεμνὴν καὶ ἐλευθέραν;

Εἰπέ μου, λοιπόν, λυπᾶσαι δι' αὐτά; Δι' αὐτὰ λοιπὸν πρέπει νὰ χαίρεσαι καὶ νὰ εὐχαριστῇς τὸν Θεόν, διότι τόσην μωρίαν ἐξήλειψε διὰ τοῦ φόβου ὀλίγων ἡμερῶν. Ναί, λέγει, ἀλλὰ ἐὰν μόνον ἐκινδυνεύαμεν μέχρι τοῦ φόβου, θὰ εἴχαμεν ἀρκετὴν ὠφέλειαν, τώρα ὅμως φοβούμεθα ὅτι τὸ κακὸν θὰ προχωρήσῃ περισσότερον καὶ θὰ κινδυνεύσωμεν τὸν ἔσχατον κίνδυνον ὅλοι. Ὅμως καὶ πάλιν μὴ φοβηθῆτε, διότι ὁ Παῦλος σᾶς παρηγορεῖ λέγων, ὅτι «εἶναι ἀξιόπιστος ὁ Θεός, ὁ ὁποῖος δὲν θὰ σᾶς ἀφήσῃ νὰ πειρασθῆτε παραπάνω ἀπὸ τὴν δύναμίν σας, ἀλλὰ μαζὶ μὲ τὸν πειρασμὸν θὰ ἀνοίξῃ καὶ διέξοδον, ὥστε νὰ βγῆτε ἀπὸ τὸν πειρασμὸν καὶ θὰ σᾶς δώσῃ τὴν δύναμιν νὰ τὸν ὑπομείνετε»[3]. «Διότι αὐτὸς εἶπεν· δὲν θὰ σὲ ἀφήσω ποτὲ καὶ δὲν θὰ σὲ ἐγκαταλείψω»[4].

Διότι ἐὰν ἤθελε νὰ μᾶς τιμωρήσῃ μὲ ἔργα καὶ νὰ μᾶς κάμῃ νὰ δοκιμάσωμεν τὰ κακά, δὲν θὰ μᾶς παρέδιδεν εἰς τόσων ἡμερῶν φόβον· διότι ὅταν δὲν θέλῃ νὰ τιμωρῇ, τότε φοβερίζει. Ἐπειδὴ ἐὰν ἐπρόκειτο νὰ τιμωρῇ θὰ ἦτο περιττὸς ὁ φόβος, περιττὴ ἡ ἀπειλή· τώρα δὲ ἐζήσαμεν ζωὴν χιλίων θανάτων χειροτέραν, διότι φοβούμεθα καὶ τρέμομεν καὶ ὑποπτευόμεθα ἀκόμη καὶ αὐτὰς τὰς σκιάς, καὶ ὑφιστάμεθα τὴν τιμωρίαν τοῦ Κάιν, καὶ ἐξυπνοῦμεν ἀπὸ τὸν ὕπνον ἐξ αἰτίας τῆς συνεχοῦς ἀγωνίας μας. Ὥστε ἂν καὶ παρωργίσαμεν τὸν Θεόν, τὸν ἐξιλεώσαμεν τώρα ἐπειδὴ ἔχομεν ὑπομείνει τόσην τιμωρίαν. Διότι καὶ ἂν δὲν ἐτιμωρήθημεν ἀνάλογα μὲ τὸ ἁμάρτημα ποὺ διεπράξαμεν, ὅμως ἡ τιμωρία αὐτὴ εἶναι ἀρκετὴ διὰ τὴν φιλανθρωπίαν τοῦ Θεοῦ.

Ὄχι δὲ μόνον ἀπὸ αὐτό, ἀλλὰ καὶ ἀπὸ πολλὰ ἄλλα πρέπει νὰ παίρνωμεν θάρρος. Διότι δὲν μᾶς ἔχει δώσει ὀλίγας ἐγγυήσεις καλῶν ἐλπίδων ὁ Θεός. Καὶ πρῶτον μὲν ἐξ

τὴν πονηρὰν κομίζοντες ἀγγελίαν, ἐξελθόντες ἐντεῦθεν καθάπερ τινὲς ὑπόπτεροι καὶ πάλαι καταλήψεσθαι προσδοκήσαντες τὸ στρατόπεδον, κατὰ μέσην ἔτι διατρίβουσι τὴν ὁδόν· τοσαῦτα αὐτοῖς κωλύματα καὶ ἐμπόδια γέγονε, καὶ τοὺς ἵππους ἀφέντες ὀχήματα ἐλαύνουσι νῦν, ὅθεν ἀνάγκη πᾶσα βραδυτέραν αὐτοῖς γενέσθαι τὴν ἐκεῖσε ἄφιξιν. Ἐπειδὴ γὰρ τὸν ἱερέα τὸν ἡμέτερον καὶ κοινὸν πατέρα ἀνέστησεν ὁ Θεὸς ἐντεῦθεν, καὶ ἔπεισεν ἀπελθεῖν, καὶ τῆς πρεσβείας συνεφάψασθαι ταύτης, κατέσχε λοιπὸν ἐκείνους κατὰ μέσην τὴν ὁδόν, ἵνα μὴ φθάσαντες τὸ πῦρ ἀνάψωσι, καὶ τῷ διδασκάλῳ λοιπὸν ἀνόνητον ποιήσωσι τὴν διόρθωσιν, τὰς βασιλικὰς ἐμπρήσαντες ἀκοάς.

Ὅτι γὰρ οὐκ ἄνευ Θεοῦ τὸ κώλυμα γέγονε δῆλον ἐκεῖθεν· ἄνθρωποι τὸν ἅπαντα χρόνον τοιαύταις συντραφέντες ἀποδημίαις, καὶ τοῦτο ἔργον ἔχοντες ἵππους ἐλαύνειν διηνεκῶς, νῦν ὑπ' αὐτῆς τῆς ἱππασίας συντριβέντες ὑστέρησαν, καὶ γέγονεν ἀπ' ἐναντίας τοῖς τοῦ Ἰωνᾶ πράγμασι τὰ συμβάντα νῦν. Ἐκεῖνον μὲν γὰρ μὴ βουλόμενον ἀπελθεῖν ἤπειγεν· τούτους δὲ βουλομένους ἀπελθεῖν ἐκώλωσεν. Ὢ καινοῦ καὶ παραδόξου πράγματος· ἐκεῖνος οὐκ ἐβούλετο κηρῦξαι καταστροφήν, καὶ ἄκοντα αὐτὸν ἀνέστησεν· οὗτοι μετὰ πολλοῦ τοῦ τάχους σπεύδουσιν ἀπαγγεῖλαι καταστροφήν, καὶ ἄκοντας αὐτοὺς πάλιν ἐκώλυσε. Τί δή ποτε; Ὅτι ἐνταῦθα μὲν τὸ τάχος βλάβος, ἐκεῖ δὲ τὸ τάχος κέρδος ἔφερε· διὰ τοῦτο κἀκεῖνον ἤπειξε διὰ τοῦ κήτους, καὶ διὰ τῶν ἵππων τούτους συνεπόδισεν.

Ὁρᾷς Θεοῦ σοφίαν; Διὰ τῶν πραγμάτων αὐτῶν, ὧν ἕκαστος ἤλπισεν ἀνύειν τὸ προκείμενον, διὰ τούτων συνεποδίσθησαν ἕκαστος. Ἐκεῖνος διὰ τοῦ πλοίου προσεδόκησε

ὅλων εἶναι ὅτι ἐκεῖνοι πού μεταφέρουν εἰς τὸ βασιλέα τὴν κακὴν ἀγγελίαν, ἀφοῦ ἀνεχώρησαν ἀπὸ ἐδῶ, ὡσὰν νὰ εἶχαν φτερὰ εἰς τὰ πόδια των καὶ νομίσαντες ὅτι θὰ ἔφθαναν πρὸ πολλοῦ εἰς τὸ στρατόπεδον, εὑρίσκονται ἀκόμη εἰς τὸ μέσον τοῦ δρόμου· τόσα ἐμπόδια παρουσιάσθησαν εἰς αὐτοὺς καὶ ἀφοῦ ἄφησαν τοὺς ἵππους ὁδηγοῦν τώρα ἁμάξια, διὰ τοῦτο θὰ φθάσουν ἀναγκαστικὰ πολὺ ἀργὰ ἐκεῖ. Διότι ἐπειδὴ τὸν ἰδικόν μας ἱερέα καὶ κοινὸν πατέρα ὁ Θεὸς ἐσήκωσεν ἀπὸ ἐδῶ καὶ τὸν ἔπεισε νὰ ἀναχωρήσῃ καὶ νὰ ἐπιχειρήσῃ αὐτὴν τὴν πρεσβείαν, διὰ τοῦτο ἔφερεν ἐμπόδια εἰς τὸ μέσον τοῦ δρόμου των διὰ νὰ μὴ ἀνάψουν τὴν φωτιάν, ὅταν φθάσουν, καὶ ἔτσι κάμουν ἀνωφελῆ τὴν μεσιτείαν τοῦ διδασκάλου, διότι θὰ εἶχον προκαταβάλει τὸν βασιλέα καὶ θὰ τὸν εἶχαν διαθέσει δυσμενῶς.

Ὅτι τὰ ἐμπόδια αὐτὰ προῆλθον ὄχι ἀπὸ καμμίαν ἄλλην αἰτίαν, παρὰ ἀπὸ τὸν Θεόν, εἶναι φανερὸν ἀπὸ αὐτά· ἄνθρωποι οἱ ὁποῖοι ὅλον τὸν καιρόν των τὸν ἐπέρασαν εἰς τέτοιου εἴδους ταξίδια, καὶ εἶχαν ὡς ἔργον τὸ νὰ ὁδηγοῦν συνεχῶς ἵππους, τώρα ἀπὸ αὐτὴν τὴν ἱππασίαν συνετρίβησαν καὶ ἀργοπόρησαν καὶ ἔγινε τὸ ἀντίθετον ἀπ' ὅ,τι συνέβη εἰς τὸν Ἰωνᾶν. Διότι ἐνῷ ἐκεῖνος δὲν ἤθελε νὰ ἀναχωρήσῃ τὸν ἐβίαζεν ὁ Θεὸς νὰ ἀναχωρήσῃ· αὐτοὶ δὲ πού ἤθελαν νὰ πᾶνε γρήγορα τοὺς ἠμπόδισεν. Ὢ νέου καὶ παραδόξου πράγματος· ἐκεῖνος (ὁ Ἰωνᾶς) δὲν ἤθελε κηρύξῃ καταστροφὴν καὶ παρὰ τὴν θέλησίν του τὸν ἔστειλεν ὁ Θεός· αὐτοὶ μὲ πολλὴν ταχύτητα σπεύδουν νὰ ἀναγγείλουν καταστροφὴν καὶ παρὰ τὴν θέλησίν των πάλιν τοὺς ἠμπόδισε. Διατί λοιπόν; Διότι ἐδῶ μὲν ἡ ταχύτης φέρει βλάβην, ἐκεῖ δὲ ἡ ταχύτης ἔφερε κέρδος· διὰ τοῦτο καὶ ἐκεῖνον τὸν ἔστειλε διὰ τοῦ κήτους, καὶ αὐτοὺς τοὺς ἠμπόδισε διὰ τῶν ἵππων.

Βλέπεις τὴν σοφίαν τοῦ Θεοῦ; Διὰ τῶν πραγμάτων αὐτῶν διὰ τῶν ὁποίων κάθε ἕνας ἤλπιζεν ὅτι θὰ πραγματοποιηθοῦν αἱ ἀποφάσεις των, δι' αὐτῶν τῶν ἰδίων ἠμποδίσθη κάθε ἕνας. Ἐκεῖνος ἐνόμισεν ὅτι διὰ τοῦ πλοίου θὰ πετάξῃ μα-

πτήσεσθαι, καὶ τὸ πλοῖον αὐτῷ δεσμὸς ἐγένετο· διὰ τῶν ἵππων οὗτοι προσεδόκησαν ταχύτερον ὄψεσθαι τὸν βασιλέα, καὶ οἱ ἵπποι γεγόνασιν κώλυμα· μᾶλλον δὲ οὐχ οἱ ἵπποι ὥσπερ οὖν οὐδ' ἐκείνῳ τὸ πλοῖον, ἀλλ' ἡ πρόνοια τοῦ Θεοῦ πανταχοῦ πάντα μετὰ τῆς οἰκείας οἰκονομοῦσα σοφίας.

Καὶ σκόπει κηδεμονίαν, πῶς καὶ ἐφόβησε καὶ παρεκάλεσε. Παρὰ μὲν γὰρ αὐτὴν τὴν ἡμέραν, ὅτε τὰ παράνομα ἐτολμήθη πάντα ἐκεῖνα, ἀφεὶς αὐτοὺς ἐξελθεῖν ὡς ἐπαγγελοῦντας τῷ βασιλεῖ τὰ συμβεβηκότα, ἅπαντα τῷ τάχει τῆς ἐξόδου πάντας ἐφόβησεν· ἐπειδὴ δὲ ἀπῆλθον, καὶ δύο καὶ τρεῖς ἀνήλωσαν ἡμέρας, καὶ λοιπὸν ματαίαν εἶναι ἐνομίζομεν τοῦ ἱερέως τοῦ ἡμετέρου τὴν ἀποδημίαν, ὡς ὑστερίζειν μέλλοντος, τότε τὸν φόβον ἐξέλυσε καὶ παρεμυθήσατο, ἐκείνους τε, ὥσπερ ἔφην, κατὰ μέσην κατασχὼν τὴν ὁδόν, καὶ τοὺς ἐκεῖθεν ἀφικνουμένους πρὸς ἡμᾶς διὰ τῆς αὐτῆς ὁδοῦ τὰ ἐκείνων πάθη πᾶσιν ἡμῖν ἀναγγεῖλαι παρασκευάσας, ἵνα μικρὸν ἀναπνεύσωμεν· ὅπερ οὖν καὶ ἐγένετο, καὶ πολὺ τῆς ἀγωνίας ἀπεθέμεθα μέρος.

Ταῦτα ἀκούσαντες, τὸν ταῦτα ποιήσαντα προσεκυνήσαμεν Θεὸν ὡς πατέρων πάντων φιλοστοργότερον, καὶ νῦν τὰ καθ' ἡμᾶς διέθηκεν ἅπαντα; ἀοράτῳ τινὶ δυνάμει τοὺς πονηροὺς τούτους κατασχὼν ἀγγέλους, μονονουχὶ λέγων, τί σπεύδετε; τί δὲ ἐπείγεσθε πόλιν τοιαύτην καταποντίζειν μέλλοντες; Μὴ γὰρ εὐαγγέλια κομίζετε τῷ βασιλεῖ; Μένετε αὐτοῦ, ἕως οὗ τὸν θεράποντα τὸν ἐμόν, καθάπερ ἰατρὸν ἄριστον παρασκευάσω φθάσαι, καὶ τὸν ὑμέτερον προκαταλαβεῖν δρόμον. Εἶ δὲ ἐν ἀρχῇ τοῦ τῆς παρανομίας ἕλκους τοσαύτη πρόνοια γέγονε, πολλῷ μᾶλλον μετὰ τὴν ἐπιστροφήν, μετὰ τὴν μετάνοιαν, μετὰ τὸν τοσοῦτον φόβον, μετὰ τὰ δάκρυα, καὶ τὰς εὐχὰς πλείονος ἀπολαυσόμεθα τῆς ἀδείας. Ὁ

κρυά, καὶ τὸ πλοῖον ἔγινε εἰς αὐτὸν δεσμός· αὐτοὶ ἐνόμισαν ὅτι διὰ τῶν ἵππων θὰ ἰδοῦν γρηγορώτερον τὸν βασιλέα, καὶ οἱ ἵπποι ἔγιναν ἐμπόδιον· μᾶλλον δὲ ὄχι οἱ ἵπποι, ὅπως καὶ εἰς τὴν περίπτωσιν τοῦ Ἰωνᾶ ὄχι τὸ πλοῖον, ἀλλὰ ἡ πρόνοια τοῦ Θεοῦ, ἡ ὁποία παντοῦ ὅλα τὰ οἰκονομεῖ μὲ τὴν ἰδικήν της σοφίαν.

Καὶ πρόσεξε νὰ ἰδῇς τὴν φροντίδα πῶς καὶ ἐφόβησε καὶ ἐπαρηγόρησε. Διότι κατὰ μὲν τὴν ἡμέραν κατὰ τὴν ὁποίαν διεπράχθησαν ὅλα τὰ παράνομα ἐκεῖνα, μὲ τὸ νὰ τοὺς ἐπιτρέψῃ νὰ φύγουν γρήγορα διὰ νὰ τὰ ἀναγγείλουν εἰς τὸν βασιλέα, μὲ τὴν ταχύτητα ποὺ ἔφυγαν ὅλους τοὺς ἐφόβισεν· ὅταν δὲ ἀπεμακρύνθησαν καὶ εἶχαν κάμει ὁδοιπορίαν δύο καὶ τριῶν ἡμερῶν καὶ ὡς ἐκ τούτου ἐθεωρούσαμεν ἄσκοπον τὸ ταξίδι τοῦ ἱερέως μας, ἐπειδὴ ἐνομίζαμεν ὅτι θὰ ἔφθανε ἀργά, τότε μᾶς ἀπήλλαξεν ἀπὸ τὸν φόβον καὶ μᾶς παρηγόρησε, διότι ὅπως σᾶς εἶπα, καὶ ἐκείνους εἰς τὸ μέσον τοῦ δρόμου τοὺς ἠμπόδισε, καὶ ἔκαμε ἔτσι τὰ πράγματα ὥστε νὰ μάθωμεν τὰ συμβάντα ἀπὸ ἐκείνους ποὺ ἤρχοντο πρὸς ἡμᾶς ἀπὸ ἐκεῖ, διὰ νὰ ἀναπνεύσωμεν ὀλίγον, πρᾶγμα ποὺ ἔγινε καὶ ἔχομεν ἀποβάλει πολὺ μέρος ἀπὸ τὴν ἀγωνίαν μας.

Αὐτὰ ἀφοῦ τὰ ἐμάθαμεν ἐπροσκυνήσαμεν τὸν Θεὸν ὁ ὁποῖος ἔκαμεν αὐτά, διότι εἶναι ὁ φιλοστοργότερος ἀπὸ ὅλους τοὺς πατέρας, καὶ τώρα τὰ ἰδικά μας ἐτακτοποίησεν ὅλα, διότι μὲ κάποιαν ἀόρατον δύναμιν ἠμπόδισε τοὺς κακοὺς ἀγγελιαφόρους λέγων περίπου: Διατί σπεύδετε; Διατί ἐπείγεσθε νὰ καταποντίσετε τόσην μεγάλην πόλιν; Μήπως δηλαδὴ μεταφέρετε εὐχάριστα νέα εἰς τὸν βασιλέα; Μείνετε ἐκεῖ ἕως ὅτου τὸν δοῦλον μου τὸν προετοιμάσω νὰ φθάσῃ ἐκεῖ, ὡς ἄριστον ἰατρόν, καὶ νὰ προλάβῃ νὰ σᾶς περάσῃ εἰς τὸν δρόμον. Ἐὰν δὲ εἰς τὴν ἀρχὴν τῆς τιμωρίας τῆς παρανομίας ἐπέδειξεν ὁ Θεὸς τόσην πρόνοιαν, πολὺ περισσότερον μετὰ τὴν ἐπιστροφήν, μετὰ τὴν μετάνοιαν, μετὰ τὸν τόσον φόβον, μετὰ τὰ δάκρυα καὶ τὰς προσευχὰς θὰ ἀπολαύσωμεν μεγαλυτέραν ἡσυχίαν καὶ ἀφοβίαν. Διότι ὁ μὲν Ἰωνᾶς δικαιολογη-

μὲν γὰρ Ἰωνᾶς εἰκότως συνηλαύνετο, ἵνα εἰς μετάνοιαν ἐμβάλῃ, ὑμεῖς δὲ ἤδη τὴν μετάνοιαν ἐπεδείξασθε, καὶ πολλὴν τὴν ἐπιστροφήν· διὸ καὶ παρακλήσεως δεῖ λοιπόν, οὐκ ἀγγελίας ἀπειλὴν ἐχούσης. Διὰ τοῦτο καὶ τὸν κοινὸν ἐντεῦθεν ἀνέστησε πατέρα, καίτοι πολλῶν ὄντων τῶν κωλυόντων· εἰ δὲ μὴ ἐφείδετο τῆς σωτηρίας τῆς ἡμετέρας, οὐκ ἂν ἐκεῖνον ἔπεισεν, ἀλλὰ καὶ βουλόμενον ἐξελθεῖν ἐκώλυσεν ἄν.

3. Ἔχω τι καὶ τρίτον εἰπεῖν δυνάμενον ὑμᾶς πεῖσαι θαρρεῖν, τὴν παροῦσαν ἑορτήν, ἣν καὶ ἄπιστοι αἰδοῦνται σχεδὸν πάντες, ἣν καὶ αὐτὸς ὁ θεοφιλὴς βασιλεὺς οὕτω ᾐδέσθη καὶ ἐτίμησεν, ὡς ἅπαντας τοὺς πρὸ αὐτοῦ μετ' εὐσεβείας κρατήσαντας ὑπερβαλέσθαι βασιλέας. Ἐν ταύταις γοῦν ταῖς ἡμέραις πέμψας ἐπιστολὴν εἰς τιμὴν τῆς ἑορτῆς, τοὺς τὸ δεσμωτήριον οἰκοῦντας σχεδὸν ἀφῆκεν ἅπαντας· καὶ ταύτην ὁ ἱερεὺς ὁ ἡμέτερος εἰσελθὼν ἀναγνώσεται τὴν ἐπιστολὴν πρὸς τὸν βασιλέα, καὶ τῶν οἰκείων αὐτὸν ἀναμνήσει νόμων, καὶ ἐρεῖ πρὸς αὐτόν, ὅτι σὺ σαυτὸν παρακάλεσον, καὶ τὰ σαυτοῦ μέμνησο· οἴκοθεν ἔχεις τὸ παράδειγμα τῆς φιλανθρωπίας· δίκαιον οὐχ εἵλου ποιῆσαι φόνον, καὶ ἄδικον ὑπομενεῖς ἐργάσασθαι; Τοὺς ἐληλεγμένους καὶ καταδικασθέντας τὴν ἑορτὴν αἰδεσθεὶς ἀφῆκας, καὶ τοὺς ἀνευθύνους καὶ μηδὲν τετολμηκότας κατακρινεῖς, εἰπέ μοι, καὶ ταῦτα τῆς ἑορτῆς παρούσης; Μηδαμῶς, βασιλεῦ. Σὺ διὰ τῆς ἐπιστολῆς ταύτης διαλεγόμενος ταῖς πόλεσι πάσαις ἔλεγες· εἴθε μοι δυνατὸν ἦν καὶ τοὺς νεκροὺς ἀναστῆσαι.

Ταύτης δεόμεθα τῆς φιλανθρωπίας, τούτων δεόμεθα

μένα ἠναγκάζετο βιαστικὰ νὰ προχωρήσῃ εἰς τὸν δρόμον, διὰ νὰ ὁδηγήσῃ εἰς μετάνοιαν, σεῖς ὅμως τώρα ἔχετε ἐπιδείξει πλέον τὴν μετάνοιαν καὶ μεγάλην ἐπιστροφὴν εἰς τὸν Θεόν· διὰ τοῦτο πρέπει νὰ ἔχετε ἀνάγκην παρηγορίας καὶ ὄχι ἀπειλητικῆς ἀγγελίας. Διὰ τοῦτο ἐσήκωσεν ἀπὸ ἐδῶ τὸν κοινὸν πατέρα μας, ἂν καὶ ὑπῆρχαν πολλὰ ἐμπόδια διὰ τὴν πραγματοποίησιν τοῦ ταξιδίου αὐτοῦ· καὶ ἐὰν δὲν ἐφρόντιζε διὰ τὴν σωτηρίαν τὴν ἰδικήν μας, δὲν θὰ ἔπειθεν ἐκεῖνον νὰ ταξιδεύσῃ, ἀλλὰ καὶ ἀκόμα ἂν ἤθελε νὰ ταξιδεύσῃ ἐκεῖνος, θὰ τὸν ἠμπόδιζεν.

3. Ἔχω νὰ σᾶς εἰπῶ καὶ κάποιον τρίτον λόγον ποὺ ἠμπορεῖ νὰ σᾶς πείσῃ νὰ ἔχετε θάρρος, καὶ αὐτὸς εἶναι ἡ παροῦσα ἑορτή, τὴν ὁποίαν καὶ οἱ ἄπιστοι ὅλοι σχεδὸν σέβονται καὶ τὴν ὁποίαν καὶ αὐτὸς ὁ εὐσεβὴς βασιλεὺς τόσον ἐσεβάσθη καὶ ἐτίμησεν, ὥστε νὰ ξεπεράσῃ ὅλους τοὺς προκατόχους βασιλεῖς ποὺ ἐκυβέρνησαν μὲ εὐσέβειαν. Κατ' αὐτὰς λοιπὸν τὰς ἡμέρας, ἔστειλεν ἄλλοτε ἐπιστολὴν πρὸς τιμὴν τῆς ἑορτῆς καὶ ἀπηλευθέρωσεν ὅλους σχεδὸν τοὺς κρατουμένους· καὶ αὐτὴν τὴν ἐπιστολὴν ὁ ἰδικός μας ἱερεὺς ὅταν παρουσιασθῇ ἐνώπιον τοῦ βασιλέως θὰ ἀναγνώσῃ πρὸς τὸν βασιλέα, καὶ θὰ τοῦ ὑπενθυμίσῃ τοὺς ἰδικούς του νόμους καὶ θὰ εἰπῇ πρὸς αὐτόν, σὺ παρακάλεσε τὸν ἑαυτόν σου, βασιλεῦ, καὶ ἐνθυμήσου τὰς ἰδικάς σου πράξεις· ἀπὸ τὸν ἑαυτόν σου ἔχεις τὸ παράδειγμα τῆς φιλανθρωπίας· δὲν ἐπροτίμησες ἄλλοτε νὰ κάμῃς φόνον καὶ θὰ ἀνεχθῇς τώρα νὰ κάμῃς ἄδικον; Αὐτοὺς ποὺ ἦσαν ἔνοχοι καὶ εἶχαν καταδικασθῆ ἄλλοτε ἐκ σεβασμοῦ πρὸς τὴν ἑορτὴν τοὺς ἀπέλυσες, καὶ ἐκείνους ποὺ δὲν ἔκαμαν τίποτε καὶ δὲν ἐτόλμησαν νὰ κάμουν τίποτε, εἰπέ μου, θὰ τοὺς καταδικάσῃς καὶ μάλιστα κατὰ τὴν ἑορτὴν αὐτήν; Κατ' οὐδένα τρόπον νὰ κάμῃς τοῦτο, βασιλεῦ. Σὺ διὰ τῆς ἐπιστολῆς αὐτῆς ἀπευθυνόμενος ἔλεγες πρὸς ὅλας τὰς πόλεις· μακάρι νὰ μοῦ ἦτο δυνατὸν νὰ ἀναστήσω ἀκόμη καὶ τοὺς νεκρούς.

Αὐτὴν τὴν φιλανθρωπίαν καὶ αὐτὰ τὰ λόγια χρειαζό-

τῶν ῥημάτων νῦν. Οὐχ οὕτω τὸ κρατῆσαι πολεμίων λαμπροὺς ποιεῖ τοὺς βασιλεύοντας, ὡς τὸ κρατῆσαι θυμοῦ καὶ ὀργῆς· ἐκεῖ μὲν γὰρ τῶν ὅπλων καὶ τῶν στρατιωτῶν τὸ κατόρθωμα γίνεται, ἐνταῦθα δὲ γυμνὸν σόν ἐστι τὸ τρόπαιον, καὶ οὐδένα ἔχεις τὸν μεριζόμενον μετὰ σοῦ τὴν τῆς φιλοσοφίας δόξαν. Ἐκράτησας πολέμου βαρβαρικοῦ, κράτησον καὶ θυμοῦ βασιλικοῦ· μαθέτωσαν ἄπιστοι πάντες ὅτι ὁ τοῦ Χριστοῦ φόβος πᾶσαν ἐξουσίαν δύναται χαλινοῦν· δόξασόν σου τὸν Δεσπότην, τοῖς συνδούλοις ἀφεὶς τὰ ἁμαρτήματα, ἵνα καὶ αὐτός σε δοξάσῃ μειζόνως, ἵνα ἥμερόν σοι κατὰ τὴν τῆς κρίσεως ἡμέραν δείξῃ τὸ ὄμμα καὶ γαληνόν, ταύτης μεμνημένος σου τῆς φιλανθρωπίας.

Ταῦτα καὶ πλείονα τούτων ἐρεῖ, καὶ πάντως ἡμᾶς ἐξαιρήσεται τῆς ὀργῆς. Οὐκ εἰς τὸ πεῖσαι δὲ μόνον τὸν βασιλέα μεγίστη παρὰ τῆς νηστείας ταύτης ἡμῖν ἡ συμμαχία, ἀλλὰ καὶ εἰς τὸ γενναίως ἐνεγκεῖν τὰ συμβαίνοντα· καὶ γὰρ παράκλησιν οὐ τὴν τυχοῦσαν ἀπὸ τοῦ καιροῦ τούτου καρπούμεθα. Αὐτὸ γὰρ τὸ καθ' ἑκάστην ἡμέραν συλλέγεσθαι, καὶ τῆς τῶν θείων Γραφῶν ἀκροάσεως ἀπολαύειν, καὶ ἀλλήλους ὁδύρεσθαι, καὶ εὐχομένους καὶ εὐλογίας δεχομένους, οὕτως οἴκαδε ἀπιέναι, τὸ πλέον ἡμῖν ὑποτέμνεται τῆς ὀδύνης. Μὴ τοίνυν καταπέσωμεν, μηδὲ προδῶμεν ἑαυτοὺς ὑπὸ τῆς ἀγωνίας, ἀλλὰ μένωμεν τὰ χρηστὰ προσδοκῶντες, καὶ προσέχωμεν τοῖς ῥηθήσεσθαι μέλλουσι. Καὶ γὰρ βούλομαι σήμερον περὶ ὑπεροψίας θανάτου διαλεχθῆναι πάλιν.

Εἶπον χθὲς ὑμῖν ὅτι τὸν θάνατον δεδοίκαμεν, οὐκ ἐπειδὴ φοβερός ἐστιν ἐκεῖνος, ἀλλ' ἐπειδὴ οὔθ' ὁ τῆς βασιλείας ἡμᾶς ἔρως ἀνῆψεν, οὔτε ὁ τῆς γεέννης φόβος κατέσχεν, καὶ

μεθα τώρα. Δὲν κάμει τοὺς βασιλεῖς τόσον λαμπροὺς καὶ ἐνδόξους ἡ νίκη κατὰ τῶν ἐχθρῶν, ὅσον τὸ νὰ ὑπερνικήσουν τὸν θυμὸν καὶ τὴν ὀργήν των· διότι ἐκεῖ τὸ κατόρθωμα προέρχεται ἀπὸ τὰ ὅπλα καὶ τοὺς στρατιώτας, ἐδῶ ὅμως τὸ τρόπαιον εἶναι τελείως ἰδικόν σου καὶ δὲν ἔχεις κανένα ποὺ νὰ μοιρασθῇ μαζί σου τὴν δόξαν τῆς νίκης αὐτῆς. Ἐνίκησες εἰς τὸν πόλεμον ἐναντίον τῶν ἐχθρῶν, νίκησε καὶ τὸν θυμὸν τὸν βασιλικόν· ἂς μάθουν ὅλοι οἱ ἄπιστοι ὅτι ὁ φόβος τοῦ Χριστοῦ ἠμπορεῖ νὰ χαλιναγωγήσῃ κάθε ἐξουσίαν· δόξασε τὸν Δεσπότην σου συγχωρῶν τὰ πρὸς σὲ σφάλματα τῶν συνδούλων σου, διὰ νὰ σὲ δοξάσῃ αὐτὸς περισσότερον καὶ κατὰ τὴν ἡμέραν τῆς κρίσεως ἐνθυμούμενος τὴν φιλανθρωπίαν σου αὐτήν, σοῦ δείξῃ τὸ ὄμμα ἥμερον καὶ γαλήνιον καὶ σοῦ φανῇ ἐπιεικής.

Αὐτὰ καὶ περισσότερα ἀπὸ αὐτὰ θὰ εἰπῇ καὶ ἐξάπαντος θὰ μᾶς ἀπαλλάξῃ ἀπὸ τὴν ὀργήν. Ὄχι δὲ μόνον εἰς τὸ νὰ πείσωμεν τὸν βασιλέα, ἀλλὰ καὶ εἰς τὸ νὰ ὑποφέρωμεν μὲ γενναιότητα, ὅσα συμβαίνουν, θὰ μᾶς βοηθήσῃ πάρα πολὺ ἡ νηστεία αὐτή· διότι ἐκτὸς τούτου καὶ παρηγορίαν ὄχι μικρὰν ἀπὸ τὰς περιστάσεις αὐτὰς λαμβάνομεν. Διότι αὐτὸ τὸ γεγονός, ἡ συγκέντρωσις δηλαδὴ ἡ καθημερινὴ καὶ ἡ ἀπόλαυσις ποὺ προέρχεται ἀπὸ τὴν ἀκρόασιν τῶν θείων Γραφῶν καὶ τὸ νὰ βλέπῃ ὁ ἕνας τὸν ἄλλον, καὶ νὰ κλαίωμεν καὶ νὰ προσευχώμεθα καὶ νὰ δεχώμεθα εὐλογίας καὶ ἔτσι νὰ πηγαίνωμεν ἐνισχυμένοι εἰς τὰ σπίτια μας συντελεῖ εἰς τὸ νὰ μᾶς φύγῃ τὸ περισσότερον μέρος τῆς λύπης. Ἂς μὴ χάσωμεν λοιπὸν τὴν ψυχραιμίαν μας καὶ ἂς μὴ προδώσωμεν τοὺς ἑαυτούς μας διὰ τῆς ἀγωνίας, ἀλλὰ νὰ ἀναμένωμεν καλὰ πράγματα καὶ νὰ προσέχωμεν εἰς αὐτὰ ποὺ θὰ λεχθοῦν. Διότι θέλω καὶ σήμερα νὰ σᾶς ὁμιλήσω διὰ τὴν περιφρόνησιν τοῦ θανάτου.

Σᾶς ὡμίλησα χθὲς καὶ σᾶς εἶπα ὅτι φοβούμεθα τὸν θάνατον, ὄχι ἐπειδὴ ἐκεῖνος εἶναι φοβερός, ἀλλὰ ἐπειδὴ οὔτε ἡ ἀγάπη πρὸς τὴν βασιλείαν τῶν οὐρανῶν μᾶς ἐθέρμανεν,

πρὸς τούτοις, ὅτι τὸ συνειδὸς οὐκ ἔχομεν ἀγαθόν. Βούλεσθε καὶ τετάρτην εἴπω αἰτίαν τῆς ἀκαίρου ταύτης ἀγωνίας οὐκ ἐλάττονα, τῶν προτέρων ἀληθεστέραν; Οὐ ζῶμεν μετὰ τῆς προσηκούσης τοῖς Χριστιανοῖς σκληραγωγίας· ἀλλὰ τὸν ὑγρὸν τοῦτον καὶ διαλελυμένον καὶ χαῦνον ἐζηλώσαμεν βίον· διὸ καὶ εἰκότως τοῖς παροῦσιν ἐμφιλοχωροῦμεν πράγμασιν.

Ὡς εἴγε ἐν νηστείαις, καὶ παννυχίσι, καὶ εὐτελείᾳ διαίτης τὴν ζωὴν διηνύομεν ταύτην, τὰς ἐπιθυμίας ἡμῶν ἐκκόπτοντες τὰς ἀτόπους, τὰς ἡδονὰς κωλύοντες, τοὺς ἱδρῶτας τῆς ἀρετῆς ὑπομένοντες, κατὰ τὸν Παύλου λόγον, ὑποπιέζοντες τὸ σῶμα καὶ δουλαγωγοῦντες, τῆς σαρκὸς πρόνοιαν μὴ ποιούμενοι εἰς ἐπιθυμίας, τὴν στενὴν καὶ τεθλιμμένην ὁδὸν ὁδεύοντες, ταχέως ἂν τῶν μελλόντων ἐπεθυμήσαμεν, τῶν παρόντων πόνων ἀπαλλαγῆναι σπεύδοντες. Καὶ ὅτι οὐ ψευδὴς ὁ λόγος ὁ ἡμέτερος, ἀνάβηθι πρὸς τὰς κορυφὰς τῶν ὀρέων, καὶ κατάμαθε τοὺς ἐκεῖ μοναχούς, τοὺς ἐν σάκκῳ, τοὺς ἐν δεσμοῖς, τοὺς ἐν νηστείαις, τοὺς ἐν σκότῳ κατακεκλεισμένους, καὶ ὄψει πάντας αὐτοὺς τῆς τελευτῆς ἐπιθυμοῦντας, καὶ ἀνάπαυσιν τὸ πρᾶγμα καλοῦντας.

Καθάπερ γὰρ ὁ πικτεύων ἐπείγεται τοῦ σταδίου ἐξελθεῖν, ἵνα ἀπαλλαγῇ τῶν τραυμάτων· καὶ ὁ ἀθλητὴς ἀναστῆναι τὸ θέατρον ἐπιθυμεῖ, ἵνα ἐλευθερωθῇ τῶν πόνων· οὕτω καὶ ὁ ἐν σκληρῷ καὶ τραχυτάτῳ βίῳ ζῶν μετ' ἀρετῆς, ἐπιθυμεῖ τῆς τελευτῆς, ἵνα καὶ τῶν πόνων ἀπαλλαγῇ τῶν παρόντων, καὶ ὑπὲρ τῶν ἀποκειμένων ἔχῃ στεφάνων θαρρεῖν πρὸς τὸ εὔδιον καταπλεύσας λιμένα, καὶ ἐκεῖ μεταστάς, ἔνθα λοιπὸν οὐκ ἔστιν ὑποπτεῦσαι ναυάγιον. Διὰ τοῦτο καὶ ὁ Θεὸς ἐπί-

οὔτε ὁ φόβος τῆς γεέννης μᾶς κατέλαβεν ἀκόμη καὶ ἀκόμη διότι δὲν ἔχομεν τὴν συνείδησιν ἀγαθήν. Θέλετε νὰ σᾶς ἀναφέρω καὶ τετάρτην αἰτίαν, ὄχι μικροτέραν, διὰ τὴν παράκαιρον αὐτὴν ἀγωνίαν ποὺ ἔχομεν καὶ ἡ ὁποία ἐπαληθεύει περισσότερον ἀπὸ τὰς ἄλλας; Δὲν ζοῦμε βίον σκληραγωγίας ὅπως ἁρμόζει εἰς τοὺς χριστιανούς· ἀλλὰ τὸν μαλθακὸν καὶ παραλελυμένον καὶ νωθρὸν τοῦτον βίον ἐζηλεύσαμεν· δι' αὐτὸ εἶναι φυσικὸν νὰ μᾶς ἀρέσῃ νὰ μένωμεν εἰς τὰ πράγματα τοῦ παρόντος κόσμου.

Διότι ἐὰν μὲ νηστείας καὶ μὲ ἀγρυπνίας καὶ μὲ εὐτελῆ δίαιταν, ἐπερνούσαμεν τὴν ζωὴν αὐτὴν καὶ ἐκκόπταμεν τὰς ἀποτόμους ἐπιθυμίας μας καὶ ἐπροβάλαμεν ἐμπόδια εἰς τὰς ἡδονάς, καὶ ὑπεμέναμεν τοὺς ἱδρῶτας τῆς ἀρετῆς, σύμφωνα μὲ τοὺς λόγους τοῦ Παύλου, ποὺ λέγει, ταλαιπωροῦντες καὶ ὑποτάσσοντες τὸ σῶμα μὴ φροντίζοντες νὰ ἱκανοποιοῦμεν τὰς ἐπιθυμίας τῆς σαρκός, βαδίζοντες τὴν στενὴν καὶ τεθλιμμένην ὁδόν, γρήγορα θὰ ἐπιθυμούσαμεν τὰ μέλλοντα ἀγαθὰ καὶ θὰ ἐσπεύδαμεν νὰ ἀπαλλαγῶμεν ἀπὸ τοὺς κόπους τοῦ παρόντος βίου. Καὶ διὰ νὰ πληροφορηθῇς ὅτι ὁ λόγος μας δὲν εἶναι ψευδής, ἀνέβα εἰς τὰς κορυφὰς τῶν ὀρέων καὶ ἐπισκέψου τοὺς μοναχοὺς ποὺ ζοῦν ἐκεῖ καὶ φοροῦν σάκκον ὡς ἐνδύματα, ποὺ νηστεύουν, ποὺ ζοῦν ὡς εἰς φυλακάς, ποὺ εἶναι ἐγκλεισμένοι εἰς σκοτεινὰ δωμάτια καὶ θὰ ἰδῇς ὅλους αὐτοὺς νὰ ἐπιθυμοῦν τὸν θάνατον καὶ νὰ ὀνομάζουν αὐτὸν ἀνάπαυσιν.

Διότι ὅπως ὁ πυγμάχος βιάζεται νὰ ἐξέλθῃ ἀπὸ ἀγωνιστικὸν χῶρον, διὰ νὰ ἀπαλλαγῇ ἀπὸ τὰ κτυπήματα καὶ ὁ ἀθλητὴς ἐπιθυμεῖ νὰ φύγουν οἱ θεαταί, διὰ νὰ τελειώσουν οἱ κόποι του, ἔτσι καὶ ἐκεῖνος ποὺ ζεῖ ἐν μέσῳ σκληροῦ καὶ τραχυτάτου βίου, ἐπιθυμεῖ τὸν θάνατον διὰ νὰ ἀπαλλαγῇ καὶ ἀπὸ τοὺς κόπους τοῦ βίου τούτου καὶ διότι εἶναι βέβαιος ὅτι θὰ ἀπολαύσῃ τοὺς ἑτοιμασμένους δι' αὐτὸν στεφάνους ὅταν μεταβῇ εἰς τὴν ἄλλην ζωὴν καὶ ὅταν καταπλεύσῃ εἰς τὸν εὔδιον λιμένα, εἰς τὸν ὁποῖον δὲν εἶναι δυνατὸν νὰ

πονον φύσει καὶ μοχθηρὸν τὸν βίον ἡμῶν κατεσκεύασεν, ἵνα ὑπὸ τῆς ἐνταῦθα συνωθούμενοι θλίψεως, ἐπιθυμίαν τῶν μελλόντων λάβωμεν. Εἰ γὰρ νῦν τοσούτων ὄντων τῶν λυπηρῶν, καὶ κινδύνων, καὶ φόβων, καὶ φροντίδων πάντοθεν ἡμᾶς περιστοιχιζομένων, οὕτως ἐμφιλοχωροῦμεν τῇ παρούσῃ ζωῇ, εἰ μηδὲν τούτων ἦν, ἀλλ' ἄλυπός τις καὶ ἀταλαίπωρος ὁ βίος ἡμῖν ἅπας ἐγίνετο, πότε ἂν ἐπεθυμήσαμεν τῶν μελλόντων;

4. Οὕτω καὶ Ἰουδαίοις ἐποίησεν ὁ Θεός· καὶ γὰρ ἐκείνους βουλόμενος εἰς ἐπιθυμίαν ἐμβαλεῖν τῆς ἐπανόδου καὶ πεῖσαι μισῆσαι τὴν Αἴγυπτον, συνεχώρησε τῷ πηλῷ καὶ τῇ πλινθείᾳ ταλαιπωρεῖσθαι, ἵνα τῷ μεγέθει τῶν πόνων καὶ τῆς ταλαιπωρίας ἐκείνης ἀγχόμενοι βοήσωσι πρὸς τὸν Θεὸν περὶ τῆς ἐπανόδου. Εἰ γὰρ δὴ τούτων γινομένων ἐξελθόντες πάλιν ἐμέμνηντο τῆς Αἰγύπτου, καὶ τῆς χαλεπῆς δουλείας καὶ πρὸς τὴν προτέραν τυραννίδα ὑποστρέφειν ἠπείγοντο, εἰ μὴ τοιούτων ἐπειράθησαν τῶν βαρβάρων, πότε ἂν ἀφεῖναι τὴν ἀλλοτρίαν ἠθέλησαν; Ἵνα οὖν καὶ ἡμεῖς μὴ τῇ γῇ προσηλώμενοι καὶ πρὸς τὰ παρόντα κεχηνότες ἀλγῶμεν, καὶ ἐπιλανθανώμεθα τῶν μελλόντων, μοχθηρὸν ἡμῖν τὸν βίον ἐποίησεν ὁ Θεός.

Μὴ τοίνυν περιεχώμεθα πέρα τοῦ δέοντος τῆς παρούσης ζωῆς. Τί γὰρ ὄφελος ἡμῖν; ποῖον δὲ κέρδος ἐκ τοῦ προσηλῶσθαι μεθ' ὑπερβολῆς τῇ τοῦ παρόντος βίου ἐπιθυμίᾳ. Βούλει μαθεῖν διὰ τί καλὸν ἡ παροῦσα ζωή; Ὅτι τῆς μελλούσης ζωῆς ἡμῖν ὑπόθεσις γίνεται καὶ ἀφορμή, καὶ σκάμμα καὶ στάδιον τῶν ἐκεῖ στεφάνων ἐστίν· ὡς εἰ μὴ τοῦτο παράσχοι ἡμῖν μυρίων θανάτων ἐστὶν ἐλεεινοτέρα. Εἰ γὰρ μὴ μέλλοι-

ὑποπτευθῇ ὅτι θὰ ὑποστῇ ναυάγιον. Διὰ τοῦτο καὶ ὁ Θεὸς ἔκαμε τὸν βίον μας ἐκ φύσεως ἐπίπονον καὶ κοπιαστικὸν διὰ νὰ ἐπιθυμήσωμεν νὰ ἀπολαύσωμεν τὰ μέλλοντα ἀγαθά, ἐξ αἰτίας τῆς ἐδῶ θλίψεως. Διότι ἐὰν τώρα ποὺ ἔχομεν τόσα λυπηρὰ καὶ μᾶς περιστοιχίζουν ἀπὸ παντοῦ καὶ κίνδυνοι, καὶ φόβοι, καὶ φροντίδες, εἴμεθα τόσον πολὺ προσκολλημένοι εἰς τὴν παροῦσαν ζωήν, ἐὰν δὲν ὑπῆρχε τίποτε ἀπὸ αὐτά, ἀλλὰ ἦτο ὁ βίος μας χωρὶς λύπας καὶ ταλαιπωρίας, πότε θὰ ἐπιθυμούσαμεν τὰ μέλλοντα ἀγαθά;

4. Ἔτσι ἔκαμεν ὁ Θεὸς καὶ εἰς τοὺς Ἰουδαίους· διότι ἐπειδὴ ἤθελε νὰ βάλῃ ἐντός τους τὴν ἐπιθυμίαν τῆς ἐπιστροφῆς εἰς τὴν γῆν Χαναὰν καὶ νὰ τοὺς πείσῃ νὰ μισήσουν τὴν Αἴγυπτον, ἐπέτρεψεν εἰς αὐτοὺς νὰ ταλαιπωροῦνται μὲ τὴν λάσπην καὶ τὴν κατασκευὴν πλίνθων, ὥστε, βασανιζόμενοι ἀπὸ τοὺς κόπους καὶ τὰς ταλαιπωρίας ἐκείνας νὰ παρακαλέσουν τὸν Θεὸν διὰ τὴν ἐπάνοδόν των. Διότι ἐὰν παρ' ὅλον ὅτι προηγήθησαν αὐτά, μόλις ἔφυγαν, πάλιν ἐνεθυμοῦντο τὴν Αἴγυπτον καὶ τὴν δύσκολον περίοδον τῆς δουλείας καὶ ἐβιάζοντο νὰ ἐπιστρέψουν πάλιν πρὸς τὴν προηγουμένην τυραννίαν, ἐὰν δὲν εἶχον τόσον πολὺ βασανισθῇ ὑπὸ τῶν βαρβάρων, πότε θὰ ἤθελον νὰ ἐγκαταλείψουν τὴν ξένην χώραν; Διὰ νὰ μὴ προσκολλώμεθα καὶ ἡμεῖς εἰς τὰ γήινα καὶ χάσκωμεν εἰς τὰ παρόντα πράγματα καὶ ὑποφέρωμεν καὶ διὰ νὰ μὴ λησμονοῦμεν τὰ μέλλοντα, ἔκαμεν ὁ Θεὸς τὸν βίον μας δύσκολον.

Λοιπὸν ἂς μὴ προσκολλώμεθα περισσότερον ἀπὸ ὅσον ἐπιτρέπεται εἰς τὴν παροῦσαν ζωήν. Διότι ποῖον ὄφελος θὰ ἔχωμεν; Ποῖον κέρδος ἀπὸ τὴν ὑπερβολικὴν προσήλωσιν εἰς τὴν ἐπιθυμίαν τοῦ παρόντος βίου; Θέλεις νὰ μάθῃς διατί ὑπάρχει ἡ παροῦσα ζωή; Διότι γίνεται εἰς ἡμᾶς βάσις καὶ ἀφορμὴ τῆς μελλούσης ζωῆς, καὶ παλαίστρα καὶ στάδιον τῶν ἐκεῖ στεφάνων· διότι ἂν δὲν μᾶς δώσῃ τὴν ἄλλην ζωήν, εἶναι χειρότερη ἀπὸ ἀναριθμήτους θανάτους. Διότι ἐὰν δὲν πρόκειται νὰ ἀρέσωμεν εἰς τὸν Θεόν, εἶναι προτιμότερον νὰ

μεν ζῶντες ἀρέσκειν Θεῷ, βέλτιον ἀποθανεῖν. Τί γὰρ τὸ πλέον; τί τὸ περιττόν; Οὐχὶ τὸν αὐτὸν ἥλιον καὶ τὴν αὐτὴν σελήνην καθ' ἑκάστην ἡμέραν ὁρῶμεν; οὐχὶ τὸν αὐτὸν χειμῶνα; οὐχὶ τὸ αὐτὸ θέρος; οὐχὶ τὰ αὐτὰ τὰ πράγματα; «Τί τὸ γεγονός; Αὐτὸ τὸ γενησόμενον. Τί τὸ πεποιημένον; Αὐτὸ τὸ ποιηθησόμενον.

Μὴ τοίνυν μήτε τοὺς ζῶντας ἁπλῶς μακαρίζωμεν, μήτε τοὺς ἀποθνήσκοντας θρηνῶμεν, ἀλλὰ τοὺς μὲν ἐν ἁμαρτίαις ὄντας, κἂν ζῶσι, κἂν τετελευτηκότες ὦσιν, ὀδυρώμεθα· τοὺς δὲ ἐν δικαιοσύνῃ μακαρίζωμεν πάλιν, ὅπου περ ἂν τύχωσιν ὄντες. Σὺ μὲν οὖν ἕνα δέδοικας θάνατον, καὶ θρηνεῖς, ὁ Παῦλος δὲ καθ' ἑκάστην ἡμέραν ἀποθνήσκων οὐ μόνον οὐκ ἐδάκρυε διὰ τοῦτο, ἀλλὰ καὶ ἔχαιρε καὶ ἠγάλλετο. Εἴθε κἀγὼ διὰ τὸν Θεὸν ἐκινδύνευον, φησί, καὶ οὐκ ἂν ἐφρόντισα. Ἀλλὰ μηδὲ νῦν καταπέσῃς· οὐδὲ γὰρ μόνον ὁ διὰ τὸν Θεόν τι πάσχων εὐδοκιμεῖ, ἀλλὰ καὶ ὁ ἀδίκως τι πάσχων, καὶ φέρων γενναίως, καὶ εὐχαριστῶν τῷ συγχωροῦντι Θεῷ, οὐκ ἐλάττων τοῦ διὰ τὸν Θεὸν ταῦτα πάσχοντός ἐστιν. Ἐπεὶ καὶ ὁ μακάριος Ἰὼβ τὰς πολλὰς καὶ ἀφορήτους ἐκείνας πληγὰς ἐδέξατο, τοῦ διαβόλου μάτην καὶ εἰκῇ καὶ ἁπλῶς ἐπιβουλεύοντος, ἀλλ' ὅμως ἐπειδὴ γενναίως ἤνεγκε, καὶ ηὐχαρίστησε τῷ ταῦτα συγχωροῦντι Θεῷ, ὁλόκληρον τὸν στέφανον ἀνεδήσατο.

Μὴ τοίνυν λυποῦ διὰ τὸν θάνατον· φύσεως γάρ ἐστι· λυποῦ δ' ἁμαρτίαν· προαιρέσεως γὰρ τὸ ἔγκλημα. Εἰ δὲ λυπῇ διὰ τοὺς ἀποθανόντας, ἄλγει καὶ διὰ τοὺς γεννωμένους· ὥσπερ γὰρ τοῦτο φύσεως, οὕτω κἀκεῖνο φύσεως. Ἂν τοίνυν ἀπειλήσῃ τις θάνατον, εἰπὲ πρὸς αὐτόν, ἐπαιδεύθην παρὰ τοῦ Χριστοῦ μὴ φοβεῖσθαι ἀπὸ τῶν ἀποκτεινόντων τὸ σῶμα, τὴν δὲ ψυχὴν μὴ δυναμένων ἀποκτεῖναι. Ἂν ἀπειλῇ δήμευσιν οὐσίας, εἰπὲ πρὸς αὐτόν, «Γυμνὸς ἐξῆλθον ἐκ κοι-

---

5. Ἐκκλ. 1, 9.
6. Ματθ. 10, 28.

ἀποθάνωμεν. Διότι τί ἐπὶ πλέον ἔχομεν; Τί παραπάνω ἀπολαμβάνομεν; Δὲν βλέπομεν τὸν ἴδιον ἥλιον καὶ τὴν ἰδίαν σελήνην κάθε ἡμέραν; Δὲν βλέπομεν τὸν ἴδιον χειμῶνα; Τὸ ἴδιον καλοκαίρι; τὰ ἴδια πράγματα; «Τί συνέβη; αὐτὸ ποὺ θὰ συμβῇ πάλιν. Τί ἔγινεν; Αὐτὸ ποὺ θὰ γίνῃ»[5].

Ἂς μὴ μακαρίζωμεν λοιπὸν οὔτε αὐτοὺς ποὺ ἁπλῶς ζοῦν, οὔτε νὰ θρηνοῦμεν αὐτοὺς ποὺ ἀποθνήσκουν, ἀλλὰ ἐκείνους ποὺ εἶναι ἁμαρτωλοί, εἴτε ζοῦν, εἴτε ἔχουν ἀποθάνει, νὰ τοὺς κλαίωμεν· ἐκείνους δὲ ποὺ ζοῦν ἐν δικαιοσύνῃ νὰ τοὺς μακαρίζωμεν, ὁπουδήποτε καὶ ἂν εὑρίσκωνται. Σὺ μὲν λοιπὸν φοβᾶσαι ἕνα θάνατον, καὶ θρηνεῖς, ὁ Παῦλος ὅμως καθημερινῶς ἀποθνήσκων, ὄχι μόνον δὲν ἔκλαιε διὰ τοῦτο, ἀλλὰ ἀπεναντίας καὶ ἔχαιρε καὶ εὐφραίνετο. Μακάρι καὶ ἐγὼ νὰ ἐκινδύνευα διὰ τὸν Θεόν, λέγει, καὶ δὲν θὰ ἐλυπούμην. Ἀλλὰ καὶ τώρα ποὺ δὲν κινδυνεύεις διὰ τὸν Θεὸν δὲν πρέπει νὰ λυπηθῇς· διότι δὲν ὠφελεῖται μόνον αὐτὸς ποὺ παθαίνει κάτι διὰ τὸν Θεόν, ἀλλὰ καὶ ἐκεῖνος ποὺ παθαίνει κάτι ἄδικα καὶ τὸ ὑποφέρει μὲ γενναιότητα καὶ εὐχαριστεῖ τὸν Θεὸν ποὺ τοῦ τὸ ἐπέτρεψε, δὲν εἶναι κατώτερος ἀπὸ ἐκεῖνον ποὺ πάσχει αὐτὰ διὰ τὸν Θεόν. Ἐπειδὴ καὶ ὁ μακάριος Ἰὼβ ἐδέχθη τὰς πολλὰς καὶ ἀνυποφόρους ἐκείνας πληγὰς ἀδίκως, ἐπειδὴ τὸν ἐπεβουλεύθη ὁ διάβολος, ὅμως ἐπειδὴ τὰς ὑπέφερε μὲ γενναιότητα καὶ ηὐχαρίστησε τὸν Θεὸν ποὺ τὰς ἐπέτρεψεν, ἔλαβεν ὁλόκληρον τὸν στέφανον.

Μὴ λυπᾶσαι λοιπὸν διὰ τὸν θάνατον· διότι εἶναι φυσικὸν πρᾶγμα· νὰ λυπᾶσαι διὰ τὴν ἁμαρτίαν, διότι εἶναι ἔγκλημα τῆς βουλήσεώς μας. Ἐὰν δὲ λυπᾶσαι δι' ὅσους ἀποθνήσκουν, λυπήσου καὶ δι' αὐτοὺς ποὺ γεννῶνται· διότι ὅπως αὐτὸ εἶναι φυσικόν, ἔτσι καὶ ἐκεῖνο εἶναι φυσικόν. Ἂν λοιπὸν σὲ ἀπειλήσῃ κανεὶς μὲ θάνατον, εἰπὲ πρὸς αὐτόν, ἐδιδάχθην ἀπὸ τὸν Χριστὸν νὰ μὴ φοβοῦμαι ἀπὸ ἐκείνους ποὺ φονεύουν τὸ σῶμα τὴν δὲ ψυχὴν δὲν ἠμποροῦν νὰ φονεύσουν[6]. Ἂν σὲ ἀπειλῇ μὲ δήμευσιν τῆς περιουσίας, εἰπὲ πρὸς αὐτόν, «γυμνὸς ἐξῆλθα ἀπὸ τὴν κοιλίαν τῆς μητρός μου καὶ γυμνὸς

λίας μητρός μου, καὶ γυμνὸς ἀπελεύσομαι. Οὐδὲν εἰσηνέγκαμεν εἰς τὸν κόσμον τοῦτον, δῆλον ὅτι οὐδὲ ἐξενεγκεῖν τι δυνησόμεθα· κἂν μὴ σὺ λάβῃς, θάνατος ἐπελθὼν λήψεται, κἂν μὴ σὺ σφάξῃς, ὁ τῆς φύσεως ἐπελθὼν νόμος οἴσει τὴν τελευτήν.

Μηδὲν τοίνυν φοβώμεθα τῶν ἀπὸ τῆς φύσεως ἡμῖν ἐπαγομένων, ἀλλ' ἐκεῖνα τὰ ἐκ πονηρᾶς ἡμῖν ἐγγινόμενα προαιρέσεως· ἐκεῖνα γὰρ ἡμῖν τίκτει τὴν κόλασιν. Τοῦτο δὲ λογιζώμεθα διηνεκῶς ἐπὶ τῶν συμβαινόντων ἡμῖν ἀδοκήτως, ὅτι οὐ διωρθώσαμεν αὐτὰ ἀλγοῦντες, καὶ παυσόμεθα ἀλγοῦντες· κἀκεῖνο μετὰ τούτου πάλιν, ὅτι ἐὰν πάθωμέν τι δεινὸν κατὰ τὸν παρόντα βίον ἀδίκως, διαλύομεν πολλὰ τῶν ἁμαρτημάτων. Διὸ μέγα ἀγαθὸν ἐνταῦθα ἀποβαλεῖν ἁμαρτήματα καὶ μὴ ἐκεῖ· καὶ γὰρ ὁ πλούσιος οὐδὲν ἐνταῦθα δεινὸν ἀπέβαλε, καὶ διὰ τοῦτο ἐκεῖ ἀπετηγανίζετο.

Καὶ ὅτι τοῦτο ἦν αἴτιον τοῦ μηδεμιᾶς αὐτὸν ἀπολαῦσαι παραμυθίας, ἄκουσον τί φησιν ὁ Ἀβραάμ· «Τέκνον, ἀπέλαβες τὰ ἀγαθά σου, διὰ τοῦτο ὀδυνᾶσαι»· ὅτι δὲ καὶ τῷ Λαζάρῳ τὰ ἀγαθὰ μετὰ τῆς ἀρετῆς καὶ τὰ μυρία ἐνταῦθα παθεῖν δεινὰ προεξένησε, τοῦ πατριάρχου καὶ ταῦτα λέγοντος ἄκουσον. Εἰπὼν γὰρ τῷ πλουσίῳ, «Ἀπέλαβες τὰ ἀγαθά σου», ἐπήγαγεν, ὅτι «Καὶ ὁ Λάζαρος τὰ κακά· καὶ διὰ τοῦτο παρακαλεῖται». Ὥσπερ γὰρ οἱ ἐν ἀρετῇ ζῶντες καὶ θλιβόμενοι διπλοῦν τὸ κέρδος παρὰ τοῦ Θεοῦ λαμβάνουσιν· οὕτως ὁ ἐν κακίᾳ ζῶν καὶ τρυφῶν διπλῆν ἕξει τὴν κόλασιν.

Πάλιν λέγω οὐχὶ τῶν φευγόντων κατηγορῶν, («Ψυχὴν γὰρ τεταπεινωμένην μὴ προσταράξῃς, φησίν») οὐδὲ ἐπιτιμῆσαι βουλόμενος (ὁ γὰρ νοσῶν παρακλήσεως δεῖται), ἀλ-

7. Ἰὼβ 1, 21.
8. Λουκᾶ 16, 25.
9. Σοφ. Σειρ. 4, 3.

θὰ ἀναχωρήσω. Τίποτε δὲν ἐφέραμεν εἰς τὸν κόσμον αὐτόν, καὶ εἶναι φανερὸν ὅτι τίποτε δὲν θὰ ἠμπορέσωμεν νὰ πάρωμεν μαζί μας»[7]· καὶ ἂν σὺ δὲν μοῦ πάρῃς τὴν περιουσίαν, ὅταν θὰ ἔλθῃ ὁ θάνατος θὰ τὴν πάρῃ· καὶ ἂν σὺ δὲν μὲ σφάξῃς θὰ φέρῃ τὸ τέλος ὁ φυσικὸς νόμος.

Ἂς μὴ φοβούμεθα λοιπὸν τίποτε ἀπὸ ἐκεῖνα τὰ ὁποῖα προέρχονται ἐκ τῆς φύσεως, ἀλλὰ νὰ φοβώμεθα ὅσα προέρχονται ἀπὸ κακὴν προαίρεσιν, διότι ἐκεῖνα γεννοῦν εἰς ἡμᾶς τὴν κόλασιν. Αὐτὸ ἂς σκεπτώμεθα συνεχῶς δι' ὅσα ἀπροσδόκητα μᾶς συμβαίνουν καὶ ὅτι αὐτὰ δὲν θὰ τὰ ἐξαλείψωμεν ὅταν στενοχωρούμεθα, ἀλλὰ ὅταν παύσωμεν νὰ στενοχωρούμεθα· ἐκτὸς τούτου καὶ ἐκεῖνο ἂς ἔχωμεν ὑπ' ὄψιν ὅτι ἐὰν πάθωμεν κάτι κακὸν εἰς τὸν κόσμον τοῦτον ἄδικα, διαλύομεν πολλὰ ἀπὸ τὰ ἁμαρτήματά μας. Διὰ τοῦτο εἶναι μεγάλο καλὸν ν' ἀποβάλωμεν τὰ ἁμαρτήματά μας ἐδῶ καὶ ὄχι ἐκεῖ· διότι καὶ ὁ πλούσιος δὲν ἔπαθε τίποτε κακὸν ἐδῶ καὶ διὰ τοῦτο ἐτιμωρεῖτο ἐκεῖ πολὺ αὐστηρὰ ὡς νὰ ἦτο μέσα εἰς φλόγας.

Καὶ ὅτι αὐτὸ ἦτο ἡ αἰτία διὰ τὴν ὁποίαν ἐκεῖ δὲν ηὗρε καμμίαν ἀνακούφισιν, ἄκουσε τί λέγει πρὸς αὐτὸν ὁ Ἀβραάμ· «Παιδί μου ἀπήλαυσες τὰ ἀγαθά σου εἰς τὴν ἄλλην ζωήν, διὰ τοῦτο ὑποφέρεις τώρα»[8]· ὅτι δὲ καὶ εἰς τὸν Λάζαρον αἰτία νὰ ἀποκτήσῃ τὰ ἀγαθὰ τοῦ παραδείσου ἔγινε μαζὶ μὲ τὴν ἀρετήν του καὶ τὸ ὅτι ἔπαθεν ἐδῶ ἀναρίθμητα κακά, ἄκουσε τὸν πατριάρχην ποὺ λέγει αὐτά. Ἀφοῦ εἶπεν εἰς τὸν πλούσιον «ἀπήλαυσες τὰ ἀγαθά σου» προσέθεσε ὅτι «καὶ ὁ Λάζαρος τὰ βάσανα καὶ διὰ τοῦτο παρηγορεῖται τώρα δι' ὅσα ἐκεῖ ὑπέφερεν». Διότι ὅπως ἐκεῖνοι ποὺ ζοῦν ἐνάρετα, ἀκόμα καὶ ἂν θλίβωνται, λαμβάνουν ἀπὸ τὸν Θεὸν διπλοῦν τὸ κέρδος, ἔτσι καὶ αὐτὸς ποὺ ζεῖ εἰς τὴν κακίαν, ἀκόμα καὶ ἂν ἔχῃ ὅλα τὰ ἀγαθὰ θὰ ἔχῃ διπλῆν τὴν τιμωρίαν.

Πάλιν ἐπαναλαμβάνω αὐτὰ ὄχι διὰ νὰ κατηγορήσω ὅσους ἔφυγαν ἀπὸ τὴν πόλιν (διότι λέγει «ψυχὴν ποὺ ἔχει ταπεινωθῆ ἀπὸ τὰς θλίψεις μὴ τὴν ταράσσῃς περισσότερον»[9]) οὔτε διότι θέλω νὰ ἐπιπλήξω (διότι ὁ ἀσθενῶν ἔχει ἀνάγκην

λὰ διορθῶσαι σπουδάζων, μὴ τῇ φυγῇ τὴν σωτηρίαν ἡμῶν ἐγχειρίζωμεν, ἀλλὰ φύγωμεν ἁμαρτίας, ἀποστῶμεν ἀπὸ τῆς ὁδοῦ τῆς πονηρᾶς. Ἐὰν ταύτας φύγωμεν, κἂν μεταξὺ μυρίων ὦμεν στρατιωτῶν, οὐδεὶς ἡμᾶς πλῆξαι δυνήσεται· ἐὰν ταύτας μὴ φύγωμεν, κἂν εἰς αὐτὴν τῶν ὀρέων τὴν κορυφὴν ἀναβῶμεν, πολέμους ἐκεῖ εὑρήσομεν μυρίους.

Ἀναμνήσθητι γοῦν τῶν τριῶν παίδων ἐκείνων πάλιν, οἳ ἔνδον ἦσαν ἐν τῇ καμίνῳ, καὶ οὐδὲν ἔπαθον δεινόν· καὶ τῶν ἐμβαλόντων αὐτοὺς ἔξωθεν τῆς καμίνου, ὅσοι περιεκάθηντο, πάντες ἐδαπανήθησαν. Τί τούτου παραδοξότερον; Οὓς κατεῖχεν ἔλυσε τὸ πῦρ, καὶ οὓς κατεῖχεν ἥρπασεν· ἵνα μάθῃς, ὅτι οὐχὶ τόπος, ἀλλὰ τρόπος σωτηρίαν φέρει καὶ κόλασιν, οἱ ἔνδον διέφυγον, οἱ ἔξω διεφθάρησαν. Τὰ αὐτὰ σώματα κἀκείνοις καὶ τούτοις, ἀλλ' οὐ τὰ αὐτὰ φρονήματα· διὰ τοῦτο οὐδὲ τὰ αὐτὰ πάθη. Καὶ γὰρ ὁ χόρτος κἂν ἔξω περικέηται, ταχέως ἀνάπτεται· ὥσπερ οὖν τὸ χρυσίον κἂν ἔνδον μένῃ, μειζόνως φαιδρύνεται.

5. Ποῦ νῦν εἰσιν οἱ λέγοντες, πάντα λαβέτω ὁ βασιλεύς, καὶ τὸ σῶμα ἡμῖν ἐλεύθερον δότω; Τί ποτέ ἐστι, σῶμα ἐλεύθερον εἶναι, μανθανέτωσαν. Οὐ γὰρ τὸ μὴ κολάζεσθαι τοῦτο ἐλεύθερον ποιεῖ σῶμα, ἀλλὰ τὸ ζῆν ἐν δικαιοσύνῃ διηνεκῶς. Τούτων γοῦν τῶν παίδων τὰ σώματα ἐλεύθερα ἦν καὶ καμίνῳ παραδοθέντα· τὴν γὰρ τῆς ἁμαρτίας δουλείαν ἀπέθεντο πάλαι· καὶ γὰρ καὶ τοῦτό ἐστιν ἐλευθερία μόνον, οὐ τὸ μὴ κολάζεσθαι, μηδὲ πάσχειν τι δεινόν· Σὺ

ἀπὸ παρηγορίαν καὶ ὄχι ἀπὸ ἐπίπληξιν) ἀλλὰ τὰ λέγω ἐπειδὴ θέλω νὰ διορθώσω καὶ νὰ πείσω νὰ μὴ ἐναποθέσωμεν τὴν σωτηρίαν μας εἰς τὴν φυγήν, ἀλλὰ νὰ ἀποφεύγωμεν τὰς ἁμαρτίας, νὰ ἀπομακρυνθῶμεν ἀπὸ τὸν δρόμον τῆς πονηρίας. Ἐὰν ἀποφύγωμεν αὐτάς, ἀκόμα καὶ ἂν εὑρισκώμεθα μεταξὺ μυρίων στρατιωτῶν, κανεὶς δὲν θὰ ἠμπορέσῃ νὰ μᾶς κτυπήσῃ· ἐὰν ὅμως αὐτὰς δὲν ἀποφύγωμεν, καὶ εἰς αὐτὴν τὴν κορυφὴν τῶν ὀρέων ἂν ἀναβῶμεν, θὰ συναντήσωμεν ἐκεῖ ἀναριθμήτους πολέμους.

Ἐνθυμήσου πάλιν λοιπὸν τοὺς τρεῖς παῖδας ἐκείνους, οἱ ὁποῖοι ἂν καὶ εὑρίσκοντο ἐντὸς τῆς καμίνου, ἐν τούτοις δὲν ἔπαθαν τίποτε κακόν· καὶ ἐκείνους ποὺ ἔρριψαν αὐτοὺς ἐντὸς τοῦ λάκκου, πού, ἂν καὶ ἦσαν ἔξω ἀπὸ αὐτόν, ὅλοι ἐκάησαν ἀπὸ τὴν φωτιάν. Τί παραδοξότερον τούτου ὑπάρχει; Ὅσους εἶχεν ἡ φωτιὰ ὑπὸ τὴν ἐξουσίαν της τοὺς ἔλυσε τὰ δεσμά, καὶ ὅσους δὲν εἶχε τοὺς ἅρπαξε· διὰ νὰ μάθῃς ὅτι ὄχι ὁ τόπος, ἀλλὰ ὁ τρόπος τῆς ζωῆς φέρει τὴν σωτηρίαν καὶ τὴν τιμωρίαν, ὅσοι ἦσαν ἐντὸς τῆς καμίνου διέφυγον τὸν κίνδυνον, ἐνῷ ὅσοι ἦσαν ἔξω κατεστράφησαν. Τὰ ἴδια σώματα εἶχαν καὶ αὐτοὶ καὶ ἐκεῖνοι, ὅμως, δὲν εἶχαν τὰ ἴδια φρονήματα, διὰ τοῦτο δὲν ἦσαν ἴδια καὶ τὰ παθήματα. Διότι τὸ χορτάρι καὶ ἂν ἀκόμα ἀπὸ μακρυὰ τὸ πλησιάσῃ ἡ φωτιά, ἀνάβει γρήγορα καὶ καίεται· ὅπως καὶ ὁ χρυσὸς καὶ ἂν ἀκόμα μένῃ μέσα εἰς τὴν φωτιάν, γίνεται ἀκόμη λαμπρότερος.

5. Ποῦ εἶναι τώρα ἐκεῖνοι ποὺ ἔλεγον ὅτι ὅλα νὰ μᾶς τὰ πάρῃ ὁ βασιλεὺς καὶ ἂς μᾶς δώσῃ μόνον ἐλεύθερον τὸ σῶμα; Ἂς μάθουν τί σημαίνει σῶμα ἐλεύθερον. Τὸ σῶμα τὸ κάμει ἐλεύθερον ὄχι ἡ ἔλλειψις τιμωρίας, ἀλλὰ τὸ νὰ ζῇ συνεχῶς εἰς τὴν δικαιοσύνην. Τὰ σώματα λοιπὸν αὐτῶν τῶν παιδιῶν ἦσαν ἐλεύθερα ἂν καὶ ἐρρίφθησαν εἰς τὴν κάμινον· διότι εἶχον ἀπομακρύνει πρὸ πολλοῦ τὴν δουλείαν τῆς ἁμαρτίας· διότι τοῦτο εἶναι πραγματικὴ ἐλευθερία μόνον, καὶ ὄχι τὸ νὰ μὴ τιμωρῆται ἢ νὰ μὴ παθαίνῃ κανεὶς κανένα κακόν. Σὺ ὅμως γνωρίζων τὴν κάμινον ταύτην, ἐνθυ-

δὲ εἰδὼς τὴν κάμινον, ἀναμνήσθητι τῶν τοῦ πυρὸς ποταμῶν, τῶν κατὰ τὴν ἡμέραν τὴν φοβερὰν ἐκείνην.

Καθάπερ γὰρ ἐνταῦθα τοὺς μὲν ἥρπασε, τοὺς δὲ ᾐδέσθη τὸ πῦρ, οὕτω καὶ ἐπὶ τῶν ποταμῶν ἐκείνων ἔσται· κἂν μέν τις ἔχῃ χόρτον, ξύλα, καλάμην, ἀνάπτει τὸ πῦρ· ἂν δέ τις ἔχῃ χρυσόν, ἄργυρον, φαιδρότερος γίνεται. Ταύτην τοίνυν τὴν ὕλην συναγάγωμεν, καὶ τὰ παρόντα φέρωμεν γενναίως, εἰδότες ὅτι καὶ ἐκείνης ἡμᾶς τῆς κολάσεως ἡ παροῦσα ἀπαλλάξει θλῖψις, ἐὰν εἰδῶμεν φιλοσοφεῖν, καὶ ἐνταῦθα βελτίους ἐργάσεται, οὐχ ἡμᾶς δὲ μόνον, ἀλλὰ καὶ τοὺς ἐμβαλόντας ἡμᾶς πολλάκις, ἐὰν νήφωμεν· τοσαύτη τῆς φιλοσοφίας ἡ περιουσία· ὃ δὴ καὶ ἐπὶ τοῦ τυράννου τότε γέγονεν.

Ἐπειδὴ γὰρ εἶδε μηδὲν παθόντας δεινόν, ἄκουσον πῶς μετεβάλετο· «Οἱ δοῦλοι τοῦ Θεοῦ τοῦ ὑψίστου, ἐξέλθετε καὶ δεῦτε», φησίν. Οὐ πρὸ μικροῦ ἔλεγες, «Καὶ τίς ἐστι Θεός, ὃς δυνήσεται ἐξελέσθαι ὑμᾶς ἐκ τῶν χειρῶν μου;». Τί γέγονε; Πόθεν ἡ μεταβολή; Τοὺς ἔξω διαφθαρέντας εἶδες, καὶ τοὺς ἔνδον καλεῖς; Πόθεν ἐπῆλθέ σοι τοιαῦτα φιλοσοφεῖν; Εἶδες πόση μεταβολὴ τῷ βασιλεῖ γέγονεν; Ὅτε οὐδέπω αὐτῶν ἐκράτησεν, ἐβλασφήμει· ἐπειδὴ δὲ αὐτοὺς ἐνέβαλεν εἰς τὸ πῦρ, ἐφιλοσόφει. Διὰ τοῦτο καὶ ὁ Θεὸς συνεχώρησε πάντα γενέσθαι, ὅσα ὁ τύραννος ἠθέλησεν, ἵνα δείξῃ ὅτι τοὺς ὑπ' αὐτοῦ φυλαττομένους οὐδεὶς παραβλάψαι δυνήσεται· καὶ ὅπερ ἐπὶ τοῦ Ἰὼβ ἐποίησε, τοῦτο καὶ ἐνταῦθα εἰργάσατο. Καὶ γὰρ ἐκεῖ ἀφῆκε τὸν διάβολον πᾶσαν αὐτοῦ τὴν δύναμιν ἐπιδείξασθαι, καὶ ὅτε ἐκένωσε τὰ βέλη πάντα, καὶ οὐδεὶς ἐπιβουλῆς ὑπελέλειπτο τρόπος, τότε ἀνεβίβασεν ἐκ τοῦ σκάμματος τὸν ἀθλητήν, ἵνα λαμπρὰ καὶ

---

10. Πρβλ. Α' Κορ. 3, 12-15.
11. Δαν. 3, 26.
12. Δαν. 3, 16.

μήσου τοὺς ποταμοὺς τοῦ πυρὸς κατὰ τὴν φοβερὰν ἐκείνην ἡμέραν.

Διότι καθὼς ἐδῶ ἄλλους μὲν ἥρπασεν, ἄλλους δὲ ἐσεβάσθη ἡ φωτιά, τὸ ἴδιον θὰ συμβῇ καὶ εἰς τοὺς ποταμοὺς ἐκείνους· καὶ ἂν μὲν ἕνας ἔχῃ μαζεύσει χόρτον, ξύλα, καλάμια, ἀνάβει ἡ φωτιά· ἂν δὲ ἔχῃ χρυσὸν ἢ ἄργυρον γίνεται λαμπρότερος ἀπὸ τὴν φωτιάν[10]. Αὐτὸ λοιπὸν τὸ ὑλικὸν ἂς συγκεντρώσωμεν καὶ ἂς ὑπομένωμεν μὲ γενναιότητα τὰς δυσκολίας τῆς παρούσης ζωῆς, γνωρίζοντες ὅτι καὶ ἀπὸ ἐκείνην τὴν κόλασιν, ἡ θλῖψις αὕτη θὰ μᾶς ἀπαλλάξῃ, ἂν γνωρίζωμεν νὰ ζῶμεν χριστιανικῶς καὶ ἐδῶ θὰ μᾶς κάμῃ καλυτέρους, καὶ ὄχι μόνον δὲ ἡμᾶς, ἀλλὰ καὶ αὐτοὺς ποὺ μᾶς ἐπροξένησαν τὰς θλίψεις, ἐὰν εἴμεθα νηφάλιοι· τόσον μεγάλη εἶναι ἡ δύναμις τοῦ χριστιανικοῦ τρόπου ζωῆς ὅπως ἐφάνη καὶ εἰς τὴν περίπτωσιν τοῦ τυράννου τότε.

Διότι ὅταν εἶδεν ὅτι δὲν ἔπαθαν κανένα κακόν, ἄκουσον πῶς μετέβαλεν ἀντιλήψεις· «Οἱ δοῦλοι τοῦ Θεοῦ τοῦ ὑψίστου ἐξέλθετε ἀπὸ τὴν κάμινον καὶ ἔλᾶτε ἐδῶ»[11], λέγει. Δὲν ἔλεγες πρὸ ὀλίγου «καὶ ποῖος εἶναι ἐκεῖνος ὁ Θεὸς ποὺ θὰ ἠμπορέσῃ νὰ σᾶς γλυτώσῃ ἀπὸ τὰ χέρια μου;»[12]. Τί συνέβῃ; Ἀπὸ ποῦ προῆλθεν ἡ μεταβολή; Εἶδες αὐτοὺς ποὺ ἦσαν ἔξω καὶ κατεστράφησαν καὶ καλεῖς αὐτοὺς ποὺ ἦσαν ἐντὸς τῆς καμίνου; Ἀπὸ ποῦ σοῦ ἦλθε νὰ φιλοσοφῇς τοιαῦτα; Εἶδες πόση μεταβολὴ συνέβη εἰς τὸν βασιλέα; Προτοῦ ἀκόμη τοὺς νικήσῃ καὶ τοὺς ρίψῃ εἰς τὴν κάμινον, ἐβλασφημοῦσεν· ὅταν ὅμως τοὺς ἔρριψεν εἰς τὸ πῦρ, ἐστοχάζετο. Διὰ τοῦτο καὶ ὁ Θεὸς ἐπέτρεψε νὰ γίνουν ὅλα, ὅσα ἠθέλησεν ὁ τύραννος, διὰ νὰ δείξῃ ὅτι, αὐτοὶ ποὺ προστατεύονται ἀπὸ Αὐτόν, κανεὶς δὲν ἠμπορεῖ νὰ τοὺς βλάψῃ· καὶ ἐκεῖνο ποὺ ἔκαμε καὶ εἰς τὴν περίπτωσιν τοῦ Ἰώβ, τὸ ἴδιον ἔκαμε καὶ ἐδῶ. Διότι καὶ ἐκεῖ ἄφησε τὸν διάβολον νὰ δείξῃ ὅλην τὴν δύναμίν του, καὶ ὅταν ἐξήντλησεν ὅλα τὰ βέλη του καὶ δὲν τοῦ ἔμεινε κανένας τρόπος ἐπιβουλῆς, τότε ἔβγαλεν ἀπὸ τὸ στάδιον τὸν ἀθλητήν, διὰ νὰ γίνῃ λαμπρὰ καὶ ἀναμφισβήτη-

ἀναμφισβήτητος ἡ νίκη γένηται· οὕτω δὴ καὶ ἐνταῦθα αὐτὸ τοῦτο ἐποίησεν.

Ἐβουλήθη τὴν πόλιν αὐτῶν κατασκάψαι, καὶ οὐκ ἐκώλυσεν· ἐβουλήθη λαβεῖν αἰχμαλώτους, καὶ οὐκ ἐνεπόδισεν· ἐβουλήθη δῆσαι, συνεχώρησεν· εἰς τὴν κάμινον ἐμβαλεῖν, ἐπέτρεψεν· ἀνάψαι τὴν φλόγα πέρα τοῦ μέτρου, καὶ τοῦτο ἀφῆκε· καὶ ὅτε οὐδὲν ὑπελέλειπτο λοιπόν, ἀλλὰ πᾶσαν ἐκένωσεν αὐτοῦ τὴν ἰσχὺν ὁ τύραννος, τότε ἔδειξε τὴν αὐτοῦ δύναμιν ὁ Θεός, καὶ τὴν τῶν παίδων ὑπομονήν. Ὁρᾶς ὅτι διὰ τοῦτο συνεχώρησεν ὁ Θεὸς μέχρι τέλους τὰς θλίψεις, ἵνα δείξῃ τοῖς ἐπιβουλεύουσι καὶ τὴν τῶν ἐπιβουλευομένων φιλοσοφίαν, καὶ τὴν αὐτοῦ πρόνοιαν; Ἅπερ ἀμφότερα κἀκεῖνος τότε μαθὼν ἐβόα· «Οἱ δοῦλοι τοῦ Θεοῦ τοῦ ὑψίστου, ἐξέλθετε καὶ δεῦτε». Σὺ δέ μοι σκόπει παίδων μεγαλοψυχίαν· οὔτε γὰρ πρὸ τῆς φωνῆς ἐξεπήδησαν, ἵνα μὴ νομίσῃ τις αὐτοὺς πεφοβῆσθαι τὸ πῦρ, οὔτε κληθέντες ἔνδον ἔμειναν, ἵνα μὴ φιλότιμοί τινες εἶναι καὶ φιλόνεικοι δόξωσιν. Ὅτε ἔφαθες, φασί, τίνος ἐσμὲν δοῦλοι, ὅτε τὸν δεσπότην ἡμῶν ἐπέγνως, τότε ἐξερχόμεθα, κήρυκες ἐσόμενοι τοῖς παροῦσιν ἅπασι τῆς τοῦ Θεοῦ δυνάμεως. Μᾶλλον δὲ οὐκ αὐτοὶ μόνον, ἀλλὰ καὶ ὁ πολέμιος οἰκείᾳ φωνῇ καὶ διὰ τῆς γλώττης, καὶ διὰ τῆς ἐπιστολῆς πᾶσιν ἀνεκήρυττε, καὶ τὴν τῶν ἀθλητῶν ἔνστασιν, καὶ τὴν τοῦ ἀγωνοθέτου ἰσχύν.

Καὶ καθάπερ οἱ κήρυκες τοὺς ἀθλητὰς νικῶντας ἀναγορεύουσιν ἐν μέσῳ τῷ θεάτρῳ, καὶ τὰς πόλεις αὐτῶν λέγουσιν, ὁ δεῖνα τῆσδε τῆς πόλεως· οὕτω καὶ οὗτος ἀντὶ τῆς πόλεως τὸν δεσπότην αὐτῶν ἀνεκήρυττε, «Σεδράχ, Μισάχ, Ἀβδεναγώ, οἱ δοῦλοι τοῦ Θεοῦ τοῦ Ὑψίστου, ἐξέλθετε καὶ

13. Δαν. 3, 26.

τος ἡ νίκη· τὸ ἴδιον ἀκριβῶς ἔκαμε καὶ εἰς τὴν περίπτωσιν αὐτήν.

Ἠθέλησε νὰ κατασκάψῃ τὴν πόλιν αὐτῶν καὶ δὲν τοῦ ἔφερεν ἐμπόδιον· ἠθέλησε νὰ τοὺς πάρῃ αἰχμαλώτους, καὶ δὲν ἔφερε κανένα ἐμπόδιον· ἠθέλησε νὰ τοὺς δέσῃ, καὶ τὸ ἐπέτρεψεν· νὰ τοὺς ρίψῃ μέσα εἰς τὴν κάμινον, τὸ ἐπέτρεψε· νὰ ἀνάψῃ τὴν φλόγα, πέραν τοῦ κανονικοῦ, καὶ τοῦτο τὸ ἄφησε· καὶ ὅταν τίποτε πλέον δὲν ὑπελείπετο καὶ ἐξήντλησεν ὅλην τὴν δύναμίν του ὁ τύραννος, τότε ἔδειξε τὴν δύναμίν του ὁ Θεὸς καὶ τὴν ὑπομονὴν τῶν παιδιῶν. Βλέπεις ὅτι διὰ τοῦτο ἐπέτρεψεν ὁ Θεὸς τὰς θλίψεις μέχρι τέλους διὰ νὰ δείξῃ καὶ εἰς ἐκείνους ποὺ ἐπιβουλεύονται ἀφ' ἑνὸς μὲν καὶ τὸν τρόπον ζωῆς τῶν ἐπιβουλευομένων, ἀφ' ἑτέρου δὲ καὶ τὴν ἰδικήν του πρόνοιαν; Αὐτὰ τὰ δύο καὶ ἐκεῖνος ἀφοῦ τὰ ἔμαθε ἐφώναξε· «Οἱ δοῦλοι τοῦ Θεοῦ τοῦ ὑψίστου ἐξέλθετε ἀπὸ τὴν κάμινον καὶ ἐλᾶτε ἐδῶ»[13]. Σὺ ὅμως πρόσεξε τὴν μεγαλοψυχίαν τῶν παιδιῶν· διότι δὲν ἐπήδησαν ἔξω ἀπὸ τὴν κάμινον προτοῦ νὰ ἀκούσουν τὴν φωνὴν τοῦ βασιλέως, διὰ νὰ μὴ νομίσῃ κανεὶς ὅτι τοὺς ἔχει φοβίσει ἡ φωτιά, οὔτε ὅταν τοὺς ἐκάλεσαν νὰ ἐξέλθουν ἔμειναν μέσα, διὰ νὰ μὴ θεωρηθοῦν ὅτι εἶναι φιλόδοξοι καὶ φιλόνεικοι. Τώρα ποὺ ἔμαθες, λέγουν, τίνος δοῦλοι εἴμεθα, τώρα ποὺ ἐγνώρισες τὸν δεσπότην μας, τώρα ἐξερχόμεθα, διὰ νὰ γίνωμεν κήρυκες τῆς δυνάμεως τοῦ Θεοῦ εἰς ὅλους τοὺς παρόντας. Μᾶλλον δὲ ὄχι μόνον αὐτοί, ἀλλὰ καὶ ὁ ἴδιος ὁ ἀντίπαλος αὐτῶν μὲ τὴν ἰδικήν του φωνὴν καὶ τὴν γλῶσσαν καὶ διὰ τῆς ἐπιστολῆς εἰς ὅλους διεκήρυττε καὶ τὴν ἀντίστασιν τῶν ἀθλητῶν καὶ τὴν δύναμιν τοῦ ἀγωνοθέτου.

Καὶ ὅπως οἱ κήρυκες τοὺς ἀθλητάς, ὅταν νικήσουν, τοὺς ἀνακηρύσσουν νικητὰς εἰς τὸ μέσον τῶν θεατῶν, καὶ ἀναφέρουν ἀκόμα καὶ τὰς πόλεις των, ὁ τάδε εἶναι ἀπὸ ἐκείνην τὴν πόλιν, ἔτσι καὶ αὐτὸς ἀντὶ τῆς πόλεως ἀνεκήρυττε τὸν Κύριον αὐτῶν «Σεδράχ, Μισάχ, Ἀβδεναγώ, οἱ δοῦλοι τοῦ Θεοῦ τοῦ ὑψίστου, ἐξέλθετε καὶ ἐλᾶτε». Τί συνέβη καὶ ὀνο-

δεῦτε». Τί γέγονεν, ὅτι δούλους αὐτοῦ καλεῖς τοῦ Θεοῦ; Οὐχὶ σοι ἦσαν δοῦλοι; Ἀλλὰ κατέλυσάν μου τὴν βασιλείαν, φησί, κατεπάτησάν μου τὸν τῦφον, ἔδειξαν διὰ τῶν ἔργων τὸν ἀληθῆ δεσπότην αὐτῶν. Εἰ ἀνθρώπων ἦσαν δοῦλοι, οὐκ ἂν αὐτοὺς ἐφοβήθη τὸ πῦρ, οὐκ ἂν παρεχώρησεν ἡ φλόξ· ἀνθρώπων γὰρ δούλους ἡ κτίσις οὐκ οἶδεν αἰδεῖσθαι καὶ τιμᾶν. Διὰ τοῦτο πάλιν, φησίν, «εὐλογητὸς ὁ Θεὸς τοῦ Σεδράχ, Μισάχ, Ἀβδεναγώ». Σὺ δέ μοι σκόπει πῶς πρῶτον ἀνακηρύττει τὸν ἀγωνοθέτην· «Εὐλογητὸς ὁ Θεὸς ὃς ἀπέστειλε τὸν ἄγγελον αὐτοῦ, καὶ ἐξείλετο τοὺς παῖδας αὐτοῦ». Τοῦτο τῆς δυνάμεως τοῦ Θεοῦ· εἰπὲ καὶ τὴν ἀρετὴν τῶν ἀθλητῶν «Ὅτι ἐπεποίθεισαν ἐπ' αὐτῷ, καὶ ἠλλοίωσαν τὸ ῥῆμα τοῦ βασιλέως, καὶ παρέδωκαν τὰ σώματα αὐτῶν, ὅπως μὴ λατρεύσωσι θεοῖς ἀλλοτρίοις».

Ἆρα τί γένοιτ' ἂν ἀρετῆς ἴσον; Πρὸ τούτου, ὅτε εἶπον, «τοῖς θεοῖς σου οὐ λατρεύομεν», τῆς καμίνου χαλεπώτερον ἐξεκάη· νῦν δὲ ἐπειδὴ διὰ τῶν ἔργων αὐτῶν τοῦτον ἐπαίδευσαν, οὐ μόνον οὐκ ἠγανάκτησεν, ἀλλὰ καὶ ἐπήνεσε καὶ ἐθαύμασεν, ὅτι αὐτοῦ παρήκουσαν. Τοσοῦτον ἀρετὴ καλόν, ὅτι καὶ αὐτοὺς τοὺς πολεμίους ἔχει θαυμαστὰς καὶ ἐπαινέτας. Ἐκεῖνοι ἠγωνίσαντο καὶ ἐνίκησαν, καὶ ὁ ἡττηθεὶς εὐχαρίστησεν, ὅτι οὐκ ἐφόβησεν αὐτοὺς ἡ τῆς φλογὸς ὄψις, ἀλλὰ παρεκάλεσεν αὐτοὺς ἡ εἰς τὸν δεσπότην ἐλπίς, καὶ τὸν τῆς οἰκουμένης Θεὸν ἀπὸ τῶν τριῶν παίδων καλεῖ, οὐχὶ περικλείων αὐτοῦ τὴν δεσποτείαν, ἀλλ' ἐπειδὴ τῆς οἰκουμένης ἀντάξιοι ἦσαν οἱ παῖδες οἱ τρεῖς, διὰ τοῦτο καὶ ἐπαινεῖ τοὺς καταφρονήσαντας αὐτοῦ, καὶ τυράννους τοσούτους, καὶ βασιλεῖς, καὶ ὑπάρχους παραδραμὼν τοὺς πεισθέντας αὐτῷ, τρεῖς αἰχμαλώτους καὶ δούλους καταγελάσαντας αὐτοῦ τῆς τυραννίδος ἐθαύμασεν. Οὐ γὰρ φιλονεικοῦντες ἀλλὰ φιλο-

---

14. Δαν. 3, 28.
15. Αὐτόθι.
16. Αὐτόθι.
17. Δαν. 3, 18.

μάζεις αὐτοὺς δούλους Θεοῦ; Δὲν ἦσαν δοῦλοι ἰδικοί σου; Ὅμως μοῦ κατέλυσαν τὴν βασιλείαν, λέγει, μοῦ κατεπάτησαν τὴν ὑπερηφάνειαν, ἀπέδειξαν διὰ τῶν ἔργων ποῖος εἶναι ὁ ἀληθινὸς δεσπότης αὐτῶν. Ἐὰν ἦσαν δοῦλοι ἀνθρώπων δὲν θὰ τοὺς ἐφοβεῖτο ἡ φωτιά, δὲν θὰ παρεμέριζεν αὐτοὺς ἡ φλόγα· διότι δούλους ἀνθρώπων δὲν συνηθίζει νὰ σέβεται καὶ νὰ τιμᾷ ἡ κτίσις. Διὰ τοῦτο πάλιν λέγει «εὐλογητὸς ὁ Θεὸς τοῦ Σεδρὰχ τοῦ Μισὰχ καὶ τοῦ Ἀβδεναγώ»[14]. Σὺ ὅμως πρόσεξε νὰ ἰδῇς πρῶτον πῶς ἀνακηρύττει τὸν ἀγωνοθέτην· «Εὐλογητὸς ὁ Θεὸς ὁ ὁποῖος ἀπέστειλε τὸν ἄγγελον αὐτοῦ καὶ ἠλευθέρωσε τὰ παιδιὰ αὐτοῦ»[15]. Αὐτὸ τὸ λέγει διὰ τὴν δύναμιν τοῦ Θεοῦ· λέγε τώρα καὶ διὰ τὴν ἀρετὴν τῶν παιδιῶν· «διότι εἶχον πεποίθησιν εἰς αὐτὸν καὶ δὲν ὑπήκουσαν εἰς τὴν διαταγὴν τοῦ βασιλέως καὶ παρέδωκαν τὰ σώματα αὐτῶν εἰς τὸ πῦρ διὰ νὰ μὴ λατρεύσουν ξένους θεούς»[16].

Ἄρά γε τί ἠμπορεῖ νὰ γίνῃ ἰσάξιον τῆς ἀρετῆς; Πρὶν ἀπὸ αὐτό, ὅταν τοῦ εἶπον «τοὺς θεούς σου δὲν λατρεύομεν»[17], ἄναψε περισσότερον ἀπὸ τὴν κάμινον· τώρα ὅμως ποὺ ἔπραξαν τοῦτο διὰ τῶν ἔργων, ὄχι μόνον δὲν ἠγανάκτησεν, ἀλλὰ καὶ ἐπήνεσε καὶ ἐθαύμασε διότι τὸν παρήκουσαν. Τόσον ὡραῖον πρᾶγμα εἶναι ἡ ἀρετὴ ὥστε ἔχει θαυμαστὰς καὶ ἐπαινετὰς καὶ αὐτοὺς τοὺς ἐχθρούς της. Ἐκεῖνοι ἠγωνίσθησαν καὶ ἐνίκησαν καὶ αὐτὸς ποὺ ἡττήθη τοὺς ηὐχαρίστησε, διότι δὲν τοὺς ἐφόβισεν ἡ θέα τῆς φλογός, ἀλλὰ τοὺς παρηγόρησεν ἡ ἐλπίς των εἰς τὸν Κύριον, καὶ τὸν Θεὸν τῶν τριῶν παίδων ἐξ αἰτίας των τὸν ὀνομάζει Θεὸν τῆς οἰκουμένης, ὄχι διὰ νὰ περιορίσῃ τὴν ἐξουσίαν του, ἀλλὰ ἐπειδὴ ἦσαν ἀντάξιοι οἱ τρεῖς παῖδες τῆς οἰκουμένης, καὶ διὰ τοῦτο ἐπαινεῖ αὐτοὺς ποὺ τὸν κατεφρόνησαν καὶ παρατρέξας τόσους τυράννους καὶ βασιλεῖς καὶ ὑπάρχους, οἱ ὁποῖοι τὸν ὑπήκουσαν, ἐθαύμασε τρεῖς αἰχμαλώτους καὶ δούλους οἱ ὁποῖοι ἔδειξαν περιφρόνησιν εἰς τὴν ἐξουσίαν του. Διότι ἔπραξαν τοῦτο ὄχι ἀπὸ διάθεσιν φιλονεικίας ἀλλὰ ἀπὸ φιλοσοφίαν·

σοφοῦντες ταῦτα ἔπραξαν· οὐδὲ δι' ἀπόνοιαν, ἀλλὰ δι' εὐσέβειαν· οὐκ ἀλαζονείᾳ φυσηθέντες, ἀλλὰ ζήλῳ πυρωθέντες. Καὶ γὰρ μέγα ἀγαθὸν ἐλπίσαι εἰς Θεόν· ὅπερ οὖν καὶ ὁ βάρβαρος ἔγνω, καὶ δηλῶν ὅτι ἐντεῦθεν διέφυγον τὸν ἐπικείμενον κίνδυνον ἀνεβόησεν, «Ὅτι ἐπεποίθεισαν ἐπ' αὐτῷ».

6. Ταῦτα δὲ λέγω νῦν, καὶ τὰς ἱστορίας ἐκλέγω πάσας, ἐν αἷς πειρασμοὶ καὶ θλίψεις, καὶ βασιλέων ὀργαί, καὶ ἐπιβουλαί, ἵνα μηδὲν φοβώμεθα, ἀλλ' ἢ τὸ προσκροῦσαι Θεῷ μόνον. Καὶ γὰρ καὶ τότε ἡ κάμινος ἐκαίετο, ἐκεῖνοι δὲ ταύτης μὲν κατεγέλασαν, τὴν δὲ ἁμαρτίαν ἔδεισαν. Ἤδεισαν γὰρ ὅτι καέντες μὲν οὐδὲν πείσονται δεινόν, ἀσεβήσαντες δὲ τὰ ἔσχατα ὑποστήσονται. Ἡ γὰρ μεγίστη κόλασις τὸ ἁμαρτάνειν, κἂν μὴ κολαζώμεθα· ὥσπερ οὖν ἡ μεγίστη τιμὴ καὶ ἄνεσις τὸ μετὰ ἀρετῆς ζῆν, κἂν κολαζώμεθα· αἱ μὲν γὰρ ἁμαρτίαι διιστῶσιν ἡμᾶς ἀπὸ τοῦ Θεοῦ, καθὼς καὶ αὐτός φησιν, «Οὐχὶ αἱ ἁμαρτίαι ὑμῶν διιστῶσιν ἀνὰ μέσον ὑμῶν καὶ ἐμοῦ;». Αἱ κολάσεις δὲ συνάγουσιν ἡμᾶς πρὸς τὸν Θεόν· «Δὸς γὰρ ἡμῖν», φησίν, «εἰρήνην, ὅτι πάντα ἀπέδωκας ἡμῖν».

Ἐὰν τραῦμά τις ἔχῃ, τί δεδοικέναι ἄξιον, τὴν σηπεδόνα, ἢ τὴν τομὴν τοῦ ἰατροῦ; Τὸ σιδήριον, ἢ τὴν νομὴν τοῦ ἕλκους; Ἡ ἁμαρτία σηπεδών ἐστιν, ἡ κόλασις σιδήριον ἰατρικόν· ὥσπερ οὖν ὁ σηπεδόνα ἔχων, κἂν μὴ τέμνηται, ἀρρωστεῖ, καὶ τότε μᾶλλόν ἐστιν ἐν κακοῖς, ὅταν μὴ τέμνηται· οὕτω καὶ ὁ ἁμαρτάνων, κἂν μὴ κολάζηται πάντων ἐστὶν ἀθλιώτερος, καὶ τότε μάλιστα ἄθλιος, ὅταν μὴ κολάζηται, μηδὲ πάσχῃ μηδὲν δεινόν.

Καὶ καθάπερ οἱ σπλῆνα καὶ ὕδερον ἔχοντες, ὅταν τραπέζης ἀπολαύσωσι δαψιλοῦς, καὶ ψυχροποσίας, καὶ πολυτελῶν ἐδεσμάτων, καὶ καρυκευμάτων, τότε μάλιστα πάντων

18. Ἡσ. 59, 2.
19. Ἡσ. 26, 12.

οὔτε ἀπὸ ὑπερηφάνειαν, ἀλλὰ ἀπὸ εὐσέβειαν· οὔτε ἐπειδὴ τοὺς ἐφούσκωσε τὰ μυαλὰ ἡ ἀλαζονεία ἀλλὰ ἐπειδὴ εἶχαν ἀνάψει ἀπὸ θεῖον ζῆλον. Διότι εἶναι μεγάλη ἀρετὴ ἡ ἐλπὶς εἰς τὸν Θεόν, πρᾶγμα τὸ ὁποῖον ἀντελήφθη καὶ ὁ βάρβαρος καὶ ἐπειδὴ ἀντελήφθη ὅτι ἐξ αἰτίας τούτου διέφυγον τὸν ἐπικείμενον κίνδυνον ἐφώναξε· «διότι εἶχον πεποίθησιν εἰς αὐτόν».

6. Αὐτὰ δὲ τὰ λέγω τώρα καὶ ἐκλέγω ὅλας τὰς ἱστορίας εἰς τὰς ὁποίας ὑπάρχουν πειρασμοὶ καὶ θλίψεις καὶ θυμοὶ βασιλέως καὶ ἐπιβουλαί, διὰ νὰ μὴ φοβώμεθα τίποτε παρὰ μόνον τὸ νὰ ἔλθωμεν ἀντιμέτωποι μὲ τὸν Θεόν. Διότι καὶ τότε ἡ κάμινος ἐκαίετο, ἐκεῖνοι ὅμως τὴν περιεφρόνησαν καὶ τὴν ἁμαρτίαν δὲν ἐφοβήθησαν. Διότι ἐγνώριζον ὅτι ἂν μὲν καοῦν κανένα κακὸν δὲν θὰ πάθουν, ἐνῷ ἂν φανοῦν ἀσεβεῖς θὰ ὑποστοῦν τὰ χειρότερα κακά. Διότι ἡ μεγαλυτέρα τιμωρία εἶναι τὸ νὰ ἁμαρτάνωμεν, ἔστω καὶ ἂν δὲν κολαζώμεθα· ὅπως καὶ ἡ μεγίστη τιμὴ καὶ ἄνεσις εἶναι τὸ νὰ ζῶμεν ἐνάρετα, ἔστω καὶ ἂν τιμωρούμεθα· διότι αἱ μὲν ἁμαρτίαι μᾶς ἀποχωρίζουν ἀπὸ τὸν Θεὸν καθὼς καὶ ὁ ἴδιος λέγει «δὲν εἶναι αἱ ἁμαρτίαι σας χώρισμα μεταξὺ ἐμοῦ καὶ ὑμῶν;»[18], ἐνῷ αἱ τιμωρίαι μᾶς φέρουν κοντὰ εἰς τὸν Θεόν· «δῶσε εἰς ἡμᾶς» λέγει «εἰρήνην ἐπειδὴ ὅλα μᾶς τὰ ἔχεις δώσει»[19].

Ἐὰν ἔχῃ κάποιος μίαν πληγήν, τί πρέπει νὰ φοβηθῇ, τὴν σαπίλαν ἢ τὸ κόψιμον τοῦ ἰατροῦ; Τὸ σιδερένιο ἐγχειρίδιον ἢ τὴν ἐξάπλωσιν τῆς πληγῆς; Ἡ ἁμαρτία εἶναι σαπίλα ἡ δὲ τιμωρία τὸ σιδερένιο ἐγχειρίδιον· ὅπως ἀκριβῶς ἐκεῖνος ποὺ ἔχει σάπιαν πληγήν, ἂν δὲν κόψῃ τὰ σάπια μέρη, ἀσθενεῖ καὶ τότε εὑρίσκεται εἰς κακὴν κατάστασιν, ἔτσι καὶ ἐκεῖνος ποὺ ἁμαρτάνει ἀκόμα καὶ ἂν δὲν τιμωρῆται εἶναι χειρότερος ἀπὸ ὅλους καὶ γίνεται τότε περισσότερον δυστυχὴς ὅταν δὲν τιμωρῆται καὶ δὲν πάσχῃ κανένα κακόν.

Καὶ καθὼς αὐτοὶ ποὺ ὑποφέρουν ἀπὸ σπλῆνα καὶ ὑδρωπικίαν, ὅταν φάγουν πολλὰ καὶ πολυτελῆ φαγητὰ καὶ καρυκεύματα καὶ πιοῦν πολὺ τότε κυρίως εἶναι δυστυχέστεροι

εἰσὶν ἐλεεινότερον, τῇ τρυφῇ τὸ νόσημα αὔξοντες· ἂν δ' ἄγχωνται λιμῷ καὶ δίψει κατὰ τοὺς ἰατρικοὺς νόμους, ἐλπίδα τινὰ σωτηρίας ἔχουσιν· οὕτω καὶ οἱ ζῶντες ἐν πονηρίᾳ, ἂν μὲν κολάζωνται, χρηστὰς ἔχουσιν ἐλπίδας, ἂν δὲ μετὰ πονηρίας, ἀδείας καὶ τρυφῆς ἀπολαύωσι, τῶν ἐν ὑδέρῳ γαστριζομένων σφόδρα ἐλεεινότεροι ἂν εἶεν, καὶ τοσούτῳ πλέον, ὅσῳ ψυχὴ σώματός ἐστι βελτίων. Ἐὰν τοίνυν ἴδῃς τινὰς ἐν ταῖς αὐταῖς ὄντας ἁμαρτίαις, καὶ τοὺς μὲν λιμῷ παλαίοντας διηνεκεῖ, καὶ μυρίοις κακοῖς, τοὺς δὲ μεθύοντας, καὶ γαστριζομένους, καὶ τρυφῶντας, τοὺς τὰ δεινὰ πάσχοντας μακάριζε μᾶλλον. Καὶ γὰρ τῆς ἡδυπαθείας ἡ φλὸξ ταῖς συμφοραῖς ὑποτέμνεται ταύταις, καὶ πρὸς τὴν μέλλουσαν ψῆφον, καὶ τὸ φοβερὸν ἐκεῖνο δικαστήριον οὐ μικρὰν λαβόντες ἀπέρχονται παραμυθίαν, καὶ τὰ πολλὰ τῶν ἁμαρτημάτων δι' ὧν ἔπαθον δεινῶν ἐνταῦθα διαλύσαντες ἄπεισιν.

Ἀλλὰ τῆς μὲν παρακλήσεως ἅλις· ὥρα δὴ λοιπὸν ἡμῖν διαβῆναι ἐπὶ τὴν παραίνεσιν τῆς τῶν ὅρκων φυγῆς, καὶ τὴν δοκοῦσαν εἶναι παραμυθίαν τοῖς ὀμνύουσιν ἀνελεῖν τὴν ψυχρὰν καὶ ἀνόητον. Καὶ γὰρ ἐπειδὰν αὐτοῖς ἐγκαλῶμεν ἑτέρους ἡμῖν προβάλλονται αὐτὸ τοῦτο ποιοῦντας, καὶ λέγουσιν, ὁ δεῖνα καὶ ὁ δεῖνα ὀμνύουσιν. Εἴπωμεν τοίνυν πρὸς αὐτούς, ἀλλ' ὁ δεῖνα οὐκ ὄμνυσιν· ὁ δὲ Θεὸς ἀπὸ τῶν κατωρθωκότων σοι φέρει τὴν ψῆφον. Οἱ μὲν γὰρ ἁμαρτάνοντες τοὺς ἁμαρτάνοντας οὐκ ὠφελοῦσι τῇ κοινωνίᾳ τῶν παραπτωμάτων· οἱ δὲ κατορθοῦντες τοὺς ἁμαρτάνοντας καταδικάζουσι. Καὶ γὰρ οἱ μὴ θρέψαντες τὸν Χριστὸν μηδὲ ποτίσαντες ἦσαν πολλοί, ἀλλ' οὐδὲν ἀλλήλους ὠφέλησαν· ὥσπερ οὖν οὐδὲ αἱ παρθένοι αἱ πέντε ἔσχον τινὰ συγγνώμην παρ' ἀλλήλων,

ἀπὸ ὅλους διότι αὐξάνουν τὸ νόσημα μὲ τὴν καλοφαγίαν καὶ πολυφαγίαν, ἂν δὲ ὑποφέρουν ἀπὸ πεῖναν καὶ δίψαν, κατὰ τοὺς ἰατρικοὺς νόμους, ἔχουν κάποιαν ἐλπίδα σωτηρίας· ἔτσι καὶ ὅσοι ζοῦν εἰς τὴν ἁμαρτίαν, ἂν μὲν τιμωροῦνται, ἔχουν καλὰς ἐλπίδας, ἂν δὲ μαζὶ μὲ τὴν πονηρίαν ἀπολαμβάνουν ἀνέσεις καὶ καλοζωΐας θὰ εἶναι πολὺ δυστυχέστεροι ἀπὸ τοὺς ὑδρωπικούς, καὶ τόσον περισσότερον, ὅσον ἡ ψυχὴ εἶναι ἀνωτέρα ἀπὸ τὸ σῶμα. Ἐὰν λοιπὸν ἰδῇς μερικοὺς ἀνθρώπους νὰ ἔχουν τοιαύτας ἁμαρτίας καὶ ἀπὸ αὐτοὺς ἄλλους μὲν συνεχῶς νὰ ἀγωνίζωνται κατὰ τῆς πείνας καὶ ἐναντίον ἀναριθμήτων κακῶν, ἄλλους δὲ νὰ μεθοῦν, νὰ καλοτρώγουν καὶ νὰ καλοπερνοῦν, νὰ θεωρῇς μακαρίους μᾶλλον αὐτοὺς ποὺ ὑποφέρουν. Διότι ἡ φλόγα τῆς φιληδονίας διὰ τῶν συμφορῶν τούτων ἐλαττώνεται, καὶ ὄχι μὲ ὀλίγην παρηγορίαν ἀπέρχονται εἰς τὴν μέλλουσαν κρίσιν καὶ τὸ φοβερὸν ἐκεῖνο δικαστήριον καὶ ἀπέρχονται ἀφοῦ ἔχουν ἐξαλείψει πολλὰ ἀπὸ τὰ ἁμαρτήματά των μὲ τὰ βάσανα ποὺ ὑπέφεραν ἐδῶ.

Ὅμως εἶναι ἀρκετὰ ὅσα εἴπομεν πρὸς παρηγορίαν· καιρὸς εἶναι τώρα νὰ ἔλθωμεν εἰς τὴν προτροπὴν τῆς ἀποφυγῆς τῶν ὅρκων καὶ τὴν δικαιολογίαν ποὺ προβάλλουν ὅσοι ὁρκίζονται τὴν ἀνωφελῆ καὶ ἄστοχον νὰ ἀναιρέσωμεν. Καθ' ὅσον ὅταν τοὺς ἐπικρίνωμεν προβάλλουν ὡς δικαιολογίαν εἰς ἡμᾶς ὅτι καὶ ἄλλοι κάμουν τὸ ἴδιον καὶ λέγουν ὁ τάδε καὶ ὁ τάδε ὁρκίζονται. Ἂς ἀπαντήσωμεν λοιπὸν εἰς αὐτούς, ὅμως ὁ τάδε δὲν ὁρκίζεται· ὁ δὲ Θεὸς θὰ σὲ κρίνῃ, φέρων ὡς παράδειγμα ἐκείνους ποὺ ἐτήρησαν τὰς ἐντολάς. Διότι ὅσοι ἁμαρτάνουν δὲν ὠφελοῦν τοὺς ἄλλους ποὺ ἁμαρτάνουν μὲ τὸ νὰ πίπτουν εἰς τὰ ἴδια μὲ ἐκείνους ἁμαρτήματα· ἐνῷ ὅσοι κάνουν ἐνάρετα ἔργα καταδικάζουν τοὺς ἁμαρτάνοντας. Διότι καὶ ἐκεῖνοι ποὺ δὲν ἔθρεψαν καὶ δὲν ἐπότισαν τὸν Χριστὸν ἦσαν πολλοί, ὅμως δὲν ὠφέλησεν ὁ ἕνας τὸν ἄλλον· ὅπως ἀκριβῶς καὶ αἱ πέντε παρθένοι, δὲν ἐδικαιολογήθησαν ἐκ τοῦ ἀριθμοῦ των, ἀλλὰ ἀπὸ ἐκείνας

ἀλλ᾽ ὑπὸ τῶν κατωρθωκότων καὶ οὗτοι κἀκεῖναι καταδικασθέντες ἐκολάζοντο.

᾿Απαλλαγέντες τοίνυν τῆς ψυχρᾶς ταύτης ψυχαγωγίας, μὴ τοὺς πίπτοντας βλέπωμεν, ἀλλὰ τοὺς κατορθοῦντας, καὶ σπουδάσωμεν μνημόσυνον τῆς παρούσης νηστείας λαβόντες ἀπελθεῖν. Καὶ καθάπερ ἱμάτιον πολλάκις κεκτημένοι, ἢ οἰκέτην ἢ σκεῦος τίμιον, ἀναμιμνησκόμεθα τῶν καιρῶν, καὶ πρὸς ἀλλήλους λέγομεν· τὸν οἰκέτην τὸν δεῖνα τῇδε ἐκτησάμην τῇ ἑορτῇ, τὸ ἱμάτιον τόδε ἐπριάμην τῷδε τῷ καιρῷ· οὕτω δὴ καὶ τὸν νόμον τοῦτον ἂν κατορθώσωμεν, ἐροῦμεν ὅτι τὸν ὅρκον τῇδε κατώρθωσα τῇ τεσσαρακοστῇ· ἕως γὰρ τότε ὤμνυον, καὶ ψιλῆς ἀκούσας παραινέσεως ἀπεσχόμην τῆς ἁμαρτίας.

᾿Αλλὰ δυσκατόρθωτον ἡ συνήθεια. Οἶδα κἀγὼ καὶ διὰ τοῦτο ἐπείγομαι εἰς ἑτέραν ὑμᾶς συνήθειαν ἐμβαλεῖν, χρηστὴν καὶ κέρδος ἔχουσαν. Ὅταν γὰρ εἴπῃς ὅτι δυσκόλως ἀφίσταμαι τῆς συνηθείας, δι᾽ αὐτὸ τοῦτο σπούδασον ἀποστῆναι, σαφῶς εἰδώς, ὅτι ἐὰν ἑτέραν σαυτῷ ποιήσῃς συνήθειαν τὴν τοῦ μὴ ὀμνύειν, οὐδενὸς δεήσῃ πόνου λοιπόν. Τί δυσκολώτερον μὴ ὀμνύναι, ἢ δι᾽ ὅλης τῆς ἡμέρας ἄσιτον εἶναι, καὶ ὑδροποσίᾳ καὶ εὐτελεῖ ταριχεύεσθαι διαίτῃ; Εὔδηλον ὅτι τοῦτο ἐκείνου· ἀλλ᾽ ὅμως οὕτως ἐστὶν ἡ συνήθεια δυνατὸν πρᾶγμα καὶ εὔκολον, ὥστε γενομένης τῆς νηστείας, κἂν μυρία τις παρακαλῇ, κἂν μυρία τις ἄγχῃ καὶ βιάζηται, ὥστε μετασχεῖν οἰνοποσίας ἢ ἑτέρου τινὸς τῶν μὴ νενομισμένων ἐν νηστείαις ἀπογεύεσθαι, πάντα ἂν ἕλοιτο παθεῖν τις, ἢ τῆς κεκωλυμένης ἅψασθαι τροφῆς· καὶ ταῦτα ἡδέως πρὸς τὴν τράπεζαν ἔχοντες, ἀλλ᾽ ὅμως διὰ τὴν ἀπὸ τοῦ συνειδότος συνήθειαν φέρομεν πάντα γενναίως ταλαιπωρούμενοι.

πού ἐφήρμοσαν τὴν ἐντολήν· ὅπως ἐκεῖναι ἔτσι καὶ αὐτοὶ κατεδικάσθησαν καὶ ἐτιμωρήθησαν.

Ἂς ἀπαλλαγῶμεν λοιπὸν ἀπὸ τὴν ἄστοχον αὐτὴν δικαιολογίαν καὶ ἂς μὴ βλέπωμεν αὐτοὺς ποὺ πίπτουν εἰς αὐτήν, ἀλλὰ αὐτοὺς ποὺ τηροῦν τὰς ἐντολὰς καὶ ἂς φροντίσωμεν νὰ φύγωμεν ἀπὸ ἐδῶ μὲ κάποιο ἐνθύμιον ἀπὸ τὴν νηστείαν. Καὶ ὅπως ὅταν ἔχωμεν ἀποκτήσει κάποιο ἔνδυμα ἢ ὑπηρέτην ἢ πολύτιμον σκεῦος, ἐνθυμούμεθα πολλάκις τὸν χρόνον ποὺ τὰ ἀπεκτήσαμεν καὶ λέγομεν μεταξύ μας· τὸν τάδε ὑπηρέτην τὸν ἀπέκτησα κατὰ τὴν δεῖνα ἑορτήν, τὸ ἔνδυμα ἐκεῖνο τὸ ἀγόρασα ἐκείνην τὴν ἐποχήν, ἔτσι λοιπὸν καὶ τὸν νόμον αὐτὸν ἂν κατορθώσωμεν νὰ τηρήσωμεν θὰ εἴπωμεν ὅτι κατ' αὐτὴν τὴν τεσσαρακοστὴν κατώρθωσα νὰ μὴ ὁρκίζωμαι· ἕως τότε ὡρκιζόμουν καὶ ὅταν ἤκουσα ἁπλῆν καὶ μόνον συμβουλὴν ἀπέκοψα αὐτὴν τὴν ἁμαρτίαν.

Ἀλλὰ ἴσως μοῦ εἰπῆτε, εἶναι δύσκολον νὰ κατορθώσω νὰ κόψω αὐτὴν τὴν συνήθειαν. Τὸ γνωρίζω καὶ ἐγώ, καὶ διὰ τοῦτο βιάζομαι νὰ σᾶς ὁδηγήσω εἰς ἄλλην συνήθειαν, ἡ ὁποία εἶναι καλὴ καὶ ἔχει κέρδος. Διότι ὅταν εἰπῇς ὅτι εἶναι δύσκολον νὰ ἀπομακρυνθῶ ἀπὸ τὴν συνήθειαν αὐτήν, δι' αὐτὸ ἀκριβῶς νὰ προσπαθήσῃς νὰ ἀποχωρισθῇς, γνωρίζων καλῶς, ὅτι ἐὰν ἀποκτήσῃς ἄλλην συνήθειαν, τὴν συνήθειαν νὰ μὴ ὁρκίζεσαι, καθόλου δὲν θὰ δυσκολευθῇς εἰς τὸ μέλλον. Τί εἶναι δυσκολώτερον νὰ μὴ ὁρκισθῇς ἢ νὰ εἶσαι νηστικὸς καὶ μὲ ὑδροποσίαν καὶ λιτὴν δίαιταν νὰ ταλαιπωρῆσαι; Εἶναι φανερὸν ὅτι τοῦτο εἶναι δυσκολώτερον ἐκείνου· καὶ ὅμως τόσον μεγάλο καὶ δυνατὸν πρᾶγμα εἶναι ἡ συνήθεια, ὥστε ὅταν ἔλθῃ ἡ νηστεία, ἀκόμα καὶ ἂν κάποιος παρακαλῇ πάρα πολὺ καὶ πιέζῃ καὶ βιάζῃ ὥστε νὰ συμμετάσχῃ εἰς οἰνοποσίας ἢ εἰς κάτι ἄλλο ἀπὸ τὰ φαγητὰ ποὺ δὲν ἐπιτρέπεται νὰ τρώγῃ κατὰ τὸν καιρὸν τῆς νηστείας, τὰ πάντα θὰ προτιμοῦσε νὰ πάθῃ κάποιος παρὰ νὰ γευθῇ τὴν μὴ ἐπιτρεπομένην τροφήν· καὶ ἐνῷ μᾶς εὐχαριστοῦν τὰ καλὰ φαγητά, ὅμως ἐξ αἰτίας τῆς συνηθείας ποὺ μᾶς ἐπέβαλεν ἡ συνείδησις ὑπο-

Τοῦτο δὴ καὶ ἐπὶ τῶν ὅρκων ἔσται· καὶ καθάπερ νῦν, κἂν μυρίαν ἀνάγκην τις ἐπιθῇ, μένεις κατέχων τὴν συνήθειαν· Οὕτω καὶ τότε, κἂν μυρία τις παρακαλῇ, οὐκ ἀποστήσῃ τῆς συνηθείας.

7. Ἀπιὼν τοίνυν οἴκοι, διαλέγου ταῦτα τοῖς κατὰ τὴν οἰκίαν ἅπασι· καὶ καθάπερ πολλοὶ πολλάκις ἐκ λειμῶνος ἀναχωροῦντες, ῥόλον, ἢ ἴον, ἤ τι τῶν τοιούτων ἀνθῶν λαβόντες, καὶ τοῖς δακτύλοις περιφέροντες ἀναχωροῦσιν· ἕτεροι δὲ πάλιν ἐκ παραδείσων οἴκαδε ἀπιόντες, κλάδους δένδρων καρποὺς ἔχοντας ἐπικομίζονται· ἄλλοι πάλιν ἀπὸ δείπνων πολυτελῶν λείψανα τῆς τραπέζης τοῖς ἑαυτῶν ἐπιτηδείοις φέρουσιν· οὕτω δὴ καὶ σὺ ἐντεῦθεν ἀπιών, ἀπένεγκε παραίνεσιν τῇ γυναικί, τοῖς παιδίοις, τοῖς ἐπιτηδείοις ἅπασιν. Αὕτη γὰρ καὶ λειμῶνος, καὶ παραδείσου καὶ τραπέζης χρησιμωτέρα ἐστὶν ἡ συμβουλή· ταῦτα οὐδέποτε τὰ ῥόδα μαραίνονται, οὗτοι οὐδέποτε καταρρέουσιν οἱ καρποί, ταῦτα οὐδέποτε τὰ ἐδέσματα σήπεται· ἀπ' ἐκείνων πρόσκαιρος ἡ τέρψις, ἀπὸ δὲ τούτων διηνεκὴς ἡ ὠφέλεια· οὐ μετὰ τὸ κατορθωθῆναι μόνον, ἀλλὰ καὶ ἐν αὐτῷ τῷ κατορθοῦσθαι.

Ἐννόησον γὰρ οἷόν ἐστι πάντα τὰ ἄλλα ἀφέντας τὰ δημόσια, τὰ ἰδιωτικά, περὶ τῶν θείων διαλέγεσθαι νόμων διαπαντός, καὶ ἐπὶ τραπέζης, καὶ ἐν ἀγορᾷ, καὶ ἐν ταῖς ἄλλαις συνουσίαις. Ἂν τούτοις σχολάζωμεν, οὐδὲν ἐροῦμεν ἐπικίνδυνον, οὐδὲ σφαλερόν, οὐδ' ἄκοντες ἁμαρτησόμεθα· ἀλλὰ καὶ τῆς ἐπικειμένης ἀθυμίας ἐν τῇ περὶ τούτων διαλέξει σχολάζοντες, τὴν ψυχὴν ὑπεξαγαγεῖν δυνησόμεθα, ἀντὶ τῆς φροντίδος ἧς φροντίζομεν πρὸς ἀλλήλους ἀεὶ λέγοντες· ἆρα ἤκουσεν ὁ βασιλεὺς τὰ γεγενημένα; Ἆρα παρωξύνθη; Τί

φέρομεν ὅλας τὰς ταλαιπωρίας μὲ γενναιότητα. Αὐτὸ θὰ γίνῃ καὶ μὲ τοὺς ὅρκους· καὶ ὅπως τώρα, καὶ ἂν κανεὶς σὲ ἀναγκάσῃ πολύ, μένεις σταθερὸς εἰς τὴν συνήθειαν· ἔτσι καὶ τότε καὶ ἂν σὲ παρακαλῇ κάποιος ὑπερβολικά, δὲν θὰ ἀπομακρυνθῇς ἀπὸ τὴν συνήθειαν νὰ ὁρκίζεσαι.

7. Ὅταν λοιπὸν ἐπιστρέψῃς εἰς τὴν οἰκίαν σου, νὰ εἰπῇς αὐτὰ εἰς ὅλους ὅσοι εὑρίσκονται μέσα ἐκεῖ· καὶ ὅπως πολλοὶ πολλάκις ἀναχωροῦντες ἀπὸ τὰ λειβάδια, παίρνουν τριαντάφυλλον ἢ ἴον ἢ κάτι ἄλλο ἀπὸ τὰ ἄνθη καὶ τὸ περιφέρουν εἰς τὰ δάκτυλά των· ἄλλοι δὲ πάλιν φεύγοντες διὰ τὸ σπίτι των ἀπὸ κήπους παίρνουν μαζί τους κλάδους δένδρων ποὺ ἔχουν καρπούς· ἄλλοι πάλιν ποὺ ἦσαν σὲ πλούσιο τραπέζι προσκεκλημένοι, φέρουν εἰς τοὺς φίλους των ὑπολείμματα φαγητῶν, ἔτσι λοιπὸν καὶ σὺ ὅταν φύγῃς ἀπὸ ἐδῶ νὰ φέρῃς συμβουλὴν εἰς τὴν γυναῖκα σου, εἰς τὰ παιδιά σου καὶ εἰς ὅλους τοὺς φίλους. Διότι αὐτὴ ἡ συμβουλὴ εἶναι ὠφελιμωτέρα ἀπὸ τὰ λειβάδια καὶ ἀπὸ τὸν κῆπον καὶ ἀπὸ τὴν πλουσίαν τράπεζαν· αὐτὰ τὰ τριαντάφυλλα οὐδέποτε μαραίνονται, αὐτοὶ οἱ καρποὶ οὐδέποτε χαλοῦν, αὐτὰ τὰ φαγητὰ οὐδέποτε σήπονται· ἀπὸ ἐκεῖνα ἡ εὐχαρίστησις εἶναι πρόσκαιρος, ἀπὸ αὐτὰ ἡ ὠφέλεια εἶναι διαρκής, καὶ ὄχι μόνον ὅταν τὰ ἐπιτύχῃ κανείς, ἀλλὰ καὶ κατὰ τὸν χρόνον ποὺ ἐπιδιώκει διὰ νὰ τὰ ἐπιτύχῃ.

Διότι σκέψου πόσον μεγάλο εἶναι νὰ ἀφήσωμεν ὅλα τὰ ἄλλα τὰ δημόσια πράγματα, τὰ ἰδιωτικὰ καὶ νὰ συνομιλῶμεν διαρκῶς περὶ τῶν θείων, καὶ ὅταν εὑρισκώμεθα εἰς τὸ τραπέζι, καὶ εἰς τὴν ἀγορὰν καὶ εἰς τὰς ἄλλας συναναστροφάς. Ἂν μὲ αὐτὰ ἀσχολούμεθα, δὲν θὰ εἴπουμεν κανένα λόγον ἐπικίνδυνον, οὔτε κανένα ἐσφαλμένον, καὶ οὔτε θὰ ἁμαρτήσωμεν παρὰ τὴν θέλησίν μας· ἀλλὰ ἕνεκα τῆς ἀσχολίας μὲ αὐτά, θὰ ἠμπορέσωμεν νὰ ἀπαλλάξωμεν τὴν ψυχήν μας ἀπὸ τὴν λύπην, ποὺ τὴν κατέχει, καὶ τὴν ἀνησυχίαν, ἕνεκα τῆς ὁποίας ἐρωτῶμεν ὁ ἕνας εἰς τὸν ἄλλον λέγοντες· ἆρά γε ἤκουσεν ὁ βασιλεὺς αὐτὰ ποὺ συνέβησαν; Ἆρά γε ὠργί-

δὲ ἐψηφίσατο; Ἆρα παρεκάλεσέ τις αὐτόν; Τί δέ, αὐτὸς ἀνέξεται πόλιν οὕτω καὶ μεγάλην καὶ πολυάνθρωπον ἀφανίσαι τέλεον;

Ταῦτα μὲν καὶ τὰ τοιαῦτα πάντα ἐπὶ τὸν Θεὸν ῥίψαντες, τὰ παρ' αὐτοῦ προστεταγμένα μεριμνῶμεν μόνον· οὕτω γὰρ κἀκεῖνα διαλυσόμεθα πάντα, κἂν δέκα ἐν ἡμῖν κατορθώσωσι μόνον, ταχέως εἴκοσι οἱ δέκα γενήσονται, οἱ εἴκοσι πεντήκοντα, οἱ πεντήκοντα ἑκατόν, οἱ ἑκατὸν χίλιοι, οἱ χίλιοι πᾶσα ἡ πόλις. Καὶ καθάπερ δέκα ἀφθέντων λύχνων ῥᾳδίως τὴν οἰκίαν ἅπασαν ἐμπλῆσαι δυνήσεταί τις τοῦ φωτός· οὕτω δὴ καὶ ἐπὶ τῶν κατορθωμάτων τῶν πνευματικῶν, ἂν δέκα κατορθώσωσι μόνοι, πυρὰν ὁλόκληρον εἰς τὴν πόλιν ἀνάψομεν φῶς ἔχουσαν, καὶ ἀσφάλειαν ἡμῖν κομίζουσαν. Οὐ γὰρ οὕτω τῆς φλογὸς ἡ φύσις εἰς ὕλην ἐμπεσοῦσα τῶν ἐγγιζόντων ἀεὶ ξύλων ἅπτεται, ὡς ἀρετῆς ζῆλος εἰς ψυχὰς ὀλίγας ἐμπεσών, ὁδῷ προβαίνων πᾶσαν ἐμπλῆσαι τὴν πόλιν δυνήσεται.

Δότε τοίνυν ἐμοὶ καυχήσασθαι ἐφ' ὑμῖν, καὶ κατὰ τὸν παρόντα βίον, καὶ κατὰ τὴν μέλλουσαν ἡμέραν, ὅταν οἱ τὰ τάλαντα ἐμπιστευθέντας εἰσάγωνται· ἀρκῶν ἐμοὶ μισθὸς τῶν πόνων ἡ ὑμετέρα εὐδοκίμησις, καὶ ἴδω ὑμᾶς μετ' εὐσεβείας ζῶντας, τὸ πᾶν ἀπείληφα. Ποιήσατε τοίνυν, ὃ καὶ χθὲς παρήνεσά τε καὶ σήμερον ἐρῶ, καὶ λέγων οὐ παύσομαι· καταδίκην κατὰ τῶν ὀμνυόντων ὁρίσαντες, καταδίκην κέρδος ἔχουσαν, οὐ ζημίαν κατασκευάσασθε λοιπὸν ὡς δοκιμὴν ἡμῖν δώσοντες τοῦ κατορθώματος.

Καὶ γὰρ πειράσομαι πρὸς ἕκαστον ὑμῶν μακρὸν ἀποτεῖναι λόγον τοῦ συλλόγου τούτου διαλυθέντος, ἵνα ἐν τῷ μήκει τῶν λεγομένων εὕρω τοὺς κατωρθωκότας· κἂν ἴδω τινὰ ὀμνύοντα, ἅπασιν αὐτὸν τοῖς κατωρθωκόσι ποιήσω φα-

σθη; Τί ἀπεφάσισεν; Ἆρά γε τὸν ἐμαλάκωσε κανείς; Τί λοιπόν, θὰ ἀνεχθῇ νὰ ἐξαφανίσῃ τὴν πόλιν τελείως, τὴν τόσον μεγάλην καὶ πολυάνθρωπον;

Αὐτὰ μὲν καὶ τὰ τοιαῦτα ὅλα ἀφοῦ τὰ ἀναθέσωμεν εἰς τὸν Θεόν, ἂς μεριμνῶμεν μόνον δι᾽ αὐτὰ ποὺ ἔχουν προσταχθῇ ἀπὸ αὐτόν· διότι ἔτσι καὶ ἐκεῖνα ὅλα θὰ τὰ διαλύσωμεν, ἀκόμα καὶ ἂν δέκα μόνον μεταξύ μας τὸ ἐπιτύχουν μόνον, γρήγορα οἱ δέκα θὰ γίνουν εἴκοσι, οἱ εἴκοσι πενήντα, οἱ πενήντα ἑκατόν, οἱ ἑκατὸν χίλιοι, οἱ χίλιοι ὅλη ἡ πόλις. Καὶ ὅπως ὅταν ἀναφθοῦν δέκα λύχνοι εὔκολα ἠμπορεῖ νὰ γεμίσῃ μὲ φῶς ὁλόκληρον τὸ σπίτι, ἔτσι λοιπὸν καὶ εἰς τὰ πνευματικὰ κατορθώματα, ἂν μόνον δέκα κατορθώσουν αὐτό, θὰ ἀνάψωμεν μεγάλην φωτιὰν εἰς τὴν πόλιν, ἡ ὁποία θὰ μᾶς φωτίζῃ καὶ θὰ μᾶς παρέχῃ ἀσφάλειαν. Διότι ἡ φωτιά, ὅταν πέσῃ εἰς ὕλην ποὺ καίεται, δὲν μεταδίδεται πάντοτε μὲ τόσην ὁρμὴν εἰς τὰ ξύλα ποὺ ἐγγίζει, μὲ ὅσην μεταδίδεται ὁ ζῆλος τῆς ἀρετῆς ὅταν πέσῃ εἰς ὀλίγας ψυχὰς καὶ ὁ ὁποῖος ὀλίγον κατ᾽ ὀλίγον θὰ ἠμπορέσῃ νὰ γεμίσῃ ὅλην τὴν πόλιν.

Δώσατέ μου λοιπὸν τὴν χαρὰν νὰ καυχηθῶ διὰ σᾶς, καὶ κατὰ τὸν παρόντα βίον καὶ κατὰ τὴν ἡμέραν τῆς μελλούσης κρίσεως, ὅταν θὰ ὁδηγοῦνται ἐνώπιον τοῦ Θεοῦ ἐκεῖνοι εἰς τοὺς ὁποίους ἐνεπιστεύθη τὰ τάλαντα· ἀρκεῖ εἰς ἐμὲ ὡς μισθὸς διὰ τοὺς κόπους μου ἡ ἰδική σας προκοπή, καὶ ἂν σᾶς ἰδῶ νὰ ζῆτε μὲ εὐσέβειαν ἐκέρδισα τὸ πᾶν. Κάμετε λοιπὸν αὐτὸ ποὺ καὶ χθὲς σᾶς συνεβούλευσα, αὐτὸ ποὺ καὶ τώρα θὰ σᾶς εἰπῶ καὶ ποὺ δὲν θὰ παύσω νὰ λέγω· ἀφοῦ καθορίσετε καταδίκην κατ᾽ αὐτῶν ποὺ ὁρκίζόονται, καταδίκην ἡ ὁποία φέρει κέρδος καὶ ὄχι ζημίαν, ἑτοιμασθῆτε νὰ σᾶς δοκιμάσω ἐὰν θὰ τὸ ἐπιτύχετε.

Διότι ὅταν διαλυθῇ ἡ συγκέντρωσις αὐτὴ θὰ προσπαθήσω νὰ ὁμιλήσω ἐπὶ πολὺν χρόνον μὲ κάθε ἕνα ἀπὸ σᾶς, διὰ νὰ ἐξακριβώσω ἀπὸ τὴν ἐπὶ πολὺν ὥραν συνομιλίαν μὲ σᾶς, ποῖοι ἐπέτυχον τοῦτο· καὶ ἐὰν εὕρω κάποιον νὰ ὁρκίζεται, θὰ τὸν φανερώσω εἰς ὅλους ἐκείνους ποὺ ἐπέτυχαν

νερόν, ἵνα ἐπιτιμῶντες, ἐλέγχοντες, διορθοῦντες, ταχέως αὐτὸν τῆς πονηρᾶς ἀπαλλάξωμεν συνηθείας. Καὶ γὰρ βέλτιον ἐνταῦθα ὀνειδισθέντα διορθώσασθαι, ἢ κατὰ τὴν ἡμέραν ἐκείνην κοινῇ τῆς οἰκουμένης ἁπάσης παρούσης ἀσχημονεῖν καὶ κολάζεσθαι, τῶν ἁμαρτημάτων ἡμῖν ὑπὸ τοῖς ἁπάντων ἐκκαλυπτομένων ὀφθαλμοῖς. Ἀλλὰ μὴ γένοιτο τοῦ καλοῦ τούτου συλλόγου φανῆναί τινα ἐκεῖ ταῦτα πάσχοντα, ἀλλ᾽ εὐχαῖς τῶν ἁγίων πατέρων ἅπαντα τὰ ἁμαρτήματα διορθωσάμενοι, καὶ τὸν τῆς ἀρετῆς καρπὸν πολὺν ἐπιδειξάμενοι μετὰ πολλῆς ἐντεῦθεν ἀπέλθοιμεν παρρησίας, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, δι᾽ οὗ καὶ μεθ᾽ οὗ τῷ Πατρὶ ἡ δόξα, ἅμα τῷ ἁγίῳ Πνεύματι καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

νὰ μὴ ὁρκίζωνται, διὰ νὰ ἀπαλλάξωμεν αὐτὸν ἀπὸ τὴν κακὴν αὐτὴν συνήθειαν μὲ τοὺς ἐλέγχους, μὲ τὶς ἐπιτιμήσεις καὶ τοὺς ἄλλους τρόπους διορθώσεως. Καθ' ὅσον εἶναι προτιμώτερον νὰ ὀνειδισθῇ κανεὶς ἐδῶ καὶ νὰ διορθωθῇ παρὰ νὰ ἐντροπιάζεται καὶ νὰ τιμωρῆται κατὰ τὴν ἡμέραν ἐκείνην τῆς κρίσεως ἐνώπιον ὅλης τῆς οἰκουμένης, διότι τὰ ἁμαρτήματά μας ὅλα θὰ ξεσκεπάζωνται ἐνώπιον ὅλων. Ἀλλὰ εἴθε νὰ μὴ συμβῇ εἰς κανέναν ἀπὸ τὴν καλὴν αὐτὴν συγκέντρωσιν νὰ πάθῃ ἐκεῖ αὐτά, ἀλλὰ ἀφοῦ διορθώσωμεν διὰ τῶν εὐχῶν τῶν ἁγίων πατέρων ὅλα τὰ ἁμαρτήματα, καὶ ἐπιδείξωμεν πολὺν τὸν καρπὸν τῆς ἀρετῆς, νὰ φύγωμεν ἀπὸ ἐδῶ μὲ μεγάλην παρρησίαν, διὰ τῆς χάριτος καὶ φιλανθρωπίας τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, διὰ τοῦ ὁποίου καὶ μετὰ τοῦ ὁποίου εἰς τὸν Πατέρα ἀνήκει ἡ δόξα συγχρόνως καὶ εἰς τὸ ἅγιον Πνεῦμα, εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ΟΜΙΛΙΑ ΕΒΔΟΜΗ

ΟΤΙ ΤΟ ΤΗΣ ΛΥΠΗΣ ΠΑΘΟΣ

εἰς ἁμαρτίας ἀναίρεσιν μόνον χρήσιμον, καὶ εἰς τό, «Ἐν ἀρχῇ ἐποίησεν ὁ Θεὸς τὸν οὐρανὸν καὶ τὴν γῆν», καὶ ὅτι μεγίστης παρακλήσεως ὑπόθεσις ἡ τῆς δημιουργίας κατασκευή· ἐν ᾧ καὶ περὶ τοῦ, «Ἀδάμ, ποῦ εἶ;», καὶ περὶ τοῦ μὴ ὀμνύειν.

1. Πολλὰ μὲν καὶ περὶ πολλῶν χθὲς πρὸς τὴν ὑμετέραν διελέχθην ἀγάπην, ἀπὸ δὲ τῶν πολλῶν, εἰς μὴ πάντα κατέχειν ὑμῖν δυνατόν, ἐκεῖνο μάλιστα πάντων ὑμᾶς διαμνημονεῦσαι δέομαι, ὅτι τὴν λύπην ἡμῖν ὁ Θεὸς δι' οὐδὲν ἕτερον ἐνέθηκεν, ἀλλ' ἢ δι' ἁμαρτίαν μόνην, καὶ τοῦτο ἐδήλωσε δι' αὐτῆς τῶν πραγμάτων τῆς πείρας. Ἐπὶ μὲν γὰρ ζημίᾳ χρημάτων, καὶ ἀρρωστίᾳ, καὶ θανάτῳ, καὶ τοῖς ἄλλοις τοῖς συμπίπτουσιν ἡμῖν δεινοῖς ἀλγοῦντες καὶ ἀθυμοῦντες, οὐ μόνον οὐδεμίαν ἀπὸ τῆς λύπης καρπούμεθα παραμυθίαν, ἀλλὰ καὶ ἐπιτείνομεν τὰ δεινά· ἐπὶ δὲ τῶν ἁμαρτημάτων ἂν ἀλγήσωμεν καὶ λυπηθῶμεν, ὑποτεμνόμεθα τῆς ἁμαρτίας τὸν ὄγκον, καὶ μικρὰν τὴν μεγάλην ποιοῦμεν πολλάκις δὲ καὶ τέλεον αὐτὴν ἐξαλείφομεν ἅπασαν.

Τοῦτο δή μοι μέμνησθε διηνεκῶς, ἵνα ἐφ' ἁμαρτίᾳ μόνον ἀλγῆτε, ἐφ' ἑτέρῳ δὲ μηδενί· καὶ μετὰ τούτων κἀκεῖνο πάλιν ὅτι θάνατον καὶ λύπην ἡ ἁμαρτία εἰς τὸν βίον ἡμῶν εἰσενεγκοῦσα, ὑπ' ἀμφοτέρων τούτων ἀναιρεῖται πάλιν, ὅπερ οὖν καὶ αὐτὸ σαφέστερον πρῴην ἀπεδείξαμεν. Μηδὲν οὖν οὕτω φοβώμεθα, ὡς τὸ ἁμαρτάνειν καὶ πλημμελεῖν· μὴ φοβώμεθα

ΟΜΙΛΙΑ ΕΒΔΟΜΗ

ΠΕΡΙ ΤΟΥ ΟΤΙ Η ΛΥΠΗ ΕΙΝΑΙ ΧΡΗΣΙΜΗ

μόνον διὰ τὴν ἐξάλειψιν τῆς ἁμαρτίας, καὶ εἰς τὸ «ἐν ἀρχῇ ἐδημιούργησεν ὁ Θεὸς τὸν οὐρανὸν καὶ τὴν γῆν», καὶ ὅτι ἡ δημιουργία τοῦ κόσμου εἶναι βάσις μεγίστης παρηγορίας· καὶ περὶ τοῦ «ποῦ εἶσαι, Ἀδάμ;», καὶ περὶ τοῦ ὅτι δὲν πρέπει νὰ ὁρκιζώμεθα.

1. Πολλὰ καὶ περὶ πολλῶν ζητημάτων ὡμίλησα χθὲς πρὸς τὴν ἀγάπην σας, ἀπὸ τὰ πολλὰ δὲ αὐτά, ἐὰν δὲν εἶναι δυνατὸν νὰ τὰ συγκρατήσετε ὅλα εἰς τὸν νοῦν σας, ἐκεῖνο περισσότερον ἀπὸ ὅλα θὰ παρακαλέσω νὰ ἐνθυμῆσθε ὅτι τὴν λύπην δὲν τὴν ἔθεσεν εἰς ἡμᾶς ὁ Θεὸς διὰ κανένα ἄλλον σκοπόν, παρὰ μόνον δι' ἀντιφάρμακον τῆς ἁμαρτίας, καὶ αὐτὸ τὸ ἐφανέρωσε διὰ τῆς πείρας τῶν πραγμάτων. Διότι ὅταν λυπούμεθα καὶ στενοχωρούμεθα διὰ ζημίαν χρηματικὴν καὶ ἀσθένειαν καὶ θάνατον καὶ δι' ἄλλα κακὰ ποὺ μᾶς ἐπισυμβαίνουν, ὄχι μόνον δὲν παρηγορούμεθα καθόλου ἀπὸ τὴν λύπην, ἀλλὰ ἀντιθέτως καὶ ἐπιτείνομεν αὐτά· ἂν ὅμως λυπηθῶμεν καὶ στενοχωρηθῶμεν διὰ τὰ ἁμαρτήματα, ἐλαττώνομεν τὸν ὄγκον τῆς ἁμαρτίας καὶ τὴν μεγάλην τὴν κάμνομεν μικράν, πολλάκις δὲ καὶ ἐντελῶς τὴν ἐξαλείφομεν.

Τοῦτο, λοιπόν, σᾶς παρακαλῶ νὰ ἐνθυμῆσθε συνεχῶς, διὰ νὰ λυπᾶσθε μόνον διὰ τὴν ἁμαρτίαν καὶ διὰ τίποτε ἄλλο· καὶ μαζὶ μὲ αὐτὸ νὰ ἐνθυμῆσθε καὶ τοῦτο, ὅτι ἡ ἁμαρτία, ἀφοῦ εἰσήγαγεν εἰς τὸν βίον μας τὸν θάνατον καὶ τὴν λύπην, πάλιν ὑπὸ τῶν δύο τούτων ἀναιρεῖται, πρᾶγμα ποὺ σαφέστερον ἀπεδείξαμεν εἰς τὴν προηγουμένην ὁμιλίαν. Λοιπὸν τίποτε δὲν πρέπει νὰ φοβούμεθα τόσον, ὅσον τὸ νὰ ἁμαρτάνωμεν· ἂς μὴ φοβούμεθα τὴν τιμωρίαν τῆς κολάσεως,

κόλασιν, καὶ διαφευξόμεθα κόλασιν· καθάπερ οὖν καὶ οἱ τρεῖς παῖδες οὐκ ἐφοβήθησαν τὴν κάμινον, καὶ διέφυγον τὴν κάμινον· τοιούτους εἶναι χρὴ τοὺς τοῦ Θεοῦ δούλους.

Εἰ γὰρ οἱ ἐν τῇ Παλαιᾷ τραφέντες, ὅτε οὔπω ἐνενέκρωτο θάνατος, οὔτε αἱ χαλκαῖ πύλαι συνεκλάσθησαν, οὔτε οἱ μοχλοὶ οἱ σιδηροῖ συνετρίβησαν, οὕτω γενναίως κατετόλμησαν τῆς τελευτῆς, τίνα ἕξομεν ἀπολογίαν ἡμεῖς, ἢ ποίαν συγγνώμην, τοσαύτης ἀπολαύσαντες τῆς χάριτος, καὶ μηδὲ πρὸς τὰ αὐτὰ φθάνοντες ἐκείνοις μέτρα τῆς ἀρετῆς νῦν, ὅτε ὄνομα μόνον ἐστὶν ὁ θάνατος πράγματος ἔρημον; Οὐδὲν γὰρ ἕτερόν ἐστιν ὁ θάνατος, ἀλλ' ἢ ὕπνος, καὶ ἀποδημία, καὶ μετάστασις, καὶ ἀνάπαυσις, καὶ λιμὴν εὔδιος, καὶ ταραχῆς ἀπαλλαγή, καὶ βιωτικῶν ἐλευθερία φροντίδων.

Ἀλλὰ τῆς μὲν παρακλήσεως ἐνταῦθα καταλύσωμεν τὸν λόγον· καὶ γὰρ πέμπτην ἡμέραν ἔχομεν παρακαλοῦντες ὑμῶν τὴν ἀγάπην, καὶ λοιπὸν καὶ ἐνοχλεῖν δοκοῦμεν. Τοῖς μὲν γὰρ προσέχουσιν ἀρκεῖ τὰ εἰρημένα, τοῖς δὲ μικροψύχοις, κἂν πλείονα τῶν εἰρημένων προσθῶμεν, οὐδὲν ἔσται πλέον. Ὥρα δὲ λοιπὸν ἡμῖν ἐπὶ τὴν τῶν Γραφῶν ἐξήγησιν τρέψαι τὴν διδασκαλίαν. Ὥσπερ γὰρ εἰ μηδὲν περὶ τῆς συμφορᾶς ταύτης διελέχθημεν, ὠμότητα ἄν τις ἡμῶν κατέγνω καὶ ἀπανθρωπίαν· οὕτως ἂν διαπαντὸς περὶ αὐτῆς διαλεγώμεθα, μικροψυχίαν ἄν τις ἡμῶν καταγνοίη δικαίως. Παραθέμενοι τοίνυν ὑμῶν τὰς καρδίας τῷ Θεῷ τῷ δυναμένῳ λαλῆσαι εἰς τὴν διάνοιαν ὑμῶν, καὶ πᾶσαν ἔνδοθεν ἀπελάσαι λύπην, τῆς εἰωθίας διδασκαλίας ἁψώμεθα νῦν, καὶ μάλιστα ὁπότε καὶ πᾶσα Γραφῆς ἐξήγησις παράκλησίς ἐστι καὶ παραμυθία.

Ὥστε κἂν δοκῶμεν ἀφίστασθαι τοῦ παρακαλεῖν, πάλιν εἰς τὴν αὐτὴν ἐμπίπτομεν ὑπόθεσιν διὰ τῆς τῶν Γραφῶν

καὶ θὰ διαφύγωμεν αὐτήν· ὅπως καὶ οἱ τρεῖς παῖδες δὲν ἐφοβήθησαν τὴν κάμινον, καὶ διέφυγον τὴν κάμινον· τέτοιοι πρέπει νὰ εἶναι οἱ δοῦλοι τοῦ Θεοῦ.

Διότι ἐὰν ἐκεῖνοι ποὺ ἐπαιδαγωγήθησαν μὲ τὴν Παλαιὰν Διαθήκην, ὅτε δὲν εἶχεν ἀκόμη νεκρωθῇ ὁ θάνατος καὶ δὲν ἔσπασαν αἱ χάλκιναι πῦλαι τοῦ Ἅδου, οὔτε οἱ σιδερένιοι μοχλοὶ συνετρίβησαν, ἐτόλμησαν μὲ τόσην γενναιότητα νὰ ἀποθάνουν, ποίαν ἀπολογίαν θὰ ἔχωμεν ἡμεῖς, ἢ ποίαν συγγνώμην, ποὺ ἔχομεν ἀπολαύσει τόσης χάριτος, καὶ δὲν φθάνομεν οὔτε εἰς τὰ ἴδια μὲ ἐκείνους μέτρα τῆς ἀρετῆς τώρα, ποὺ ὁ θάνατος ἔχει μόνον ὄνομα καὶ στερεῖται ἀπὸ πραγματικὸν περιεχόμενον; Διότι τίποτε ἄλλο δὲν εἶναι ὁ θάνατος, παρὰ ὕπνος καὶ ταξίδι καὶ μετακίνησις καὶ ἀνάπαυσις καὶ ἥσυχον λιμάνι καὶ ἀπαλλαγὴ ἀπὸ τὴν ταραχὴν καὶ ἐλευθερία ἀπὸ τὰς φροντίδας τοῦ βίου.

Ἀλλὰ ἐδῶ θὰ σταματήσω τὸν λόγον, περὶ παρηγορίας· διότι ἐπὶ πέντε ἡμέρας παρηγοροῦμεν τὴν ἀγάπην σας καὶ ἂν συνεχίσωμεν νομίζω ὅτι θὰ γίνωμεν ἐνοχλητικοί. Διότι εἰς αὐτοὺς ποὺ προσέχουν εἶναι ἀρκετὰ αὐτὰ ποὺ ἐλέχθησαν, διὰ δὲ τοὺς ὀλιγοψύχους ἀκόμα καὶ ἂν προσθέσωμεν περισσότερα ἀπὸ ὅσα ἐλέχθησαν, δὲν θὰ προέλθῃ καμμία ὠφέλεια. Εἶναι καιρὸς λοιπὸν νὰ στρέψωμεν τὴν διδασκαλίαν εἰς τὴν ἐξήγησιν τῶν Γραφῶν. Διότι ὅπως, ἐὰν δὲν ὡμιλούσαμεν καθόλου περὶ τῆς συμφορᾶς αὐτῆς, θὰ μᾶς κατηγοροῦσε κανεὶς ὡς σκληροὺς καὶ ἀπανθρώπους, ἔτσι καὶ ἂν συνεχῶς περὶ αὐτῆς ὁμιλῶμεν, δικαίως θὰ μᾶς καταλογίσῃ κανεὶς ὅτι διακατεχόμεθα ἀπὸ μικροψυχίαν καὶ δειλίαν. Ἀφοῦ δώσετε τὰς καρδίας σας εἰς τὸν Θεὸν ὁ ὁποῖος ἠμπορεῖ νὰ ὁμιλήσῃ εἰς τὴν διάνοιάν σας καὶ νὰ ἀπομακρύνῃ κάθε ἐσωτερικὴν λύπην, ἂς ἀρχίσωμεν τώρα τὴν συνήθη διδασκαλίαν, ἀφοῦ μάλιστα κάθε ἐξήγησις τῆς Γραφῆς εἶναι παράκλησις καὶ παρηγορία.

Ὥστε καὶ ἂν φαινώμεθα ὅτι ἀπομακρυνόμεθα ἀπὸ τὸ θέμα τῆς παρηγορίας, πάλιν ἐπανερχόμεθα εἰς τὸ ἴ-

ἐξηγήσεως· ὅτι γὰρ πᾶσα Γραφὴ παράκλησίς ἐστι τοῖς προσέχουσιν, αὐτόθεν ὑμῖν τοῦτο ποιήσω φανερόν. Οὐ γὰρ δὴ περιελθὼν τῶν Γραφῶν τὰς ἱστορίας πειράσομαι ζητῆσαι παραμυθητικούς τινας λόγους· ἀλλ' ὥστε σαφεστέραν τῆς ὑποσχέσεως ἀπόδειξιν παρασχεῖν, τὸ σήμερον ἡμῖν ἀναγνωσθὲν μεταχειριοῦμαι βιβλίον, καὶ εἰ δοκεῖ τὴν ἀρχὴν αὐτοῦ, καὶ τὸ προοίμιον, ὃ δοκεῖ μάλιστα μηδὲ ἴχνος ἐμφαίνειν παραμυθίας, ἀλλὰ καὶ καθόλου παρακλητικῶν ἀλλοτριοῦσθαι λόγων, εἰς μέσον προθείς, ὃ λέγω ποιήσω φανερόν. Τί ποτ' οὖν ἐστι τὸ προοίμιον; «Ἐν ἀρχῇ ἐποίησεν ὁ Θεὸς τὸν οὐρανὸν καὶ τὴν γῆν· ἡ δὲ γῆ ἦν ἀόρατος καὶ ἀκατασκεύαστος, καὶ σκότος ἐπάνω τῆς ἀβύσσου». Ἆρα μὴ δοκεῖ τισιν ὑμῶν παράκλησιν ἔχειν ἀθυμίας τὰ εἰρημένα; Οὐχ ἱστορίας διήγησίς ἐστι καὶ δημιουργίας διδασκαλία;

2. Βούλεσθε οὖν ἐπιδείξω τὴν ἐγκεκρυμμένην τῇ ῥήσει ταύτῃ παράκλησιν; Διανάστητε τοίνυν, καὶ μετὰ ἀκριβείας προσέχετε τοῖς ῥηθήσεσθαι μέλλουσιν. Ὅταν γὰρ ἀκούσῃς ὅτι τὸν οὐρανόν, τὴν γῆν, τὴν θάλατταν, τὸν ἀέρα, τὰ ὕδατα, τοὺς ἀστέρας τοὺς πολλούς, τοὺς δύο φωστῆρας τοὺς μεγάλους, τὰ φυτά, τὰ τετράποδα, τὰ νηκτά, τὰ πετόμενα ζῶα, πάντα ἁπλῶς τὰ ὁρώμενα διὰ σὲ καὶ τὴν σὴν σωτηρίαν καὶ τιμὴν ἐποίησεν ὁ Θεός, οὐκ ἱκανὴν εὐθέως λαμβάνεις παράκλησιν, καὶ τῆς ἀγάπης τοῦ Θεοῦ μεγίστην δέχῃ ταύτην ἀπόδειξιν, ὅταν ἐννοήσῃς, ὅτι τοσοῦτον καὶ τηλικοῦτον κόσμον, οὕτω καλόν, καὶ μέγαν, καὶ θαυμαστὸν διὰ σὲ τὸν βραχὺν εἰς μέσον παρήγαγεν;

Ὅταν οὖν ἀκούσῃς, ὅτι «ἐν ἀρχῇ ἐποίησεν ὁ Θεὸς τὸν οὐρανὸν καὶ τὴν γῆν», μὴ ἁπλῶς παραδράμῃς τὸ εἰρημένον, ἀλλ' ἔπελθε τῇ διανοίᾳ τὸ εὖρος τῆς γῆς, καὶ ἀναλόγισαι πῶς ἡμῖν πολυτελῆ καὶ δαψιλῆ τράπεζαν ἀνῆκε, καὶ πολλὴν πολ-

1. Γεν. 1, 1-2.
2. Τὸν ἥλιον καὶ τὴν σελήνην.

διον πρᾶγμα διὰ τῆς ἐξηγήσεως τῶν Γραφῶν· τὸ ὅτι ὁλόκληρος ἡ Γραφὴ εἶναι παράκλησις εἰς αὐτοὺς ποὺ προσέχουν, ἀπὸ αὐτὴν τὴν ἰδίαν θὰ σᾶς τὸ κάμω φανερόν. Διότι δὲν θὰ προσπαθήσω νὰ ἀναζητήσω, ἀνατρέχων εἰς τὰς Γραφάς, παρηγορητικοὺς λόγους· ἀλλὰ διὰ νὰ ἐννοήσετε καλύτερον αὐτὸ ποὺ σᾶς εἶπα, θὰ μεταχειρισθῶ ὡς ἀπόδειξιν τὸ βιβλίον ποὺ ἀνεγνώσθη σήμερον, καὶ ἂν θέλετε, τὴν ἀρχὴν αὐτοῦ καὶ τὸ προοίμιον, τὸ ὁποῖον φαίνεται ὅτι οὔτε ἴχνος παρηγορίας ἔχει, ἀλλὰ εἶναι τελείως ξένον ἀπὸ παρηγορητικοὺς λόγους, ἀφοῦ λοιπὸν ἀναφέρω τὸ χωρίον αὐτό, αὐτὸ ποὺ σᾶς ἀνέφερα θὰ σᾶς ἀποδείξω. Ποῖον λοιπὸν εἶναι τὸ προοίμιον; «Εἰς τὴν ἀρχὴν ἐδημιούργησεν ὁ Θεὸς τὸν οὐρανὸν καὶ τὴν γῆν· ἡ δὲ γῆ ἦτο ἀόρατος καὶ ἀδιαμόρφωτος, καὶ ὑπῆρχε σκότος ἐπάνω εἰς τὴν ἄβυσσον»[1]. Ἆρά γε μήπως φαίνεται εἰς μερικοὺς ἀπὸ σᾶς ὅτι οἱ λόγοι αὐτοὶ περιέχουν παρηγορίαν διὰ τὴν λύπην; Δὲν εἶναι διήγησις ἱστορικὴ καὶ διδασκαλία περὶ δημιουργίας;

2. Θέλετε λοιπὸν νὰ σᾶς παρουσιάσω τὴν παρηγορητικὴν διδασκαλίαν, ἡ ὁποία εἶναι κρυμμένη εἰς τὰ λόγια αὐτά; Σηκώσατε λοιπὸν ὑψηλὰ τὴν ψυχήν σας καὶ προσέχετε μὲ μεγάλην προσοχὴν εἰς αὐτὰ ποὺ πρόκειται νὰ εἰπῶ. Διότι ὅταν ἀκούσῃς ὅτι τὸν οὐρανόν, τὴν γῆν, τὴν θάλασσαν, τὸν ἀέρα, τὰ νερά, τὰς λίμνας, τὰ ἄστρα τὰ πολλά, τοὺς δύο μεγάλους φωστῆρας[2], τὰ φυτά, τὰ τετράποδα, τὰ ὑδρόβια, τὰ πτηνά, γενικῶς ὅλα ὅσα φαίνονται, τὰ ἐδημιούργησεν ὁ Θεὸς διὰ σὲ καὶ διὰ τὴν ἰδικήν σου τιμὴν καὶ σωτηρίαν, δὲν παίρνεις μεγάλην παρηγορίαν καὶ δὲν θεωρεῖς τοῦτο μεγίστην ἀπόδειξιν τῆς ἀγάπης τοῦ Θεοῦ, ὅταν σκεφθῇς ὅτι τόσον ὡραῖον καὶ θαυμαστὸν κόσμον καὶ μεγάλον τὸν ἐδημιούργησε διὰ σὲ τὸν μικρόν;

Ὅταν λοιπὸν ἀκούσῃς ὅτι «εἰς τὴν ἀρχὴν ἐδημιούργησεν ὁ Θεὸς τὸν οὐρανὸν καὶ τὴν γῆν» μὴ τὸ περάσῃς αὐτὸ μὲ ἐπιπολαιότητα, ἀλλὰ φαντάσου μὲ τὸν νοῦν τὸ πλάτος τῆς γῆς καὶ νὰ σκεφθῇς πῶς μᾶς ἀνήκει πλουσία καὶ ἄφθο-

λαχόθεν παρέσχεν ἡμῖν εὐφροσύνην· καὶ τὸ δὴ μέγιστον, ὅτι οὐ πόνων ἀμοιβὴν ἔδωκεν, οὐδὲ κατορθωμάτων ἀντίδοσιν τὸν τοσοῦτον καὶ τηλικοῦτον κόσμον, ἀλλ' ὁμοῦ τε ἡμᾶς ἔπλασε, καὶ τῇ βασιλείᾳ ταύτῃ τὸ γένος ἡμῶν ἐτίμησε. «Ποιήσωμεν» γὰρ «ἄνθρωπον», φησί, «κατ' εἰκόνα ἡμετέραν, καὶ καθ' ὁμοίωσιν». Τί ἐστι κατ' εἰκόνα ἡμετέραν καὶ καθ' ὁμοίωσιν; Τῆς ἀρχῆς εἰκόνα φησί, καὶ ὥσπερ οὐδεὶς ἀνώτερος Θεοῦ ἐν οὐρανῷ, οὕτω μηδεὶς ἔστω ἀνώτερος ἀνθρώπου ἐπὶ τῆς γῆς.

Ἑνὶ μὲν οὖν τούτῳ καὶ πρώτῳ τετίμηκε, τῷ κατ' εἰκόνα αὐτὸν ποιῆσαι· δευτέρῳ δὲ τῷ μὴ πόνων ἀμοιβὴν ἡμῖν παρασχεῖν τὴν ἀρχήν, ἀλλὰ γυμνὴν τῆς αὐτοῦ φιλανθρωπίας ποιῆσαι τὴν χάριν· τρίτῳ τῷ φυσικὴν ἡμῖν χαρίσασθαι αὐτήν. Τῶν γὰρ ἀρχῶν αἱ μέν εἰσι φυσικαί, αἱ δὲ χειροτονηταί· φυσικαὶ μέν, ὡς ἡ τοῦ λέοντος ἐπὶ τῶν τετραπόδων, ὡς ἐπὶ τῶν ὀρνίθων ἡ τοῦ ἀετοῦ· χειροτονηταὶ δὲ ὡς ἡ τοῦ βασιλέως τοῦ καθ' ἡμᾶς· οὗτος γὰρ οὐχὶ φύσει κρατεῖ τῶν ὁμοδούλων· διὸ καὶ ἀποβάλλει πολλάκις τὴν ἀρχήν.

Τοιαῦτα γὰρ τὰ μὴ φύσει προσόντα ῥαδίαν δέχεται τὴν μεταβολὴν καὶ τὴν μετάπτωσιν· ὁ δὲ λέων οὐχ οὕτως, ἀλλὰ φύσει κρατεῖ τῶν τετραπόδων, ὥσπερ οὖν καὶ τῶν ὀρνίθων ὁ ἀετός. Ἀεὶ γοῦν τῷ γένει συγκεκλήρωται τὸ τῆς βασιλείας εἶδος, καὶ οὐδένα ἄν τις ἴδοι λεοντά ποτε τὴν ἀρχὴν ἀποβαλόντα ταύτην. Τοιαύτην καὶ ἡμῖν τὴν βασιλείαν ἐξ ἀρχῆς ὁ Θεὸς ἐχαρίσατο, καὶ πᾶσιν ἡμᾶς ἐπέστησε· καὶ οὐ τούτῳ μόνον ἐτίμησεν ἡμῶν τὴν φύσιν, ἀλλὰ καὶ αὐτῇ τοῦ χωρίου

---

3. Γεν. 1, 26.

νος τράπεζα καὶ μᾶς ἑτοίμασεν ἀπὸ παντοῦ εὐχαρίστησιν· καὶ τὸ σπουδαιότερον εἶναι ὅτι δὲν μᾶς τὸν ἔδωσε τὸν κόσμον αὐτὸν ὡς ἀμοιβὴν διὰ τοὺς κόπους μας ἢ ὡς ἀνταπόδοσιν διὰ τὰ κατορθώματά μας, ἀλλὰ μαζὶ μᾶς ἐδημιούργησε καὶ ἐτίμησε τὸ γένος μας ὁρίσας αὐτὸ ὡς βασιλέα εἰς τὸν κόσμον. Διότι λέγει «ἂς κάμωμεν ἄνθρωπον κατ' εἰκόνα ἡμετέραν καὶ καθ' ὁμοίωσιν»[3]. Τί σημαίνει κατ' εἰκόνα ἡμετέραν καὶ καθ' ὁμοίωσιν; Σημαίνει τὴν ἐξουσίαν τοῦ ἀνθρώπου ἐπὶ τῆς κτίσεως ποὺ εἶναι εἰκόνα τῆς ἐξουσίας τοῦ Θεοῦ, λέγει, καὶ ὅπως δὲν εἶναι κανένας ἀνώτερος ἀπὸ τὸν Θεὸν εἰς τὸν οὐρανόν, ἔτσι νὰ μὴ εἶναι καὶ κανένας ἀνώτερος ἀπὸ τὸν ἄνθρωπον εἰς τὴν γῆν.

Μὲ ἕνα λοιπὸν καὶ πρῶτον μὲ τὸ ὁποῖον τὸν ἐτίμησε ὁ Θεὸς τὸν ἄνθρωπον εἶναι τὸ ὅτι τὸν ἐδημιούργησε κατ' εἰκόνα του· δεύτερον δὲ τὸ ὅτι μᾶς ἔδωσεν αὐτὴν τὴν ἐξουσίαν ἐπὶ τῆς φύσεως ὄχι ὡς ἀμοιβὴν τῶν κόπων μας, ἀλλὰ ἀπὸ τὴν καθαρὰν αὐτοῦ φιλανθρωπίαν· καὶ τρίτον τὸ ὅτι μᾶς τὴν ἔκαμε φυσικήν. Διότι ἄλλαι ἀπὸ τὰς ἐξουσίας εἶναι φυσικαί, ἄλλαι δὲ δίδονται κατόπιν ἐκλογῆς· καὶ φυσικαὶ μὲν εἶναι ἡ ἐξουσία τοῦ λέοντος ἐπὶ τῶν διαφόρων τετραπόδων, ἡ τοῦ ἀετοῦ ἐπὶ τῶν πτηνῶν· ἀποτέλεσμα δὲ ἐκλογῆς εἶναι ἡ ἐξουσία τοῦ βασιλέως μας· διότι αὐτὸς δὲν ἐξουσιάζει ἐκ φύσεως ἐπὶ τῶν ὁμοίων του ἀνθρώπων· διὰ τοῦτο καὶ πολλάκις χάνει τὴν ἐξουσίαν του.

Διότι τέτοια εἶναι τὰ ἀξιώματα, τὰ ὁποῖα δὲν ἔχει κανεὶς ἐκ φύσεως, καὶ εὔκολα μεταβάλλονται καὶ ἀλλοιοῦνται· εἰς τὸν λέοντα ὅμως δὲν συμβαίνει ἔτσι, ἀλλὰ ἐξουσιάζει ἐκ φύσεως ἐπὶ τῶν τετραπόδων, ὅπως καὶ ὁ ἀετὸς ἐπὶ τῶν πτηνῶν. Πάντοτε λοιπὸν ἡ βασιλικὴ ἐξουσία παρακολουθεῖ τὸ γένος τοῦ λέοντος, καὶ δὲν θὰ ἰδῇ κανεὶς ποτὲ κανένα λέοντα νὰ χάσῃ τὴν ἐξουσίαν του αὐτήν. Τέτοιαν βασιλείαν ἐχάρισεν εἰς ἡμᾶς ἐξ ἀρχῆς ὁ Θεὸς καὶ μᾶς ἔκαμε κυρίους ὅλης τῆς κτίσεως· καὶ δὲν ἐτίμησε τὴν φύσιν μας μόνον μὲ τοῦτο, ἀλλὰ καὶ μὲ αὐτὴν τὴν ἀνωτερότητα τοῦ τόπου, διότι

τῇ προεδρίᾳ ἐξαίρετον οἰκητήριον ἀποτάξας ἡμῖν τὸν παράδεισον, καὶ λόγον δοὺς καὶ ψυχὴν ἀθάνατον χαρισάμενος.

Ἀλλὰ μὴ εἴπω ταῦτα· ἐγὼ γὰρ τοσαύτην περιουσίαν εἶναί φημι τῆς τοῦ Θεοῦ κηδεμονίας, ὡς μὴ μόνον ἀφ᾽ ὧν ἐτίμησεν, ἀλλὰ καὶ ἀφ᾽ ὧν ἐκόλασεν, ὁμοίως ἡμᾶς δύνασθαι τὴν ἀγαθότητα αὐτοῦ δεικνύναι καὶ τὴν φιλανθρωπίαν. Καὶ τοῦτο μάλιστα πάντων ὑμᾶς παρακαλῶ μετὰ ἀκριβείας εἰδέναι, ὅτι ὁ Θεὸς οὐχὶ τιμῶν μόνον, οὐδὲ εὐεργετῶν, ἀλλὰ καὶ κολάζων καὶ τιμωρούμενος ὁμοίως ἐστὶν ἀγαθός· κἂν πρὸς Ἕλληνας, κἂν πρὸς αἱρετικοὺς ἀγῶνες ἡμῖν καὶ μάχαι κινῶνται περὶ τῆς τοῦ Θεοῦ φιλανθρωπίας καὶ ἀγαθότητος, μὴ μόνον ἀφ᾽ ὧν ἐτίμησεν, ἀλλὰ καὶ ἀφ᾽ ὧν ἐτιμωρήσατο, ἐπιδείκνυμεν αὐτοῦ τὴν ἀγαθότητα. Εἰ γὰρ τιμῶν μόνον ἐστὶν ἀγαθός, κολάζων δὲ οὐκ ἔστιν ἀγαθός, ἐξ ἡμισείας ἀγαθὸς ἂν εἴπῃ· ἀλλ᾽ οὐκ ἔστι τοῦτο· μὴ γένοιτο.

Ἐπὶ ἀνθρώπων μὲν γὰρ εἰκὸς τοῦτο συμβαίνειν, ἐπειδὴ θυμῷ καὶ πάθει τὰς τιμωρίας ἐπάγουσιν· ὁ δὲ Θεὸς ἀπαθὴς ὤν, κἂν εὐεργετῇ, κἂν κολάζῃ, ὁμοίως ἐστὶν ἀγαθός, καὶ τῆς βασιλείας οὐκ ἔλαττον ἡ τῆς γεέννης ἀπειλὴ δείκνυσιν αὐτοῦ τὴν ἀγαθότητα· καὶ πῶς; ἐγὼ λέγω. Εἰ μὴ γέενναν ἠπείλησεν, εἰ μὴ κόλασιν ἡτοίμασεν, οὐκ ἂν πολλοὶ τῆς βασιλείας ἐπέτυχον. Οὐ γὰρ οὕτως ἡ τῶν ἀγαθῶν ὑπόσχεσις πρὸς ἀρετὴν ἐκκαλεῖται τοὺς πολλούς, ὡς ἡ τῶν κακῶν ἀπειλὴ τῷ φόβῳ συνωθεῖ, καὶ διανίστησι πρὸς τὴν τῆς ψυχῆς ἐπιμέλειαν. Ὥστε καὶ εἰ ἐναντίον γέεννα τῇ βασιλείᾳ τῶν οὐρανῶν, ἀλλὰ πρὸς ἓν ἑκάτερον βλέπει τέλος, τὴν τῶν ἀνθρώπων σωτηρίαν· ἐκείνη μὲν ἐπισπωμένη πρὸς ἑαυτήν, αὕτη δὲ συνωθοῦσα πρὸς ἐκείνην, καὶ τῷ φόβῳ διορθουμένη τοὺς ἀμελέστερον διακειμένους.

μᾶς ἔδωσεν ὡς κατοικίαν ἕνα ἐξαίρετον τόπον, τὸν παράδεισον, καὶ ἀκόμα μᾶς ἔδωσε λογικὸν καὶ ἀθάνατον ψυχήν.

Ἀλλὰ ἂς μὴ εἰπῶ αὐτά· διότι νομίζω ὅτι εἶναι τόσον μεγάλη ἡ ἀγάπη καὶ ἡ φιλανθρωπία τοῦ Θεοῦ, ἡ ὁποία φαίνεται ὄχι μόνον ἀπὸ τὰ δῶρα μὲ τὰ ὁποῖα μᾶς ἐτίμησεν, ἀλλὰ καὶ ἀπὸ τὰς τιμωρίας ποὺ μᾶς ἐπέβαλε. Καὶ τοῦτο παρακαλῶ ὅλους σας νὰ γνωρίζετε καλῶς, ὅτι ὁ Θεὸς ὄχι μόνον ὅταν τιμᾷ καὶ ὅταν εὐεργετῇ, ἀλλὰ καὶ ὅταν τιμωρῇ καὶ κολάζῃ εἶναι ἀγαθός· καὶ ὅταν ἐναντίον τῶν εἰδωλολατρῶν καὶ τῶν αἱρετικῶν γίνονται ἀγῶνες καὶ διαμάχαι περὶ τῆς φιλανθρωπίας καὶ τῆς ἀγαθότητος τοῦ Θεοῦ, νὰ μὴ ἀποδεικνύωμεν τὴν ἀγαθότητα αὐτοῦ μόνον ἀπὸ ὅσας τιμὰς μᾶς ἔκαμεν, ἀλλὰ καὶ ἀπὸ ὅσας τιμωρίας ὑπέστημεν ἀπὸ αὐτόν. Διότι ἐὰν μόνον ὅταν τιμᾷ ὁ Θεὸς εἶναι ἀγαθός, ἐνῷ ὅταν τιμωρῇ δὲν εἶναι ἀγαθός, τότε θὰ εἶναι κατὰ τὸ ἥμισυ ἀγαθός· ὅμως δὲν εἶναι ἔτσι· μὴ γένοιτο.

Ἐπὶ τῶν ἀνθρώπων εἶναι φυσικὸν νὰ συμβαίνῃ τοῦτο, ἐπειδὴ ἐπιβάλλουν τὰς τιμωρίας ἀπὸ θυμὸν καὶ πάθος· ὁ Θεὸς ὅμως ἐπειδὴ εἶναι ἀπαθής, καὶ ὅταν εὐεργετῇ, καὶ ὅταν τιμωρῇ, ὁμοίως εἶναι ἀγαθός, καὶ ἡ ἀπειλὴ τῆς γεέννης ὄχι ὀλιγώτερον ἀπὸ τὴν ὑπόσχεσιν τῆς βασιλείας τῶν οὐρανῶν φανερώνει τὴν ἀγαθότητά του· καὶ πῶς; Θὰ σᾶς τὸ εἰπῶ ἐγώ. Ἐὰν δὲν ἀπειλοῦσε μὲ γέενναν, ἐὰν δὲν εἶχεν ἑτοιμάσει κόλασιν, δὲν θὰ ἠμποροῦσαν νὰ ἐπιτύχουν πολλοὶ τῆς βασιλείας τῶν οὐρανῶν. Διότι δὲν προσελκύει τοὺς πολλοὺς τόσον πρὸς τὴν ἀρετὴν ἡ ὑπόσχεσις τῶν ἀγαθῶν, ὅσον ἡ ἀπειλὴ τῶν κακῶν, ἡ ὁποία διὰ τοῦ φόβου τοὺς ὠθεῖ πρὸς αὐτὴν καὶ τοὺς ἀναγκάζει νὰ φροντίσουν διὰ τὴν ψυχήν των. Ὥστε ἂν καὶ εἶναι ἀντίθετον πρᾶγμα ἡ γέεννα τοῦ πυρὸς πρὸς τὴν βασιλείαν τῶν οὐρανῶν, ἐν τούτοις ἀποβλέπει κάθε μία εἰς τὸν ἴδιον σκοπόν, εἰς τὴν σωτηρίαν τῶν ἀνθρώπων· ἐκείνη μὲν σύρει πρὸς τὸν ἑαυτόν της τοὺς ἀνθρώπους, αὐτὴ δὲ ὠθεῖ πρὸς ἐκείνην καὶ διὰ τοῦ φόβου διορθώνει αὐτοὺς ποὺ εἶναι ἀμελέστεροι.

3. Τοῦτον δὲ οὐχ ἁπλῶς μηκύνω τὸν λόγον, ἀλλ' ἐπειδὴ πολλάκις λιμῶν, καὶ αὐχμῶν γιγνομένων, καὶ πολέμων, καὶ ὀργῆς βασιλικῆς ἐμπιπτούσης, καὶ ἑτέρων τινῶν τοιούτων ἀδοκήτων πραγμάτων, πολλοὶ τοὺς ἀφελεστέρους ἀπατῶντες λέγουσιν, ὅτι οὐκ ἄξια ταῦτα τῆς τοῦ Θεοῦ προνοίας. Ἵν' οὖν μὴ παραλογιζώμεθα, ἀλλ' ἴδωμεν ἀκριβῶς, ὅτι κἂν λιμόν, κἂν πόλεμον, κἂν ἄλλο ὁτιοῦν ἐπαγάγῃ δεινόν, ἀπὸ φιλανθρωπίας τοῦτο ποιεῖ, καὶ πολλῆς τῆς κηδεμονίας, ἠναγκάσθην ἐνδιατρίψαι τούτῳ τῷ λόγῳ. Ἐπεὶ καὶ οἱ πατέρες, οἱ μάλιστα πάντων τὰ ἔκγονα φιλοῦντες, καὶ τραπέζης εἴργουσι, καὶ πληγὰς ἐπάγουσι, καὶ ἀτιμίᾳ κολάζουσι, καὶ ἑτέροις μυρίοις τοιούτοις ἀσελγαίνοντας διορθοῦνται τοὺς παῖδας· ἀλλ' ὅμως πατέρες εἰσίν, οὐχὶ τιμῶντες μόνον, ἀλλὰ καὶ ταῦτα ποιοῦντες, καὶ τότε μάλιστα πατέρες, ὅταν τοιαῦτα ποιῶσιν.

Εἰ δὲ ἄνθρωποι θυμῷ καὶ ὀργῇ πολλάκις τοῦ συμφέροντος ἐκφερόμενοι, οὐκ ὠμότητι καὶ ἀπανθρωπίᾳ, ἀλλὰ κηδεμονίᾳ καὶ φιλοστοργίᾳ νομίζονται κολάζειν οὓς φιλοῦσι, πολλῷ μᾶλλον περὶ τοῦ Θεοῦ οὕτω διακεῖσθαι χρή, τοῦ πᾶσαν πατρικὴν φιλοστοργίαν ὑπερβαίνοντος τῇ τῆς οἰκείας ἀγαθότητος ὑπερβολῇ.

Καὶ ἵνα μὴ νομίσῃς ὅτι στοχασμός ἐστι τὰ εἰρημένα, φέρε ἐπ' αὐτὴν τὴν Γραφὴν τὸν λόγον ἀπάγωμεν. Ἐπειδὴ γὰρ ἠπατήθη καὶ παρελογίσθη παρὰ τοῦ πονηροῦ δαίμονος ὁ ἄνθρωπος, ἴδωμεν πῶς ἁμαρτίαν αὐτῷ τοιαύτην ἁμαρτόντι τότε ἐχρήσατο ὁ Θεός. Ἆρα ἠφάνισεν αὐτὸν παντελῶς; Καίτοι γε ὁ τοῦ δικαίου λόγος τοῦτο ἀπῄτει, τὸν οὐδὲν μὲν ἀγαθὸν ἐπιδειξάμενον, τοσαύτης δὲ ἀπολαύσαντα τῆς εὐνοίας, εἶτα ἐκ προοιμίων ἀποσκιρτήσαντα, ἀρθῆναι ἐκ τοῦ μέσου καὶ ἀφανισθῆναι τέλεον· ἀλλ' οὐκ ἐποίησε τοῦτο ὁ Θεός, οὐδὲ ἐβδελύξατο καὶ ἀπεστράφη τὸν οὕτως ἀγνώμονα περὶ τὸν εὐεργέτην

3. Τὴν ὁμιλίαν αὐτὴν δὲν τὴν ἐπιμηκύνω χωρὶς λόγον, ἀλλὰ ἐπειδὴ πολλάκις ὅταν συμβοῦν εἰς ἡμᾶς πεῖνα, ξηρασία, πόλεμοι ἢ ἐπέλθῃ ἡ βασιλικὴ ὀργή, καὶ ἄλλα παρόμοια μὲ αὐτὰ ἀνεπιθύμητα, πολλοὶ ἐξαπατοῦν τοὺς ἀφελεστέρους καὶ λέγουν ὅτι αὐτὰ εἶναι ἀσυμβίβαστα μὲ τὴν πρόνοιαν τοῦ Θεοῦ. Λοιπὸν διὰ νὰ μὴ λέγωμεν παράλογα πράγματα, ἀλλὰ νὰ γνωρίζωμεν ἀκριβῶς, ὅτι εἴτε πεῖναν, εἴτε πόλεμον, εἴτε ὁ,τιδήποτε ἄλλοι κακὸν μᾶς στέλλει ὁ Θεός, τὸ κάμει τοῦτο ἀπὸ φιλανθρωπίαν καὶ μεγάλην φροντίδα, ἠναγκάσθην νὰ χρονοτριβήσω εἰς τὸν λόγον αὐτόν. Ἐπειδὴ καὶ οἱ πατέρες, οἱ ὁποῖοι κατ' ἐξοχὴν ἀγαποῦν τὰ παιδιά των περισσότερον ἀπὸ ὅλους, καὶ νηστικὰ τὰ ἀφήνουν, καὶ τὰ κτυποῦν, καὶ τὰ τιμωροῦν διὰ τῆς περιφρονήσεως, καὶ μὲ ἄλλους τέτοιους ἀναρίθμητους τρόπους, ὅταν παρεκτρέπωνται, τὰ διορθώνουν· καὶ ὅμως εἶναι πατέρες, ὄχι μόνον ὅταν τὰ τιμοῦν, ἀλλὰ καὶ ὅταν κάμουν αὐτά, καὶ μάλιστα τότε εἶναι πραγματικοὶ πατέρες ὅταν τὰ τιμωροῦν.

Ἐὰν δὲ οἱ ἄνθρωποι, βλάπτουν τὰ συμφέροντά των πολλάκις ἀπὸ τὸν θυμὸν καὶ τὴν ὀργήν, θεωροῦνται ὅτι τιμωροῦν αὐτοὺς ποὺ ἀγαποῦν ὄχι ἀπὸ σκληρότητα καὶ ἀπανθρωπίαν, ἀλλὰ ἀπὸ φροντίδα καὶ ἀγάπην, πολὺ περισσότερον περὶ τοῦ Θεοῦ πρέπει νὰ ἔχωμεν αὐτὴν τὴν ἀντίληψιν, ὁ ὁποῖος ὑπερβαίνει κάθε πατρικὴν φιλοστοργίαν μὲ τὴν ἀγαθότητά του.

Καὶ διὰ νὰ μὴ νομίσῃς ὅτι αὐτὰ εἶναι στοχασμὸς ἰδικός μου, ἂς φέρωμεν τὸν λόγον εἰς τὴν Γραφήν. Ἐπειδὴ δηλαδὴ ἐξηπατήθη καὶ ἔφθασεν εἰς παραλογισμὸν ὁ ἄνθρωπος ὑπὸ τοῦ πονηροῦ δαίμονος, ἂς ἴδωμεν τί ἔκαμεν ὁ Θεὸς εἰς αὐτὸν ποὺ ἔπεσεν εἰς τόσον μεγάλην ἁμαρτίαν. Μήπως τὸν ἐξηφάνισεν ἐντελῶς; Ἂν καὶ βέβαια ἡ δικαιοσύνη ἀπαιτοῦσε αὐτὸς ὁ ὁποῖος δὲν ἀπέδειξε κανένα ἀγαθὸν ἔργον, ἐνῷ ἀπήλαυσε τόσης εὐνοίας, καὶ ἔπειτα εὐθὺς ἀπεσκίρτησε, νὰ ἐξαφανισθῇ ἐντελῶς ἀπὸ τὸ μέσον· καὶ ὅμως δὲν ἔπραξε τοῦτο ὁ Θεός, οὔτε ἐσιχάθη καὶ ἀπεστράφη αὐτὸν ὁ ὁποῖος

γενόμενον, ἀλλ' ἔρχεται πρὸς αὐτόν, καθάπερ πρὸς ἄρρωστον ἰατρός. Καὶ μὴ παραδράμῃς ἁπλῶς τὸ εἰρημένον, ἀγαπητέ, ἀλλ' ἐννόησον ἡλίκον τὸ μήτε ἄγγελον πέμψαι, μήτε ἀρχάγγελον, μήτε ἄλλον τινὰ τῶν συνδούλων τὸν ἐκείνου, ἀλλ' αὐτὸν τὸν Δεσπότην καταβῆναι πρὸς τὸν παραπεπτωκότα, καὶ κείμενον ἀναστῆσαι, καὶ μόνον πρὸς μόνον, καθάπερ φίλον πρὸς φίλον κακῶς πράττοντα, καὶ ἐν πολλῇ καταστάντα δυσημερίᾳ παραγενέσθαι. Ὅτι γὰρ τοῦτο ἐκ πολλῆς κηδεμονίας ἐποίησε, καὶ αὐτὰ τὰ ῥήματα, ἃ πρὸς αὐτὸν εἶπε, δείκνυσιν αὐτοῦ τὴν ἄφατον φιλοστοργίαν.

Καὶ τί λέγω τὰ ῥήματα ἅπαντα; Ἡ πρώτη μὲν οὖν ῥῆσις εὐθέως αὐτοῦ τὸ φίλτρον ἐνέφηνεν. Οὐ γὰρ εἶπε, καθάπερ εἰκὸς ἦν ὑβρισμένον εἰπεῖν· ὦ μιαρέ, καὶ παμμίαρε, τοιαύτης ἀπολαύσας εὐνοίας παρ' ἐμοῦ, τοσαύτῃ τιμηθεὶς βασιλείᾳ, καὶ τῶν ἐπὶ τῆς γῆς προτιμηθεὶς ἁπάντων ἀντ' οὐδενὸς κατορθώματος, καὶ διὰ τῶν ἔργων αὐτῶν ἐνέχυρα λαβὼν τῆς ἐμῆς κηδεμονίας, καὶ τῆς προνοίας ἀπόδειξιν ἀληθῆ, πονηρὸν δαίμονα, καὶ λυμεῶνα, καὶ τῆς σῆς ἐχθρὸν σωτηρίας ἀξιοπιστότερον ἐποίησας τοῦ Δεσπότου καὶ κηδεμόνος;

Τί σοι τοιοῦτον ἐκεῖνος ἔδειξεν οἷον ἐγώ; Οὐχὶ τὸν οὐρανὸν ἐποίησα διὰ σέ; τὴν γῆν, τὴν θάλατταν, τὸν ἥλιον, τὴν σελήνην, τὰ ἄστρα πάντα; Οὐ γὰρ δή που τῶν ἀγγέλων τινὲς ταύτης ἐδέοντο τῆς δημιουργίας, ἀλλὰ διὰ σέ, καὶ τὴν ἀνάπαυσιν τὴν σήν, τὸν τοσοῦτον καὶ τηλικοῦτον ἐποίησα κόσμον· καὶ ψιλὰ ῥήματα, καὶ ὑπόσχεσιν ψευδῆ, καὶ ἐπαγγελίαν ἀπάτης γέμουσαν, τῆς διὰ τῶν ἔργων εὐεργεσίας τε καὶ προνοίας ἀξιοπιστοτέραν νομίσας εἶναι, ἐκείνῳ σαυτὸν ἔδωκας, καὶ τοὺς ἐμοὺς κατεπάτησας νόμους;

ἔγινε τόσον ἀγνώμων πρὸς τὸν εὐεργέτην του, ἀλλὰ ἔρχεται πρὸς ἐκεῖνον, ὅπως ὁ ἰατρὸς πρὸς τὸν ἄρρωστον. Καὶ μὴ τὸ πάρῃς ἐπιπόλαια αὐτὸ ποὺ εἶπα, ἀγαπητέ, ἀλλὰ σκέψου πόσον μεγάλο πρᾶγμα εἶναι τὸ ὅτι δὲν ἔστειλεν οὔτε ἄγγελον, οὔτε ἀρχάγγελον, οὔτε κανένα ἄλλον ἀπὸ τοὺς συνδούλους ἐκείνου, ἀλλὰ αὐτὸς ὁ ἴδιος ὁ Δεσπότης κατέβη πρὸς αὐτὸν ποὺ ἡμάρτησε, καὶ τὸν ἐσήκωσε, ἐνῷ εἶχε πέσει κάτω, καὶ μόνος πρὸς μόνον ὅπως ἔρχεται ὁ φίλος πρὸς τὸν φίλον καὶ τὸν ηὗραν δυστυχίαι καὶ ἀτυχήματα, ἔτσι ἦλθεν.

Καὶ ὅτι τοῦτο τὸ ἔκαμε ἀπὸ τὴν μεγάλην φροντίδα του, καὶ τὰ λόγια ποὺ εἶπε πρὸς αὐτόν, δείχνουν τὴν ἀνέκφραστον φιλοστοργίαν του. Καὶ διατί λέγω ἀπὸ ὅλα τὰ λόγια; Ἡ πρώτη λέξις αὐτοῦ ἐφανέρωσεν ἀμέσως τὴν ἀγάπην του. Διότι δὲν τοῦ εἶπε, ὅπως ἦτο φυσικὸν νὰ ὁμιλήσῃ ἕνας ποὺ ὑβρίσθη ἀπὸ αὐτόν· ὦ ἄθλιε καὶ τρισάθλιε, ἐνῷ ἔχεις ἀπολαύσει τοιαύτης εὐνοίας ἀπὸ ἐμέ, καὶ ἐτιμήθης μὲ τόσον μεγάλην βασιλικὴν ἐξουσίαν, καὶ σὲ ἐπροτίμησα ἀπὸ ὅλα τὰ ὄντα τῆς γῆς, χωρὶς σὺ νὰ ἐπιτύχῃς τίποτε καὶ διὰ τῶν ἔργων αὐτῶν ἔλαβες ἐγγύησιν τῆς φροντίδος μου, καὶ ἀπόδειξιν ἀληθῆ τῆς ἰδικῆς μου προνοίας, τὸν πονηρὸν δαίμονα, τὸν ἐπιβλαβῆ, τὸν ἐχθρὸν τῆς σωτηρίας σου τὸν ἐθεώρησες περισσότερον ἀξιόπιστον ἀπὸ τὸν κηδεμόνα καὶ δεσπότην σου;

Τί σοῦ ἔδειξεν ἐκεῖνος ὅμοιον μὲ αὐτὰ ποὺ σοῦ ἔδειξα ἐγώ; Δὲν ἐδημιούργησα τὸν οὐρανὸν διὰ σέ; Τὴν γῆν, τὴν θάλασσαν, τὸν ἥλιον, τὴν σελήνην, τὰ ἄστρα ὅλα; Διότι ἡ δημιουργία αὐτὴ δὲν ἔγινε βεβαίως διὰ τὰς ἀνάγκας κάποιων ἀγγέλων, ἀλλὰ διὰ σὲ καὶ τὴν ἰδικήν σου ἀνάπαυσιν ἐδημιούργησα τὸν τόσον μεγάλον καὶ τοιοῦτον κόσμον· καὶ σὺ λόγια χωρὶς περιεχόμενον καὶ ὑπόσχεσιν ψευδῆ καὶ γεμάτην ἀπάτην, ἐνόμισες ὅτι εἶναι περισσότερον ἀξιόπιστα ἀπὸ τὰ ἔργα τῆς εὐεργεσίας καὶ τῆς προνοίας καὶ παρέδωκες εἰς ἐκεῖνον τὸν ἑαυτόν σου καὶ κατεπάτησες τοὺς νόμους τοὺς ἰδικούς μου;

Ταῦτα γὰρ καὶ πλείονα τούτων τὸν ὑβρισμένον εἰκὸς ἦν εἰπεῖν· ἀλλ' οὐχ ὁ Θεὸς οὕτως, ἀλλὰ τοὐναντίον ἅπαν. Ἀπὸ γὰρ τῆς πρώτης φωνῆς εὐθέως αὐτὸν ἀνέστησε κείμενον, καὶ δεδοικότα, καὶ τρέμοντα θαρρεῖν παρεσκεύασε πρῶτος αὐτὸν καλέσας αὐτός· μᾶλλον δὲ οὐ τὸ καλέσαι πρῶτος, ἀλλὰ καὶ τὸ προσειπεῖν αὐτὸν ἀπὸ τῆς αὐτοῦ προσηγορίας καὶ εἰπεῖν, «Ἀδάμ, ποῦ εἶ;», ἔδειξεν αὐτοῦ τὸ φίλτρον καὶ τὴν πολλὴν περὶ αὐτὸν κηδεμονίαν.

Ἴστε γὰρ δή που πάντες, ὅτι φιλίας γνησίας ἐστὶ τοῦτο τεκμήριον· οὕτω καὶ οἱ ἀνακαλοῦντες τοὺς τετελευτηκότας εἰώθασι ποιεῖν, συνεχῶς τὰ ὀνόματα αὐτῶν περιστρέφοντες, ὡς οἵ γε μισοῦντες καὶ ἀπεχθῶς πρός τινας ἔχοντες, οὐδὲ τὰ ὀνόματα ἀναμνησθῆναι τῶν λελυπηκότων ἀνέχονται. Ὁ γοῦν Σαοὺλ ἀδικηθεὶς μὲν οὐδέν, πολλὰ δὲ καὶ μεγάλα τὸν Δαυῒδ ἀδικήσας, ἐπειδὴ αὐτὸν ἀπεστρέφετο καὶ ἐμίσει, οὐδὲ τῆς προσηγορίας αὐτοῦ ἀναμνησθῆναι ἀνείχετο, ἀλλὰ συγκαθημένων ἁπάντων, ἐπειδὴ παραγενόμενον οὐκ εἶδεν, τί φησιν; Οὐκ εἶπε, ποῦ ἐστι Δαυῒδ; ἀλλά, «Ποῦ ἐστιν ὁ υἱὸς Ἰεσσαί;» ἀπὸ τοῦ πατρὸς αὐτὸν καλέσας· καὶ πάλιν οἱ Ἰουδαῖοι ἐπὶ τοῦ Χριστοῦ τὸ αὐτὸ ποιοῦσιν. Ἐπειδὴ γὰρ αὐτὸν ἀπεστρέφοντο καὶ ἐμίσουν, οὐκ εἶπον, ποῦ ἐστιν ὁ Χριστός; ἀλλά, «Ποῦ ἐστιν ἐκεῖνος;».

4. Ἀλλ' ὁ Θεὸς κἂν τούτῳ βουλόμενος δεῖξαι, ὅτι τὸ φίλτρον οὐκ ἔσβεσεν ἡ ἁμαρτία, οὐδὲ τὴν πρὸς αὐτὸν εὔνοιαν ἀνεῖλεν ἡ παρακοή, ἀλλ' ἔτι προνοεῖ καὶ κήδεται τοῦ περιπεπτωκότος, φησίν· «Ἀδὰμ ποῦ εἶ;»· οὐκ ἀγνοῶν ὅπου διέτριβεν, ἀλλ' ἐπειδὴ τοῖς ἡμαρτηκόσιν ἔρραπται τὸ στόμα, τῆς ἁμαρτίας ἀποστρεφούσης τὴν γλῶσσαν, καὶ τοῦ συνειδότος αὐτῆς ἐπιλαμβανομένου, καὶ μένουσιν ἀχανεῖς οἱ τοιοῦτοι, ὥσπερ τινὶ δεσμῷ τῇ σιγῇ κατεχόμενοι. Βουλόμενος ὁ Θεὸς εἰς

4. Γεν. 3, 9.
5. Α' Βασ. 20, 27
6. Ἰω. 7, 11.

Διότι αὐτὰ καὶ περισσότερα ἀπὸ αὐτὰ ἦτο φυσικὸν νὰ εἰπῇ ἕνας ὑβρισθείς· ὅμως ὁ Θεὸς δὲν εἶπε τέτοια λόγια, ἀλλὰ ἐντελῶς ἀντίθετα. Διότι εὐθὺς ὡς τὸν ὡμίλησε, τὸν ἐνεψύχωσε διότι εἶχε χάσει τὸ ἠθικόν του καὶ ἐνῷ ἐφοβεῖτο καὶ ἔτρεμε, τὸν ἔκαμε νὰ πάρῃ θάρρος, διότι πρῶτος αὐτὸς τὸν ἐκάλεσε· μᾶλλον δὲ ὄχι μόνον ἐπειδὴ τὸν ἐκάλεσε πρῶτον, ἀλλὰ καὶ ἐπειδὴ τὸν ἐκάλεσεν αὐτὸν μὲ τὸ ἰδιαίτερόν του ὄνομα καὶ τοῦ εἶπεν, «Ἀδάμ, ποῦ εἶσαι;»[4], ἔδειξεν εἰς αὐτὸν τὴν ἀγάπην καὶ τὴν πολλὴν περὶ αὐτοῦ φροντίδα.

Βεβαίως γνωρίζετε ὅλοι ὅτι εἶναι ἀπόδειξις γνησίας φιλίας τοῦτο· ἔτσι συνήθως κάνουν καὶ ὅσοι ἐνθυμοῦνται αὐτοὺς ποὺ ἔχουν ἀποθάνει, ἀναφέρουν συνεχῶς τὰ ὀνόματα αὐτῶν ὅπως κάνουν πάλιν αὐτοὶ ποὺ μισοῦν καὶ διάκεινται ἐχθρικῶς πρὸς ἄλλους, ποὺ δὲν ἀνέχονται νὰ ἐνθυμηθοῦν οὔτε τὰ ὀνόματα αὐτῶν. Ὁ Σαοὺλ λοιπὸν ὁ ὁποῖος δὲν ἠδικήθη εἰς τίποτε, ἀλλὰ ἀντιθέτως ἠδίκησε μὲ πολλὰς καὶ μεγάλας ἀδικίας τὸν Δαβίδ, ἐπειδὴ τὸν ἀπεστρέφετο καὶ τὸν ἐμισοῦσε, δὲν ἠνείχετο οὔτε τὸ ὄνομά του νὰ ὀνομάζουν, ἀλλὰ ἐνῷ ἐκάθηντο ὅλοι εἰς τὸ τραπέζι, ἐπειδὴ δὲν τὸν εἶδε νὰ ἔχῃ ἔλθει, τί λέγει; Δὲν εἶπε, ποῦ εἶναι ὁ Δαβίδ; ἀλλὰ «ποῦ εἶναι ὁ υἱὸς τοῦ Ἰεσαί;»[5], ὀνομάσας αὐτὸν ἀπὸ τὸ ὄνομα τοῦ πατρός· καὶ οἱ Ἰουδαῖοι πάλιν διὰ τὸν Χριστὸν τὸ ἴδιον κάνουν. Ἐπειδὴ δηλαδὴ τὸν ἀπεστρέφοντο καὶ τὸν ἐμισοῦσαν, δὲν εἶπον, ποῦ εἶναι ὁ Χριστός; ἀλλά, «Ποῦ εἶναι ἐκεῖνος;»[6].

4. Ὁ Θεὸς ὅμως θέλων νὰ δείξῃ ὅτι τὴν ἀγάπην του δὲν τὴν ἔσβησεν ἡ ἁμαρτία, οὔτε τὴν πρὸς αὐτὸν εὔνοιαν ἐξήλειψεν ἡ παρακοή, ἀλλὰ ἀκόμη προνοεῖ καὶ φροντίζει διὰ τὸν πεπτωκότα, λέγει· «Ἀδάμ, ποῦ εἶσαι;»· ὄχι ἐπειδὴ δὲν ἐγνώριζε ποῦ ἔμενε, ἀλλὰ ἐπειδὴ εἶναι κλεισμένον τὸ στόμα εἰς αὐτοὺς ποὺ ἁμαρτάνουν, διότι ἡ ἁμαρτία καὶ ἡ συνείδησις ποὺ ἐλέγχει κρατοῦν ἀκίνητον τὴν γλῶσσαν καὶ μένουν ἄφωνοι ὡς τοιοῦτοι, ὡσὰν νὰ εἶναι δεμένοι μὲ κάποιον δεσμὸν τῆς σιγῆς. Ἐπειδὴ λοιπὸν ἤθελεν ὁ Θεὸς νὰ

παρρησίαν αὐτὸν ἐκκαλέσασθαι διαλέξεως, καὶ δοῦναι θαρρεῖν, καὶ εἰς ἀπολογίαν ὧν ἥμαρτεν ἐμβαλεῖν, ἵνα τινὸς ἀπολαύσῃ συγγνώμης, πρότερος αὐτὸς αὐτὸν ἐκάλεσε, τὸ πολὺ τῆς ἀγωνίας ὑποτεμνόμενος τῇ προσηγορίᾳ, καὶ τὸν φόβον ἀπελαύνων, καὶ τὸ στόμα διὰ ταύτης ἀνοίγων τῆς κλήσεως. Διὸ καὶ ἔλεγεν, «Ἀδάμ, ποῦ εἶ;». Ἑτέρωθι κατέλιπόν σε, φησί, καὶ ἑτέρωθι νῦν εὑρίσκω· κατέλιπον ἐν παρρησίᾳ καὶ δόξῃ, καὶ εὑρίσκω νῦν ἐν ἀτιμίᾳ καὶ σιγῇ.

Καὶ σκόπει Θεοῦ κηδεμονίαν· οὐκ ἐκάλεσε τὴν Εὔαν, οὐκ ἐκάλεσε τὸν ὄφιν, ἀλλὰ τὸν ἁπάντων κουφότερον ἡμαρτηκότα, τοῦτον εἰς τὸ δικαστήριον εἰσάγει πρότερον, ἵνα ἀπὸ τοῦ δυναμένου συγγνώμης ἀπολαῦσαί τινος ἀρξάμενος, ἡμερωτέραν ἐνέγκῃ τὴν ψῆφον καὶ πρὸς τὴν μεγάλα ἐξαμαρτοῦσαν. Καὶ δικασταὶ μὲν οὖν τοὺς συνδούλους τοὺς ἑαυτῶν καὶ τῆς αὐτῆς αὐτοῖς κοινωνοῦντας φύσεως οὐκ ἀνέχονται δι' ἑαυτῶν ἐξετάζειν, ἀλλὰ μέσον τινὰ τῶν διακονουμένων αὐτοῖς προβαλλόμενοι, τὰς ἑαυτῶν ἐρωτήσεις ἐκεῖνον παρασκευάζουσι διαβιβάζειν πρὸς τὸν κατάδικον, καὶ δι' αὐτοῦ λέγουσι, καὶ ἀκούουσιν ἅπερ ἂν ἐθέλωσιν, ἐπειδὰν τοὺς ἡμαρτηκότας ἐξετάζωσιν· ὁ δὲ Θεὸς οὐκ ἐδεήθη μεσίτου τινὸς πρὸς τὸν ἄνθρωπον, ἀλλ' αὐτὸς δι' ἑαυτοῦ δικάζει καὶ παραμυθεῖται.

Καὶ οὐ τοῦτο μόνον ἐστὶ τὸ θαυμαστόν, ἀλλ' ὅτι καὶ διορθοῦται τὰ πλημμελήματα. Δικασταὶ μὲν γὰρ ἐπειδὰν λάβωσι λῃστὰς καὶ τυμβωρύχους, οὐχ ὅπως αὐτοὺς ἐργάσωνται βελτίους σκοποῦσιν, ἀλλ' ὅπως αὐτοὺς ἀπαιτήσωσι τῶν ἡμαρτημένων δίκην· ὁ δὲ Θεὸς τοὐναντίον ἅπαν· ἐπειδάν τινα λάβῃ ἡμαρτηκότα, οὐχ ὅπως ἀπαιτήσῃ δίκην σκοπεῖ, ἀλλ' ὅπως αὐτὸν διορθώσηται, καὶ βελτίω ποιήσῃ, καὶ πρὸς τὸ μέλλον ἀχείρωτον. Ὥστε ὁμοῦ καὶ δικαστής, καὶ ἰατρός, καὶ διδάσκαλός ἐστιν ὁ Θεός· καὶ γὰρ ὡς δικαστὴς ἐξετάζει,

---

7. Ὁ ἀνασκάπτων τάφον πρὸς σύλησιν τῶν μετὰ τοῦ νεκροῦ συνθαπτομένων ἀνικειμένων.

τὸν κάμῃ νὰ ὁμιλήσῃ μὲ θάρρος καὶ ἐλεύθερα καὶ νὰ τὸν ὁδηγήσῃ εἰς ἀπολογίαν δι᾽ ὅσα ἡμάρτησεν, ὥστε νὰ τύχῃ κάποιας συγγνώμης, πρῶτος αὐτὸς τὸν ἐκάλεσε καὶ μὲ τὸν τρόπον τῆς κλήσεως ἠλάττωνε τὴν μεγάλην ἀγωνίαν του, τοῦ ἔδιωχνε τὸν φόβον καὶ τοῦ ἤνοιγε τὸ στόμα. Διὰ τοῦτο καὶ ἔλεγεν· «᾿Αδάμ, ποῦ εἶσαι;». ᾿Αλλοιῶς σὲ ἄφησα, λέγει, καὶ ἀλλοιῶς σὲ εὑρίσκω τώρα· σὲ ἄφησα μὲ παρρησίαν καὶ δόξαν καὶ τώρα σὲ εὑρίσκω εἰς σιωπὴν καὶ ἀτιμίαν.

Καὶ παρατήρησε καλῶς τὴν πρόνοιαν τοῦ Θεοῦ· δὲν ἐφώναξε τὴν Εὔαν, δὲν ἐφώναξε τὸν ὄφιν, ἀλλὰ ἐφώναξε ἐκεῖνον ποὺ ἡμάρτησεν ἐλαφρότερον, αὐτὸν ὁδηγεῖ πρῶτον εἰς τὸ δικαστήριον, διὰ νὰ κάμῃ ἀρχὴν ἀπὸ ἐκεῖνον ποὺ ἠμποροῦσε νὰ λάβῃ κάποιαν συγχώρησιν, καὶ ἐν συνεχείᾳ νὰ ἔλθῃ μαλακώτερα ἡ κρίσις του εἰς αὐτὴν ποὺ ἡμάρτησε βαρύτερα. Καὶ οἱ δικασταὶ λοιπὸν τοὺς συνδούλους των, οἱ ὁποῖοι ἔχουν τὴν ἰδίαν μὲ αὐτοὺς φύσιν, δὲν ἀνέχονται νὰ τοὺς ἐξετάζουν οἱ ἴδιοι, ἀλλὰ διὰ μέσου κάποιου ἄλλου ἀπὸ τοὺς ὑπηρετοῦντας διαβιβάζουν τὰς ἐρωτήσεις των πρὸς ἐκεῖνον καὶ δέχονται τὰς ἰδικάς του καὶ δι᾽ αὐτοῦ λέγουν καὶ ἀκούουν ὅ,τι θέλουν, ὅταν ἐξετάζουν αὐτοὺς ποὺ ἔσφαλλαν· ὁ Θεὸς ὅμως δὲν ἐχρειάσθη κανένα μεσίτην διὰ νὰ ἀπευθυνθῇ πρὸς τὸν ἄνθρωπον, ἀλλὰ αὐτὸς ὁ ἴδιος δικάζει καὶ παρηγορεῖ.

Καὶ δὲν εἶναι μόνον αὐτὸ τὸ ἀξιοθαύμαστον, ἀλλὰ καὶ τὸ ὅτι διορθώνει τὰ ἁμαρτήματά μας. Διότι οἱ μὲν δικασταί, ὅταν συλλάβουν λῃστὰς καὶ τυμβωρύχους[7], δὲν ἀποβλέπουν πῶς νὰ τοὺς κάμουν καλυτέρους, ἀλλὰ πῶς νὰ τοὺς τιμωρήσουν διὰ τὰ παραπτώματά των· ὁ Θεὸς ὅμως κάμει τὸ τελείως ἀντίθετον· ὅταν δηλαδὴ συλλάβῃ κάποιον ποὺ ἡμάρτησε, δὲν ζητεῖ πῶς νὰ τὸν τιμωρήσῃ, ἀλλὰ πῶς νὰ τὸν διορθώσῃ καὶ νὰ τὸν κάμῃ καλύτερον καὶ ἀπόρθητον ἀπὸ τὴν ἁμαρτίαν εἰς τὸ μέλλον. Ὥστε ὁ Θεὸς εἶναι ταυτοχρόνως καὶ δικαστὴς καὶ ἰατρὸς καὶ διδάσκαλος· καθ᾽ ὅσον ὡς δικαστὴς ἐξετάζει καὶ ὡς ἰατρὸς διορθώνει καὶ ὡς διδάσκα-

καὶ ὡς ἰατρὸς διορθοῦται, καὶ ὡς διδάσκαλος παιδεύει τοὺς ἡμαρτηκότας εἰς πᾶσαν ἐνάγων φιλοσοφίαν. Εἰ δὲ ἓν ῥῆμα ψιλὸν καὶ βραχὺ τοσαύτην ἐνεδείξατο τοῦ Θεοῦ τὴν κηδεμονίαν, τί εἰ πᾶσαν ταύτην ἀναγνῶμεν ὑμῖν τὴν δίκην, καὶ ὁλόκληρα ἀναπτύξωμεν τὰ ὑπομνήματα; Ὁρᾷς πῶς πᾶσα Γραφὴ παράκλησίς ἐστι καὶ παραμυθία;

Ἀλλὰ ταῦτα μὲν κατὰ τὸν προσήκοντα καιρὸν ἐροῦμεν· πρὸ δὲ τούτων ἀναγκαῖον εἰπεῖν, πότε τὸ βιβλίον ἐδόθη τοῦτο· οὐ γὰρ δὴ ἐν ἀρχῇ, οὐδὲ εὐθέως τοῦ Ἀδὰμ γενομένου ταῦτα ἐγράφετο, ἀλλὰ μετὰ πολλὰς ὕστερον γενεάς· καὶ ἄξιον ζητῆσαι τίνος ἕνεκεν μετὰ πολλὰς ὕστερον γενεάς, καὶ τί δήποτε Ἰουδαίοις μόνον, καὶ οὐχὶ πᾶσιν ἀνθρώποις, καὶ τί δήποτε τῇ Ἑβραΐδι γλώσσῃ, καὶ τίνος ἕνεκεν ἐπὶ τῆς ἐρήμου Σινᾶ; Οὐδὲ γὰρ τὸν τόπον ἁπλῶς ὁ ἀπόστολος παρατρέχει· ἀλλὰ κἀντεῦθεν μεγάλην ἡμῖν παραδείκνυσι θεωρίαν, οὕτω λέγων· «Αὗται γάρ εἰσι δύο διαθῆκαι, μία μὲν ἀπὸ ὄρους Σινᾶ εἰς δουλείαν γεννῶσα».

5. Καὶ ἕτερα δὲ πλείω τούτων ἀναγκαῖον ζητῆσαι, ἀλλ' ὁρῶ τὸν καιρὸν ἡμῖν οὐκ ἐπιτρέποντα πρὸς τοιοῦτον ἀφεῖναι τὸν λόγον πέλαγος· διόπερ ταῦτα τῷ προσήκοντι καιρῷ ταμιευσάμενοι, πάλιν περὶ τῆς τῶν ὅρκων ἀπαλλαγῆς ὑμῖν διαλεξόμεθα, καὶ παρακαλέσομεν ὑμῶν τὴν ἀγάπην πολλῇ περὶ τὸ πρᾶγμα τοῦτο χρήσασθαι τῇ σπουδῇ. Πῶς γὰρ οὐκ ἄτοπον οἰκέτην μὲν μὴ τολμᾶν ἐξ ὀνόματος τὸν δεσπότην τὸν ἑαυτοῦ καλεῖν, μηδὲ ἁπλῶς καὶ ὡς ἔτυχε· τὸν δὲ τῶν ἀγγέλων δεσπότην ἁπλῶς καὶ μετὰ πολλῆς τῆς καταφρονήσεως πανταχοῦ περιφέρειν; Κἂν μὲν Εὐαγγέλιον κατασχεῖν δέῃ, τὰς χεῖρας ἀπονιψάμενος, μετὰ πολλῆς τῆς αἰδοῦς καὶ τῆς εὐλαβείας φρίττων καὶ δεδοικὼς κατέχεις· τὸν δὲ τοῦ Εὐαγγελίου Δεσπότην ἁπλῶς ἐπὶ τῆς γλώττης πανταχοῦ περιφέρεις;

8. Γαλ. 4, 24.

λος παιδαγωγεῖ αὐτοὺς ποὺ ἡμάρτησαν, ὁδηγῶν αὐτοὺς εἰς τὸν χριστιανικὸν τρόπον ζωῆς. Ἂν δὲ μία ἁπλῆ καὶ βραχεῖα φράσις, ἔδειξε τόσην μεγάλην φροντίδα τοῦ Θεοῦ, τί θὰ γνωρίσωμεν ἐὰν ἀναγνώσωμεν εἰς σᾶς ὅλην τὴν δίκην τῶν πρωτοπλάστων καὶ ἀναπτύξωμεν ὅλα τὰ χωρία αὐτῆς;

Αὐτὰ ὅμως θὰ τὰ εἰποῦμεν εἰς τὸν κατάλληλον χρόνον· προτοῦ δὲ νὰ εἰποῦμεν αὐτὰ εἶναι ἀπαραίτητον νὰ εἰποῦμεν πότε ἐδόθη τὸ βιβλίον τοῦτο· διότι δὲν ἐγράφησαν αὐτὰ εἰς τὴν ἀρχὴν οὔτε εὐθὺς ὡς ἐδημιουργήθη ὁ Ἀδάμ, ἀλλὰ ὕστερα ἀπὸ πολλὰς γενεάς· καὶ ἀξίζει νὰ ἀναζητήσωμεν διὰ ποῖον λόγον ἐγράφησαν μετὰ ἀπὸ πολλὰς γενεάς, καὶ διατί ἐδόθησαν μόνον εἰς τοὺς Ἰουδαίους καὶ ὄχι εἰς ὅλους τοὺς ἀνθρώπους, καὶ διατί εἰς τὴν ἑβραϊκὴν γλῶσσαν, καὶ διὰ ποῖον λόγον εἰς τὴν ἔρημον τοῦ Σινᾶ; Διότι ὁ ἀπόστολος δὲν ἀναφέρει ἄνευ λόγου τὸν τόπον, ἀλλὰ θέλει νὰ δείξῃ ἀπὸ ἐδῶ ὅτι τοῦτο ἔχει μεγάλην σημασίαν λέγων τὰ ἑξῆς· «διότι αὐταὶ εἶναι αἱ δύο διαθῆκαι, μία μὲν ἀπὸ τοῦ ὄρους Σινᾶ, ἡ ὁποία ὁδηγεῖ εἰς δουλείαν»[8].

5. Καὶ ἄλλα περισσότερα ἀπὸ αὐτὰ εἶναι ἀνάγκη νὰ ἀναζητήσωμεν, ἀλλὰ βλέπω ὅτι ὁ χρόνος δὲν θὰ ἐπιτρέψῃ νὰ ρίψω τὸν λόγον εἰς τόσον μεγάλο πέλαγος· διὰ τοῦτο ἀφοῦ ἀφήσω αὐτὰ νὰ τὰ ἐξετάσωμεν εἰς κατάλληλον εὐκαιρίαν, θὰ σᾶς ὁμιλήσω πάλιν περὶ τῆς ἀπαλλαγῆς ἀπὸ τοὺς ὅρκους καὶ θὰ παρακαλέσω τὴν ἀγάπην σας νὰ καταβάλλετε μεγάλην προσπάθειαν διὰ τὸ πρᾶγμα αὐτό. Διότι δὲν σᾶς φαίνεται παράλογον ὁ μὲν ὑπηρέτης νὰ μὴ τολμᾷ νὰ ὀνομάζῃ τὸν κύριόν του μὲ τὸ ὄνομά του, οὔτε χωρὶς νὰ ὑπάρχῃ κάποιος λόγος, τὸν δὲ Κύριον τῶν ἀγγέλων, ἁπλῶς καὶ ὡς ἔτυχε καὶ μὲ πολλὴν περιφρόνησιν παντοῦ νὰ ἀναφέρωμεν; Καὶ ἂν μὲν πρέπει νὰ πιάσῃς τὸ Εὐαγγέλιον, ἀφοῦ πλύνῃς τὰ χέρια, τὸ κρατᾷς μὲ πολὺν σεβασμὸν καὶ εὐλάβειαν καὶ φρίκην, τὸν δὲ δεσπότην τοῦ Εὐαγγελίου χωρὶς σοβαρὸν λόγον τὸν περιφέρεις ἐπάνω εἰς τὴν γλῶσαν σου παντοῦ;

Βούλει μαθεῖν πῶς αὐτὸν καλοῦσιν αἱ ἄνω δυνάμεις, μεθ' ὅσης φρίκης, μεθ' ὅσης ἐκπλήξεως, μεθ' ὅσου θαύματος; «Εἶδον τὸν Κύριον καθήμενον», φησίν, «ἐπὶ θρόνου ὑψηλοῦ καὶ ἐπηρμένου, καὶ τὰ Σεραφὶμ εἱστήκεισαν κύκλῳ αὐτοῦ, καὶ ἐκέκραγον ἕτερος πρὸς τὸν ἕτερον, καὶ ἔλεγον· ἅγιος, ἅγιος, ἅγιος Κύριος σαβαώθ· πλήρης πᾶσα ἡ γῆ τῆς δόξης αὐτοῦ». Εἶδες μεθ' ὅσου φόβου, μεθ' ὅσης φρίκης καλοῦσι δοξολογοῦσαι καὶ ὑμνοῦσαι; Σὺ δὲ ἐν εὐχαῖς μὲν καὶ ἱκετηρίαις μετὰ πολλῆς αὐτὸν καλεῖς τῆς ῥᾳθυμίας, ὅτε φρίττειν ἔδει, καὶ ἐγρηγορέναι, καὶ νήφειν· ἐν ὅρκοις δὲ ὅτε οὐδ' ὅλως τὸ θαυμαστὸν τοῦτο ὄνομα παράγειν ἐχρῆν, ποικίλους τινὰς καὶ ἐπαλλήλους ὅρκους συνείρεις.

Καὶ ποία συγγνώμη, τίς δὲ ἡμῖν ἔσται ἀπολογία, κἂν μυριάκις συνήθειαν προβαλλώμεθα; Λέγεταί τις τῶν ἔξωθεν ῥητόρων ὑπό τινος συνηθείας ἀλόγου τὸν δεξιὸν συνεχῶς ὦμον κινεῖν βαδίζων, ἀλλ' ὅμως περιεγένετο τῆς συνηθείας, καὶ μαχαίρας ἀκονήσας ἑκατέρωθεν ἐπέθηκε τοῖς ὤμοις, ὥστε τῷ φόβῳ τῆς τομῆς σωφρονίσαι τὸ μέλος ἀκαίρως κινούμενον· τοῦτο καὶ σὺ ποίησον ἐπὶ τῆς γλώττης, καὶ ἀντὶ μαχαίρας ἐπίθες αὐτῇ τὸν φόβον τῆς τοῦ Θεοῦ κολάσεως, καὶ περιέσῃ πάντως. Ἀμήχανον γάρ, ἀμήχανον μεριμνῶντας καὶ σπουδάζοντας, καὶ ἔργον τοῦτο ποιουμένους ἡττηθῆναί ποτε.

Ἐπαινεῖτε νῦν τὰ εἰρημένα, ἀλλ' ὅταν κατορθώσητε, μειζόνως ἐπαινέσετε, οὐχ ἡμᾶς μόνον, ἀλλὰ καὶ ὑμᾶς αὐτούς, καὶ μετὰ πλείονος τῆς ἡδονῆς ἀκούσετε τῶν λεγομένων, καὶ μετὰ καθαροῦ τοῦ συνειδότος καλέσετε τὸν Θεόν, ὃς οὕτως σου φείδεται, ὡς εἰπεῖν, «Μηδὲ κατὰ τῆς κεφαλῆς σου ὀ-

---

9. Ἠσ. 6, 1-3.
10. Ὁ Ἀθηναῖος ῥήτωρ Δημοσθένης.
11. Κατὰ τὴν τότε ἐπικρατοῦσαν συνήθειαν νὰ χειροκροτῇ τὸ ἀκροατήριον τὸν ὁμιλητὴν εἰς ὡρισμένα σημεῖα τῆς ὁμιλίας ὅπου αὐτὸ ἐνθουσιάζετο, συνέβη εἰς τὸ σημεῖον αὐτὸ νὰ ξεσπάσῃ εἰς ἐπευφημίας καὶ χειροκροτήματα.
12. Ματθ. 5, 36.

Θέλεις νὰ μάθῃς πῶς τὸν ὀνομάζουν αἱ οὐράνιαι δυνάμεις, μὲ πόσην φρίκην, μὲ πόσην ἔκπληξιν μὲ πόσον θαυμασμὸν προφέρουν τὸ ὄνομά του; «Εἶδον τὸν Κύριον» λέγουν «νὰ κάθηται ἐπὶ θρόνου ὑψηλοῦ καὶ ὑπερέχοντος, καὶ τὰ Σεραφὶμ ἐπετοῦσαν ὑπεράνω αὐτοῦ καὶ ἐφώναζε τὸ ἕνα πρὸς τὸ ἄλλο καὶ ἔλεγεν· ἅγιος, ἅγιος, ἅγιος εἶναι ὁ Κύριος τῶν δυνάμεων· γεμάτη εἶναι ὅλη ἡ γῆ ἀπὸ τὴν δόξαν του»[9]. Εἶδες μὲ πόσον μεγάλον φόβον μὲ πόσην φρίκην προφέρουν τὸ ὄνομά του ὅταν τὸν δοξολογοῦν καὶ τὸν ὑμνοῦν; Σὺ ὅμως εἰς τὰς προσευχὰς καὶ τὰς παρακλήσεις παρακαλεῖς αὐτὸν μὲ μεγάλην ραθυμίαν, τότε ποὺ ἔπρεπε νὰ φρίττῃς, νὰ εἶσαι ἐν ἐγρηγόρσει καὶ νηφάλιος· εἰς τοὺς ὅρκους δέ, τότε ποὺ καθόλου δὲν πρέπει νὰ ἀναφέρῃς τὸ θαυμαστὸν αὐτὸ ὄνομα, πολλοὺς καὶ ἀλλεπαλλήλους ὅρκους ἀναφέρεις.

Καὶ ποίαν συγγνώμην θὰ ἔχωμεν ἢ ποίαν ἀπολογίαν καὶ ἂν μυριάκις προβάλωμεν ὡς δικαιολογίαν τὴν συνήθειαν; Λέγεται ὅτι κάποιος ἀπὸ τοὺς ρήτορας τοὺς ἐθνικοὺς εἶχε τὴν συνήθειαν νὰ βαδίζῃ κινῶν συνεχῶς τὸν δεξιὸν ὦμον[10], ὅμως ὑπερίσχυσε τῆς συνηθείας αὐτῆς, διότι ἀφοῦ ἀκόνισε μαχαίρια τὰ ἐτοποθέτησεν ἐπάνω ἀπὸ τοὺς ὤμους του καὶ ἔτσι ἀπὸ τὸν φόβον μήπως κοπῇ ἔκαμε τὸ μέλος ποὺ ἐκινεῖτο χωρὶς λόγον νὰ μὴ κινῆται· αὐτὸ νὰ κάμῃς καὶ σὺ διὰ τὴν γλῶσσαν σου, καὶ ἀντὶ νὰ τοποθετήσῃς μάχαιραν, βάλε ἐπάνω εἰς αὐτὴν τὸν φόβον τῆς τιμωρίας τοῦ Θεοῦ καὶ ὁπωσδήποτε θὰ νικήσῃς τὴν συνήθειαν τοῦ ὅρκου. Διότι εἶναι ἀδύνατον, ἐντελῶς ἀδύνατον, ὅταν φροντίζωμεν μὲ προσοχὴν καὶ κάμωμεν τοῦτο νὰ νικηθῶμεν ποτέ[11].

Ἐπαινεῖτε τώρα αὐτὰ ποὺ ἐλέχθησαν, ἄλλα ὅταν ἐπιτύχετε νὰ κάμετε αὐτὰ ποὺ ἐλέχθησαν, περισσότερον θὰ ἐπαινέσετε, ὄχι μόνον ἡμᾶς ἀλλὰ καὶ σᾶς τοὺς ἴδιους, καὶ μὲ περισσοτέραν εὐχαρίστησιν θὰ ἀκοῦτε αὐτὰ ποὺ λέγονται, καὶ μὲ καθαρὰν τὴν συνείδησιν θὰ προφέρετε τὸ ὄνομα τοῦ Θεοῦ, ὁ ὁποῖος τόσον πολὺ φροντίζει διὰ σέ, ὥστε λέγει· «οὔτε εἰς τὴν κεφαλήν σου νὰ ὁρκισθῇς»[12]· σὺ ὅμως

μόσῃς»· σὺ δὲ οὕτως αὐτοῦ καταφρονεῖς, ὡς καὶ κατὰ τῆς αὐτοῦ δόξης ὀμνύναι. Καὶ τί πάθω, φησί, πρὸς τοὺς ἀνάγκην ἐπάγοντας; Ποίαν ἀνάγκην, ἄνθρωπε; Μαθέτωσαν ἅπαντες, ὅτι πάντα αἱρέσῃ παθεῖν, ἢν τὸν τοῦ Θεοῦ παραβῆναι νόμον, καὶ ἀποστήσονται τῆς ἀνάγκης. Ὅτι γὰρ οὐχ ὅρκος ἀξιόπιστον ποιεῖ, ἀλλὰ βίου μαρτυρία καὶ πολιτείας ἀκρίβεια, καὶ ὑπόληψις ἀγαθή, πολλοὶ πολλάκις διερράγησαν ὀμνύντες, καὶ οὐδένα ἔπεισαν, ἕτεροι δὲ ἐπινεύσαντες μόνον, ἀξιοπιστότεροι τῶν τοσαῦτα ὀμωμοκότων ἐφάνησαν.

Ταῦτ᾿ οὖν εἰδότες ἅπαντα, καὶ τὴν κειμένην τοῖς τε ὀμνύουσι τοῖς τε ἐπιορκοῦσι κόλασιν πρὸ τῶν ὀφθαλμῶν βλέποντες, ἀποστῶμεν τῆς πονηρᾶς συνηθείας, ἵν᾿ ἐντεῦθεν καὶ πρὸς τὰ λοιπὰ βαδίζοντες κατορθώματα, τῶν μελλόντων ἀγαθῶν ἐπιτύχωμεν, ὧν γένοιτο πάντας ἡμᾶς ἀξιωθῆναι, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, δι᾿ οὗ καὶ μεθ᾿ οὗ τῷ Πατρὶ ἅμα τῷ ἁγίῳ Πνεύματι δόξα, κράτος, τιμή, νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

τόσον πολὺ περιφρονεῖς αὐτόν, ὥστε καὶ εἰς τὴν δόξαν του νὰ ὁρκίζεσαι. Καὶ τί νὰ κάμω, λέγει, ἀφοῦ μὲ φέρουν ἄλλοι εἰς τὴν ἀνάγκην νὰ ὁρκισθῶ; Ποίαν ἀνάγκην, ἄνθρωπε; Ἂς μάθουν ὅλοι ὅτι τὰ πάντα θὰ προτιμήσῃς νὰ μάθῃς παρὰ νὰ παραβῇς τὸν νόμον τοῦ Θεοῦ καὶ τότε ὅλοι θὰ ἀποφύγουν νὰ σὲ φέρουν εἰς τὴν ἀνάγκην νὰ ὁρκισθῇς. Τὸ ὅτι ὁ ὅρκος δὲν κάμει ἀξιόπιστον τὸν ἄνθρωπον, ἀλλὰ ἡ μαρτυρία τοῦ βίου του καὶ ὁ τρόπος τῆς ζωῆς του καὶ ἡ ἀγαθὴ ὑπόληψις, φαίνεται ἀπὸ τὸ γεγονὸς ὅτι πολλοὶ πολλάκις ἔσκασαν ἀπὸ τοὺς ὅρκους καὶ δὲν ἔπεισαν κανένα, ἐνῷ ἄλλοι μὲ ἕνα ἁπλοῦν νεῦμα μόνον, ἐφάνησαν πιὸ ἀξιόπιστοι ἀπὸ ἐκείνους ποὺ ἔκαμαν τόσους πολλοὺς ὅρκους.

Γνωρίζοντες λοιπὸν ὅλα αὐτὰ καλῶς, καὶ βλέποντες τὴν τιμωρίαν ποὺ ἀναμένει καὶ ὅσους ὁρκίζονται καὶ ὅσους εἶναι ἐπίορκοι, ἂς ἀπομακρυνθῶμεν ἀπὸ τὴν κακὴν αὐτὴν συνήθειαν, ὥστε ἀπὸ ἐδῶ νὸ βαδίζωμεν καὶ εἰς ἄλλας ἀρετάς, διὰ νὰ ἐπιτύχωμεν τῶν μελλόντων ἀγαθῶν, τῶν ὁποίων εἴθε ὅλοι νὰ ἀξιωθῶμεν, διὰ τῆς χάριτος καὶ φιλανθρωπίας τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, διὰ τοῦ ὁποίου καὶ μετὰ τοῦ ὁποίου εἰς τὸν Πατέρα καὶ συγχρόνως εἰς τὸ ἅγιον Πνεῦμα ἀνήκει δόξα, κράτος, τιμή, τώρα καὶ πάντοτε καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ΟΜΙΛΙΑ ΟΓΔΟΗ

ΠΡΟΤΡΟΠΗ ΕΙΣ ΑΡΕΤΗΝ,

Καὶ εἰς τό, «Περιεπάτει ὁ Θεὸς τὸ δειλινὸν ἐν τῷ παραδείσῳ»· καὶ περὶ τοῦ φεύγειν τοὺς ὅρκους.

1. Ἔγνωτε πρῴην πῶς πᾶσα Γραφὴ παράκλησιν φέρει καὶ παραμυθίαν κἂν ἱστορίας διήγησις ᾖ· καὶ γάρ τό, «Ἐν ἀρχῇ ἐποίησεν ὁ Θεὸς τὸν οὐρανὸν καὶ τὴν γῆν», ἱστορίας ἐξήγησις ἦν, ἀλλ' ἔδειξεν ὁ λόγος πολλῆς γέμουσαν παραμυθίας τὴν ῥῆσιν· οἷον, ὅτι διπλῆν τράπεζαν ὁ Θεὸς ἐποίησε, γῆν καὶ θάλατταν ὁμοῦ προθείς, καὶ φωστῆρας διπλοῦς ἥλιον καὶ σελήνην ἀνάψας ἄνωθεν, καὶ διπλοῦ δρόμου καιρόν, ἡμέραν καὶ νύκτα ἐργασάμενος, καὶ τὴν μὲν εἰς ἐργασίαν, τὴν δὲ εἰς ἀνάπαυσιν.

Οὐ γὰρ ἐλάττονα τῆς ἡμέρας ἡμῖν εἰσφέρει λειτουργίαν ἡ νύξ· ἀλλ' ὥσπερ ἐπὶ τῶν δένδρων εἶπον, ὅτι τῶν ἐγκάρπων τὰ ἄκαρπα ἐφάμιλλον παρέχεται χρείαν, οὐκ ἀναγκάζοντα ἡμᾶς τῶν ἡμέρων ἅπτεσθαι δένδρων εἰς τὰς οἰκοδομάς· καὶ τῶν ἡμέρων ζώων οὐκ ἐλάττονα παρέχεται χρείαν ἡμῖν τὰ ἄγρια καὶ ἀνήμερα, καὶ τῷ φόβῳ πρὸς τὰς πόλεις ἡμᾶς συνελαύνοντα, καὶ προσεκτικωτέρους ποιοῦντα, καὶ συσφίγγοντα πρὸς ἀλλήλους, καὶ τῶν μὲν τὴν δύναμιν ἐγγυμνάζοντα, τῶν δὲ τὰ νοσήματα λύοντα· πολλὰ γὰρ ἐξ ἐκείνων τὰ φάρμακα κατασκευάζουσιν ἰατρῶν παῖδες· καὶ τῆς παλαιᾶς ἡμᾶς ἁμαρτίας ἀναμιμνήσκοντα. Ὅταν γὰρ ἀκούσω, ὅτι «Ἔσται ὁ φόβος ὑμῶν καὶ ὁ τρόμος ἐπὶ πάντα τὰ θηρία

1. Γεν. 3, 8.
2. Γεν. 1, 1.
3. Γεν. 9, 2.

ΟΜΙΛΙΑ ΟΓΔΟΗ

ΠΡΟΤΡΟΠΗ ΠΡΟΣ ΤΗΝ ΑΡΕΤΗΝ

καὶ εἰς τὸ «περιεπάτει ὁ Θεὸς κατὰ τὸ δειλινὸν εἰς τὸν παράδεισον»[1]· καὶ περὶ τῆς ἀποφυγῆς τῶν ὅρκων.

1. Ἐμάθατε ἀπὸ τὴν προηγουμένην ὁμιλίαν ὅτι κάθε χωρίον τῆς Γραφῆς ἔχει παρηγορίαν καὶ ἀνακούφισιν εἰς τοὺς λυπημένους, ἀκόμα καὶ ἂν εἶναι ἱστορικὴ διήγησις· καθ' ὅσον καὶ τὸ «εἰς τὴν ἀρχὴν ἐδημιούργησεν ὁ Θεὸς τὸν οὐρανὸν καὶ τὴν γῆν»[2] ἦτο ἱστορικὴ διήγησις, ἀλλ' ἀπέδειξεν ἡ ὁμιλία, ὅτι τοῦτο ἦτο γεμᾶτο ἀπὸ πολλὴν παρηγορίαν· διότι εἴδομεν ὅτι ὁ Θεὸς μᾶς ἔδωσε διπλῆν τράπεζαν μὲ τὸ νὰ θέσῃ εἰς τὴν διάθεσίν μας ταυτοχρόνως τὴν γῆν καὶ τὴν θάλασσαν, καὶ δύο φωστῆρας ἥναψεν εἰς τὸν οὐρανόν, τὸν ἥλιον καὶ τὴν σελήνην, καὶ δύο χρονικὰς περιόδους καθώρισε, τὴν ἡμέραν καὶ τὴν νύκτα, καὶ τὴν μὲν ἡμέραν καθώρισε διὰ τὴν ἐργασίαν, τὴν δὲ νύκτα διὰ ἀνάπαυσιν.

Διότι δὲν μᾶς προσφέρει ὀλιγωτέρας ὑπηρεσίας ἡ νύκτα ἀπὸ τὴν ἡμέραν· ἀλλὰ ὅπως ἀνέφερα διὰ τὰ δένδρα ὅτι τὰ ἄκαρπα εἶναι ἐξ ἴσου χρήσιμα μὲ τὰ καρποφόρα, διότι δὲν μᾶς ὑποχρεώνουν νὰ χρησιμοποιῶμεν τὰ καρποφόρα εἰς τὰς οἰκοδομάς· ὅπως καὶ τὰ ἄγρια ζῶα δὲν εἶναι ὀλιγώτερον χρήσιμα ἀπὸ τὰ ἥμερα, διότι ἐξ αἰτίας τοῦ φόβου ποὺ μᾶς προκαλοῦν μᾶς ὁδηγοῦν εἰς τὰς πόλεις καὶ μᾶς κάμουν περισσότερον προσεκτικούς, καὶ μᾶς φέρουν εἰς στενωτέραν ἐπαφὴν μεταξύ μας, καὶ ἄλλων μὲν ἐξασκοῦν τὴν δύναμιν, ἄλλων δὲ θεραπεύουν τὰ νοσήματα, διότι πολλὰ φάρμακα παρασκευάζουν ἀπὸ αὐτὰ οἱ ἰατροί, καὶ μᾶς ὑπενθυμίζουν τὴν παλαιάν μας ἁμαρτίαν. Διότι ὅταν θὰ ἀκούσω ὅτι «θὰ σᾶς φοβοῦνται καὶ θὰ σᾶς τρέμουν ὅλα τὰ θηρία τῆς γῆς[3] καὶ ἔπειτα

τῆς γῆς», εἶτα τὴν τιμὴν ἀκρωτηριασθεῖσαν ἴδω ταύτην, ἀναμιμνήσκομαι τῆς ἁμαρτίας, ἣ καὶ τὸν φόβον ἡμῶν ἐξέλυσε, καὶ τὴν ἀρχὴν ὑπετέμετο, καὶ γίνομαι βελτίων, καὶ σωφρονέστερος, μαθὼν τὴν ἐκ τῆς ἁμαρτίας ἡμῖν γεγενημένην ζημίαν.

Ὥσπερ οὖν, ὅπερ ἔφην, οὐ τὸ τυχὸν εἰς τὸν βίον ἡμῖν συντελεῖ ταῦτά σε τὰ εἰρημένα καὶ ἕτερα πλείω τούτων, ἅπερ ὁ ποιήσας οἶδε Θεός· οὕτω δὴ καὶ ἡ νὺξ οὐκ ἐλάττονα τῆς ἡμέρας εἰσφέρει χρῆσιν, ἀνάπαυσις οὖσα πόνων, καὶ φάρμακον οὖσα νοσημάτων. Πολλάκις γοῦν ἰατροὶ πολλὰ πραγματευσάμενοι, καὶ μυρία κατασκευάσαντες φάρμακα, οὐκ ἴσχυσαν ἀπαλλάξαι τῆς ἀρρωστίας τὸν κάμνοντα· ὕπνος δὲ αὐτόματος ἐπελθών, τὸ πᾶν ἔλυσε νόσημα, καὶ τῶν μυρίων ἐκείνους ἀπήλλαξε πόνων· οὐ παθῶν δὲ σωματικῶν μόνον, ἀλλὰ καὶ ψυχικῶν νοσημάτων ἐστὶ φάρμακον ἡ νὺξ ἀναπαύουσα τὰς ὀδυνωμένας ψυχάς. Πολλάκις γοῦν τις ἀπέβαλεν υἱόν, καὶ μυρίων μυρία παρακαλούντων οὐκ ἠνέσχετο τῶν θρήνων ἀποστῆναι καὶ τῆς οἰμωγῆς· νυκτὸς δὲ ἐπελθούσης, εἶξε τῇ τυραννίδι τοῦ ὕπνου ἡττηθείς, καὶ τὰ βλέφαρα κατεκοίμισε, καὶ μικράν τινα τῶν καθημερινῶν κακῶν παραμυθίαν ἔλαβε.

Φέρε δὴ λοιπὸν πρὸς τὴν ὑπόθεσιν ἴωμεν, ἀφ' ἧς καὶ ταῦτα εἰρήκαμεν. Καὶ γὰρ εὖ οἶδα ὅτι πρὸς ταύτην κεχήνατε πάντες, καὶ ἕκαστος ὑμῶν ὠδίνει μαθεῖν τίνος ἕνεκεν οὐκ ἐξ ἀρχῆς τὸ βιβλίον τοῦτο ἐδόθη, ἀλλ' οὐδὲ νῦν ὁρῶ τὸν καιρὸν ὄντα τῆς ἐξηγήσεως ταύτης. Τί δήποτε; Πρὸς τὸ τέλος ἡμῖν ἡ ἑβδομὰς ἀπήντησε, καὶ δέδοικα τῆς ὑποθέσεως

βλέπω ὅτι ἔχει ἀκρωτηριασθῇ ἡ τιμητικὴ αὐτὴ διάκρισις, ἐνθυμοῦμαι τὴν ἁμαρτίαν, ἡ ὁποία καὶ τὸν φόβον τὸν ὁποῖον θὰ ἐπροκαλούσαμεν τὸν ἐξαφάνισε, καὶ τὴν ἐξουσίαν μας ἐμείωσε, καὶ γίνομαι καλύτερος καὶ σωφρονέστερος, ἐπειδὴ ἔμαθα τὴν ζημίαν ποὺ προκαλεῖται εἰς ἡμᾶς ἐξ αἰτίας τῆς ἁμαρτίας.

Ὅπως λοιπόν, καθὼς εἶπα, ὅτι δὲν προσφέρουν μικρὰν ὠφέλειαν εἰς τὴν ζωήν μας αὐτὰ ποὺ ἀνέφερα καὶ πολὺ περισσότερα τούτων, τὰ ὁποῖα γνωρίζει ὁ Θεὸς ποὺ τὰ ἐδημιούργησεν, ἔτσι λοιπὸν καὶ ἡ νύκτα δὲν ἔχει ὀλιγωτέραν χρῆσιν ἀπὸ τὴν ἡμέραν, ἀφοῦ εἶναι ἀνάπαυσις ἀπὸ τοὺς κόπους καὶ φάρμακον διὰ τὰς ἀσθενείας. Πολλάκις οἱ ἰατροί, ἂν καὶ μετεχειρίσθησαν πολλοὺς τρόπους θεραπείας καὶ παρεσκεύασαν ἀναρίθμητα φάρμακα, δὲν ἠμπόρεσαν νὰ ἀπαλλάξουν τὸν ἀσθενῆ ἀπὸ τὴν ἀρρώστειάν του· ὅταν ὅμως ἦλθε μόνος του ὁ ὕπνος, ἐθεράπευσεν εὐθὺς τὴν ἀσθένειαν καὶ ἀπήλλαξεν ἐκείνους ἀπὸ τοὺς πολλοὺς πόνους· καὶ δὲν εἶναι μόνον φάρμακον σωματικῶν πόνων ἡ νύκτα, ἀλλὰ καὶ ψυχικῶν νοσημάτων, διότι ἀναπαύει τὰς ψυχὰς ποὺ ὑποφέρουν. Πολλὲς φορὲς λοιπὸν συμβαίνει κάποιος ποὺ ἔχασε τὸ παιδί του, καὶ παρὰ τὰς πολλὰς παρακλήσεις τῶν ἄλλων δὲν ἐδέχετο νὰ ἀφήσῃ τοὺς θρήνους καὶ τὰ κλάματα· ὅταν ὅμως ἦλθεν ἡ νύκτα, τὰ ἄφησεν ὅλα αὐτὰ ἐπειδὴ ἐνικήθη ἀπὸ τὴν δύναμιν τοῦ ὕπνου καὶ ἔκλεισε τὰ βλέφαρά του, καὶ ἔλαβε κάποιαν μικρὰν παρηγορίαν ἀπὸ τὰς καθημερινάς του στενοχωρίας.

Ἐμπρὸς λοιπὸν ἂς ἔλθωμεν πρὸς τὴν ὑπόθεσιν ἀπὸ τὴν ὁποίαν ἐπήραμεν ἀφορμὴν διὰ νὰ εἰποῦμεν αὐτά. Διότι γνωρίζω καλῶς ὅτι πρὸς αὐτὴν ἔχετε ὅλοι προσηλωμένην τὴν προσοχήν σας, καὶ κάθε ἕνας ἀπὸ σᾶς στενοχωρεῖται καὶ ζητεῖ νὰ μάθῃ διατί δὲν ἐδόθη τὸ βιβλίον τοῦτο ἀπὸ τὴν ἀρχήν, ὅμως οὔτε τώρα βλέπω ὅτι εἶναι καιρὸς τῆς ἐξηγήσεως αὐτῆς. Διατί λοιπόν; Ἡ ἑβδομὰς ἔφθασε πρὸς τὸ τέλος της καὶ δὲν θεωρῶ σωστὸν νὰ ἀρχίσω νὰ ὁμιλῶ διὰ τὸ θέμα τοῦτο,

ἅψασθαι, εἶτα εὐθέως ἔγκοψαι τὴν διδασκαλίαν. Πολλῶν γὰρ ἐφεξῆς ἡμερῶν ἡμῖν ὑπόθεσις δεῖται καὶ συνεχοῦς τῆς μνήμης, διὸ πάλιν αὐτὴν ἀναβαλώμεθα. Ἀλλὰ μὴ δυσχεράνητε, μετὰ τόκου πάντως ὑμῖν ἀποδώσομεν τὸ χρέος· οὕτω γὰρ καὶ ἡμῖν τοῖς καταβάλλουσι συμφέρει· τέως δὲ τὸ χθὲς παραλειφθὲν ἐροῦμεν νῦν.

Τί δὲ τὸ χθὲς παραλειχθὲν ἦν; «Περιεπάτει», φησίν, «ὁ Θεὸς ἐν τῷ παραδείσῳ τὸ δειλινόν». Τί λέγεις, εἰπέ μοι, περιεπάτει ὁ Θεός; Οὐ περιεπάτει ὁ Θεός· πῶς γὰρ ὁ πανταχοῦ παρών, καὶ τὰ πάντα πληρῶν; Ἀλλὰ τοιαύτην αἴσθησιν ἐνέθηκε τῷ Ἀδάμ, ἵνα ἑαυτὸν συστείλῃ, ἵνα μὴ διακεχυμένος ᾖ, ἵνα τὸ φυγεῖν καὶ κρυβῆναι μέρος τι τῆς ἀπολογίας προβάληται καὶ πρὸ τῶν ῥημάτων αὐτῶν. Καθάπερ γὰρ οἱ μέλλοντες εἰς δικαστήριον εἰσάγεσθαι, καὶ εὐθύνας τῶν πεπλημμελημένων ὑπέχειν, αὐχμῶντες, ῥυπῶντες, στυγνοί, κατεσταλμένοι τοῖς δικάζουσι φαίνονται, ὥστε καὶ ἀπὸ τοῦ σχήματος αὐτοὺς εἰς φιλανθρωπίαν ἐπισπάσασθαι, καὶ ἔλεον, καὶ συγγνώμην· οὕτω καὶ ἐπὶ τοῦ Ἀδὰμ γέγονε. Καὶ γὰρ ἔδει κατεσταλμένον εἰς τὸ δικαστήριον εἰσαχθῆναι τοῦτο· διὰ τοῦτο προλαβὼν ὁ Θεός, αὐτὸν συνέστειλεν. Ἀλλ' ὅτι μέν τις περιεπάτει ᾔσθετο πόθεν δὲ ἐνόμισεν ὅτι ὁ Θεὸς περιεπάτει;

Τοιοῦτον τῶν ἁμαρτανόντων τὸ ἔθος ἐστί· πάντα ὑποπτεύουσι, τὰς σκιὰς τρέμουσι, πάντα ψόφον δεδοίκασι, καὶ ἕκαστον ἐπ' αὐτοὺς βαδίζειν νομίζουσι. Πολλοὺς γοῦν πολλάκις ἰδόντες ἐφ' ἑτέραν τρέχοντας διακονίαν, ἐνόμισαν ἐπ' αὐτοὺς ἥκειν οἱ ἁμαρτάνοντες, καὶ ἄλλων ἄλλα πρὸς ἀλλήλους διαλεγομένων, οἱ συνειδότες ἑαυτοῖς ἁμαρτίαν, περὶ αὐτῶν ἐκείνους διαλέγεσθαι νομίζουσι.

4. Γεν. 3, 8.

καὶ ἔπειτα ἀμέσως νὰ διακόψω τὴν διδασκαλίαν. Διότι τὸ θέμα τοῦτο χρειάζεται πολλὰς ἡμέρας δι' ἀνάπτυξιν καὶ συνεχεῖς ὑπενθυμίσεις, διὰ τοῦτο πάλιν θὰ ἀναβάλωμεν τοῦτο. 'Αλλὰ μὴ στενοχωρῆσθε, διότι τὸ χρέος μας θὰ σᾶς τὸ ἐπιστρέψωμεν μαζὶ μὲ τὸν τόκον· διότι ἔτσι προσφέρει καὶ εἰς ἡμᾶς ποὺ θὰ τὸ καταβάλωμεν· τώρα ὅμως θὰ σᾶς εἰποῦμεν ἐκεῖνο ποὺ παρελείψαμεν χθές.

Ποῖον δὲ ἦτο αὐτὸ ποὺ παρελείφθη χθές; «Ἐπερπατοῦσε», λέγει, ὁ Θεὸς εἰς τὸν παράδεισον τὸ δειλινόν»[4]. Τί λέγεις, εἰπέ μου, ἐπερπατοῦσεν ὁ Θεός; Δὲν ἐπερπατοῦσεν ὁ Θεός· διότι πῶς εἶναι δυνατὸν νὰ περιπατῇ αὐτὸς ποὺ εἶναι πανταχοῦ παρὼν καὶ πληροῖ τὰ πάντα; 'Αλλὰ ἔβαλε μέσα εἰς τὸν 'Αδὰμ αὐτὴν τὴν ἐντύπωσιν, διὰ νὰ τὸν κάμῃ νὰ συσταλῇ, νὰ συνέλθῃ, διὰ νὰ προβάλῃ τὴν φυγὴν καὶ τὸ κρύψιμον ὡς κάτι πρὶν ἀπὸ τὴν προφορικὴν ἀπολογίαν του. Διότι ὅπως αὐτοὶ ποὺ πρόκειται νὰ ὁδηγηθοῦν εἰς τὸ δικαστήριον καὶ νὰ ὑποστοῦν τὰς συνεπείας τῶν παραπτωμάτων τους, φαίνονται ρυπαροί, σκυθρωποί, κατεσταλμένοι εἰς τοὺς δικαστάς, ὥστε καὶ ἀπὸ τὴν ἐξωτερικήν των ὄψιν νὰ κινήσουν τὰ φιλάνθρωπα αἰσθήματα αὐτῶν καὶ τὴν συμπάθειαν καὶ τὴν συγχώρησιν, ἔτσι ἔγινε καὶ εἰς τὸν 'Αδάμ. Καθ' ὅσον ἔπρεπε νὰ προσέλθῃ εἰς τὸ δικαστήριον τοῦτο συνεσταλμένος· διὰ τοῦτο ἐπρόλαβεν ὁ Θεὸς καὶ τὸν ἔκαμε νὰ συσταλῇ. 'Αλλ' ὅτι κάποιος περιεπάτει τὸ ᾐσθάνετο· ἀπὸ ποῦ ὅμως ἐνόμισεν ὅτι περιεπάτει ὁ Θεός;

Τοιαύτη συνήθεια ὑπάρχει εἰς τοὺς ἁμαρτάνοντας· τὰ πάντα ὑποπτεύονται, τρέμουν τὰς σκιάς, φοβοῦνται κάθε θόρυβον, καὶ νομίζουν ὅτι κάθε ἕνας ἄνθρωπος βαδίζει ἐναντίον τους. Πολλάκις βλέποντες πολλοὺς νὰ τρέχουν εἰς ἄλλην ἐργασίαν, ἐνόμισαν οἱ ἁμαρτάνοντες ὅτι τρέχουν ἐκεῖνοι ἐναντίον τους, καὶ ἐνῷ ἄλλοι συζητοῦν μεταξύ των ἄλλα θέματα, αὐτοὶ ποὺ γνωρίζουν καὶ καταλογίζουν εἰς τὸν ἑαυτόν τους ἁμαρτίαν, νομίζουν ὅτι ἐκεῖνοι συζητοῦν δι' αὐτούς.

2. *Τοιοῦτον γὰρ ἡ ἁμαρτία, οὐδενὸς ἐλέγχοντος προδίδωσιν, οὐδενὸς κατηγοροῦντος καταδικάζει, καὶ ψοφοειδῆ ποιεῖ καὶ δειλὸν τὸν ἡμαρτηκότα· ὥσπερ οὖν ἡ δικαιοσύνη τὸ ἐναντίον. Ἄκουσον γοῦν πῶς καὶ τούτου τὴν δειλίαν, κἀκείνου τὴν παρρησίαν ὑπέγραψεν ἡ Γραφή· «Φεύγει ὁ ἀσεβής», φησίν, «οὐδενὸς διώκοντος». Πῶς οὐδενὸς διώκοντος φεύγει; Ἔνδον ἔχει τὸν ἐλαύνοντα, τὸν τοῦ συνειδότος κατήγορον, καὶ τοῦτον πανταχοῦ περιφέρει· καὶ καθάπερ ἑαυτὸν οὐκ ἂν δυνηθείη φεύγειν, οὕτως οὐδὲ τὸν ἔνδοθεν αὐτὸν ἐλαύνοντα, ἀλλ' ὅπου περ ἂν ἀπήει, μαστίζεται καὶ τραῦμα ἀνίατον ἔχει· ἀλλ' οὐχ ὁ δίκαιος τοιοῦτος, ἀλλ' ὁποῖος; ἄκουε· «Δίκαιος ὡς λέων πέποιθε». Τοιοῦτος ἦν ὁ Ἠλίας· εἶδε γοῦν τὸν βασιλέα πρὸς αὐτὸν ἐρχόμενον, καὶ εἰπόντος ἐκείνου, «Ἵνα τί διαστρέφεις τὸν Ἰσραήλ; Οὐκ ἐγὼ διαστρέφω», φησίν, «ἀλλὰ σὺ καὶ ὁ οἶκος τοῦ πατρός σου». Ἀληθῶς δίκαιος ὡς λέων πέποιθε. Καθάπερ γὰρ λέων κυνιδίου τινὸς εὐτελοῦς κατεξανέστη τοῦ βασιλέως· καίτοι πορφυρίδα εἶχεν ἐκεῖνος, ἀλλ' εἶχεν μηλωτὴν οὗτος, ἱμάτιον τῆς πορφυρίδος ἐκείνης σεμνότερον. Ἡ μὲν γὰρ πορφυρὶς ἐκείνη τὸν λιμὸν ἔτεκε τὸν χαλεπόν, ἡ μηλωτὴ δὲ αὕτη τὰ δεινὰ ἔλυσεν· αὕτη τὸν Ἰορδάνην ἔσχισεν, αὕτη τὸν Ἐλισσαῖον διπλοῦν Ἠλίαν ἐποίησεν.*

Ὢ πόση τῶν ἁγίων ἡ ἀρετή· οὐχὶ τὰ ῥήματα αὐτῶν μόνα, οὐδὲ τὰ σώματα, ἀλλὰ καὶ αὐτὰ τὰ ἱμάτια τῇ κτίσει πάσῃ πάντοτέ ἐστιν αἰδέσιμα. Ἡ μηλωτὴ τούτου τὸν Ἰορδάνην ἔσχισε, τὰ ὑποδήματα τῶν τριῶν παίδων τὸ πῦρ κατεπάτησαν, τὸ ξύλον τοῦ Ἐλισσαίου τὰ ὕδατα μετέβαλε, καὶ σιδήριον ὑπὲρ τὴν ἐπιφάνειαν βαστάζειν ἐποίησεν· ἡ ῥάβδος Μωϋσέως τὴν ἐρυθρὰν ἔσχισε θάλασσαν, τὴν πέτραν ἔρρηξε, τὰ ἱμάτια Παύλου νοσήματα ἤλασεν, ἡ σκιὰ Πέτρου θάνατον ἐφυγάδευ-

---

5. Παρ. 28, 1.
6. Αὐτόθι.
7. Γ' Βασ. 18, 17-18.
8. Πρβλ. Δ' Βασ. 2, 8.

2. Διότι τοιοῦτον πρᾶγμα εἶναι ἡ ἁμαρτία, προδίδει χωρὶς νὰ ἐλέγχῃ κανείς, καταδικάζει χωρὶς νὰ κατηγορῇ κανεὶς καὶ κάμει αὐτὸν ποὺ ἡμάρτησε νὰ αἰσθάνεται φόβον καὶ δειλίαν, ὅπως ἀκριβῶς πάλιν ἡ ἀρετὴ κάμει τὸ ἀντίθετον. Ἄκουσε λοιπὸν πῶς καὶ τὴν δειλίαν τοῦ ἁμαρτωλοῦ καὶ τὴν παρρησίαν τοῦ ἐναρέτου ἐτόνισεν ἡ Γραφή· «φεύγει ὁ ἀσεβής», λέγει, «χωρὶς νὰ τὸν καταδιώκῃ κανείς»[5]. Πῶς γίνεται νὰ φεύγῃ ἀφοῦ κανεὶς δὲν τὸν καταδιώκῃ; Ἔχει μέσα του αὐτὸν ποὺ τὸν διώχνει, τὸν κατήγορον τῆς συνειδήσεως, ὁ ὁποῖος τὸν περιφέρει παντοῦ· καὶ καθὼς δὲν ἠμπορεῖ νὰ ἀποφύγῃ τὸν ἑαυτόν του, ἔτσι δὲν ἠμπορεῖ νὰ ἀποφύγῃ καὶ τὸν ἐσωτερικὸν διώκτην, ἀλλὰ ὅπου καὶ ἂν μεταβῇ, κτυπᾶται καὶ ἔχει ἀθεράπευτον πληγήν· ὅμως ὁ δίκαιος δὲν εἶναι τοιοῦτος, ἀλλὰ ποῖος εἶναι; ἄκουε· «ὁ δίκαιος ἔχει πεποίθησιν ὡς λέων»[6]. Τοιοῦτος ἦτο ὁ προφήτης Ἠλίας· εἶδε λοιπὸν τὸν βασιλέα ποὺ ἤρχετο πρὸς αὐτόν, καὶ ὅταν ἐκεῖνος τοῦ εἶπε, «διατί διαστρέφεις τὸν Ἰσραήλ; Δὲν τὸν διαστρέφω ἐγώ», εἶπεν, «ἀλλὰ σὺ καὶ ὁ οἶκος τοῦ πατρός σου»[7]. Πράγματι ὁ δίκαιος ἔχει πίστιν καὶ θάρρος ὡς λέων. Διότι ὅπως ὁ λέων ἀντιμετωπίζει κάποιο μικρὸ σκυλάκι, ἔτσι καὶ αὐτὸς ἀντεμετώπισε τὸν βασιλέα· ἂν καὶ ἐκεῖνος εἶχε πορφύραν, ὅμως αὐτὸς εἶχε μηλωτήν, ἔνδυμα σεβαστότερον ἀπὸ τὴν βασιλικὴν ἐκείνην στολήν. Διότι ἡ μὲν πορφύρα ἐκείνη ἐγέννησε τὴν φοβερὰν πεῖναν, ἡ μηλωτὴ δὲ αὐτὴ ἀπήλλαξεν ἀπὸ τὰ δεινά· αὐτὴ ἔσχισε τὸν Ἰορδάνην, αὐτὴ ἔκαμε τὸν Ἐλισσαῖον διπλοῦν Ἠλίαν[8].

Ὢ πόσον μεγάλη εἶναι ἡ ἀρετὴ τῶν ἁγίων· ὄχι μόνον τὰ λόγια των, οὔτε τὰ σώματά των, ἀλλὰ καὶ αὐτὰ ἀκόμη τὰ ἐνδύματά των εἶναι σεβαστὰ εἰς ὅλην τὴν κτίσιν. Ἡ μηλωτὴ τούτου ἔσχισε τὸν Ἰορδάνην, τὰ ὑποδήματα τῶν τριῶν παίδων κατενίκησαν τὴν φωτιάν, τὸ ξύλον τοῦ Ἐλισσαίου μετέβαλε τὰ νερὰ καὶ τὰ ἔκαμε νὰ βαστάζουν σίδηρον εἰς τὴν ἐπιφάνειάν των· ἡ ράβδος τοῦ Μωυσέως ἔσχισε τὴν Ἐρυθρὰν θάλασσαν, ἔσπασε τὴν πέτραν, τὰ ἐνδύματα τοῦ Παύλου ἐξεδίωξαν νοσήματα, ἡ σκιὰ τοῦ Πέτρου

σεν, ἡ τέφρα τῶν ἁγίων μαρτύρων πονηροὺς ἀπελαύνει δαίμονας. Διὰ τοῦτο μετ' ἐξουσίας ἅπαντα πράττουσι, καθάπερ καὶ ὁ Ἠλίας· οὐ γὰρ δὴ ἑώρα τὸ διάδημα καὶ τὴν ἔξωθεν φαντασίαν τοῦ βασιλέως, ἀλλ' ἑώρα τὴν ψυχὴν ῥάκια περιβεβλημένην, αὐχμῶσαν, ῥυπῶσαν, καὶ καταδίκου παντὸς ἀθλιώτερον διακειμένην· καὶ ἰδὼν αὐτὸν αἰχμάλωτον καὶ δοῦλον ὄντα τῶν παθῶν, κατεφρόνησεν αὐτοῦ τῆς ἀρχῆς. Καθάπερ γὰρ ἐπὶ τῆς σκηνῆς, ἀλλ' οὐκ ἐπὶ τῆς ἀληθείας ἐδόκει βασιλέα βλέπειν. Τί γὰρ ὄφελος τῆς ἔξωθεν εὐπορίας, ὅταν ἔνδον πενία τοσαύτη ᾖ; τί δὲ βλάβος τῆς ἔξωθεν πενίας, ὅταν ἔνδον τοσοῦτος ἀποκέηται πλοῦτος;

Τοιοῦτος ἦν λέων καὶ ὁ μακάριος Παῦλος· εἰσελθὼν γὰρ εἰς τὸ δεσμωτήριον καὶ βοήσας μόνον, τὰ θεμέλια πάντα ἔσεισε, τὰ δεσμὰ κατέφαγεν, οὐκ ὀδοῦσι χρησάμενος, ἀλλὰ ῥήμασι· διόπερ, οὐχὶ λέοντας αὐτοὺς μόνον, ἀλλὰ καὶ ἕτερόν τι πλέον λεόντων χρὴ καλεῖν. Ὁ μὲν γὰρ λέων εἰς δίκτυα πολλάκις ἐμπεσὼν ἁλίσκεται· οἱ δὲ ἅγιοι δεθέντες, τότε ἰσχυρότεροι γίνονται· καθάπερ καὶ ὁ μακάριος οὗτος ἐπὶ τοῦ δεσμωτηρίου τότε ἐποίησε, τοὺς δεσμώτας λύσας, τοὺς τοίχους σαλεύσας, τὸν δεσμοφύλακα δήσας, καὶ τῷ τῆς εὐσεβείας χειρωσάμενος λόγῳ. Ὁ λέων φθέγγεται, καὶ τὰ θηρία φυγαδεύει πάντα· ὁ ἅγιος φθέγγεται, καὶ τοὺς δαίμονας ἀπελαύνει πάντοθεν· ὅπλα τοῦ λέοντος κόμη τριχῶν, ὀνύχων ἀκμή, καὶ ὀδόντες ἠκονημένοι· ὅπλα δικαίου φιλοσοφία, καρτερία, ὑπομονή, ὑπεροψία τῶν παρόντων ἁπάντων. Ταῦτα τὰ ὅπλα τις ἔχων, οὐκ ἀνθρώπων μόνον πονηρῶν, ἀλλὰ καὶ αὐτῶν καταγελάσεται τῶν ἀνεικειμένων δυνάμεων.

Φρόντισον τοίνυν τῆς κατὰ Θεὸν ζωῆς, ἄνθρωπε, καὶ οὐδεὶς περιέσεταί σού ποτε, ἀλλὰ κἂν ἁπάντων εὐτελέστερος εἶναι δοκῇς, πάντων δυνατώτερος ἔσῃ· ὥσπερ ἂν ἀμελήσῃς τῆς

---

9. Πρβλ. Πράξ. 16, 26.

ἀπεμάκρυνε θάνατον, ἡ στάχτη τῶν ἁγίων ἀπομακρύνει τοὺς πονηροὺς δαίμονας. Διὰ τοῦτο τὰ κάμουν ὅλα ὡς ἔχοντες ἐξουσίαν, ὅπως καὶ ὁ Ἠλίας· διότι δὲν ἔβλεπε τὸ βασιλικὸν στέμμα καὶ τὴν ἐξωτερικὴν ἐμφάνισιν τοῦ βασιλέως, ἀλλὰ ἔβλεπε τὴν ψυχήν του νὰ εἶναι ἐνδεδυμένη μὲ κουρέλια, νὰ εἶναι ἄπλυτος, ρυπαρὰ καὶ ἀθλιωτέρα ἀπὸ κάθε κατάδικον· καὶ ἐπειδὴ τὸν εἶδε νὰ εἶναι αἰχμάλωτος καὶ δοῦλος τῶν παθῶν, περιεφρόνησεν αὐτοῦ τὴν ἐξουσίαν. Διότι ἐνόμισεν ὅτι δὲν βλέπει ἀληθινὸν βασιλέα, ἀλλὰ ἠθοποιὸν ἐπὶ τῆς σκηνῆς ποὺ ὑποδύεται τὸν βασιλέα. Διότι τί ὠφέλεια ὑπάρχει ἀπὸ τὴν ἐξωτερικὴν ὡραίαν ἐμφάνισιν, ὅταν μέσα ὑπάρχῃ τόση πτωχεία; Καὶ τί βλάπτει τὴν ἐξωτερικὴν πτωχείαν, ὅταν μέσα μας εἶναι φυλαγμένος τόσος πλοῦτος;

Τοιοῦτος λέων ἦτο καὶ ὁ Μακάριος Παῦλος· διότι ὅταν εἰσῆλθεν εἰς τὸ δεσμωτήριον καὶ ἐφώναξε μόνον, ἔσεισεν ὅλα τὰ θεμέλια[9], κατέφαγε τὰ δεσμά, ὄχι χρησιμοποιῶν τὰ δόντια, ἀλλὰ τὰ λόγια· διὰ τοῦτο ὄχι μόνον αὐτοὺς λέοντας, ἀλλὰ καὶ κάτι ἄλλο, περισσότερον ἀπὸ λέοντας, πρέπει νὰ τοὺς ὀνομάσωμεν. Διότι ὁ μὲν λέων ἀφοῦ πέσει μέσα εἰς τὰ δίκτυα πολλάκις συλλαμβάνεται· οἱ δὲ ἅγιοι, ὅταν δένωνται, τότε γίνονται δυνατώτεροι· ὅπως ἔκαμε καὶ ὁ μακάριος αὐτὸς τότε εἰς τὸ δεσμωτήριον, διότι ἔλυσε τοὺς φυλακισμένους ἀπὸ τὰ δεσμά, ἐσάλευσε τοὺς τοίχους, ἔδεσε τὸν δεσμοφύλακα, κατανικήσας αὐτὸν διὰ τοῦ λόγου τῆς εὐσεβείας. Ὁ λέων βρυχᾶται καὶ φυγαδεύει ὅλα τὰ θηρία· ὁ ἅγιος ὁμιλεῖ καὶ διώχνει ἀπὸ παντοῦ τοὺς δαίμονας· ὅπλα τοῦ λέοντος εἶναι ἡ τριχωτὴ κόμη του, τὰ μυτερὰ νύχια του, καὶ τὰ κοφτερὰ δόντια· τὰ ὅπλα τοῦ δικαίου εἶναι ὁ χριστιανικὸς τρόπος ζωῆς, ἡ καρτερία, ἡ ὑπομονή, ἡ περιφρόνησις ὅλων τῶν παρόντων. Αὐτὰ τὰ ὅπλα ἂν τὰ ἔχῃ κανείς, ὄχι μόνον τοὺς κακοὺς ἀνθρώπους, ἀλλὰ καὶ αὐτὰς τὰς ἐχθρικὰς πνευματικὰς δυνάμεις θὰ περιφρονῇ.

Φρόντισε, λοιπόν, ἄνθρωπε, νὰ ζῇς σύμφωνα μὲ τοὺς νόμους τοῦ Θεοῦ, καὶ κανεὶς ποτὲ δὲν θὰ σὲ νικήσῃ, ἀλλὰ καὶ ἂν φαίνεσαι ὅτι εἶσαι πιὸ ἀδύνατος ἀπὸ ὅλους, θὰ εἶσαι ὁ

κατὰ ψυχὴν ἀρετῆς, κἂν ἁπάντων δυνατώτερος ᾖ, εὐχείρωτος ἔσῃ τοῖς ἐπιβουλεύουσιν ἅπασι. Καὶ τοῦτο ἔδειξε μὲν τὰ εἰρημένα παραδείγματα· εἰ δὲ βούλει καὶ δι' ἔργων σε διδάξαι πειράσομαι τῶν δικαίων τὸ ἀκαταγώνιστον καὶ τῶν ἁμαρτωλῶν τὸ εὐχείρωτον.

Ἄκουσον γοῦν πῶς τὰ ἀμφότερα ταῦτα ὁ προφήτης ἠνίξατο· «Οὐχ οὕτως οἱ ἀσεβεῖς, οὐχ οὕτως», φησίν, «ἀλλ' ἢ ὡσεὶ χνοῦς, ὃν ἐκρίπτει ὁ ἄνεμος ἀπὸ προσώπου τῆς γῆς». Καθάπερ γὰρ ἐκεῖνος ταῖς τῶν ἀνέμων ἐμβολαῖς πρόκειται ῥᾳδίως ἀναρριπιζόμενος, οὕτω δὴ καὶ ὁ ἁμαρτωλὸς ὑπὸ παντὸς πειρασμοῦ περιτρέπεται. Ὅταν γὰρ αὐτὸς ἑαυτῷ πολεμῇ, καὶ τὴν μάχην πανταχοῦ περιφέρῃ, ποία αὐτῷ σωτηρίας ἐλπὶς οἴκοθεν προδεδομένῳ, καὶ διηνεκῆ πολέμιον περιάγοντι τὸ συνειδός; Ἀλλ' οὐχ ὁ δίκαιος τοιοῦτος, ἀλλὰ ποταπός;

Ἄκουσον τοῦ αὐτοῦ προφήτου λέγοντος· «Οἱ πεποιθότες ἐπὶ Κύριον ὡς ὄρος Σιών». Τί ποτ' οὖν ἐστιν, ὡς ὄρος Σιών; «Οὐ σαλευθήσεται εἰς τὸν αἰῶνα», φησί. Καὶ γὰρ ὅσα ἂν προσενέγκῃς μηχανήματα, ὅσα ἂν ἀκοντίσῃς βέλη, ὄρος καταστρέψαι βουλόμενος, ἐκείνου μὲν οὐδέποτε περιέχῃ· πῶς γάρ; τὰ δὲ μηχανήματα διαλύσεις ἅπαντα, καὶ τὴν σεαυτοῦ καταλύσεις ἰσχύν. Τοιοῦτός ἐστι καὶ ὁ δίκαιος ὅσας ἂν δέξηται πληγάς, αὐτὸς μὲν οὐδὲν ἔπαθε δεινόν, τῶν δὲ ἐπιβουλευόντων καταλύει τὴν δύναμιν, τῶν δὲ ἐπιβουλευόντων καταλύει τὴν δύναμιν, οὐκ ἀνθρώπων δὲ μόνον, ἀλλὰ καὶ δαιμόνων αὐτῶν. Ἤκουσας γοῦν πολλάκις πόσα προσήγαγε μηχανήματα τῷ Ἰὼβ ὁ διάβολος, καὶ οὐ μόνον οὐ κατέσεισεν ἐκεῖνο τὸ ὄρος, ἀλλὰ καὶ ἐκλυθεὶς ἀνεχώρησε, τῶν βελῶν αὐτοῦ κατακλασθέντων, καὶ τῶν μηχανημάτων γενομένων ἀχρήστων ἀπὸ τῆς προσβολῆς ἐκείνης.

---

10. Ψαλμ. 1, 4.
11. Ψαλμ. 124, 1.
12. Αὐτόθι.

δυνατώτερος ἀπὸ ὅλους· ὅπως πάλιν ἂν ἀμελήσῃς τὴν ψυχικὴν ἀρετήν σου, ἀκόμα καὶ ἂν εἶσαι δυνατώτερος ἀπὸ ὅλους, θὰ νικηθῇς πολὺ εὔκολα ἀπὸ ὅλους ὅσους σὲ ἐπιβουλεύονται. Καὶ τοῦτο τὰ ἀπέδειξαν τὰ παραδείγματα ποὺ ἐλέχθησαν· ἐὰν δὲ θέλῃς καὶ μὲ ἔργα θὰ προσπαθήσω νὰ σὲ διδάξω ὅτι οἱ δίκαιοι εἶναι ἀκατανίκητοι καὶ οἱ ἁμαρτωλοὶ εὐκολονίκητοι.

Ἄκουσε, λοιπόν, πῶς ὑπαινίσσεται καὶ τὰ δύο αὐτὰ ὁ προφήτης· «δὲν εἶναι ἔτσι οἱ ἀσεβεῖς, δὲν εἶναι ἔτσι», λέγει, «ἀλλὰ εἶναι ὡσὰν τὸ χνοῦδι τοῦ ἀχύρου, ποὺ ρίπτει ὁ ἄνεμος μακρυὰ ἀπὸ τὴν ἐπιφάνειαν τῆς γῆς»[10]. Διότι ὅπως ἐκεῖνο εἶναι ἐκτεθειμένον εἰς τὴν διάθεσιν τῶν ἀνέμων καὶ μετακινεῖται εὔκολα, ἔτσι καὶ ὁ ἁμαρτωλὸς ἀπὸ κάθε πειρασμὸν καταβάλλεται εὔκολα. Διότι ὅταν αὐτὸς ὁ ἴδιος πολεμᾷ τὸν ἑαυτόν του, καὶ περιφέρει παντοῦ τὴν μάχην, ποίαν ἐλπίδα σωτηρίας ἠμπορεῖ νὰ ἔχῃ, ἀφοῦ προδίδεται μόνος του καὶ περιφέρει τὴν συνείδησίν του ὡς διαρκῆ ἐχθρόν; Ὁ δίκαιος ὅμως δὲν εἶναι τοιοῦτος, ἀλλὰ ποῖος εἶναι;

Ἄκουσε τὸν ἴδιον προφήτην ποὺ λέγει· «ὅσοι ἐλπίζουν καὶ ἔχουν πεποίθησιν εἰς τὸν Κύριον εἶναι ὅπως τὸ ὄρος Σιών»[11]. Τί σημαίνει, ὅπως τὸ ὄρος Σιών; «Δὲν θὰ σαλευθῇ εἰς τὸν αἰῶνα»[12], λέγει. Διότι ὅσα μηχανήματα καὶ ἂν φέρῃς, ὅσα βέλη καὶ ἂν ἐξακοντίσῃς, θέλων νὰ καταστρέψῃς ἕνα ὄρος οὐδέποτε θὰ ἠμπορέσῃς νὰ τὸ νικήσῃς ἐκεῖνο· διότι πῶς εἶναι δυνατόν; τὰ μηχανήματα θὰ τὰ διαλύσῃς ὅλα καὶ τὴν δύναμίν σου θὰ δαπανήσῃς ἀσκόπως. Τοιοῦτος εἶναι καὶ ὁ δίκαιος· ὅσας πληγὰς καὶ ἂν δεχθῇ, αὐτὸς μὲν δὲν παθαίνει κανένα κακόν, τὴν δὲ δύναμιν αὐτῶν ποὺ τὸν ἐπιβουλεύονται τὴν ἀχρηστεύει, καὶ ὄχι μόνον τῶν ἀνθρώπων, ἀλλὰ καὶ αὐτῶν τῶν δαιμόνων. Πολλάκις ἤκουσες πόσα τεχνάσματα μετεχειρίσθη ὁ διάβολος ἐναντίον τοῦ Ἰώβ, καὶ ὄχι μόνον δὲν ἔσεισεν ἐκεῖνο τὸ ὄρος, ἀλλὰ καὶ ἀνεχώρησεν ἐπειδὴ παρέλυσε, διότι τὰ βέλη του ἔσπασαν, καὶ τὰ μηχανήματά του ἔγιναν ἄχρηστα ἀπὸ τὴν ἐπίθεσιν ἐκείνην.

3. Ταῦτα οὖν ἐπιστάμενοι, τῆς ζωῆς ἐπιμελώμεθα τῆς ἡμετέρας, καὶ μήτε περὶ χρήματα σπουδάσωμεν τὰ ἀπολλύμενα, μήτε περὶ δόξαν τὴν σβεννυμένην, μήτε περὶ τὸ σῶμα τὸ γηράσκον, μήτε περὶ κάλλος τὸ μαραινόμενον, μήτε περὶ τρυφὴν τὴν διαρρέουσαν, ἀλλὰ περὶ ψυχὴν ἅπασαν ἀναλώσωμεν τὴν ἐπιμέλειαν, καὶ ταύτην παντὶ θεραπεύσωμεν τρόπῳ. Σώματα μὲν γὰρ θεραπεῦσαι νενοσηκότα οὐ παντὶ ῥᾴδιον, ψυχὴν δὲ ἀρρωστοῦσαν ἰάσασθαι ῥᾴδιον πᾶσι· καὶ ἡ μὲν τοῦ σώματος ἀρρωστία καὶ φαρμάκων δεῖται καὶ ἀργυρίου πρὸς θεραπείαν· ἡ δὲ τῆς ψυχῆς θεραπεία εὔωνος καὶ ἀδάπανος· καὶ τῆς μὲν σαρκὸς ἡ φύσις μετὰ πολλοῦ τοῦ πόνου τῶν ἐνοχλούντων ἀπαλλάττεται τραυμάτων· καὶ γὰρ σιδήριον ἐπαγαγεῖον ἀναγκαῖον πολλάκις, καὶ πικρὰ φάρμακα· ἐπὶ δὲ τῆς ψυχῆς οὐδὲν τοιοῦτόν ἐστιν, ἀλλ' ἀρκεῖ θελῆσαι καὶ βουληθῆναι μόνον, καὶ πάντα κατώρθωται.

Καὶ τοῦτο τῆς τοῦ Θεοῦ προνοίας ἔργον γέγονεν· ἐπειδὴ γὰρ ἀπὸ μὲν τῆς τοῦ σώματος ἀρρωστίας οὐ πολλὴ γένοιτ' ἂν ἡ βλάβη· κἂν γὰρ μὴ νοσήσωμεν, ἐπελθὼν ὁ θάνατος αὐτὸ φθερεῖ καὶ καταλύσει πάντως· τὸ δὲ πᾶν ἐν τῇ τῆς ψυχῆς ἡμῶν ὑγιείᾳ κεῖται, τοῦ πολλῷ χρησιμωτέρου καὶ ἀναγκαιοτέρου ῥᾳδίαν ἐποίησε καὶ ἀδάπανον καὶ ἀνώδυνον τὴν θεραπείαν. Τίνα οὖν ἕξομεν ἀπολογίαν; ποίαν δὲ συγγνώμην, ὅταν σώματος μὲν νοσοῦντος, ἔνθα καὶ ἀργύριόν ἐστι καταβαλεῖν, καὶ ἰατροὺς παρακαλέσαι, καὶ ὀδύνην ὑπομεῖναι πολλήν, τοσαύτην ποιώμεθα πρόνοιαν, καὶ ταῦτα οὐ πολλῆς ἡμῖν τῆς βλάβης ἀπὸ τῆς ἀρρωστίας γινομένης ἐκείνης· ψυχῆς δὲ καταφρονῶμεν, καὶ ταῦτα μήτε ἀργύριον καταβάλλειν μέλλοντες, μήτε ἑτέρους διενοχλεῖν, μήτε ὀδύνας ὑφίστασθαι, ἀλλὰ

3. Γνωρίζοντες λοιπὸν καλῶς αὐτά, ἂς φροντίζωμεν μὲ ἐπιμέλειαν διὰ τὴν ζωήν μας καὶ οὔτε νὰ δεικνύωμεν πολὺ ἐνδιαφέρον διὰ τὰ χρήματα ποὺ χάνονται, οὔτε διὰ τὴν δόξαν ἡ ὁποία σβήνει, οὔτε διὰ τὸ σῶμα ποὺ γηράσκει, οὔτε διὰ τὸ κάλλος ποὺ μαραίνεται, οὔτε διὰ τὴν καλοπέρασιν ποὺ παρέρχεται ὡς κάτι προσωρινόν, ἀλλὰ διὰ τὴν ψυχὴν ἂς ἐξαντλήσωμεν ὅλην μας τὴν προθυμίαν καὶ αὐτὴν μὲ κάθε τρόπον ἂς φροντίσωμεν. Τὰ μὲν σώματα ποὺ ἔχουν ἀσθενήσει δὲν εἶναι εὔκολον εἰς τὸν καθένα νὰ τὰ θεραπεύσῃ, τὴν ψυχὴν ὅμως ποὺ ἀσθενεῖ εἶναι εὔκολον εἰς τὸν καθένα νὰ τὴν θεραπεύσῃ· καὶ ἡ μὲν ἀσθένεια τοῦ σώματος χρειάζεται καὶ φάρμακα καὶ χρήματα διὰ νὰ θεραπευθῇ· ἡ θεραπεία ὅμως τῆς ψυχῆς εἶναι φθηνὴ καὶ χωρὶς ἔξοδα· καὶ τὸ μὲν σῶμα θεραπεύεται ἀπὸ τὰς πληγὰς ποὺ ἐνοχλοῦν μὲ πολλοὺς κόπους, καθ' ὅσον πολλάκις χρειάζεται νὰ μεταχειρισθοῦμε ἐγχειρίδιον καὶ πικρὰ φάρμακα· εἰς τὴν ψυχὴν ὅμως δὲν χρειάζεται τίποτε ἀπὸ αὐτά, ἀλλὰ εἶναι ἀρκετὸν τὸ νὰ θελήσῃ μόνον καὶ ὅλα κατορθώνονται.

Καὶ τοῦτο εἶναι ἔργον τῆς προνοίας τοῦ Θεοῦ· διότι ἐπειδὴ ἀπὸ τὴν ἀσθένειαν τοῦ σώματος δὲν εἶναι δυνατὸν νὰ προέλθῃ μεγάλη βλάβη, διότι ἀκόμα καὶ ἂν δὲν ἀρρωστήσωμεν, ὅταν θὰ ἔλθῃ ὁ θάνατος θὰ τὸ καταστρέψῃ καὶ θὰ τὸ καταλύσῃ ὁπωσδήποτε· ἀπὸ τὴν ὑγείαν ὅμως τῆς ψυχῆς ἐξαρτᾶται τὸ πᾶν, διὰ τοῦτο τὴν θεραπείαν αὐτῆς, ποὺ εἶναι πολὺ χρησιμωτέρα καὶ ἀναγκαιοτέρα, τὴν ἔκαμεν εὔκολον, ἀνέξοδον καὶ ἀνώδυνον. Ποίαν λοιπὸν ἀπολογίαν θὰ ἔχωμεν; ποίαν δὲ συγγνώμην, ὅταν νοσῇ τὸ σῶμα ὁπότε χρειάζεται νὰ καταβάλωμεν καὶ χρήματα καὶ νὰ παρακαλέσωμεν καὶ ἰατρούς, καὶ νὰ ὑπομείνωμεν πολλοὺς πόνους, καὶ φροντίζωμεν τόσον πολύ, ἂν καὶ ἡ βλάβη ἀπὸ τὴν ἀσθένειαν τοῦ σώματος δὲν εἶναι μεγάλη· προκειμένου δὲ περὶ τῆς ψυχῆς νὰ τὴν περιφρονοῦμεν, καὶ μάλιστα ὅταν δὲν πρόκειται νὰ πληρώσωμεν χρήματα, οὔτε νὰ ἐνοχλήσωμεν ἄλλους, οὔτε νὰ ὑποστῶμεν πόνους, ἀλλὰ χωρὶς νὰ χρησιμοποιήσουμεν τί-

χωρὶς τούτων ἁπάντων διὰ τοῦ προελέσθαι καὶ βουληθῆναι μόνον, πᾶσαν αὐτῆς δυνάμενοι ποιήσασθαι τὴν διόρθωσιν, καὶ ἀκριβῶς εἰδότες, ὡς εἰ μὴ τοῦτο ποιήσαιμεν, τὴν ἐσχάτην ὑποστησόμεθα δίκην, καὶ τὰς ἀπαραιτήτους κολάσεις καὶ τιμωρίας;

Εἰπὲ γάρ μοι, εἴ τις ὑπέσχετο παιδεῦσαί σε τέχνην ἰατρικὴν ἐν βραχείᾳ καιροῦ ῥοπῇ χωρὶς ἀργυρίου καὶ πόνου, οὐκ ἂν εὐεργέτην ἐνόμισας; οὐκ ἂν κατεδέξω καὶ ποιῆσαι καὶ παθεῖν ἅπαντα ἅπερ ἐκέλευσεν ὁ ταῦτα ἐπαγγειλάμενος; Ἰδοὺ νῦν ἔξεστι χωρὶς πόνων οὐχὶ σωμάτων, ἀλλὰ τῶν τῆς ψυχῆς τραυμάτων τὰ φάρμακα εὑρεῖν, καὶ χωρὶς ὀδύνης τινὸς εἰς ὑγίειαν αὐτὴν ἐπαναγαγεῖν. Μὴ τοίνυν ἀμελῶμεν. Ποία γὰρ ὀδύνη, εἰπέ μοι, ὀργὴν ἀφεῖναι τῷ λελυπηκότι; Ὀδύνη μὲν οὖν ἐστι τὸ μνησικακεῖν, καὶ μὴ καταλλάττεσθαι. Ποῖος πόνος εὔξασθαι καὶ αἰτῆσαι μυρία ἀγαθὰ παρὰ τοῦ προθύμως διδόντος Θεοῦ; ποῖος πόνος μὴ κακῶς εἰπεῖν μηδένα; ποία δυσκολία ἀπαλλαγῆναι φθόνου καὶ βασκανίας; ποῖος μόχθος ἀγαπᾶν τὸν πλησίον; ποία ταλαιπωρία μὴ φθέγγεσθαι αἰσχρὰ ῥήματα, μηδὲ λοιδορεῖσθαι, μηδὲ ὑβρίζειν; ποῖος κάματος μὴ ὀμνύναι;

Πάλιν γὰρ ἐπὶ τὴν αὐτὴν ἥξω παραίνεσιν. Πόνος μὲν οὖν μέγιστος τὸ ὀμόσαι. Πολλάκις γοῦν ὑπὸ θυμοῦ καὶ ὀργῆς κατεχόμενοι διωμοσάμεθα, μηδέποτε διαλλάττεσθαι τοῖς λελυπηκόσιν εἶτα τῆς ὀργῆς σβεσθείσης, καὶ τοῦ θυμοῦ χαλασθέντος, βουληθέντες καταλλαγῆναι, καὶ ὑπὸ τῆς ἀνάγκης κατεχόμενοι τῶν ὅρκων, ἠλγήσαμεν ὥσπερ τινὶ παγίδι κατεχόμενοι, καὶ δεσμοῖς ἀλύτοις συνδεδεμένοι. Ὅπερ καὶ ὁ διάβολος εἰδώς, καὶ ἀκριβῶς ἐπιστάμενος ὅτι πῦρ ἐστιν ὁ θυμός, καὶ ῥαδίως σβέννυται, καὶ τοῦ θυμοῦ σβεσθέντος, καταλλαγὴ γίνεται καὶ φιλία, βουλόμενος τὸ πῦρ τοῦτο μένειν ἄσβεστον, ὅρκῳ πολλάκις ἡμᾶς κατέδησεν, ἵνα, κἂν ἡ ὀργὴ λήξῃ, ἡ ἀνάγκη τοῦ ὅρκου μένουσα διατηρῇ τὴν πυρὰν ἐν

ποτε ἀπὸ αὐτά, ἀλλὰ μόνον μὲ τὴν θέλησιν, νὰ κάμωμεν τελείαν διόρθωσιν, καὶ νὰ γνωρίζωμεν καλῶς ὅτι ἐὰν δὲν κάμωμεν τοῦτο θὰ ὑποστῶμεν τὴν ἐσχάτην τιμωρίαν, καὶ τὰς συνεπαγομένας τιμωρίας;

Διότι, λέγε μου, ἐὰν κάποιος σοῦ ὑπέσχετο νὰ σὲ μάθῃ ἰατρικὴν τέχνην ἐντὸς συνόμου χρονικοῦ διαστήματος, χωρὶς νὰ καταβάλῃς χρήματα καὶ πόνον, δὲν θὰ τὸν ἐθεωροῦσες αὐτὸν εὐεργέτην; Δὲν θὰ ἐδεχόσουν εὐχαρίστως νὰ κάμῃς καὶ νὰ ὑποστῇς ὅλα ὅσα θὰ σὲ διέτασσεν ἐκεῖνος ποὺ σοῦ ὑπεσχέθη αὐτά; Ἰδοὺ λοιπὸν τώρα σοῦ εἶναι δυνατὸν χωρὶς κόπον νὰ εὕρῃς φάρμακα ὄχι ποὺ θεραπεύουν τὰ σώματα, ἀλλὰ τὰς ψυχάς, καὶ χωρὶς κανένα πόνον νὰ ἐπαναφέρῃς αὐτὴν εἰς τὴν ὑγείαν. Ἂς μὴ ἀμελῶμεν λοιπόν. Διότι ποῖος πόνος, εἰπέ μου, εἶναι νὰ ἀφήσωμεν τὴν ὀργὴν ποὺ ἔχομεν ἐναντίον ἐκείνου ποὺ μᾶς ἐλύπησε; Πόνος προέρχεται ἀπὸ τὴν μνησικακίαν καὶ ἀπὸ τὸ νὰ μὴ συμφιλιωνώμεθα. Ποῖος κόπος εἶναι τὸ νὰ προσευχηθῇς καὶ νὰ ζητήσῃς ἀναρίθμητα ἀγαθὰ ἀπὸ τὸν Θεόν; Ποῖος κόπος εἶναι τὸ νὰ μὴ κακολογήσῃς κανένα; Ποία δυσκολία ὑπάρχει ἀπὸ τὸ νὰ ἀπαλλαγῇς ἀπὸ τὸν φθόνον καὶ τὴν βασκανίαν; Ποῖος μόχθος εἶναι τὸ νὰ ἀγαπᾷς τὸν πλησίον; Ποία ταλαιπωρία εἶναι τὸ νὰ μὴ ἐκφέρῃς αἰσχρὰ λόγια, νὰ μὴ περιφρονῇς καὶ νὰ μὴ ὑβρίζῃς; Ποία κούρασις εἶναι τὸ νὰ μὴ ὀρκίζεσαι;

Διότι πάλιν θὰ ἔλθω εἰς τὴν ἰδίαν συμβουλήν. Μέγιστος κόπος εἶναι τὸ νὰ ὀρκιζώμεθα. Πολλάκις λοιπὸν κατεχόμεθα ἀπὸ θυμὸν καὶ ὀργὴν καὶ ὡρκίσθημεν καὶ δὲν συμφιλιωνόμεθα μὲ ἐκείνους ποὺ μᾶς ἐλύπησαν, ἔπειτα ὅμως ὅταν ἐπέρασε ἡ ὀργή μας καὶ ὁ θυμός μας καὶ ἠθελήσαμεν νὰ συμφιλιωθῶμεν, ἐπειδὴ μᾶς ἐδέσμευσεν ὁ ὅρκος, ἐλυπήθημεν πολύ, ὡσὰν νὰ ἐπέσαμεν εἰς παγίδα καὶ ἐδέθημεν μὲ δεσμὰ ἄλυτα. Τοῦτο τὸ γνωρίζει καλῶς ὁ διάβολος, ὅτι δηλαδὴ ὁ θυμὸς εἶναι φωτιὰ καὶ εὔκολα σβήνεται καὶ ὅτι ὅταν σβήσῃ ἐπέρχεται συμφιλίωσις καὶ φιλία, πολλάκις μᾶς ἔδεσε μὲ ὅρκον, ἐπειδὴ θέλει νὰ παραμείνῃ ἄσβεστη ἡ φωτιὰ αὐ-

ἡμῖν, καὶ δυοῖν θάτερον γένηται, ἢ καταλλαγέντες ἐπιορκήσωμεν, ἢ μὴ καταλλαγέντες τοῖς τῆς μνησικακίας ἐπιτιμίοις ὑπευθύνους ἑαυτοὺς καταστήσωμεν.

4. Ταῦτα οὖν εἰδότες φύγωμεν τοὺς ὅρκους, καὶ μελετάτω τὸ στόμα ἡμῶν λέγειν συνεχῶς, «Πίστευσον»· καὶ ἔσται τοῦτο πάσης εὐλαβείας ὑπόθεσις ἡμῖν. Γλῶττα γὰρ παιδευθεῖσα τοῦτο λέγειν τὸ ἓν ῥῆμα, αἰσχύνεται καὶ ἐρυθριᾷ ῥήματα ἐξενεγκεῖν αἰσχρὰ καὶ ἄτοπα· κἂν ἀπὸ συνηθείας προαχθῇ ποτε, πολλοὺς ἔχουσα τοὺς κατηγόρους ἀνασταλήσεται. Ὅταν γάρ τις ἴδῃ τὸν μὴ ὀμνύντα αἰσχρὰ φθεγγόμενον, ἐπεμβήσεται ῥᾳδίως αὐτῷ καὶ καταγελάσεται, καὶ κωμῳδῶν ἐρεῖ· σὺ ὁ τὸ πίστευσον ἐπὶ πᾶσι λέγων, οὐκ ἀνέχῃ ὅρκον προέσθαι, καὶ ῥήμασιν αἰσχροῖς καταισχύνεις σοῦ τὴν γλῶτταν; Ὥστε καὶ ἄκοντες, ὑπὸ τῶν παρόντων συνελαυνόμενοι, πρὸς εὐλάβειαν ἐπανήξομεν.

Τί οὖν ἐὰν ἀνάγκη, φησίν, ὀμόσαι; Ὅπου νόμου παράβασίς ἐστιν, οὐκ ἔστιν ἀνάγκη. Καὶ δυνατόν, φησί, καθόλου μὴ ὀμνύναι; Τί λέγεις; Ὁ Θεὸς ἐκέλευσε, καὶ τολμᾷς ἐρωτῆσαι εἰ δυνατὸν φυλάξαι τὸν νόμον; Ἀδύνατον μὲν οὖν τὸ μὴ φυλάξαι· καὶ τοῦτο ἀπὸ τῶν παρόντων ὑμᾶς πεῖσαι βούλομαι, ὅτι οὐ τὸ μὴ ὀμνύναι, ἀλλὰ τὸ ὀμνύναι ἀδύνατον. Ἰδοὺ γοῦν χρυσίον ἐκελεύσθησαν εἰσενεγκεῖν οἱ τὴν πόλιν οἰκοῦντες, δοκοῦν τὴν τῶν πολλῶν ὑπερβαίνειν δύναμιν, καὶ τὸ πλέον εἰσενήνεκται, καὶ τῶν ἀπαιτούντων ἐστὶν ἀκοῦσαι λεγόντων, τί μέλλεις ἄνθρωπε; Τί δὲ ἡμέραν ἐξ ἡμέρας

τή, ὥστε, καὶ ἂν παύσῃ ἡ ὀργή, ὁ ὅρκος ποὺ μένει λόγῳ τῆς δεσμεύσεως διατηρεῖ τὴν φωτιὰν ἐντός μας, καὶ ἕνα ἐκ τῶν δύο κακῶν γίνεται ἢ θὰ συμφιλιωθοῦμεν καὶ θὰ εἴμεθα ἐπίορκοι ἢ δὲν θὰ συμφιλιωθοῦμεν ὁπότε θὰ ὑποστῶμεν τὰς ποινὰς ποὺ ἐπισύρει ἡ μνησικακία.

4. Αὐτὰ λοιπὸν γνωρίζοντες ἂς ἀποφεύγωμεν τοὺς ὅρκους καὶ τὸ στόμα μας ἂς συνηθίσῃ νὰ λέγῃ συνεχῶς «πίστευσον», καὶ τοῦτο θὰ εἶναι ἀφορμὴ εἰς ἡμᾶς κάθε καλῆς πράξεως. Διότι ἡ γλῶσσα ποὺ θὰ μάθῃ νὰ λέγῃ αὐτὴν τὴν μίαν λέξιν ἐντρέπεται καὶ κοκκινίζει νὰ εἰπῇ αἰσχρὰ καὶ ἄτοπα λόγια· καὶ ἄν, λόγῳ τῆς συνηθείας ποὺ εἶχε πέσει κάποτε εἰς αὐτὸ τὸ παράπτωμα, θὰ σταματήσῃ, διότι θὰ ἔχῃ πολλοὺς τοὺς κατηγόρους. Διότι ὅταν κάποιος ἰδῇ αὐτὸν ποὺ δὲν ὁρκίζεται νὰ λέγῃ αἰσχρὰ λόγια θὰ ἐπέμβῃ μὲ μεγάλην εὐκολίαν καὶ θὰ γελάσῃ εἰς βάρος του καὶ περιπαικτικῶς θὰ τοῦ εἰπῇ· σὺ ποὺ λέγεις εἰς ὅλους τὸ πίστευσον καὶ δὲν ἀνέχεσαι νὰ ἐκστομίσῃς ὅρκον, ὅμως μὲ τὰ αἰσχρὰ λόγια ἀτιμάζεις τὴν γλῶσσαν σου; Ὥστε καὶ χωρὶς τὴν θέλησίν μας θὰ ἀναγκασθῶμεν ἀπὸ τοὺς παρόντας νὰ συνέλθωμεν καὶ νὰ ἐπανέλθωμεν εἰς τὴν ὁδὸν τῆς εὐλαβείας.

Ἐὰν ὅμως ὑπάρχῃ ἀνάγκη νὰ ὁρκισθῶμεν, τί θὰ κάμωμεν; Ὅπου ὑπάρχει παράβασις νόμου δὲν ὑπάρχει ἀνάγκη. Καὶ εἶναι δυνατόν, λέγει, νὰ μὴ ὁρκισθῇς καθόλου; Τί λέγεις; Ὁ Θεὸς διέταξε νὰ μὴ ὁρκίζεσαι καὶ τολμᾷς νὰ ἐρωτήσῃς ἐὰν εἶναι δυνατὸν νὰ φυλάξῃς τὸν νόμον; Ἀδύνατον εἶναι τὸ νὰ μὴ τὸν φυλάξῃς· καὶ τοῦτο θὰ προσπαθήσω νὰ σᾶς ἀποδείξω, ὅτι δηλαδὴ ὄχι τὸ νὰ μὴ ὁρκίζεσαι, ἀλλὰ τὸ νὰ ὁρκίζεσαι εἶναι ἀδύνατον. Ἰδοὺ λοιπὸν διετάχθησαν νὰ καταβάλουν χρηματικὴν εἰσφορὰν οἱ κάτοικοι τῆς πόλεως, ἡ ὁποία φαίνεται εἰς τοὺς πολλοὺς ὅτι ὑπερβαίνει τὴν δυνατότητά των, καὶ τὸ μεγαλύτερον μέρος ἔχει καταβληθῆ, καὶ ἀκούεις νὰ λέγουν αὐτοὶ ποὺ τὴν εἰσπράττουν, διατί ἀργεῖς νὰ πληρώσῃς, ἄνθρωπε; Διατί ἀναβάλλεις τοῦτο κάθε ἡμέραν; Μήπως εἶναι δυνατὸν νὰ τὴν ἀποφύγῃς αὐτήν; Εἶναι

ἀναβάλλῃ ἡμᾶς; Μὴ γὰρ δυνατὸν ἐκφυγεῖν. Βασιλέως νόμος ἐστὶ μελλήσεως οὐκ ἀνεχόμενος. Τί λέγεις, εἰπέ μοι; Βασιλεὺς ἐκέλευσε χρήματα εἰσενεγκεῖν, καὶ ἀδύνατον μὴ εἰσενεγκεῖν· ὁ Θεὸς ἐκέλευσεν φεύγειν τοὺς ὅρκους, καὶ λέγεις ὅτι ἀδύνατον φεύγειν τοὺς ὅρκους;

Ἕκτην ἔχω ταύτην ἡμέραν περὶ ταύτης ὑμῖν παραινῶν τῆς ἐντολῆς· λοιπὸν ὑμῖν συντάξασθαι βούλομαι ὡς ἀφιστάμενος, ἵνα ἀσφαλίζησθε. Οὐκ ἔτι ἀπολογία τις ὑμῖν ἔσται, οὐδὲ συγγνώμη· μάλιστα μὲν γὰρ εἰ καὶ μηδὲν εἴρητο, παρ' ὑμῶν αὐτῶν ἔδει διορθωθῆναι τοῦτο· οὐδὲ γὰρ ποικίλον ἐστίν, οὐδὲ πολλῆς δεόμενον κατασκευῆς. Ὅταν δὲ καὶ τοσαύτης ἦτε παραινέσεως καὶ συμβουλῆς ἀπολελαυκότες, τίνα ἀπολογίαν εἰπεῖν ἕξετε ἐγκαλούμενοι, καὶ ἐπὶ τοῦ βήματος ἑστῶτες τοῦ φοβεροῦ, καὶ εὐθύνας ἀπαιτούμενοι τῆς παρανομίας ταύτης; Οὐκ ἔστιν οὐδεμίαν εἰπεῖν ἀπολογίαν, ἀλλ' ἀνάγκη ἢ κατορθώσαντας ἀπελθεῖν, ἢ μὴ κατορθώσαντας κολάζεσθαι, καὶ τὴν ἐσχάτην ὑπομένειν δίκην.

Ταῦτα οὖν ἐννοήσαντες ἅπαντα, καὶ μετὰ πολλῆς ἐντεῦθεν ἀναχωρήσαντες τῆς φροντίδος ἀλλήλους παρακελεύεσθε τὰ ἐν τοσαύταις ἡμέραις εἰρημένα μετὰ πάσης τηρῆσαι τῆς φυλακῆς ἐπὶ τῆς διανοίας τῆς ὑμετέρας, ἵνα καὶ ἡμῶν σιγώντων ἀλλήλους παιδεύοντες, οἰκοδομοῦντες, παρακαλοῦντες, πολλὴν ἐπιδείξησθε τὴν ἐπίδοσιν, καὶ τοὺς λοιποὺς ἅπαντας ἐκπληρώσαντες νόμους, ἀπολαύσητε τῶν αἰωνίων στεφάνων, ὧν γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, δι' οὗ καὶ μεθ' οὗ τῷ Πατρὶ ἡ δόξα ἅμα τῷ ἁγίῳ Πνεύματι εἰς τοὺς αἰῶνας τῶν αἰώνων· Ἀμήν.

νόμος βασιλικὸς καὶ δὲν ἐπιδέχεται ἀναβολήν. Τί λέγεις, εἰπέ μου; Ὁ βασιλεὺς διέταξε νὰ πληρώσωμεν χρήματα καὶ εἶναι ἀδύνατον νὰ μὴ τὰ καταβάλωμεν· ὁ Θεὸς διέταξε νὰ ἀποφεύγωμεν τοὺς ὅρκους, καὶ λέγεις ὅτι εἶναι ἀδύνατον νὰ τοὺς ἀποφεύγωμεν;

Ἐπὶ ἓξ ἡμέρας σᾶς δίδω αὐτὴν τὴν συμβουλήν· λοιπὸν θέλω τώρα ποὺ θὰ χωρισθῶμεν νὰ σᾶς δώσω τὰς τελευταίας συμβουλὰς διὰ νὰ εἶσθε ἀσφαλεῖς. Δὲν θὰ ὑπάρχῃ διὰ σᾶς καμμία ἀπολογία καὶ συγχώρησις· ἀκόμα καὶ ἂν δὲν σᾶς εἶχον εἴπει τίποτε, μόνοι σας ἔπρεπε νὰ εἴχατε διορθώσει τοῦτο τὸ ἁμάρτημα· διότι οὔτε πολύπλοκον εἶναι, οὔτε πολλὴν προσπάθειαν ἀπαιτεῖ. Ὅταν μάλιστα ἔχετε εὐτυχήσει νὰ ἀκούσετε τόσας παραινέσεις καὶ τόσας συμβουλάς, ποίαν ἀπολογίαν θὰ ἔχετε νὰ εἰπῆτε ὅταν θὰ κατηγορηθῆτε, καὶ θὰ σταθῆτε ἐμπρὸς εἰς τὸ φοβερὸν βῆμα καὶ θὰ σᾶς ζητηθοῦν εὐθῦναι διὰ τὴν παρανομίαν αὐτήν; Δὲν θὰ ἠμπορέσετε νὰ εὕρετε καμμίαν ἀπολογίαν, καὶ δι' αὐτὸ εἶναι ἀνάγκη ἢ νὰ φύγετε ἀπὸ τὸν κόσμον αὐτὸν ἀφοῦ θὰ ἔχετε ἐπιτύχει τοῦτο ἢ ἂν δὲν τὸ ἔχετε ἐπιτύχει νὰ τιμωρηθῆτε καὶ νὰ ὑποστῆτε τὴν ἐσχάτην τιμωρίαν.

Αὐτὰ λοιπὸν ἀφοῦ τὰ κατανοήσετε ὅλα καλῶς καὶ ἀναχωρήσετε ἀπὸ ἐδῶ μὲ πολλὴν προθυμίαν νὰ παρακινῆτε ὁ ἕνας τὸν ἄλλον μὲ αὐτὰ ποὺ εἴπομεν τόσας ἡμέρας, νὰ διατηρήσετε καλὰ εἰς τὸ μυαλό σας, ὥστε καὶ ὅταν ἀκόμα ἡμεῖς σιωπῶμεν νὰ διαπαιδαγωγῇ ὁ ἕνας τὸν ἄλλον, οἰκοδομοῦντες, προτρέποντες, νὰ ἐπιδείξετε πολλὴν πρόοδον καὶ ἔτσι ἀφοῦ φυλάξετε καὶ τὰς ὑπολοίπους ἐντολάς, θὰ ἀπολαύσετε τοὺς αἰωνίους στεφάνους, τοὺς ὁποίους εἴθε ὅλοι νὰ ἐπιτύχωμεν διὰ τῆς χάριτος καὶ φιλανθρωπίας τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, διὰ τοῦ ὁποίου καὶ μετὰ τοῦ ὁποίου εἰς τὸν Πατέρα ἂς εἶναι ἡ δόξα καὶ εἰς τὸ ἅγιον Πνεῦμα εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ΟΜΙΛΙΑ ΕΝΑΤΗ

ΕΠΑΙΝΟΣ ΤΩΝ ΚΑΤΩΡΘΩΚΟΤΩΝ ΤΟ ΜΗ ΟΜΝΥΕΙΝ

καὶ ὅτι οὐκ ὀφείλει τις διακρίνεσθαι μετὰ ἑστίασιν ἀκροᾶσθαι θείων λογίων ἐν ἐκκλησίᾳ· καὶ διὰ τί μετὰ χρόνον πολὺν ἐδόθησαν αἱ ἁγίαι Γραφαί· καὶ εἰς τό, «Οἱ οὐρανοὶ διηγοῦνται δόξαν Θεοῦ»· καὶ φυσιολογία κόσμου, καὶ πρὸς τῷ τέλει, περὶ τοῦ μὴ ὀμνύειν.

1. Καὶ πρώην πρὸς ὑμᾶς, καὶ νῦν πρὸς ὑμᾶς λέγω· εἴθε δὲ καὶ ἀεὶ μεθ' ὑμῶν, μᾶλλον δὲ καὶ ἀεὶ μεθ' ὑμῶν, εἰ καὶ μὴ σώματος παρουσίᾳ, ἀλλ' ἀγάπης δυνάμει. Οὐδὲ γάρ ἕτερός μοι βίος τίς ἐστιν, ἀλλ' ἢ ὑμεῖς, καὶ τῆς ὑμετέρας σωτηρίας ἡ φροντίς. Ὥσπερ γὰρ ὁ γεωργὸς οὐδὲν ἕτερον μεριμνᾷ, ἀλλ' ἢ τὰ σπέρματα καὶ τὰ λήϊα, καὶ ὁ κυβερνήτης τὰ κύματα καὶ τοὺς λιμένας· οὕτω καὶ ὁ λέγων τοὺς ἀκούοντας, καὶ τὴν ἐκείνων προκοπήν, καθάπερ καὶ ἐγὼ νῦν. Διὸ καὶ πάντας ὑμᾶς ἐπὶ τῆς διανοίας περιφέρω τῆς ἐμαυτοῦ, οὐκ ἐνταῦθα μόνον, ἀλλὰ καὶ οἴκοι. Εἰ γὰρ καὶ πολὺς ὁ δῆμος, καὶ βραχὺ τῆς ἐμῆς καρδίας τὸ μέτρον, ἀλλ' εὐρεῖα ἡ ἀγάπη, καὶ οὐ στενοχωρεῖσθε ἐν ἡμῖν· τὸ δὲ ἑξῆς οὐκ ἔτι λοιπὸν ἐρῶ· οὐδὲ γὰρ ἡμεῖς στενοχωρούμεθα παρ' ὑμῖν. Πόθεν τοῦτο δῆλον; Ἔγνων πολλῶν ἀπαγγειλάντων ὅτι τὸ ἐπιταχθὲν ἐποιήσαμεν νόμους ἀλλήλοις θέντες, καὶ καταδίκας ὁρίσαντες τοῖς ὀμνύουσι, καὶ τιμωρίας ἐπαγαγόντες τοῖς τὸν νόμον παραβαίνουσι, τιμωρίαν τὴν ὑμῖν πρέπουσαν, ὅπερ μεγίστης ἀγάπης τεκμήριον.

1. Ψαλμ. 18, 2.
2. Πρβλ. Β' Κορ. 6, 12.

ΟΜΙΛΙΑ ΕΝΑΤΗ

ΕΠΑΙΝΟΣ ΠΡΟΣ ΕΚΕΙΝΟΥΣ ΠΟΥ ΕΠΕΤΥΧΟΝ νὰ μὴ ὁρκίζωνται· καὶ περὶ τοῦ ὅτι δὲν πρέπει νὰ διστάζῃ κανεὶς μετὰ τὸ φαγητὸν νὰ ἀκούῃ τὸν θεῖον λόγον εἰς τὴν ἐκκλησίαν· καὶ διατί ἔπειτα ἀπὸ πολὺν χρόνον ἐδόθησαν αἱ ἅγιαι Γραφαί· καὶ εἰς τὸ «οἱ οὐρανοὶ διηγοῦνται τὴν δόξαν τοῦ Θεοῦ»[1]· καὶ φυσιολογία τοῦ κόσμου καὶ τέλος περὶ τοῦ νὰ μὴ ὁρκιζώμεθα.

1. Καὶ προηγουμένως πρὸς σᾶς ὡμίλησα καὶ τώρα πρὸς σᾶς ὁμιλῶ· εἴθε δὲ καὶ πάντοτε μαζί σας νὰ ἤμουν, μᾶλλον δὲ καὶ πάντοτε μαζί σας νὰ εἶμαι, ἂν καὶ ὄχι σωματικῶς, ἀλλὰ διὰ τῆς δυνάμεως τῆς ἀγάπης. Διότι δὲν ζῶ δι' ἄλλον σκοπὸν παρὰ δι' ἐσᾶς καὶ διὰ νὰ φροντίζω τὴν ἰδικήν σας σωτηρίαν. Διότι ὅπως ὁ γεωργὸς δὲν φροντίζει δι' οὐδὲν ἄλλο, παρὰ μόνον διὰ τοὺς σπόρους καὶ τὰ σπαρτά, καὶ ὁ κυβερνήτης προσέχει τὰ κύματα καὶ τοὺς λιμένας, ἔτσι καὶ ὁ ὁμιλῶν φροντίζει διὰ τοὺς ἀκροατάς του καὶ διὰ τὴν προκοπὴν ἐκείνων, ὅπως τώρα καὶ ἐγώ. Διὰ τοῦτο καὶ ὅλους σας σᾶς ἐνθυμοῦμαι καὶ ὄχι μόνον ἐδῶ, ἀλλὰ καὶ ὅταν εὑρίσκωμαι εἰς τὸ σπίτι. Διότι ἂν καὶ εἶναι πολὺς ὁ λαὸς καὶ μικρὸς ὁ χῶρος τῆς καρδίας μου ὅμως ἡ ἀγάπη μου εἶναι εὐρεῖα καὶ δὲν στενοχωρεῖσθε ὅταν εἶσθε μέσα μου[2]· τὴν συνέχειαν δὲ τοῦ ρητοῦ δὲν θὰ ἀναφέρω, διότι οὔτε ἐγὼ στενοχωροῦμαι ἀπὸ σᾶς. Ἀπὸ ποῦ φαίνεται τοῦτο; Ἀντελήφθην πολλοὺς ποὺ μοῦ εἶπον ὅτι ἐκάμαμεν ἐκεῖνο ποὺ μᾶς εἶχες παραγγείλει, ἐθέσαμεν μεταξύ μας νόμους καὶ καθωρίσαμεν εἰς αὐτοὺς ποὺ ὁρκίζονται ποινὰς καὶ ἐπεβάλαμεν τιμωρίαν εἰς τοὺς παραβαίνοντας τοὺς νόμους, τιμωρίαν ποὺ ἁρμόζει εἰς ἐσᾶς, πρᾶγμα ποὺ εἶναι ἀπόδειξις μεγίστης ἀγάπης.

Οὐδὲ γὰρ αἰσχύνομαι πολυπραγμονῶν ταῦτα, ἐπειδὴ μὴ περιεργίας ἐστίν, ἀλλὰ κηδεμονίας αὕτη ἡ φιλοπραγμοσύνη. Εἰ γὰρ οὐκ ἔστιν ὄνειδος τῷ ἰατρῷ πυνθάνεσθαι περὶ τοῦ κάμνοντος, οὐδὲ ἡμῖν ἔγκλημα περὶ τῆς ὑμετέρας ἐξετάζειν σωτηρίας ἀεί· οὕτω γὰρ μαθόντες τί μὲν ὑμῖν ἀπήρτισται, τί δὲ ἐλλέλειπται, μετὰ τῆς προσηκούσης ἐπιστήμης τὰ λοιπὰ ἐπιθήσομεν φάρμακα.

Ἔγνωμεν τοίνυν ταῦτα περιεργασάμενοι, καὶ ηὐχαριστήσαμεν τῷ Θεῷ, ὅτι οὐκ εἰς πέτρας ἐσπείραμεν, οὐδὲ εἰς ἀκάνθας κατεβάλομεν τὰ σπέρματα, οὐδὲ πολλοῦ χρόνου καὶ πολλῆς ἐδεήθημεν ἀναβολῆς, ὥστε θερίσαι τὰ λήϊα. Διὰ ταῦτα ὑμᾶς ἐπὶ τῆς καρδίας ἔχω συνεχῶς τῆς ἐμαυτοῦ, διὰ ταῦτα οὐκ αἰσθάνομαι τοῦ πόνου τῆς διδασκαλίας, τῷ τῆς ἀκροάσεως κουφιζόμενος κέρδει. Ἱκανὸς γὰρ ἡμᾶς οὗτος ὁ μισθὸς ἀνακτήσασθαι, καὶ πτερῶσαι, καὶ μεταρσίους ποιῆσαι, καὶ πεῖσαι πάντα ὑπὲρ ὑμῶν ὑπομένειν πόνον. Ἐπεὶ οὖν πολλὴν τὴν εὐγνωμοσύνην ἡμεῖς ἐπεδείξασθε, φέρε δὴ καὶ ἡμεῖς τὸ χρέος καταβάλλωμεν τὸ λοιπόν, ὅπερ ὑπεσχόμεθα πρώην· καίτοι γε οὐχ ὁρῶ παρόντας ἅπαντας, τοὺς ἡνίκα ἐποιούμην τὴν ὑπόσχεσιν παραγενομένους ἐνταῦθα.

Τί ποτε ἄρα τὸ αἴτιον; Τί τῆς ἡμετέρας τραπέζης αὐτοὺς ἀπεσόβησεν; Ὁ τραπέζης, ὡς ἔοικε, μετασχὼν αἰσθητῆς, ἐνόμισεν ἀνάξιον εἶναι μετὰ τροφὴν αἰσθητὴν ἐπὶ θείων λογίων ἀκρόασιν ἐλθεῖν· ἀλλ' οὐ δικαίως τοῦτο νομίζουσιν. Οὐδὲ γὰρ ἄν, εἰ τοῦτο ἦν ἄτοπον, τοὺς μακροὺς καὶ πολλοὺς ἀνήλωσεν ὁ Χριστὸς λόγους μετὰ τὸ δεῖπνον ἐκεῖνο τὸ μυστικόν· οὐκ ἄν, εἰ τοῦτο ἀπρεπὲς ἦν, ἑστιάσας πολλάκις τὸ πλῆθος ἐπὶ τῆς ἐρήμου, καὶ λόγων αὐτοῖς μετέδωκεν ἂν μετὰ τὴν τρά-

Διότι δὲν τὸ θεωρῶ ἐντροπὴν νὰ ἐξετάζω μὲ ἐπιμονὴν τὰ πράγματα αὐτά, ἐπειδὴ δὲν προέρχεται ἀπὸ περιέργειαν, ἀλλὰ ἀπὸ ἐνδιαφέρον αὐτὴ ἡ ἀνάμειξίς μου εἰς τὰς ὑποθέσεις σας. Διότι ἐὰν δὲν εἶναι ἐντροπὴ εἰς τὸν ἰατρὸν νὰ μάθῃ περὶ τοῦ ἀρρώστου οὔτε εἰς ἡμᾶς εἶναι παράπτωμα μεγάλο νὰ ζητοῦμεν πάντοτε πληροφορίας διὰ τὴν σωτηρίαν σας· διότι ἔτσι ἀφοῦ μάθετε τί ἔχετε ἐπιτύχει καὶ τί σᾶς ὑπολείπεται, μὲ τὴν προσήκουσαν φροντίδα θὰ ἐπιθέσωμεν τὰ ὑπόλοιπα φάρμακα.

Ἐμάθομεν λοιπὸν αὐτὰ ἀπὸ τὴν προσεκτικὴν ἔρευναν καὶ ηὐχαριστήσαμεν τὸν Θεόν, διότι δὲν ἐσπείραμεν εἰς πετρῶδες ἔδαφος, οὔτε ἐρρίψαμεν τὸν σπόρον μέσα εἰς τὰ ἀγκάθια, οὔτε ἐχρειάσθη νὰ περάσῃ πολὺς καιρὸς καὶ νὰ ἀναμένωμεν ἐπὶ μακρόν, διὰ νὰ θερίσωμεν τὰ στάχυα. Διὰ τοῦτο σᾶς ἔχω συνεχῶς μέσα εἰς τὴν καρδίαν μου, διὰ τοῦτο δὲν αἰσθάνομαι τὸν κόπον τῆς διδασκαλίας, ἀνακουφιζόμενος ἀπὸ τὸ κέρδος ποὺ ἀποκομίζουν οἱ ἀκροαταί μου. Διότι ἡ ἱκανοποίησις αὐτὴ εἶναι ἱκανὴ νὰ μᾶς κάμῃ νὰ ἀποκτήσωμεν νέας δυνάμεις, νὰ μᾶς ἀναπτερώσῃ, νὰ μᾶς κάμῃ νὰ ἀνέβωμεν εἰς ὑψηλὰ πνευματικὰ πεδία καὶ νὰ μᾶς πείσῃ νὰ ὑπομείνωμεν διὰ σᾶς κάθε κόπον. Ἐπειδὴ λοιπὸν ἐφανήκατε εὐγνώμονες καὶ συνεπεῖς, ἐμπρὸς λοιπὸν καὶ ἡμεῖς ἂς καταβάλωμεν τὸ ὑπόλοιπον χρέος, τὸ ὁποῖον σᾶς ὑπεσχέθημεν προηγουμένως, ἂν καὶ δὲν βλέπω βέβαια παρόντας ὅλους ἐκείνους ὅταν ἔδωσα τὴν ὑπόσχεσιν τῆς πληρωμῆς.

Ποία ἆρά γε νὰ εἶναι ἡ αἰτία; Τί τοὺς ἀπεμάκρυνεν ἀπὸ τὴν τράπεζάν μας; Ἐκεῖνος, ποὺ ἔλαβε μέρος εἰς αἰσθητὴν ὑλικὴν τροφὴν νὰ ἔλθῃ νὰ ἀκούσῃ τὸν θεῖον λόγον· ὅμως δὲν ἔχουν δίκαιον ὅσοι ἔχουν τοιαύτην ἀντίληψιν. Ἐὰν τοῦτο ἦτο ἀνάρμοστον, οὔτε ὁ Χριστὸς θὰ ἔλεγε τοὺς πολλοὺς καὶ μακροὺς ἐκείνους λόγους μετὰ τὸν μυστικὸν δεῖπνον, οὔτε, ἂν τοῦτο ἦτο ἀπρεπές, θὰ ἐδίδασκε πολλὰς φορὰς τὰ πλήθη εἰς τὴν ἔρημον ἀφοῦ τοὺς ἔδωκε προηγουμένως νὰ φάγουν. Ἐὰν μάλιστα πρέπει νὰ εἴπωμεν καὶ κάτι

πεζαν. Εἰ γὰρ χρή τι καὶ θαυμαστὸν εἰπεῖν, τότε μὲν οὖν χρησιμωτάτη ἡ τῶν θείων λογίων ἀκρόασις.

Ὅταν γὰρ ᾖς σαυτὸν πεπεικώς, ὅτι μετὰ τὸ φαγεῖν καὶ πιεῖν ἀνάγκη καὶ πρὸς σύναξιν ἀπαντῆσαι, πάντως καὶ ἄκων πολλάκις ἐπιμελήσῃ τῆς σωφροσύνης, καὶ οὔτε εἰς μέθην, οὔτε εἰς ἀδηφαγίαν κατενεχθήσῃ ποτέ· ἡ γὰρ φροντὶς καὶ ἡ προσδοκία τῆς εἰς τὴν ἐκκλησίαν ἀφίξεως παιδεύει μετὰ τῆς προσηκούσης εὐκοσμίας, καὶ τροφῆς καὶ ποτοῦ μεταλαμβάνειν, ἵνα μὴ εἰσελθὼν καὶ τοῖς ἀδελφοῖς ἀναμιχθείς, εἶτα ἀποπνέων οἴνου καὶ ἐρευγόμενος ἀτάκτως, καταγελασθῇς παρὰ τῶν παρόντων ἁπάντων. Ταῦτα οὐ πρὸς ὑμᾶς λέγω νῦν, ἀλλὰ πρὸς τοὺς ἀπολειφθέντας ὑμῶν, ἵνα δι' ὑμῶν ταῦτα μάθωσιν. Οὐ γὰρ τὸ φαγεῖν κώλυμα ἀκροάσεως, ἀλλὰ τὸ ῥαθυμεῖν· σὺ δὲ κατάγνωσιν εἶναι νομίζων τὸ μὴ νηστεῦσαι καὶ ἕτερον προστίθης ἔγκλημα πολλῷ μεῖζον καὶ χαλεπώτερον τὸ μὴ τῆς ἱερᾶς ταύτης μετασχεῖν τραπέζης, καὶ θρέψας σου τὸ σῶμα, κατατήκεις λιμῷ τὴν ψυχήν, καὶ ποίαν ἕξεις ἀπολογίαν;

Ἐπὶ μὲν γὰρ τῆς νηστείας ἴσως ἔχεις σώματος ἀσθένειαν προβαλέσθαι, ἐπὶ δὲ ἀκροάσεως τί ἂν ἔχοις εἰπεῖν; Οὐ γὰρ δὴ σώματος ἀσθένεια κωλύει τῶν θείων λογίων μετασχεῖν. Εἰ μὲν γὰρ ἔλεγον, μηδεὶς ἠριστηκὼς συμμιγέσθω, μηδεὶς φαγὼν ἀκροάσθω, εἶχες τινὰ συγγνώμην· νυνὶ δὲ ὅταν ἡμεῖς ἕλκωμεν, καὶ ἐπισπώμεθα, καὶ πρὸς ἑαυτοὺς καλῶμεν, ποίαν ἕξετε ἀπολογίαν ἀποπηδῶντες; Καὶ γὰρ ἀνεπιτήδειος ὁ ἀκροατὴς ἐκεῖνος ἂν γένοιτο, οὐχ ὁ φαγὼν καὶ πιών, ἀλλ' ὁ μὴ προσέχων τοῖς λεγομένοις, ὁ χασμώμενος καὶ ἐκλελυμένος, καὶ τὸ μὲν σῶμα ἐνταῦθα ἔχων, τὴν δὲ διάνοιαν ἀλλαχοῦ πλανωμένην, οὗτος κἂν νηστεύῃ, πρὸς ἀκρόασίν ἐστιν ἄχρηστος. Ὁ μέν τοι διεγηγερμένος καὶ νήφων καὶ συντεί-

ποὺ θὰ φανῇ παράδοξον, τότε πρὸ πάντων εἶναι ὠφελιμωτάτη ἡ ἀκρόασις τῶν θείων λόγων.

Διότι ὅταν ἔχῃς πεισθῇ καὶ εἰς τὴν συγκέντρωσιν τῶν χριστιανῶν, ἐξάπαντος καὶ χωρὶς νὰ τὸ θέλῃς πολλάκις θὰ φανῇς ἐγκρατὴς καὶ δὲν θὰ καταλήξῃς οὔτε εἰς τὴν μέθην οὔτε εἰς τὴν πολυφαγίαν· διότι ἡ σκέψις καὶ ἀναμονὴ τῆς μεταβάσεως εἰς τὴν ἐκκλησίαν σὲ ἀναγκάζει νὰ τρώγῃς καὶ νὰ πίνῃς μὲ τὴν πρέπουσαν εὐκοσμίαν, διὰ νὰ μή, ὅταν εἰσέλθῃς καὶ ἀνακατευθῇς μὲ τοὺς ἀδελφούς, μυρίζῃς ἀπὸ κρασὶ καὶ ἔχῃς δυνατὰ ρεψίματα καὶ γελάσουν ὅλοι οἱ παρόντες εἰς βάρος σου. Αὐτὰ δὲν τὰ λέγω τώρα διὰ σᾶς, ἀλλὰ δι' αὐτοὺς ποὺ ἀπουσιάζουν, διὰ νὰ τὰ μάθουν ἀπὸ σᾶς. Διότι δὲν εἶναι τὸ φαγητὸν κώλυμα εἰς τὴν ἀκρόασιν, ἀλλὰ ἡ ραθυμία· σὺ δὲ ἐπειδὴ θεωρεῖς ἁμάρτημα τὸ νὰ μὴ νηστεύσῃς, προσθέτεις καὶ ἄλλο ἔγκλημα πολὺ μεγαλύτερον καὶ χειρότερον ἀπὸ τὸ νὰ μὴ λάβῃς μέρος εἰς τὴν πνευματικὴν αὐτὴν τράπεζαν καὶ ἐνῷ ἔθρεψες τὸ σῶμα λειώνεις ἀπὸ τὴν πεῖναν τὴν ψυχήν, λοιπὸν ποίαν ἀπολογίαν θὰ ἔχῃς διὰ τὴν πρᾶξιν σου;

Διότι διὰ μὲν τὴν νηστείαν ἴσως ἔχεις νὰ προβάλῃς ὡς δικαιολογίαν ἀσθένειαν σωματικήν, διὰ τὴν ἀκρόασιν ὅμως τί ἠμπορεῖς νὰ εἰπῇς; Διότι δὲν ἐμποδίζει ἡ ἀσθένεια τὴν συμμετοχὴν εἰς τὴν ἀκρόασιν τοῦ θείου λόγου. Διότι ἐὰν μὲν ἔλεγον, κανεὶς ἀπὸ αὐτοὺς ποὺ ἐγευμάτισαν νὰ μὴ ἀναμιχθῇ μὲ τοὺς ἐδῶ, κανεὶς ἀφοῦ φάγῃ νὰ μὴ ἀκούῃ τὸν θεῖον λόγον, θὰ εἶχες κάποιαν συγγνώμην· τώρα ὅμως ὅταν ἡμεῖς σᾶς σύρωμεν, καὶ σᾶς πιέζομεν, καὶ σᾶς καλοῦμεν πρὸς ἡμᾶς, ποίαν ἀπολογίαν θὰ ἔχετε φεύγοντες μακρυά; Διότι ἀκατάλληλος γίνεται ὁ ἀκροατὴς ἐκεῖνος ὄχι ποὺ ἔφαγε καὶ ἔπιεν, ἀλλ' ἐκεῖνος ποὺ δὲν προσέχει εἰς τὰ λεγόμενα, ἐκεῖνος ποὺ χασμουριέται καὶ εἶναι ἀποχαυνωμένος καὶ μὲ τὸ μὲν σῶμα εἶναι ἐδῶ, μὲ τὴν διάνοιαν δὲ περιπλανᾶται ἀλλοῦ, αὐτὸς ἀκόμα καὶ ἂν νηστεύῃ, εἶναι ἄχρηστος πρὸς ἀκρόασιν. Αὐτὸς ποὺ εἶναι ἄγρυπνος καὶ νηφάλιος καὶ ἔχει

νων αὐτοῦ τὴν διάνοιαν, κἂν φαγὼν πεπωκὼς ᾖ, πάντων ἐπιτηδειότατος ἀκροατὴς ἡμῖν γένοιτο.

Ἐπὶ μὲν γὰρ τῶν ἔξωθεν δικαστηρίων καὶ βουλευτηρίων εἰκότως ὁ νόμος οὗτος ἐκράτησεν· οὐδὲ γὰρ ἴσασι φιλοσοφεῖν· διὸ οὐδὲ ἐσθίουσιν ὥστε τραφῆναι, ἀλλ' ὥστε διαρραγῆναι· πίνουσι γὰρ ὑπὲρ κόρον πολλάκις· διὰ τοῦτο ἑαυτοὺς ἀχρήστους πρὸς τὴν τῶν πραγμάτων οἰκονομίαν καθιστῶντες, καὶ δικαστήρια καὶ βουλευτήρια ἀποκλείουσι δείλης καὶ μεσημβρίας. Ἐνταῦθα δὲ οὐδὲν τοιοῦτον· μὴ γένοιτο· ἀλλ' ὁ φαγὼν τῷ νηστεύοντι κατὰ τὴν τῆς ψυχῆς σωφροσύνην ἐφάμιλλος ἔσται· οὐ γὰρ ὥστε διαρρῆξαι τὴν γαστέρα, οὐδὲ ὥστε σκοτῶσαι τὸν λογισμὸν ἐσθίει καὶ πίνει, ὥστε τὸ σῶμα ἠσθενηκὸς ἀνακτήσασθαι.

2. Ἀλλὰ τῆς μὲν παραινέσεως ταύτης ἅλις, ὥρα δὲ λοιπὸν τῆς ὑποθέσεως ἅψασθαι· καίτοι γε ἀναδύεται καὶ ὀκνεῖ πρὸς τὴν διδασκαλίαν ταύτην ἡμῖν ὁ λογισμὸς διὰ τοὺς μὴ παραγενομένους. Καὶ καθάπερ μήτηρ φιλόστοργος τράπεζαν ἔχουσα παραθεῖναι, τῶν παίδων μὴ παρόντων ἁπάντων ἀλγεῖ καὶ ὀδυνᾶται· τοῦτο δὴ κἀγὼ πάσχω νῦν, καὶ τῶν ἀδελφῶν τῶν ἡμετέρων ἐννοῶν τὴν ἀπουσίαν, ἀναδύομαι πρὸς τὴν ἔκτισιν· ἀλλ' ὑμεῖς κύριοι τὸν ὄκνον τοῦτον ἐκβαλεῖν. Εἰ γὰρ ὑπόσχοισθέ μοι μετὰ ἀκριβείας ἅπαντα πρὸς ἐκείνους διαπορθμεύσειν, μετὰ προθυμίας ἡμεῖς ἅπαντα καταβαλοῦμεν ὑμῖν· οὕτω γὰρ ἐκείνοις τε ἔσται τῆς ἀπουσίας παραμυθία τῆς ὑμετέρας ἀγάπης ἡ διδασκαλία, ὑμεῖς τε προσεκτικώτερον ἡμῶν ἀκούσεσθε, εἰδότες ὅτι καὶ πρὸς ἑτέρους ὑμῖν ἀ-

συγκεντρωμένον τὸν νοῦν του εἰς αὐτὰ ποὺ λέγονται, καὶ ἂν ἀκόμα ἔφαγε καὶ ἔπιεν, ἠμπορεῖ νὰ γίνῃ ὁ καταλληλότατος ἀκροατής.

Διότι εἰς δικαστήρια καὶ βουλευτήρια τῶν ἐθνικῶν, εὐλόγως ἡ συνήθεια αὐτὴ ἐπεκράτησεν· διότι δὲν γνωρίζουν νὰ φιλοσοφοῦν οἱ ἐθνικοὶ ὅπως οἱ χριστιανοί· διὰ τοῦτο δὲν τρώγουν ὅσον χρειάζεται διὰ νὰ τραφοῦν ἀλλὰ τόσον πολὺ ὥστε νὰ σκάσουν, καὶ πολλάκις πίνουν ὑπερβολικά· διὰ τοῦτο ἐπειδὴ κάμουν τοὺς ἑαυτούς των ἀχρήστους διὰ τὴν διεξαγωγὴν τῶν ὑποθέσεων, κλείνουν καὶ τὰ δικαστήρια καὶ τὰ βουλευτήρια τὸ μεσημέρι καὶ τὸ δειλινόν. Ἐδῶ ὅμως εἰς ἡμᾶς δὲν συμβαίνει τέτοιο πρᾶγμα· ἀλλ' ἐκεῖνος ποὺ ἔφαγεν ἠμπορεῖ νὰ εἶναι ἐφάμιλλος μὲ ἐκεῖνον ποὺ νηστεύει ὡς πρὸς τὴν σωφροσύνην τῆς ψυχῆς· διότι δὲν τρώγει καὶ πίνει τόσον ὥστε νὰ διαρρήξῃ τὴν γαστέρα, καὶ νὰ σκοτίσῃ τὸ λογικόν, ἀλλὰ τόσον ὅσον χρειάζεται διὰ νὰ ἀναλάβῃ δυνάμεις τὸ σῶμα ποὺ ἀσθενεῖ.

2. Ὅμως διὰ τὸ ζήτημα αὐτὸ εἶναι ἀρκετὰ ὅσα εἴπομεν, εἶναι τώρα καιρὸς νὰ ἔλθωμεν καὶ εἰς τὸ θέμα τῆς ὁμιλίας· ἂν καὶ βέβαια δὲν εἶμαι πρόθυμος νὰ κάμω τοῦτο ἐξ αἰτίας αὐτῶν ποὺ ἀπουσιάζουν. Καὶ ὅπως ἡ φιλόστοργος μητέρα, ὅταν πρόκειται νὰ παραθέσῃ τράπεζαν, ἂν δὲν εἶναι παρόντα ὅλα τὰ παιδιὰ ὑποφέρει καὶ λυπᾶται, αὐτὸ ἀκριβῶς παθαίνω καὶ ἐγὼ τώρα, καὶ ἐπειδὴ βλέπω τὴν ἀπουσίαν τῶν ἀδελφῶν μας, δυσκολεύομαι νὰ πληρώσω τὸ χρέος μου· σεῖς ὅμως ἠμπορεῖτε νὰ ἀπομακρύνετε τὸν ὄκνον τοῦτον. Διότι ἐὰν μοῦ ἐδίδατε τὴν ὑπόσχεσιν ὅτι ὅλα ὅσα θὰ εἴπωμεν, θὰ τὰ μεταβιβάσετε εἰς ἐκείνους μὲ κάθε λεπτομέρειαν, μὲ προθυμίαν καὶ ἡμεῖς θὰ σᾶς καταβάλωμεν ὅλον τὸ χρέος· διότι ἔτσι εἰς ἐκείνους θὰ εἶναι παρηγορία διὰ τὴν ἀπουσίαν των ἡ διδασκαλία τῆς ἰδικῆς σας ἀγάπης, σεῖς δὲ θὰ μὲ ἀκούσετε μὲ μεγαλυτέραν προσοχήν, γνωρίζοντες ὅτι αὐτὰ ποὺ θὰ ἀκούσετε θὰ τὰ μεταφέρετε καὶ εἰς ἄλλους. Διὰ νὰ σᾶς

παγγεῖλαι ταῦτα ἀνάγκη. Ἵνα οὖν σαφέστερος ἡμῖν ὁ λόγος γένηται, ἄνωθεν ἀναλαβόντες αὐτὸν εἴπωμεν.

Ἐζητοῦμεν τοίνυν πρώην τίνος ἕνεκεν μετὰ ἔτη τοσαῦτα ἐδόθησαν αἱ Γραφαί· οὐ γὰρ ἐπὶ τοῦ Ἀδάμ, οὐδὲ ἐπὶ τοῦ Νῶε, καὶ τοῦ Ἀβραάμ, ἀλλὰ ἐπὶ τοῦ Μωϋσέως ἐδόθη τοῦτο τὸ βιβλίον· καὶ πολλῶν ἀκούω λεγόντων, ὅτι εἰς χρήσιμον ἦν, ἐξ ἀρχῆς ἔδει δοθῆναι· εἰ δὲ ἄχρηστον ἦν, οὐδὲ μετὰ ταῦτα δοθῆναι ἐχρῆν. Ἀλλ' ἕωλος οὗτος ὁ λογισμός· οὐ γὰρ δὴ πάντως εἴ τι χρήσιμον μετὰ ταῦτα ἐξ ἀρχῆς ὀφείλει δίδοσθαι· οὐδὲ εἴ τι παρὰ τὴν ἀρχὴν ἐδόθη, τοῦτο πάντως ὀφείλει καὶ μετὰ ταῦτα μένειν. Ἐπεὶ καὶ τὸ γάλα χρήσιμον, ἀλλ' οὐ διηνεκῶς δίδοται, ἀλλὰ παισὶν οὖσιν ἡμῖν δίδοται μόνον· καὶ ἡ στερεὰ τροφὴ χρήσιμος, ἀλλ' οὐδεὶς ἡμῖν ἐν ἀρχῇ μεταδίδωσιν αὐτῆς, ἀλλ' ἐπειδὰν τὴν παιδικὴν ἐξέλθωμεν ἡλικίαν· πάλιν τὸ θέρος χρήσιμον, ἀλλ' οὐ διαπαντὸς φαίνεται· καὶ ὁ χειμὼν ἐπιτήδειος, ἀλλὰ καὶ οὗτος ὑπεξίσταται. Τί οὖν; Αἱ Γραφαί, φησίν, οὐκ εἰσὶ χρήσιμοι; Χρησιμώταται μὲν οὖν καὶ ἀναγκαιόταται. Τίνος οὖν ἕνεκεν, φησίν, ἐξ ἀρχῆς ἡμῖν οὐκ ἐδόθησαν;

Ὅτι οὐ διὰ γραμμάτων, ἀλλὰ διὰ πραγμάτων, ἠβούλετο παιδεύειν τῶν ἀνθρώπων τὴν φύσιν ὁ Θεός. Τί ποτέ ἐστι διὰ πραγμάτων; Διὰ τῆς κτίσεως αὐτῆς. Εἰς τοῦτο γοῦν τὸ κεφάλαιον ἐμπεσὼν ὁ ἀπόστολος, καὶ πρὸς Ἕλληνας ἀποτεινόμενος τοὺς λέγοντας, ὅτι οὐκ ἐμάθομεν ἐξ ἀρχῆς παρὰ τῶν Γραφῶν θεογνωσίαν, ὅρα πῶς ἀπελογήσατο. Εἰπὼν γάρ, ὅτι «Ἀποκαλύπτεται ὀργὴ Θεοῦ ἀπ' οὐρανοῦ ἐπὶ πᾶσαν ἀσέβειαν καὶ ἀδικίαν ἀνθρώπων τῶν τὴν ἀλήθειαν ἐν ἀδικίᾳ κατεχόντων», ἐπειδὴ εἶδεν ἀντίθεσιν ἀντιπίπτουσαν αὐτῷ,

3. Ρωμ. 1, 18.

γίνῃ λοιπὸν σαφέστερος ὁ λόγος ἂς τὸν ἐπαναλάβωμεν ἀπὸ τὴν ἀρχήν.

Ἐζητούσαμεν λοιπὸν προηγουμένως νὰ μάθωμεν διὰ ποῖον λόγον μετὰ ἀπὸ τόσα ἔτη ἐδόθησαν αἱ Γραφαί· διότι δὲν ἐδόθησαν κατὰ τοὺς χρόνους τοῦ Ἀδάμ, οὔτε τοῦ Νῶε, οὔτε τοῦ Ἀβραάμ, ἀλλὰ κατὰ τοὺς χρόνους τοῦ Μωϋσέως ἐδόθη τὸ βιβλίον αὐτό· καὶ ἀκούω πολλοὺς νὰ λέγουν, ὅτι ἐὰν ἦτο χρήσιμον, ἔπρεπε νὰ δοθῇ ἀπὸ τὴν ἀρχήν, ἐὰν δὲ ἦτο ἄχρηστον, οὔτε μετὰ ἔπρεπε νὰ δοθῇ. Ὅμως ὁ συλλογισμὸς αὐτὸς εἶναι ἐσφαλμένος· διότι δὲν εἶναι ἀπαραίτητον ἐὰν κάτι εἶναι μελλοντικῶς χρήσιμον νὰ δίδεται τοῦτο ἀπὸ τὴν ἀρχήν· οὔτε πάλιν, κάτι ποὺ ἐδόθη ἀπὸ τὴν ἀρχήν, πρέπει νὰ παραμένῃ διαρκῶς τὸ ἴδιον. Διότι καὶ τὸ γάλα εἶναι χρήσιμον, ὅμως δὲν δίδεται συνεχῶς, ἀλλὰ μόνον ὅταν εἴμεθα παιδιά· καὶ ἡ στερεὰ τροφὴ εἶναι χρήσιμος, ἀλλὰ κανεὶς δὲν μᾶς τὴν δίδει ἀπὸ τὴν ἀρχήν, ἀλλὰ ὅταν περάσωμεν τὴν παιδικὴν ἡλικίαν· τὸ καλοκαίρι πάλιν εἶναι χρήσιμον, ἀλλὰ δὲν εἶναι τέτοιο πάντοτε· καὶ ὁ χειμὼν εἶναι ὠφέλιμος, ἀλλὰ καὶ αὐτὸς παρέρχεται. Τί λοιπόν; Αἱ Γραφαί, λέγει, δὲν εἶναι χρήσιμοι; Εἶναι καὶ χρησιμώταται καὶ ἀναγκαιόταται. Λοιπὸν διὰ ποῖον λόγον, λέγει, δὲν μᾶς ἐδόθησαν ἀπὸ τὴν ἀρχήν;

Διότι ἤθελε νὰ διαπαιδαγωγῇ ὁ Θεὸς τοὺς ἀνθρώπους διὰ πραγμάτων καὶ ὄχι διὰ γραμμάτων. Τί σημαίνει διὰ πραγμάτων; Δι᾽ αὐτῆς τῆς ἰδίας τῆς κτίσεως. Εἰς τὸ ζήτημα τοῦτο, ὅταν ἦλθεν ὁ ἀπόστολος, καὶ ἀπευθυνόμενος πρὸς τοὺς ἐθνικοὺς ποὺ ἔλεγον, ὅτι δὲν ἐμάθαμεν ἀπὸ τὴν ἀρχὴν ἀπὸ τὰς Γραφὰς ποία εἶναι ἡ ἀληθινὴ θεογνωσία, βλέπε πῶς ἀπήντησε. Διότι ἀφοῦ εἶπεν ὅτι «φανερώνεται ὀργὴ τοῦ Θεοῦ ἐκ τοῦ οὐρανοῦ ἐναντίον κάθε ἀσεβοῦς προσβολῆς κατὰ τοῦ θείου μεγαλείου καὶ ἐναντίον κάθε παραβάσεως τοῦ ἠθικοῦ νόμου του ποὺ διαπράττουν οἱ ἄνθρωποι, οἱ ὁποῖοι καταπατοῦν καὶ ἀδικοῦν τὴν ἀλήθειαν διὰ τῆς εἰδωλολατρείας καὶ τοῦ αἰσχροῦ των βίου»[8], ἐπειδὴ εἶδεν ὅτι οἱ

καὶ πολλοὺς ἀντερωτῶντας ὅτι, καὶ πόθεν ᾔδεσαν Ἕλληνες τὴν ἀλήθειαν τοῦ Θεοῦ; ἐπήγαγε λέγων, «Διότι τὸ γνωστὸν τοῦ Θεοῦ φανερόν ἐστιν ἐν αὐτοῖς». Καὶ πῶς φανερόν ἐστιν ἐν αὐτοῖς;

Πῶς δὲ ἠδύνατο εἰδέναι Θεόν, καὶ τίς ἔδειξεν; εἰπέ. «Ὁ γὰρ Θεὸς ἐφανέρωσεν αὐτοῖς», φησί. Ποίῳ τρόπῳ; ποῖον προφήτην πέμψας; τίνα εὐαγγελιστήν; ποῖον διδάσκαλον, εἰ αἱ Γραφαὶ μηδέπω ἦσαν; «Τὰ γὰρ ἀόρατα αὐτοῦ», φησίν, «ἀπὸ κτίσεως κόσμου τοῖς ποιήμασι νοούμενα καθορᾶται, ἥτε ἀΐδιος αὐτοῦ δύναμις καὶ θειότης». Ὃ δὲ λέγει, τοιοῦτόν ἐστι· τὴν κτίσιν εἰς μέσον προσέθηκε πρὸ τῶν ὀφθαλμῶν πάντων, ἵνα ἀπὸ τῶν ἔργων τὸν δημιουργὸν στοχάζωνται· ὅπερ οὖν καὶ ἕτερος ἔλεγεν· «Ἐκ γὰρ μεγέθους καὶ καλλονῆς κτισμάτων ἀναλόγως ὁ γενεσιουργὸς αὐτῶν καθορᾶται. Εἶδες τὸ μέγεθος; Θαύμασον τὴν δύναμιν τοῦ ποιήσαντος. Εἶδες τὸ κάλλος; Ἐκπλάγηθι τὴν σοφίαν τοῦ κοσμήσαντος· ὅπερ οὖν καὶ ὁ προφήτης ἐμφαίνων ἔλεγεν· «Οἱ οὐρανοὶ διηγοῦνται τὴν δόξαν τοῦ Θεοῦ».

Πῶς, εἰπέ μοι, διηγοῦνται; Φωνὴν οὐκ ἔχουσι, στόμα οὐ κέκτηνται, γλῶττα παρ' αὐτοῖς οὐκ ἔστι, πῶς οὖν διηγοῦνται; Διὰ τῆς ὄψεως αὐτῆς· ὅταν γὰρ ἴδῃς τὸ κάλλος, τὸ μέγεθος, τὸ ὕψος, τὴν θέσιν, τὸ σχῆμα, τὸ πρὸς τοσοῦτον χρόνον διαρκές, ὥσπερ φωνῆς ἀκούων, καὶ διδασκόμενος διὰ τῆς ὄψεως, προσκυνεῖς τὸν ποιήσαντα σῶμα καλὸν οὕτω καὶ παράδοξον. Σιγᾷ ὁ οὐρανός, ἀλλ' ἡ ὄψις αὐτοῦ φωνὴν σάλπιγγος λαμπροτέραν ἀφίησι, δι' ὀφθαλμῶν ἡμᾶς, οὐ δι' ἀκοῆς παι-

---

4. Αὐτόθι 19.
5. Αὐτόθι.
6. Ρωμ. 6, 20.
7. Σοφ. Σολ. 13, 5.
8. Ψαλμ. 18, 2.

λόγοι αὐτοὶ προεκάλεσαν ἀπορίαν καὶ πολλοὶ τὸν ἐρωτοῦσαν ἀντιτιθέμενοι εἰς αὐτά, ἀπὸ ποῦ ἐγνώρισαν οἱ ἐθνικοὶ τὴν ἀλήθειαν τοῦ Θεοῦ; συνεπλήρωσε λέγων· «Διότι ἡ ἀληθὴς γνῶσις περὶ τοῦ Θεοῦ εἶναι γνωστὴ εἰς αὐτούς»[4]. Καὶ πῶς εἶναι φανερὴ εἰς αὐτούς;

Πῶς ἠμποροῦσαν νὰ γνωρίσουν τὸν Θεόν, καὶ ποῖος τοὺς τὸν ἔδειξε; λέγε· «Διότι ὁ Θεὸς ἐφανέρωσεν εἰς αὐτούς»[5], λέγει. Μὲ ποῖον τρόπον; Ποῖον προφήτην ἔστειλεν; Ποῖον Εὐαγγελιστήν; Ποῖον διδάσκαλον, ἀφοῦ αἱ Γραφαὶ δὲν ὑπῆρχον ἀκόμη; Διότι «αἱ μὴ βλεπόμεναι μὲ τὰ αἰσθητὰ μάτια ἄπειροι τελειότητες αὐτοῦ», λέγει, «ἀπὸ κτίσεως κόσμου, βλέπονται καθαρὰ διὰ μέσου τῶν δημιουργημάτων, τόσον ἡ δύναμίς του ποὺ δὲν ἔχει ἀρχὴν καὶ τέλος, ὅσον καὶ κάθε θεία τελειότης»[6]. Αὐτὸ δὲ ποὺ λέγει σημαίνει τὸ ἑξῆς· ἔθεσε τὴν κτίσιν εἰς τὸ μέσον πρὸ τῶν ὀφθαλμῶν ὅλων, ὥστε ἀπὸ τὰ ἔργα νὰ ἀντιληφθοῦν οἱ ἄνθρωποι τὸν δημιουργόν· πρᾶγμα ποὺ κάποιος ἄλλος ἔλεγεν· «Διότι ἀπὸ τὸ μέγεθος καὶ τὴν ὡραιότητα τῶν δημιουργημάτων φαίνεται καθαρὰ ὁ δημιουργὸς αὐτῶν»[7]. Εἶδες τὸ μέγεθος αὐτῶν; Θαύμασον τὴν δύναμιν ἐκείνου ποὺ τὰ ἔκαμε. Εἶδες τὴν ὡραιότητα; Νὰ ἐκπλαγῇς μὲ τὴν σοφίαν ἐκείνου ὁ ὁποῖος τόσον ὡραῖα τὰ ἐκόσμησεν· τοῦτο φανερώνουν καὶ ὁ προφήτης ἔλεγε· «οἱ οὐρανοὶ διηγοῦνται τὴν δόξαν τοῦ Θεοῦ»[8].

Πῶς διηγοῦνται, εἰπέ μου. Φωνὴν δὲν ἔχουν, στόμα δὲν ἀπέκτησαν, γλῶσσα δὲν ὑπάρχει εἰς αὐτούς, πῶς λοιπὸν διηγοῦνται; Διὰ τῆς ὄψεώς των· διότι ὅταν ἰδῇς τὴν ὡραιότητά των, τὸ μέγεθος, τὸ ὕψος, τὴν θέσιν, τὸ σχῆμα, τὴν ἐπὶ τόσα χρόνια διάρκειαν, ὡσὰν νὰ ἀκούῃς καὶ νὰ διδάσκεσαι διὰ τῆς ὄψεως προσκυνεῖς ἐκεῖνον ποὺ ἔκαμε τόσον καλὸν σῶμα καὶ παράδοξον. Σιωπᾷ ὁ οὐρανός, ἀλλὰ ἡ ὄψις αὐτοῦ ἀφήνει νὰ ἀκουσθῇ φωνὴ δυνατωτέρα ἀπὸ τὴν σάλπιγγα, διδάσκουσα ἡμᾶς διὰ τῶν ὀφθαλμῶν καὶ ὄχι διὰ τῆς ἀκοῆς· διότι ἐκ φύσεως ἡ αἴσθησις τῆς ὁράσεως εἶναι

δεύουσα· καὶ γὰρ πέφυκεν αὕτη ἐκείνης ἡ αἴσθησις καὶ πιστοτέρα εἶναι καὶ σαφεστέρα.

Εἰ μὲν γὰρ διὰ βιβλίων ἐπαίδευσε καὶ διὰ γραμμάτων, ὁ μὲν εἰδὼς γράμματα ἔμαθεν ἂν τὰ γεγραμμένα, ὁ δὲ οὐκ εἰδὼς ἀπῆλθεν ἂν μηδὲν ἐκεῖθεν ὠφεληθείς, εἰ μή τις ἐνήγαγεν ἕτερος· καὶ ὁ μὲν εὔπορος ἐπρίατο ἂν τὸ βιβλίον, ὁ δὲ πένης οὐκ ἂν ἴσχυσε κτήσασθαι· πάλιν ὁ μὲν τὴν φωνὴν ἐκείνην εἰδὼς τὴν διὰ τῶν χρημάτων σημαινομένην ἔγνω ἂν τὰ ἐγκείμενα, ὁ δὲ Σκύθης, καὶ ὁ βάρβαρος, καὶ ὁ Ἰνδός, καὶ ὁ Αἰγύπτιος, καὶ πάντες οἱ τῆς γλώττης ἐκείνης ἀπεστερημένοι ἀπῆλθον ἂν μηδὲν μαθόντες· ἐπὶ δὲ τοῦ οὐρανοῦ οὐκ ἔστι τοῦτο εἰπεῖν, ἀλλὰ καὶ Σκύθης, καὶ βάρβαρος, καὶ Ἰνδός, καὶ Αἰγύπτιος, καὶ πᾶν ἄνθρωπος ἐπὶ τῆς γῆς βαδίζων ταύτης ἀκούσεται τῆς φωνῆς· οὐ γὰρ δι' ὤτων, ἀλλὰ καὶ δι' ὄψεως εἰς τὴν διάνοιαν ἐμπίπτει τὴν ἡμετέραν· ἡ δὲ τῶν ὁρωμένων ἀντίληψις μία τίς ἐστι καὶ οὐ διάφορος, καθάπερ ἡ τῶν γλωσσῶν· εἰς τοῦτο καὶ ἰδιώτης καὶ σοφὸς δυνήσεται τὸ βιβλίον ὁμοίως ἰδεῖν, καὶ πένης καὶ πλούσιος, καὶ ὅπου περ ἂν τις ἀφίκηται, ἀναβλέψας εἰς τὸν οὐρανὸν ἀρκοῦσαν λήψεται διδασκαλίαν ἀπὸ τῆς θεωρίας· ὅπερ καὶ αὐτὸς ὁ προφήτης αἰνιττόμενος καὶ δεικνύς, ὅτι φωνὴν ἡ κτίσις ἀφίησι καὶ βαρβάροις καὶ Ἕλλησι, καὶ πᾶσιν ἁπλῶς ἀνθρώποις εὐσύνοπτον, οὕτως ἔλεγεν· «Οὐκ εἰσὶ λαλιαί, οὐδὲ λόγοι ὧν οὐχὶ ἀκούονται αἱ φωναὶ αὐτῶν».

Ὃ δὲ λέγει τοιοῦτόν ἐστιν· οὐκ ἔστιν ἔθνος, οὐδὲ γλῶττα, φησίν, ἡ μὴ δυναμένη συνιέναι τῆς φωνῆς ταύτης· ἀλλὰ τοιοῦτος αὐτῶν ἐστιν ὁ φθόγγος, ὥστε δύνασθαι ὑπὸ πάντων ἀνθρώπων ἀκούεσθαι, καὶ οὐχὶ τοῦ οὐρανοῦ μόνον, ἀλλὰ καὶ τῆς ἡμέρας καὶ τῆς νυκτός. Καὶ πῶς τῆς ἡμέρας καὶ τῆς νυκτός; Οὐ-

---

9. Ψαλμ. 18, 4.

περισσότερον ἀξιόπιστος καὶ σαφὴς ἀπὸ τὴν αἴσθησιν τῆς ἀκοῆς.

Διότι ἐὰν μὲν διὰ τῶν βιβλίων καὶ διὰ τῶν γραμμάτων μᾶς ἐπαιδαγωγοῦσεν, ἐκεῖνος ποὺ ἐγνώριζε γράμματα θὰ ἐμάθαινεν ὅσα ἦσαν γραμμένα, ἐκεῖνος δὲ ὁ ὁποῖος δὲν ἐγνώριζε, δὲν θὰ ὠφελεῖτο καθόλου, ἐκτὸς ἂν κάποιος ἄλλος τὸν ἐδίδασκε· καὶ ὁ μὲν εὔπορος θὰ ἠμποροῦσε νὰ ἀγοράσῃ τὸ βιβλίον, ὁ δὲ πτωχὸς θὰ ἀδυνατοῦσε νὰ τὸ ἀποκτήσῃ· πάλιν ἐκεῖνος ποὺ ἐγνώριζε τὴν γλῶσσαν, εἰς τὴν ὁποίαν θὰ εἶχε γραφῆ τὸ βιβλίον θὰ ἐννοοῦσε τὸ περιεχόμενον αὐτῶν, ὁ Σκύθης ὅμως καὶ ὁ βάρβαρος καὶ ὁ Ἰνδὸς καὶ ὁ Αἰγύπτιος καὶ ὅλοι ὅσοι δὲν θὰ ἐγνώριζον τὴν γλῶσσαν ἐκείνην θὰ ἔφευγον χωρὶς νὰ ἔχουν μάθει τίποτε· ὅμως περὶ τοῦ οὐρανοῦ δὲν ἠμπορεῖ νὰ συμβῇ τοιοῦτον πρᾶγμα· ἀλλὰ καὶ ὁ Σκύθης, καὶ ὁ βάρβαρος, καὶ ὁ Ἰνδὸς καὶ ὁ Αἰγύπτιος καὶ κάθε ἄνθρωπος ποὺ βαδίζει εἰς τὴν γῆν, θὰ ἀκούσῃ αὐτὴν τὴν φωνήν· διότι ὄχι διὰ τῆς ἀκοῆς, ἀλλὰ καὶ διὰ τῆς ὁράσεως εἰσέρχεται εἰς τὸν νοῦν μας· ἡ ἀντίληψις δὲ ἐκ τῆς ὁράσεως εἶναι μία καὶ ὄχι πολλαί, ὅπως αἱ γλῶσσαι τῶν βιβλίων· εἰς αὐτὸ καὶ ὁ ἀμαθὴς καὶ ὁ σοφὸς ἐξ ἴσου ἠμποροῦν νὰ ἰδοῦν, καὶ ὁ πτωχὸς καὶ ὁ πλούσιος καὶ ὅπου καὶ ἂν φθάσῃ κανείς, ἂν κοιτάξῃ εἰς τὸν οὐρανὸν θὰ λάβῃ ἀρκετὴν διδασκαλίαν ἀπὸ τὴν θέαν του· τοῦτο καὶ αὐτὸς ὁ προφήτης ὑπαινισσόμενος καὶ δεικνύων, ὅτι δηλαδὴ ἡ κτίσις ἀφήνει φωνὴν καὶ εἰς τοὺς βαρβάρους καὶ εἰς τοὺς Ἕλληνας, καὶ γενικῶς εἰς ὅλους τοὺς ἀνθρώπους καταληπτήν, ἔλεγε τὰ ἑξῆς· «δὲν ὑπάρχουν λαλιαί, οὔτε λόγοι, τῶν ὁποίων δὲν ἀκούονται αἱ φωναί»[9].

Αὐτὸ δὲ ποὺ λέγει σημαίνει τὸ ἑξῆς· δὲν ὑπάρχει ἔθνος, οὔτε γλῶσσα, λέγει, ἡ ὁποία νὰ μὴ ἠμπορῇ νὰ ἐννοήσῃ τὴν φωνὴν αὐτήν· ἀλλὰ εἶναι τέτοια ἡ φωνὴ αὐτῶν, ὥστε νὰ ἠμπορῇ νὰ ἀκούγεται ἀπὸ ὅλους τοὺς ἀνθρώπους, καὶ ὄχι μόνον τὴν φωνὴν τοῦ οὐρανοῦ, ἀλλὰ καὶ τῆς ἡμέρας καὶ τῆς νυκτός. Καὶ πῶς ἀκούγεται ἡ φωνὴ τῆς ἡμέρας καὶ τῆς

τος μὲν γὰρ καὶ διὰ τοῦ κάλλους, καὶ διὰ τοῦ μεγέθους, καὶ διὰ τῶν ἄλλων ἁπάντων ἐκπλήττει τοὺς θεατάς, καὶ πρὸς τὸ θαῦμα τοῦ δημιουργήσαντος αὐτὸν παραπέμπει, ἡ δὲ ἡμέρα καὶ ἡ νὺξ τί τοιοῦτον ἂν ἔχοιεν ἡμῖν ἐπιδείξασθαι;

Τοιοῦτον μὲν οὐδέν, ἕτερα δὲ οὐκ ἐλάττονα τούτων, τὸν ῥυθμόν, τὴν τάξιν, τὴν μετ' ἀκριβείας ἁπάσης. Ὅταν γὰρ ἐννοήσῃς πῶς τὸν ἐνιαυτὸν ἅπαντα διενείμαντο, καὶ καθάπερ ἐν ζυγῷ καὶ πλάστιγγι τοῦ παντὸς διαστήματος τὸ μῆκος διείλαντο, ἐκπλαγήσῃ τὸν τάξαντα. Καθάπερ γάρ τινες ἀδελφαὶ τὸν πατρῷον διανειμάμεναι μετὰ πολλῆς τῆς ἀγάπης, οὐδὲ τὸ τυχὸν ἀλλήλαις ἐπηρεάζουσαι, οὕτω δὴ καὶ ἡ ἑτέρα, καὶ ἡ νύξ, μετὰ ἀκριβείας πάσης τὸν ἐνιαυτὸν ἐν ἰσομοιρίᾳ τοσαύτῃ διενείμαντο, καὶ τοὺς οἰκείους διατηροῦσιν ὅρους, καὶ οὐδέποτε ἑτέρα τὴν ἑτέραν ἐξώθησεν· οὐδέποτε ἐν χειμῶνι μακρὰ γέγονεν ἡ ἡμέρα, ὥσπερ οὐδέποτε ἐν θέρει μακρὰ γέγονεν ἡ νύξ, τοσούτων παρελθουσῶν γενεῶν· ἀλλ' ἐν τοσούτῳ διαστήματι καὶ μήκει, οὐδὲ ἀκαριαῖον, οὐχ ἡμιώριον, οὐ ῥιπὴν ὀφθαλμοῦ ἡ ἑτέρα τὴν ἑτέραν ἐπλεονέκτησε.

3. Διὰ ταῦτα καὶ ὁ ψαλμῳδὸς ἐκπλαγεὶς αὐτῶν τὴν ἰσότητα, ἐβόα λέγων· «Νὺξ νυκτὶ ἀναγγέλλει γνῶσιν». Ἂν ταῦτα εἰδῇς φιλοσοφεῖν, θαυμάσεις τὸν οὕτω παρὰ τὴν ἀρχὴν τάξαντα τοὺς ἀκινήτους τούτους ὅρους. Ἀκουέτωσαν οἱ πλεονέκται καὶ τῶν ἀλλοτρίων ἐφιέμενοι χρημάτων, καὶ μιμείσθωσαν ἡμέρας καὶ νυκτὸς τὴν ἰσότητα· ἀκουέτωσαν οἱ πεφυσιωμένοι καὶ μεγαλοφρονοῦντες, καὶ μὴ βουλόμενοι τῶν πρωτείων ἑτέροις παραχωρεῖν. Ἡ ἡμέρα νυκτὶ παραχωρεῖ, καὶ οὐκ ἐπιβαίνει τοῖς ἀλλοτρίοις ὅροις· σὺ δὲ ἀεὶ τιμῆς ἀπολαύων οὐκ ἀνέχῃ τοῖς ἀδελφοῖς μεταδοῦναι ταύτης;

Καὶ σκόπει μοι νομοθέτου σοφίαν. Ἐν χειμῶνι μακρὰν ἔ-

10. Ψαλμ. 3, 3.

νυκτός; Διότι αὐτὸς (ὁ οὐρανὸς) καὶ διὰ τῆς ὡραιότητός του καὶ διὰ τοῦ μεγέθους καὶ διὰ τῶν ἄλλων ὅλων ἐκπλήττει τοὺς θεατάς, καὶ κάνει τοὺς θεατὰς νὰ θαυμάσουν αὐτὸν ποὺ τὸν ἐδημιούργησεν, ἡ δὲ ἡμέρα καὶ ἡ νύκτα τί παρόμοιον ἔχει νὰ ἐπιδείξῃ;

Τίποτε τοιοῦτον δὲν ἔχει νὰ ἐπιδείξῃ, ἔχει ὅμως ἄλλα ποὺ δὲν εἶναι κατώτερα ἀπὸ αὐτά, τὸν ρυθμόν, τὴν μὲ μεγάλην ἀκρίβειαν τάξιν. Ὅταν δηλαδὴ ἀντιληφθῇς πῶς ἐμοίρασαν ὅλον τὸν χρόνον καὶ πῶς ὡσὰν νὰ μετεχειρίσθησαν μέτρον διῄρεσαν μὲ ἀκρίβειαν ὅλον τὸ χρονικὸν διάστημα, θὰ ἐκπλαγῇς μὲ ἐκεῖνον ποὺ ἔθεσε τὴν τάξιν αὐτήν. Ὅπως ἀκριβῶς αἱ ἀδελφαὶ ἐμοίρασαν τὴν πατρικὴν κληρονομίαν μὲ πολλὴν ἀγάπην, χωρὶς νὰ ἀδικήσῃ ἡ μία τὴν ἄλλην, ἔτσι καὶ ἡ ἡμέρα καὶ ἡ νύκτα μὲ μεγάλην ἀκρίβειαν ἐμοίρασαν μεταξύ των τὸ ἔτος ἰσομερῶς καὶ διατηρεῖ κάθε μία τὰ σύνορά της καὶ οὐδέποτε ἡ μία ἔσπρωξε τὴν ἄλλην· οὐδέποτε κατὰ τὸν χειμῶνα ἔγινε μακρὰ ἡ ἡμέρα, ὅπως οὐδέποτε κατὰ τὸ καλοκαίρι ἔγινε μεγάλη ἡ νύκτα, ἂν καὶ ἐπέρασαν τόσαι γενεαί· ἀλλὰ εἰς τόσον μακρὸν χρονικὸν διάστημα, οὔτε ἐπὶ στιγμήν, οὔτε ἐπὶ μισὴν ὥραν, οὔτε ἐπὶ δευτερόλεπτον ἡ μία ἠδίκησε τὴν ἄλλην.

3. Διὰ τοῦτο καὶ ὁ Ψαλμῳδὸς ἐξεπλάγη ἀπὸ τὴν ἰσότητα αὐτῶν καὶ ἐφώναξε λέγων· «Ἡ νύκτα εἰς τὴν νύκτα ἀναγγέλλει γνῶσιν»[10]. Ἂν αὐτὰ τὰ παρατηρῇς καὶ φιλοσοφῇς θὰ θαυμάσῃς ἐκεῖνον ποὺ ἀπὸ τὴν ἀρχὴν καθώρισε τόσον ἀμετακίνητα τὰ ὅρια αὐτῶν. Ἂς ἀκούσουν αὐτὰ οἱ πλεονέκται καὶ αὐτοὶ ποὺ ἐπιθυμοῦν τὰ ξένα πράγματα, καὶ ἂς μιμηθοῦν τὴν ἰσότητα τῆς ἡμέρας καὶ τῆς νυκτός· ἂς τὰ ἀκούσουν οἱ φαντασμένοι καὶ ὑπερήφανοι ποὺ δὲν θέλουν νὰ παραχωροῦν τὰ πρωτεῖα εἰς ἄλλους. Ἡ ἡμέρα παραχωρεῖ τὴν θέσιν της εἰς τὴν νύκτα, καὶ δὲν εἰσέρχεται εἰς ξένην περιοχήν· σύ ὅμως ἂν καὶ ἀπολαμβάνῃς πάντοτε τιμῆς, δὲν ἀνέχεσαι νὰ μεταδώσῃς ἀπὸ αὐτὴν εἰς τοὺς ἀδελφούς σου;

Καὶ πρόσεξε νὰ ἰδῇς τὴν σοφίαν τοῦ νομοθέτου. Κατὰ

ταξεν εἶναι τὴν νύκτα, ὅτε ἁπαλώτερα τὰ σπέρματα, καὶ καταψύχεσθαι δεόμενα μᾶλλον, καὶ θερμοτέρας οὐκ ἀνέχεται τῆς ἀκτῖνος· ἐπειδὰν δὲ αὐξηθῇ, συναύξεται πάλιν αὐτοῖς ἡ ἡμέρα, καὶ τότε γίνεται μακροτέρα, ὅταν ὁ καρπὸς ἀκμάζῃ λοιπόν. Οὐ τοῖς σπέρμασι δὲ τοῦτο, ἀλλὰ καὶ τοῖς σώμασιν ἐπιτήδειον. Ἐπειδὰν γὰρ τοῦ χειμῶνος, καὶ ναύτης, καὶ κυβερνήτης, καὶ ὁδοιπόρος, καὶ στρατιώτης, καὶ γεωργὸς τὰ πολλὰ οἴκοι κάθηνται τῷ κρυμῷ συνδεδεμένοι, καὶ ἀργίας καιρὸς ὁ τοῦ χειμῶνός ἐστι, τὸ πλέον τοῦ χρόνου εἰς νύκτα ἀναλίσκεσθαι ἐποίησεν ὁ Θεός, ἵνα μὴ περιττὸν ᾖ τῆς ἡμέρας τὸ μῆκος, οὐδὲν δυναμένων ποιεῖν τῶν ἀνθρώπων.

Τί ἄν τις εἴποι τῶν ὡρῶν τὴν εὐταξίαν, πῶς καὶ αὗται καθάπερ παρθένοι τινὲς χορεύουσαι ἐν κύκλῳ μετὰ πολλῆς τῆς εὐταξίας ἀλλήλας διαδέχονται, καὶ κατὰ μικρὸν καὶ ἀψοφητὶ πρὸς τὰς ἐναντίας αἱ μέσαι διαβιβάζουσαι οὐ παύονται; Διὰ τοῦτο οὔτε ἀπὸ χειμῶνος ἡμᾶς διαδέχεται θέρος, οὔτε ἐκεῖθεν χειμὼν εὐθέως, ἀλλὰ μέσον παρεμβέβληται τὸ ἔαρ, ὥστε ἠρέμα καὶ κατὰ μικρὸν διαδεχομένων ἡμῶν, πεπυκνωμένα τὰ σώματα ἀλύπως προσάγειν τῷ θέρει. Ἐπειδὴ γὰρ αἱ ἀθρόαι πρὸς τὸ ἐναντίον μεταβολαὶ νόσον καὶ βλάβην τίκτουσι τὴν ἐσχάτην, ᾠκοδόμησεν ὁ Θεὸς ἀπὸ μὲν τοῦ χειμῶνος ἡμᾶς τὸ ἔαρ διαδέχεσθαι, ἀπὸ δὲ τοῦ ἔαρος τὸ θέρος, ἀπὸ δὲ τοῦ θέρους τὸ μετόπωρον, καὶ οὕτω τῷ χειμῶνι παραπέμπειν, ὥστε ἀβλαβεῖς, καὶ κατὰ μικρὸν τὰς μεταβολὰς τὰς ἐκ τῶν ἐναντίων ὡρῶν καὶ διὰ τῶν μέσων ἡμῖν ἐγγίνεσθαι. Τίς οὖν οὕτως ἄθλιος καὶ ταλαίπωρος, ὃς ὁρῶν μὲν οὐρανόν, ὁρῶν δὲ θάλατταν καὶ γῆν, ὁρῶν δὲ τοσαύτην ὡρῶν εὐκρασίαν οὕτως ἀκριβῆ, καὶ ἡμέρας καὶ νυκτὸς ἀδιάπτωτον τάξιν, νομίζειν αὐ-

τὸν χειμῶνα καθώρισε νὰ εἶναι μεγαλύτερη ἡ νύκτα, ὅτε ἁπαλώτεροι εἶναι οἱ σπόροι καὶ ἔχουν ἀνάγκην ψύχους καὶ δὲν ἀνέχονται μεγαλυτέραν θερμότητα· ὅταν δὲ μεγαλώσουν αὐτοί, μεγαλώνει μαζὶ μὲ αὐτὰ καὶ ἡ ἡμέρα καὶ τότε γίνεται μεγαλυτέρα ὅταν ὁ καρπὸς μεγαλώνῃ. Τοῦτο δὲν εἶναι ὠφέλιμον μόνον εἰς τοὺς σπόρους, ἀλλὰ καὶ εἰς τὰ σώματα τῶν ἀνθρώπων. Διότι ὅταν εἶναι ἡ ἐποχὴ τοῦ χειμῶνα καὶ ὁ ναύτης, καὶ ὁ κυβερνήτης, καὶ ὁ ὁδοιπόρος καὶ ὁ στρατιώτης καὶ ὁ γεωργὸς τὸν περισσότερον χρόνον μένουν εἰς τὸ σπίτι ἐξ αἰτίας τοῦ ψύχους, καὶ ὁ χρόνος τοῦ χειμῶνος εἶναι καιρὸς ἀργίας, καθώρισεν ὁ Θεὸς ὁ περισσότερος χρόνος νὰ εἶναι χρόνος νυκτός, διὰ νὰ μὴ εἶναι ἄχρηστον τὸ πολὺ μάκρος τῆς ἡμέρας, ἀφοῦ δὲν ἠμποροῦν νὰ κάμουν τότε τίποτε οἱ ἄνθρωποι.

Τί νὰ εἰπῇ κανεὶς διὰ τὴν εὐταξίαν τῶν ἐποχῶν; Πῶς καὶ αὐταὶ ὡς παρθένοι ποὺ χορεύουν εἰς κύκλον, μὲ πολὺν τάξιν διαδέχονται ἡ μία τὴν ἄλλην καὶ ὀλίγον κατ' ὀλίγον καὶ χωρὶς νὰ τὸ καταλαβαίνωμεν δὲν παύουν αὐταὶ ποὺ εἶναι εἰς τὸ μέσον νὰ μᾶς μεταφέρουν πρὸς τὰς ἀντιθέτους αὐτῶν. Διὰ τοῦτο οὔτε ἀπὸ τὸν χειμῶνα μᾶς ἔρχεται ἀμέσως τὸ καλοκαίρι, οὔτε ἀπὸ τὸ καλοκαίρι ἀμέσως χειμών, ἀλλὰ μεταξὺ αὐτῶν παρεμβάλλεται ἡ ἄνοιξις, ὥστε ὁμαλὰ καὶ ὀλίγον κατ' ὀλίγον νὰ ἔλθωμεν εἰς τὸ καλοκαίρι μὲ γερὰ καὶ ἀβλαβῆ τὰ σώματα. Διότι ἐπειδὴ αἱ ἀπότομοι καιρικαὶ ἐναλλαγαὶ ἐπιφέρουν ἀσθένειαν καὶ βλάβην τὴν πλέον μεγάλην, καθώρισεν ὁ Θεὸς τὸν χειμῶνα νὰ τὸν διαδέχεται ἡ ἄνοιξις, τὴν ἄνοιξιν τὸ καλοκαίρι, τὸ καλοκαίρι νὰ τὸ διαδέχεται τὸ φθινόπωρον καὶ ἔτσι νὰ ἐρχώμεθα εἰς τὸν χειμῶνα, ὥστε νὰ εἶναι ἀβλαβεῖς αἱ καιρικαὶ μεταβολαὶ ἐκ τῶν ἀντιθέτων ὡρῶν, ἐπειδὴ θὰ ἔρχωνται σιγὰ - σιγά. Ποῖος εἶναι λοιπὸν τόσον ἄθλιος καὶ ταλαίπωρος, ὁ ὁποῖος, ἐνῷ βλέπει τὸν οὐρανόν, τὴν θάλασσαν καὶ τὴν γῆν, καὶ ἐνῷ βλέπει τόσην ἀκριβῆ ἀνάμειξιν τῶν ὡρῶν καὶ τὴν ἀμετακίνητον τάξιν τῆς ἡμέρας

τομάτως ταῦτα γενέσθαι, ἀλλὰ μὴ προσκυνεῖν τὸν ἅπαντα ταῦτα μετὰ σοφίας τῆς προσηκούσης διαταξάμενον;

Ἔχω τι καὶ πλέον τούτων εἰπεῖν· οὐ γὰρ δὴ μόνον τὸ μέγεθος καὶ τὸ κάλλος, ἀλλὰ καὶ αὐτὸς ὁ τρόπος τῆς δημιουργίας ἐμφαίνει τὸν συγκροτοῦντα τὰ πάντα Θεόν. Ἐπειδὴ γὰρ κτίζοντι καὶ δημιουργοῦντι πάντα παρὰ τὴν ἀρχὴν οὐ παρῆμεν, οὐδὲ εἰ παρῆμεν, εἴδομεν ἂν πῶς ἐγένετο, τῆς ἀοράτου δυνάμεως αὐτὰ κατασκευαζούσης, αὐτὸν τὸν τρόπον τῆς δημιουργίας ἡμῖν ἄριστον ἐποίησεν ἐγγενέσθαι διδάσκαλον, ὑπὲρ φύσεως ἀκολουθίαν συνθεὶς ἅπαντα τὰ γενόμενα. Τάχα ἀσαφέστερόν ἐστιν ὅπερ εἶπον· οὐκοῦν ἀνάγκη σαφέστερον τοῦτο πάλιν εἰπεῖν. Πάντες ἂν ὁμολογήσαιεν, ὅτι φύσεώς ἐστιν ἀκολουθία τὸ ὕδωρ ὑπὲρ τὴν γῆν φέρεσθαι, ἀλλ' οὐ τὴν γῆν ἐπὶ τῶν ὑδάτων· ἡ μὲν γὰρ πυκνή τις οὖσα, καὶ σκληρά, καὶ ἀντίτυπος, καὶ συνεχὴς ραδίως δύναται στέγειν τῶν ὑδάτων τὴν φύσιν· τὸ δὲ ὕδωρ ρυτὸν ὂν καὶ χαῦνον, μαλακόν τε καὶ διαρρέον, καὶ τοῖς ἐμπίπτουσιν εἶκον ἅπασιν, οὐδὲν ἂν δυνηθείη σῶμα στέγειν, κἂν σφόδρα κουφότατον ᾖ. Πολλάκις γοῦν ψηφῖδος μικρᾶς ἐμπεσούσης εἶξε, καὶ παρεχώρησε, καὶ πρὸς τὸ βάθος αὐτὴν παρέπεμψεν. Ὅταν οὖν ἴδῃς οὐχὶ ψηφῖδα μικράν, ἀλλὰ τὴν γῆν ἅπασαν ὑπεράνω τῶν ὑδάτων φερομένην καὶ μὴ καταποντιζομένην, θαύμασον τὴν δύναμιν τὴν ὑπὲρ φύσιν ταῦτα θαυματουργοῦσαν.

Καὶ πόθεν τοῦτο δῆλον, ὅτι ἡ γῆ ὑπεράνω τῶν ὑδάτων φέρεται; Ὁ προφήτης τοῦτό φησιν οὕτω λέγων· «Αὐτὸς ἐπὶ θαλασσῶν ἐθεμελίωσεν αὐτήν, καὶ ἐπὶ ποταμῶν ἡτοίμασεν αὐτήν». Καὶ πάλιν, «Τῷ θεμελιώσαντι τὴν γῆν ἐπὶ τῶν ὑδάτων». Τί λέγεις; Ψηφῖδα μικρὰν ὕδωρ ἐπὶ τῶν νώτων οὐκ ἂν δυνηθείη βαστάσαι, καὶ γῆν τοσαύτην φέρει, καὶ ὄρη, καὶ βουνούς, καὶ πόλεις, καὶ φυτά, καὶ ἀνθρώπους, καὶ ἄλογα, καὶ οὐ καταποντίζεται; Τί λέγω, οὐ καταποντίζεται; Πῶς κάτω

---

11. Ψαλμ. 22, 2.
12. Ψαλμ. 135, 6.

καὶ τῆς νυκτός, νὰ νομίζῃ ὅτι αὐτὰ ἔγιναν μόνα των, καὶ νὰ μὴ προσκυνῇ ἐκεῖνον ποὺ μὲ τόσην σοφίαν τὰ ἐτακτοποίησεν;

Ἔχω νὰ προσθέσω καὶ κάτι ἐπὶ πλέον εἰς αὐτά· διότι ὄχι μόνον τὸ μέγεθος καὶ ἡ ὡραιότης, ἀλλὰ καὶ αὐτὸς ὁ τρόπος τῆς δημιουργίας φανερώνει τὸν Θεόν, ὁ ὁποῖος συντηρεῖ τὰ πάντα. Διότι ἐπειδὴ δὲν ἤμεθα παρόντες ὅταν ὁ Θεὸς ἔκτιζε καὶ ἐδημιουργοῦσε ἀπὸ τὴν ἀρχὴν τὰ πάντα, οὔτε ἐὰν ἤμεθα παρόντες, θὰ ἐβλέπαμεν πῶς ἐγίνοντο, διότι τὰ κατεσκεύαζε διὰ τῆς ἀοράτου δυνάμεώς του, ἔκαμε νὰ γίνῃ εἰς ἡμᾶς αὐτὸς ὁ τρόπος τῆς δημιουργίας ἄριστος διδάσκαλος, διότι τὰ συνέθεσε ὅλα κατὰ τρόπον ὑπερφυσικόν. Μήπως εἶναι ἀσαφὲς αὐτὸ τὸ ὁποῖον εἶπα· λοιπὸν θὰ σᾶς τὸ εἰπῶ πάλιν σαφέστερον. Ὅλοι θὰ παραδεχθοῦν ὅτι εἶναι φυσικὸν πρᾶγμα νὰ κρατῆται τὸ ὕδωρ ἐπάνω εἰς τὴν γῆν, καὶ ὄχι ἡ γῆ ἐπάνω εἰς τὰ ὕδατα· διότι ἡ γῆ ἐπειδὴ εἶναι στερεὰ καὶ σκληρὰ καὶ συνεχὴς καὶ δὲν ὑποχωρεῖ, εὔκολα ἠμπορεῖ νὰ κρατήσῃ τὰ ὕδατα· τὸ ὕδωρ ὅμως ἐπειδὴ εἶναι ρευστόν, μαλακὸν καὶ εὐκολοκίνητον καὶ ὑποχωρεῖ εἰς ὅ,τι θὰ πέσῃ ἐντὸς αὐτοῦ, δὲν ἠμπορεῖ νὰ συγκρατήσῃ κανένα σῶμα, ἀκόμα καὶ ἂν αὐτὸ εἶναι πολὺ ἐλαφρόν. Διὰ τοῦτο πολλάκις ὅταν μικρὸ πετραδάκι πέσῃ μέσα εἰς τὸ νερὸ ὑποχωρεῖ καὶ τὸ ἀφήνει νὰ φθάσῃ μέχρι τὸν βυθόν. Ὅταν λοιπὸν ἴδῃς ὄχι μικρὸν πετραδάκι, ἀλλὰ ὅλην τὴν γῆν νὰ εὑρίσκεται ἐπάνω εἰς τὰ ὕδατα καὶ νὰ μὴ καταποντίζεται, θαύμασε τὴν δύναμιν ἐκείνην, ἡ ὁποία κάμνει τέτοια ὑπερφυσικὰ θαύματα.

Καὶ ἀπὸ ποῦ φαίνεται τοῦτο, ὅτι ἡ γῆ εἶναι ἐπάνω εἰς τὰ ὕδατα; Ὁ προφήτης λέγει τοῦτο διὰ τῶν ἑξῆς· «Αὐτὸς ἐπὶ τῶν θαλασσῶν ἐθεμελίωσεν αὐτήν, καὶ ἐπὶ τῶν ποταμῶν ἐστερέωσεν αὐτήν»[11]. Καὶ πάλιν «αὐτὸς ποὺ ἐθεμελίωσε τὴν γῆν ἐπάνω εἰς τὰ ὕδατα»[12]. Τί λέγεις; Ἕνα μικρὸν πετραδάκι δὲν ἠμπορεῖ νὰ βαστάσῃ εἰς τὴν ἐπιφάνειάν του τὸ ὕδωρ, καὶ κρατεῖ τόσον μεγάλην γῆν, καὶ βουνὰ καὶ λόφους καὶ πόλεις καὶ φυτὰ καὶ ἀνθρώπους καὶ ἄλογα ζῶα καὶ δὲν καταποντίζεται; Τί λέγω δὲν καταποντίζεται; Πῶς,

ὁμιλοῦντος αὐτῇ τοῦ ὕδατος τοσοῦτον χρόνον οὐ διελύθη καὶ πηλὸς γέγονε τὸ πᾶν; Εἰ γὰρ ξύλων φύσις ὕδασι βραχὺν ἐνδιατρίψασα χρόνον σήπεται καὶ διαλύεται· καὶ τί λέγω ξύλων φύσις; Τί σιδήρουγέ γένοιτ' ἂν εὐτονώτερον; Ἀλλὰ καὶ οὗτος χαυνοῦται πολλάκις, ὅταν διαπαντὸς ἐν ὕδατι μένῃ· καὶ μάλα εἰκότως· Καὶ γὰρ καὶ αὐτὸς ἀπὸ γῆς ἔχει τὴν ὕπαρξιν. Διὰ τοῦτο πολλοὶ τῶν δραπετευόντων οἰκετῶν, ἐπειδὰν τὰς πέδας καὶ τὰς ἁλύσεις ἐπισυρόμενοι φύγωσι, παρὰ ῥύακας ὑδάτων ἐλθόντες, καὶ δεδομένους ἐναποθέμενοι τοὺς πόδας τοῖς ὕδασι, καὶ χαυνότερον ταύτῃ ποιήσαντες τὸν σίδηρον, ῥᾳδίως λίθῳ παίοντες διακλῶσιν. Εἶτα σίδηρος μὲν χαυνοῦται, καὶ ξύλα σήπεται, καὶ λίθοι φθείρονται ὑπὸ τῆς τῶν ὑδάτων φύσεως, γῆς δὲ ὄγκος τοσοῦτος ἐπὶ τοσοῦτον χρόνον ἐπικείμενος τοῖς ὕδασιν, οὔτε κατεποντίσθη, οὔτε διελύθη, καὶ ἀπώλετο.

4. Καὶ τίς οὐκ ἂν ἐκπλαγείη ταῦτα καὶ θαυμάσειε, καὶ θαρρῶν ἂν εἴποι, οὐχὶ φύσεως εἶναι ἔργα, ἀλλὰ τῆς ὑπὲρ φύσιν προνοίας; Διὰ ταῦτά τίς φησιν· «Ὁ κρεμάσας τὴν γῆν ἐπ' οὐδενός»· ἄλλος δέ τις, «Ἐν τῇ χειρὶ αὐτοῦ τὰ πέρατα τῆς γῆς»· καί, ὅτι «Ἐπὶ θαλασσῶν ἐθεμελίωσεν αὐτήν». Καὶ δοκεῖ μὲν ἐναντία ταῦτα εἶναι, πολλὴν δὲ ἔχει τὴν συμφωνίαν. Ὁ γὰρ εἰπών, ὅτι «Ἐπὶ τῶν ὑδάτων ἐθεμελίωσεν αὐτήν», ταὐτὸν εἶπε τῷ εἰρηκότι, ὅτι «ἐπ' οὐδενὸς αὐτὴν ἐκρέμασε». Τὸ γὰρ ἐπὶ ὑδάτων ἑστάναι ἴσον ἐστὶ τοῦ κρέμασθαι ἐπ' οὐδενός. Ποῦ οὖν κρέμαται καὶ ἕστηκεν; Ἄκουσον τοῦ αὐτοῦ λέγοντος, «Ἐν τῇ χειρὶ αὐτοῦ τὰ πέρατα τῆς γῆς»· οὐχ ὅτι χεῖρας ἔχει ὁ Θε-

---

13. Ἰὼβ 26, 7.
14. Ψαλμ. 94, 4.
15. Ψαλμ. 23, 2.

ἐνῷ εὑρίσκεται ἀπὸ κάτω εἰς ἐπαφὴν μὲ τὸ νερὸ ἐπὶ τόσα χρόνια δὲν διελύθη καὶ δὲν ἔγινεν ὅλη λάσπη. Διότι ἐὰν τὰ ξύλα παραμείνουν ἐπ' ὀλίγον χρόνον μέσα εἰς τὸ νερὸ σαπίζουν καὶ διαλύονται· καὶ διατί ἀναφέρω τὰ ξύλα; Τί ἠμπορεῖ νὰ γίνῃ σκληρότερον ἀπὸ τὸν σίδηρον; Ὅμως καὶ αὐτὸς πολλάκις γίνεται μαλακός, ὅταν μένῃ διαρκῶς μέσα εἰς τὸ νερόν, καὶ εἶναι φυσικόν. Καθ' ὅσον καὶ αὐτὸς ἀπὸ τὴν γῆν προέρχεται. Διὰ τοῦτο πολλοὶ ἀπὸ τοὺς ὑπηρέτας ποὺ δραπετεύουν, ὅταν φεύγουν καὶ σύρουν μαζί των τὰς χειροπέδας καὶ τὰς ἁλυσίδας, ἀφοῦ ἔλθουν κοντὰ εἰς ρυάκια μὲ νερὸ καὶ ὅπως εἶναι δεμένοι βάλουν τὰ πόδια των μὲ τὰ δεσμὰ μέσα εἰς αὐτό, καὶ κατ' αὐτὸν τὸν τρόπον τὰ κάμουν μαλακά, εὐκόλως τὰ σπάζουν μετὰ κτυπῶντες αὐτὰ μὲ λίθους. Ἔπειτα ὁ μὲν σίδηρος γίνεται μαλακός, καὶ τὰ ξύλα σαπίζουν καὶ οἱ πέτρες καταστρέφονται ἀπὸ τὰ ὕδατα, τῆς γῆς δὲ ὁ ὄγκος, ὁ ὁποῖος ἐπὶ τόσον χρόνον στέκεται ἐπάνω εἰς τὰ ὕδατα, οὔτε κατεποντίσθη, οὔτε διελύθη καὶ κατεστράφη.

4. Καὶ ποῖος δὲν θὰ ἐκπλαγῇ, καὶ δὲν θὰ θαυμάσῃ καὶ δὲν θὰ εἰπῇ μετὰ βεβαιότητος ὅτι αὐτὰ δὲν εἶναι ἔργα τῆς φύσεως, ἀλλὰ τῆς ὑπερφυσικῆς προνοίας; Δι' αὐτὰ κάποιος εἶπεν· «Ἐκεῖνος ποὺ ἐκρέμασε τὴν γῆν ἀπὸ τὸ τίποτε»[13]· καὶ κάποιος ἄλλος· «εἰς τὸ χέρι αὐτοῦ εἶναι τὰ πέρατα τῆς γῆς»[14], καὶ ὅτι «ἐπὶ τῶν θαλασσῶν ἐθεμελίωσεν αὐτήν»[15]. Καὶ ἐνῷ φαίνεται ὅτι τὸ περιεχόμενον αὐτῶν εἶναι ἀντιθέτου ἐννοίας, ὅμως συμφωνοῦν πολύ. Διότι ἐκεῖνος ποὺ εἶπεν ὅτι «ἐπὶ τῶν ὑδάτων ἐθεμελίωσεν αὐτὴν» εἶπε τὸ ἴδιον μὲ ἐκεῖνον ποὺ εἶπε ὅτι «ἀπὸ τὸ τίποτε ἐκρέμασεν αὐτήν». Διότι τὸ νὰ εἶναι ἐπάνω εἰς τὰ νερὰ εἶναι τὸ ἴδιον μὲ τὸ νὰ κρέμεται ἀπὸ τὸ τίποτε. Ποῦ λοιπὸν κρέμεται καὶ ποῦ στέκεται; Ἄκουσε τὸν ἴδιον ποὺ λέγει· «Εἰς τὸ χέρι αὐτοῦ εἶναι τὰ πέρατα τῆς γῆς», ὄχι ὅτι ἔχει χέρια ὁ Θεός, ἀλλὰ διὰ νὰ μάθῃς ὅτι ἡ δύναμις αὐτοῦ ποὺ προνοεῖ δι' ὅλα, αὐτὴ εἶναι

ός, ἀλλ' ἵνα μάθῃς ὅτι ἡ δύναμις αὐτοῦ ἡ προνοοῦσα πάντων, αὕτη ἐστὶν ἡ συγκρατοῦσα καὶ διαβαστάζουσα τὸ σῶμα τῆς γῆς.

Ἀλλ' οὐ πείθῃ τοῖς εἰρημένοις; Πίστευσον τοῖς ὁρωμένοις· καὶ γὰρ καὶ ἐφ' ἑτέρου στοιχείου τὴν θαυματουργίαν ταύτην ἐστὶν εὑρεῖν. Τοῦ γὰρ πυρὸς ἡ φύσις ἀνωφερής τίς ἐστι καὶ πρὸς τὸ ὕψος ἀεὶ πηδᾶν καὶ ἅλλεσθαι πέφυκε, κἂν μυρία βιάσῃ καταναγκάσῃ, οὐκ ἂν ἀνάσχοιτο τῆς κάτω φορᾶς. Πολλάκις γοῦν δᾷδα καιομένην λαβόντες, καὶ κατὰ κεφαλῆς κλίναντες τοῦ πυρὸς τὴν ὁρμὴν οὐκ ἠναγκάσαμεν κάτω νεῦσαι, ἀλλὰ καὶ οὕτως ἄνω τρέχει, καὶ πρὸς τὸ ὕψος ἐπείγεται κάτωθεν· ἐπὶ δὲ τοῦ ἡλίου τοὐναντίον ἅπαν ἐποίησεν ὁ Θεός· τὰς γὰρ ἀκτῖνας αὐτοῦ πρὸς τὴν γῆν ἔτρεψε, καὶ τὸ φῶς κάτω νεύειν ἐποίησε, μονονουχὶ λέγων αὐτῷ διὰ τοῦ σχήματος, κάτω βλέπε, φησί, τοῖς ἀνθρώποις φαῖνε· διὰ γὰρ ἐκείνους ἐγένου. Καὶ λύχνου μὲν φλὸξ οὐκ ἂν ἀνάσχοιτο τοῦτο παθεῖν, ἄστρον δὲ οὕτω μέγα καὶ θαυμαστὸν κάτω νεύει, καὶ πρὸς τὴν γῆν βλέπει ἀπεναντίας τῷ πυρί, διὰ τὴν τοῦ κελεύσαντος δύναμιν.

Βούλει καὶ ἕτερον εἴπω τοιοῦτον; Τὰ νῶτα τοῦ οὐρανοῦ τοῦ φαινομένου ὕδατα περιλαμβάνει πάντοθεν, καὶ οὐ καταρρεῖ, οὐδὲ ἐξίσταται, καίτοι γε οὐκ ἔστι τοιαύτη τῶν ὑδάτων ἡ φύσις· ἀλλ' εἰς μὲν τὰ κοῖλα συντρέχει ῥᾳδίως· ἐπειδὰν δὲ κεκυρτωμένον ᾖ σῶμα, διολισθαίνει πάντοθεν, καὶ οὐκ ἂν αὐτοῦ οὐδὲ μικρὸν σταίη μέρος ἐπὶ τοῦ τοιούτου σχήματος. Ἀλλ' ἰδοὺ τὸ παράδοξον τοῦτο γέγονεν ἐπὶ τῶν οὐρανῶν· καὶ τοῦτο αὐτὸ πάλιν ὁ προφήτης αἰνιττόμενος λέγει· «Αἰνεῖτε τὸν Κύριον τὰ ὕδατα τὰ ὑπεράνω τῶν οὐρανῶν». Καὶ οὔτε τὸ ὕδωρ τὸν ἥλιον ἔσβεσεν, οὔτε ὁ ἥλιος ἐπὶ τοσοῦτον χρόνον βαδίζων κάτωθεν τὸ ἐπικείμενον ἀνεξήρανεν ὕδωρ. Βούλει σε πάλιν

16. Ψαλμ. 148, 4.

ἐκείνη ποὺ συγκρατεῖ καὶ βαστάζει ὁλόκληρον τὸ σῶμα τῆς γῆς.

Ἀλλὰ δὲν πείθεσαι μὲ τὰ λεχθέντα; Πίστευσε εἰς αὐτὰ ποὺ βλέπεις· διότι καὶ ἐπὶ ἄλλου στοιχείου ἠμπορεῖς νὰ εὕρῃς τὴν θαυματουργίαν αὐτήν. Διότι ἡ φωτιὰ ἔχει τὴν φυσικὴν ἰδιότητα νὰ πηγαίνῃ πρὸς τὰ ἐπάνω καὶ νὰ ἀνέρχεται μὲ πηδήματα πάντοτε πρὸς τὸ ὕψος καὶ νὰ χάνεται, καὶ ἂν τὴν ἀναγκάσῃς νὰ πάρῃ κατεύθυνσιν πρὸς τὰ κάτω δὲν θὰ τὸ κατορθώσῃς. Πολλάκις λοιπὸν καὶ δάδα καιομένην ἀφοῦ λάβωμεν καὶ τὴν ἀναποδογυρίσωμεν τὴν δύναμιν τοῦ πυρὸς δὲν ἠμποροῦμεν νὰ τὴν κάμωμεν νὰ κλίνῃ πρὸς τὰ κάτω, ἀλλὰ καὶ ὅταν εἶναι ἔτσι κατευθύνεται πρὸς τὰ ἄνω καὶ ἀνεβαίνει ἀπὸ κάτω πρὸς τὰ ὕψη· διὰ τὸν ἥλιον ὅμως ἔκαμεν ὁ Θεὸς ἐντελῶς τὸ ἀντίθετον· διότι τὰς ἀκτῖνας αὐτοῦ τὰς ἔστρεψεν εἰς τὴν γῆν καὶ ἔκαμε νὰ κλίνῃ πρὸς τὰ κάτω τὸ φῶς, λέγων τρόπον τινὰ διὰ τῆς ἰδιότητός του αὐτῆς κάτω νὰ βλέπῃς καὶ τοὺς ἀνθρώπους νὰ φωτίζῃς· διότι δι᾿ ἐκείνους ἔγινες. Καὶ τοῦ μὲν λυχναριοῦ ἡ φλόγα δὲν θὰ ἐδέχετο νὰ πάθῃ τοῦτο, ἄστρον ὅμως τόσον μεγάλο καὶ θαυμαστὸν κλίνει πρὸς τὰ κάτω καὶ βλέπει πρὸς τὴν γῆν, πρᾶγμα ποὺ εἶναι ἀντίθετον μὲ τὴν ἰδιότητα τοῦ πυρός, τοῦτο ὅμως συμβαίνει ἐξ αἰτίας τῆς δυνάμεως ἐκείνου ποὺ τὸ διέταξε.

Θέλεις νὰ εἰπῶ καὶ ἄλλο παράδειγμα ὅμοιον μὲ αὐτό; Τὰ νῶτα τοῦ οὐρανοῦ ποὺ βλέπομεν περιλαμβάνουν ἀπὸ παντοῦ νερά, καὶ ὅμως δὲν καταρρέουν, οὔτε μετακινοῦνται, καίτοι βεβαίως δὲν εἶναι ἴδιον γνώρισμα τῶν ὑδάτων τοῦτο· ἀλλὰ εἰς μὲν τὰς κοιλότητας συρρέει εὐκόλως· καὶ ὅταν εἶναι τὸ σῶμα κυρτὸν γλυστρᾶ ἀπὸ παντοῦ, καὶ δὲν εἶναι δυνατὸν νὰ σταθῇ οὔτε μικρὰ σταγὼν ἐπάνω εἰς τοιοῦτον σῶμα. Ἀλλ᾿ ἰδοὺ τὸ παράδοξον τοῦτο ἔχει γίνει διὰ τοὺς οὐρανούς· καὶ αὐτὸ ὑπαινίσσεται λέγων ὁ προφήτης· «Αἰνεῖτε τὸν Κύριον τὰ ὕδατα τὰ ὑπεράνω τῶν οὐρανῶν»[16]. Καὶ ἀκόμη οὔτε τὸ νερὸ αὐτὸ ἔσβησε τὸν ἥλιον, οὔτε ὁ ἥλιος ποὺ ἐπὶ τόσα χρόνια συνεχίζει τὸν δρόμον του κάτω, ἐξήτμισε τὸ ὕδωρ τὸ ὑπεράνω αὐτοῦ εὑρισκόμενον. Θέλεις πάλιν νὰ

εἰς τὴν γῆν καταγάγωμεν, καὶ τὸ θαῦμα ἐπιδείξωμεν; Οὐχ ὁρᾷς ταυτηνὶ τὴν θάλατταν, τὴν κυμάτων γέμουσαν καὶ πνευμάτων βιαίων; Ἀλλ' αὕτη ἡ θάλαττα ἡ εὐρύχωρος καὶ μεγάλη καὶ μαινομένη ἀσθενεῖ ψάμμῳ τειχίζεται.

Καὶ σκόπει Θεοῦ σοφίαν· οὐκ ἀφῆκεν αὐτὴν ἡσυχάζειν, οὐδὲ ἠρεμεῖν, ἵνα μὴ τῆς φύσεως αὐτῆς εἶναι νομίσῃς τὴν εὐταξίαν, ἀλλ' ἔνδον μένουσα βοᾷ, καὶ ταράττεται, καὶ μεγάλα ἠχεῖ, καὶ τὰ κύματα πρὸς ὕψος διανίστησιν ἄφατον ἐπειδὰν δὲ ἔλθῃ πρὸς τοὺς αἰγιαλούς, καὶ τὴν ψάμμον ἴδῃ, διαλυθεῖσα πρὸς ἑαυτὴν πάλιν ἐπάνεισι, δι' ἀμφοτέρων σε τούτων διδάσκουσα, ὅτι οὐχὶ φύσεως ἔργον ἐστὶ τὸ μένειν αὐτὴν εἴσω τῶν οἰκείων ὅρων, ἀλλὰ τῆς τοῦ κατέχοντος αὐτὴν δυνάμεως. Διὰ τοῦτο γοῦν καὶ ἀσθενὲς τὸ τειχίον ἐποίησε, καὶ οὐ ξύλα καὶ λίθους, οὐδὲ ὄρη τοῖς αἰγιαλοῖς περιέβαλε τούτοις, ἵνα μὴ τούτοις λογίσῃ τοῦ στοιχείου τὴν εὐταξίαν. Τοῦτο γοῦν καὶ αὐτός ποτε τοῖς Ἰουδαίοις ὀνειδίζων ἔλεγεν· «Ἐμὲ οὐ φοβηθήσεσθε τὸν τάξαντα ἄμμον ὅριον τῇ θαλάσσῃ, καὶ οὐχ ὑπερβήσεται;».

Οὐ τοῦτο δὲ μόνον ἐστὶ τὸ θαυμαστόν, ὅτι μέγαν καὶ θαυμαστὸν τὸν κόσμον ἐποίησεν, οὐδ' ὅτι ὑπὲρ φύσεως ἀκολουθίαν αὐτὸν συνέπηξεν, ἀλλ' ὅτι καὶ ἐξ ἐναντίων αὐτὸν συνέστησε, θερμοῦ καὶ ψυχροῦ, ξηροῦ καὶ ὑγροῦ, πυρὸς καὶ ὕδατος, γῆς καὶ ἀέρος· καὶ τὰ ἐναντία ταῦτα στοιχεῖα, ἀφ' ὧν τόδε τὸ πᾶν συνέστηκεν, ἀλλήλοις μαχόμενα ὑπ' ἀλλήλων οὐκ ἀνηλώθη, οὐ τὸ πῦρ ἐπέδραμε καὶ ἀνῆψεν ἅπαντα, οὐ τὸ ὕδωρ ἐπελθὸν ἐπέκλυσε τὴν οἰκουμένην. Ἀλλ' ἐπὶ μὲν τῶν σωμάτων τῶν ἡμετέρων ταῦτα γίνεται, καὶ χολῆς αὐξανομένης τίκτεται πυρετός, καὶ τῷ παντὶ ζώῳ λυμαίνεται· καὶ φλέγματος πλεονάζοντος πολλὰ νοσήματα φύεται, καὶ διαφθείρει τὸ ζῶον. Ἐπὶ δὲ τού-

17. Ἱερ. 5, 22.

σὲ ἐπαναφέρωμεν εἰς τὴν γῆν καὶ νὰ σοῦ ἐπιδείξωμεν τὸ θαῦμα; Δὲν βλέπεις αὐτὴν ἐδῶ τὴν θάλασσαν, ἡ ὁποία εἶναι γεμάτη ἀπὸ κύμματα καὶ βιαίους ἀνέμους; Καὶ ὅμως αὐτὴ ἡ θάλασσα ἡ εὐρύχωρος καὶ μεγάλη καὶ μανιώδης περιτειχίζεται ἀπὸ τὴν ἀνίσχυρον ἄμμον.

Καὶ παρετήρει τὴν σοφίαν τοῦ Θεοῦ· δὲν τὴν ἄφησε νὰ εἶναι ἥσυχος, οὔτε νὰ ἠρεμῇ, διὰ νὰ μὴ νομίσῃς ὅτι ἡ εὐταξία αὐτὴ ὀφείλεται εἰς τὴν ἰδικήν της φύσιν, ἀλλὰ ὅταν μὲν μένῃ βαθειὰ εἰς τὴν περιοχήν της φωνάζει καὶ ταράσσεται, καὶ κάνει μεγάλον θόρυβον, καὶ ἀνυψώνει τὰ κύματά της εἰς ὕψη μεγάλα, ὅταν ὅμως ἔλθῃ εἰς τὴν ἀκρογιαλιὰν καὶ ἰδῇ τὴν ἄμμον, διαλύεται καὶ γυρίζει πάλιν πρὸς τὰ ὀπίσω, διδάσκουσα καὶ διὰ τῶν δύο τούτων, ὅτι δὲν εἶναι ἔργον τῆς φύσεως τὸ νὰ μένῃ αὐτὴ μέσα εἰς τὰ ὅριά της, ἀλλὰ εἶναι ἔργον τῆς δυνάμεως ἐκείνου ποὺ τὴν συγκρατεῖ. Διὰ τοῦτο λοιπὸν ἔκαμε τὸ τεῖχος τοῦτο ἀσθενὲς καὶ οὔτε μὲ ξύλα οὔτε μὲ λίθους οὔτε μὲ ὄρη περιέβαλε τὰ ἀκρογιάλια διὰ νὰ μὴ νομίσῃς ὅτι ἡ εὐταξία ὀφείλεται εἰς αὐτά. Διὰ τοῦτο λοιπὸν καὶ ὁ Θεὸς ἐλέγχων τοὺς Ἰουδαίους ἔλεγεν· «Ἐμὲ δὲν θὰ φοβηθῆτε ποὺ ἔθεσα τὴν ἄμμον ὡς ὅριον εἰς τὴν θάλασσαν καὶ δὲν θὰ τὴν ὑπερβῇ;»[17].

Δὲν εἶναι δὲ τοῦτο μόνον τὸ ἄξιον θαυμασμοῦ τὸ ὅτι ἔκαμε τὸν κόσμον μέγαν καὶ θαυμαστόν, οὔτε ὅτι τὸν συνήρμοσε παρὰ τοὺς συνήθεις φυσικοὺς νόμους, ἀλλ' ὅτι καὶ ἐξ ἀντιθέτων στοιχείων τὸν συνέστησε, ἐκ θερμοῦ καὶ ψυχροῦ, ἐκ ξηροῦ καὶ ὑγροῦ, ἐκ πυρὸς καὶ ὕδατος, ἐκ γῆς καὶ ἀέρος· καὶ τὰ ἀντίθετα αὐτὰ στοιχεῖα, ἀπὸ τὰ ὁποῖα ἔκαμε τὸ πᾶν, ἂν καὶ ἀντιμάχεται τὸ ἕνα τὸ ἄλλο, δὲν κατεστράφησαν μεταξύ των, οὔτε τὸ πῦρ ἐπέδραμε νὰ καύσῃ τὰ πάντα, οὔτε τὸ ὕδωρ ἦλθε καὶ ἐπλημμύρισε τὴν οἰκουμένην. Ἀλλ' εἰς μὲν τὰ ἰδικά μας σώματα αὐτὰ γίνονται, καὶ ὅταν αὐξάνεται ἡ χολή, δημιουργεῖται πυρετὸς καὶ καταστρέφεται ὁ ἀνθρώπινος ὀργανισμός· καὶ ὅταν πλεονάζῃ τὸ φλέγμα προκαλεῖ πολλὰ νοσήματα καὶ διαφθείρει τὸ σῶμα. Εἰς τὸ σύμπαν ὅμως

δε τοῦ παντὸς οὐδὲν τούτων συνέβη, ἀλλ' ἕκαστον μένει καθάπερ τινὶ χαλινῷ καὶ δεσμῷ τῷ βουλήματι τοῦ ποιήσαντος τοὺς οἰκείους διαφυλάττων ὅρους, καὶ ἡ μάχη τούτων εἰρήνης αἰτία γίνεται τῷ παντί.

Ταῦτα οὐχὶ καὶ τυφλῷ δῆλα, καὶ τοῖς σφόδρα ἀνοήτοις εὐσύνοπτα, ὅτι ἐκ προνοίας τινὸς γέγονε καὶ συγκρατεῖται; Τίς γὰρ οὕτως ἄφρων καὶ ἀναίσθητος, ὃς ὁρῶν τοσοῦτον σωμάτων ὄγκον, τοσοῦτον κάλλος, τοσαύτην σύνθεσιν, τοιούτων στοιχείων μάχην διηνεκῆ, καὶ ἐναντίωσιν, καὶ διαμονήν, μὴ λογίσασθαι πρὸς ἑαυτόν, καὶ εἰπεῖν, ὅτι εἰ μὴ πρόνοιά τις ἦν ἡ τὸν ὄγκον τῶν σωμάτων διακρατοῦσα, καὶ μὴ συγχωροῦσα τὸ πᾶν διαπεσεῖν, οὐκ ἂν ἔμεινεν, οὐκ ἂν διήρκεσε; Τοσαύτη μὲν ὡρῶν εὐταξία, τοσαύτη δὲ ἡμέρας καὶ νυκτὸς συμφωνία, τοσούτων δὲ ἀλόγων ζώων γένη, καὶ φυτῶν, καὶ σπερμάτων, καὶ βοτανῶν ὁδῷ βαδίζει, καὶ οὐδὲν εἰς τὴν παροῦσαν ἡμέραν οὔτε διέπεσεν, οὔτε ἀνηλώθη καθάπαξ.

5. Οὐ ταῦτα δὲ μόνον, ἀλλὰ καὶ πολλὰ ἕτερα τούτων πλείονα καὶ βαθύτερα ἦν εἰπεῖν, καὶ περὶ αὐτῆς φιλοσοφῆσαι τῆς κτίσεως· ἀλλ' εἰς τὴν ἐπιοῦσαν ἐκεῖνα ταμιευσάμενοι, σπουδάσωμεν τὰ εἰρημένα μετὰ ἀκριβείας κατασχεῖν, καὶ εἰς ἑτέρους ἐξενεγκεῖν. Καὶ οἶδα μὲν ὅτι τὴν ἀκοὴν ὑμῶν ἐξένισε τῶν νοημάτων τὸ βάθος, ἀλλ' ἐὰν ὀλίγον νήψωμεν, καὶ ἐν τούτοις ἐθίσωμεν ἑαυτούς, καὶ ἑτέροις ῥαδίως ἐσόμεθα διδάσκαλοι.

Τέως δὲ ἐκεῖνο πρὸς τὴν ὑμετέραν ἀγάπην ἀναγκαῖον εἰπεῖν· ὥσπερ ἐδόξασεν ἡμᾶς ὁ Θεὸς διὰ τῆς τοσαύτης δημιουργίας, οὕτω δοξάσωμεν αὐτὸν καὶ ἡμεῖς διὰ τῆς πολιτείας καθαρᾶς. Οἱ οὐρανοὶ διηγοῦνται δόξαν Θεοῦ φαινόμενοι μόνον, καὶ ἡμεῖς τοίνυν διηγησώμεθα δόξαν Θεοῦ μὴ λέγοντες μόνον, ἀλλὰ καὶ σιγῶντες, καὶ τῇ τοῦ βίου

τοῦτο τίποτε ἀπὸ αὐτὰ δὲν συνέβη, ἀλλὰ κάθε ἕνα μένει εἰς τὰ ὅριά του ὡσὰν νὰ συγκρατῆται ἀπὸ κάποιον χαλινὸν καὶ δεσμὸν ὑπὸ τῆς θελήσεως τοῦ δημιουργοῦ, καὶ ἡ διαμάχη τῶν στοιχείων γίνεται παράγων εἰρήνης εἰς τὸ σύμπαν.

Αὐτὰ δὲν εἶναι φανερὰ καὶ εἰς τὸν τυφλὸν καὶ καταληπτὰ εἰς τοὺς πάρα πολὺ ἀνοήτους, ὅτι δηλαδὴ ἔχουν γίνει καὶ συγκρατοῦνται ἀπὸ κάποιαν πρόνοιαν; Διότι ποῖος εἶναι τόσον ἀνόητος καὶ ἀναίσθητος, ὁ ὁποῖος ἐνῷ βλέπει τόσον ὄγκον σωμάτων, τόσην μεγάλην ὡραιότητα, τόσην σύνθεσιν ἁρμονικήν, τέτοιων στοιχείων διαρκῆ διαμάχην καὶ ἀντίθεσιν καὶ διανομήν, νὰ μὴ σκεφθῇ καὶ νὰ εἰπῇ μέσα του, ὅτι ἐὰν δὲν ὑπῆρχε κάποια πρόνοια ἡ ὁποία νὰ συγκρατῇ τὸν ὄγκον τῶν σωμάτων καὶ νὰ μὴ ἐπιτρέπῃ νὰ καταρρεύσῃ τὸ σύμπαν, δὲν θὰ ἔμενε, οὔτε θὰ διαρκοῦσε τόσον; Τόση λοιπὸν εὐταξία ὡρῶν ὑπάρχει, τόση συμφωνία ἡμέρας καὶ νυκτός, τόσα γένη ζώων, φυτῶν, σπερμάτων καὶ βοτανῶν βαδίζουν τὸν δρόμον των, καὶ τίποτε ἕως σήμερον δὲν ἔπεσεν, οὔτε κατεστράφη διὰ παντός.

5. Καὶ ὄχι δὲ μόνον αὐτά, ἀλλὰ καὶ πολλὰ ἄλλα περισσότερα ἀπὸ αὐτὰ καὶ βαθύτερα, ἠμπορούσαμεν νὰ εἴπωμεν καὶ νὰ φιλοσοφήσωμεν περὶ αὐτῆς τῆς κτίσεως· ἀλλὰ ἂς τὰ ἀφήσωμεν αὐτὰ διὰ τὴν αὐριανὴν ὁμιλίαν, καὶ τώρα ἂς φροντίσωμεν νὰ διαφυλάξωμεν μετὰ ἀκριβείας ὅσα ἐλέχθησαν, καὶ νὰ τὰ μεταδώσωμεν καὶ εἰς ἄλλους. Καὶ γνωρίζω ὅτι ἐξένισε τὴν ἀκοήν σας τὸ βάθος τῶν νοημάτων αὐτῶν, ἀλλ' ἐὰν ὀλίγον ἀνανήψωμεν καὶ συνηθίσωμεν τὸν ἑαυτόν μας εἰς τοιαῦτα νοήματα, εὐκόλως καὶ εἰς ἄλλους θὰ γίνωμεν διδάσκαλοι.

Τοῦτο θεωρῶ ἀναγκαῖον νὰ εἰπῶ πρὸς τὴν ἰδικήν σας ἀγάπην· ὅπως ἀκριβῶς μᾶς ἐδόξασεν ὁ Θεὸς διὰ τῆς τόσης δημιουργίας, ἔτσι καὶ ἡμεῖς ἂς δοξάσωμεν αὐτὸν διὰ τοῦ καθαροῦ βίου μας. Οἱ οὐρανοὶ διηγοῦνται τὴν δόξαν τοῦ Θεοῦ μόνον διὰ τῆς ὄψεώς των, καὶ ἡμεῖς λοιπὸν ἂς διηγηθῶμεν τὴν δόξαν τοῦ Θεοῦ, ὄχι μόνον διὰ τοῦ λόγου, ἀλλὰ καὶ διὰ τῆς σιωπῆς καὶ ἂς ἐκπλήσσωμεν ὅλους διὰ τῆς λαμπρότητος

λαμπρότητι πάντας ἐκπλήττοντες. «Λαμψάτω γὰρ ὑμῶν τὸ φῶς ἔμπροσθεν τῶν ἀνθρώπων, ὅπως ἴδωσιν ὑμῶν τὰ καλὰ ἔργα, καὶ δοξάσωσι τὸν Πατέρα ὑμῶν τὸν ἐν τοῖς οὐρανοῖς». Ὅταν γὰρ ὁ ἄπιστος ἴδῃ σὲ τὸν πιστὸν κατεσταλμένον, σωφρονοῦντα, κόσμιον ὄντα, ἐκπλαγήσεται καὶ ἐρεῖ, ἀληθῶς μέγας ὁ τῶν Χριστιανῶν Θεός, οἵους κατέστησεν ἀνθρώπους, οἵους ἐξ οἵων ἐποίησεν, ἀγγέλους αὐτοὺς ἐξ ἀνθρώπων εἰργάσατο. Ἂν ὑβρίσῃ τις, οὐ λοιδοροῦνται· ἂν τυπτήσῃ τις, οὐκ ἀγανακτοῦσιν· ἂν ἀδικήσῃ τις, ὑπερεύχονται τοῦ λελυπηκότος· ἐχθρὸν οὐκ ἔχουσι, μνησικακεῖν οὐκ ἐπίστανται, φλυαρεῖν οὐκ ἴσασιν, οὐκ ἔμαθον ψεύδεσθαι, ἐπιορκεῖν οὐκ ἀνέχονται, μᾶλλον δὲ οὐδὲ ὀμνύειν· ἀλλὰ τὴν γλῶτταν ἐκτιμηθῆναι ἂν ἕλοιντο πρότερον, ἢ ὅρκον τινὰ ἀπὸ τοῦ στόματος προέσθαι.

Ταῦτα δῶμεν αὐτοῖς περὶ ἡμῶν λέγειν, καὶ τὴν πονηρὰν τῶν ὅρκων συνήθειαν ἀπελάσωμεν, καὶ τοσαύτην δῶμεν τῷ Θεῷ τιμήν, ὅσην τοῖς ἱματίοις ἡμῶν τοῖς πολυτελεστέροις. Πῶς γὰρ οὐκ ἄτοπον ἱμάτιον μὲν ἔχοντας τῶν λοιπῶν βέλτιον μὴ ἀνέχεσθαι συνεχῶς αὐτῷ καταχρᾶσθαι, τὸ δὲ τοῦ Θεοῦ ὄνομα πανταχοῦ περισύρειν ἁπλῶς καὶ ὡς ἔτυχε; Μή, δέομαι καὶ ἀντιβολῶ, μὴ οὕτω καταφρονῶμεν ἡμῶν τῆς σωτηρίας, ἀλλὰ τὴν σπουδὴν ἣν ἐξ ἀρχῆς ἐποιησάμεθα περὶ τὴν ἐντολὴν ταύτην, εἰς τέλος ἀγάγωμεν. Καὶ γὰρ ἐγὼ διὰ τοῦτο συνεχῆ ποιοῦμαι τὴν παράκλησιν τὴν περὶ τῶν ὅρκων, οὐκ ἐπειδὴ κατέγνων ὑμῶν ῥαθυμίαν, ἀλλ' ἐπειδὴ τὸ πλέον κατορθωθὲν ὑμῖν εἶδον, σπεύδω καὶ ἐπείγομαι τὸ πᾶν ἀπαρτισθῆναι καὶ τέλος λαβεῖν. Οὕτω καὶ οἱ θεαταὶ ποιοῦσι, τοὺς ἐγγὺς ὄντας τῶν βραβείων διεγείρουσι μᾶλλον.

Μὴ τοίνυν ἀποκάμωμεν μηδὲ ἡμεῖς, καὶ γὰρ ἐγγὺς ἑστήκαμεν τοῦ παντὸς κατορθώματος, καὶ ἡ δυσκολία παρὰ τὴν ἀρχὴν ἦν. Ὅτι δὲ τὸ πλέον τῆς συνηθείας ὑπετμήθη

18. Ματθ. 5, 16.

τοῦ βίου μας. «Ἂς λάμψῃ τὸ φῶς σας», λέγει, «ἐνώπιον τῶν ἀνθρώπων, διὰ νὰ ἰδοῦν τὰ καλὰ ἔργα σας καὶ δοξάσουν τὸν Πατέρα σας τὸν εὑρισκόμενον εἰς τοὺς οὐρανούς»[18]. Διότι ὅταν ὁ ἄπιστος ἰδῇ σὲ ὁ ὁποῖος εἶσαι πιστὸς νὰ εἶσαι ταπεινός, σώφρων, κόσμιος, θὰ ἐκπλαγῇ καὶ θὰ εἰπῇ, ἀληθῶς εἶναι μέγας ὁ Θεὸς τῶν χριστιανῶν, πῶς ἔκαμε τοὺς ἀνθρώπους, πόσον τοὺς μετέβαλε, τοὺς ἔκαμε ἀπὸ ἀνθρώπους ἀγγέλους. Ἂν ὑβρίσῃ κανεὶς αὐτοὺς δὲν ἀνταποδίδουν τὰ ἴσα· ἂν τοὺς κτυπήσῃ κανεὶς δὲν ἀγανακτοῦν· ἂν τοὺς ἀδικήσῃ κανεὶς προσεύχονται δι' ἐκεῖνον ποὺ τοὺς ἠδίκησεν· ἐχθρὸν δὲν ἔχουν, μνησικακίαν δὲν γνωρίζουν, φλυαρίαν ἀγνοοῦν, δὲν ἔμαθαν νὰ ψεύδωνται, δὲν ἀνέχονται νὰ παραβαίνουν τὸν ὅρκον των, πολὺ περισσότερον δὲ οὔτε νὰ ὁρκίζωνται, ἀλλὰ θὰ ἐπροτιμοῦσαν νὰ κοπῇ ἡ γλῶσσα των, παρὰ νὰ βγάλουν κάποιον ὅρκον ἀπὸ τὸ στόμα των.

Αὐτὰ ἂς τοὺς κάμωμεν νὰ λέγουν δι' ἡμᾶς, καὶ τὴν κακὴν συνήθειαν τῶν ὅρκων ἂς ἀπομακρύνωμεν, καὶ ἂς δώσωμεν τόσην μεγάλην τιμὴν εἰς τὸν Θεόν, ὅσην δίδομεν εἰς τὰ πολυτελέστερα ἐνδύματά μας. Διότι πῶς δὲν εἶναι παράλογον τὴν καλυτέραν ἐνδυμασίαν μας νὰ μὴ ἀνεχώμεθα νὰ τὴν φορῶμεν συχνά, τὸ δὲ ὄνομα τοῦ Θεοῦ παντοῦ νὰ τὸ περιφέρωμεν ἁπλῶς καὶ χωρὶς λόγον; Μή, σᾶς παρακαλῶ καὶ σᾶς ἱκετεύω, ἂς μὴ δεικνύωμεν τόσην ἀδιαφορίαν διὰ τὴν σωτηρίαν μας, ἀλλὰ τὴν σπουδὴν τὴν ὁποίαν ἐδείξαμεν ἐξ ἀρχῆς διὰ τὴν ἐντολὴν αὐτήν, ἂς τὴν φέρωμεν εἰς τέλος. Διὰ τοῦτο ἐγὼ συνεχῶς σᾶς παρακαλῶ νὰ ἀποφεύγετε τοὺς ὅρκους, ὄχι ἐπειδὴ σᾶς θεωρῶ ραθύμους, ἀλλ' ἐπειδὴ εἶδα ὅτι ἐπετύχαμεν τὸ περισσότερον μέρος αὐτῆς τῆς ἐντολῆς καὶ βιάζομαι νὰ σᾶς ἰδῶ νὰ τὴν ἐφαρμόσετε ὅλην τελείως. Ἔτσι κάνουν καὶ οἱ θεαταί, ἐκείνους ποὺ εἶναι κοντὰ εἰς τὸ βραβεῖον τοὺς διεγείρουν περισσότερον.

Ἂς μὴ ἀποκάμωμεν λοιπὸν οὔτε ἡμεῖς, καθ' ὅσον εὑρισκόμεθα κοντὰ εἰς τὴν τελείαν ἐπιτυχίαν αὐτῆς, καὶ ἡ δυσκολία ἦτο εἰς τὴν ἀρχήν. Τώρα ποὺ τὸ μεγαλύτερον μέρος τῆς

νῦν, καὶ μικρὸν ὑπολέλειπται λοιπόν, οὐδὲ πόνου χρεία τινός, ἀλλὰ μικρᾶς παρατηρήσεως, καὶ βραχείας τινὸς ἀκριβείας δεόμεθα, ἵνα αὐτοὶ κατορθώσαντες καὶ ἑτέροις γενώμεθα διδάσκαλοι, καὶ μετὰ παρρησίας τὸ ἱερὸν ἴδωμεν πάσχα, καὶ μετὰ πολλῆς τῆς ἡδονῆς διπλασίονα καὶ τριπλασίονα τῆς εἰωθίας καρπωσώμεθα τὴν εὐφροσύνην. Οὐ γὰρ οὕτω τὸ τῶν πόνων ἡμᾶς ἀπαλλαγῆναι καὶ τῶν ἱδρώτων τῆς νηστείας εὐφραίνει, ὡς τὸ μετὰ κατορθώματος καὶ στεφάνου λαμπροῦ εἰς τὴν ἱερὰν ἐκείνην ἑορτὴν ἀπαντῆσαι στεφάνου μηδέποτε μαραινομένου.

Ὥστε δὲ ταχυτέραν γενέσθαι τὴν διόρθωσιν, τοῦτο ποίησον ὃ λέγω· γράψον ἐπὶ τὸν τοῖχον τῆς οἰκίας σου, καὶ ἐπὶ τὸν τοῖχον τῆς καρδίας σου τὴν δρεπάνην τὴν πετομένην ἐκείνην, καὶ ταύτην ἐπὶ τῆς ἀρᾶς πέτεσθαι νόμιζε, καὶ συνεχῶς αὐτὴν ἀναλογίζου· κἂν ἕτερον ὀμνύοντα ἴδῃς, ἐπίσχες, κώλυσον, καὶ τῶν οἰκετῶν ἐπιμελήθητι τῶν σῶν. Ἂν γὰρ τοῦτο σκοπήσωμεν ὅπως μὴ μόνον αὐτοὶ κατορθώσαιμεν, ἀλλὰ καὶ ἑτέρους εἰς τοῦτο ἀνάγοιμεν, ταχέως αὐτοὶ πρὸς τὸ πέρας ἥξομεν. Οἱ γὰρ ἑτέρους παιδεύειν καταδεξάμενοι, ἐρυθριάσομεν καὶ αἰσχυνούμεθα, ἃ τοῖς ἄλλοις ἐπιτάττομεν, ταῦτα ἐλλιμπάνοντες αὐτοὶ φανῆναι. Οὐδὲ χρεία πλειόνων λόγων· πολλὰ γὰρ καὶ τὰ πρώην εἰρημένα, καὶ ταῦτα δὲ ὑπομνήσεως χάριν μόνης εἴρηται. Ὁ δὲ Θεός, ὁ μᾶλλον ἡμῶν τῶν ἡμετέρων φειδόμενος ψυχῶν, καὶ ἐν τούτῳ καὶ ἐν παντὶ καταρτίσειεν ἡμᾶς ἀγαθῷ, ἵνα πληρώσαντες πάντα καρπὸν δικαιοσύνης, καταξιωθῶμεν τῆς βασιλείας τῶν οὐρανῶν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, δι' οὗ καὶ μεθ' οὗ τῷ Πατρὶ ἡ δόξα ἅμα τῷ ἁγίῳ Πνεύματι εἰς τοὺς αἰῶνας τῶν αἰώνων· Ἀμήν.

---

19. Πρβλ. 5, 1-3.

συνηθείας τῆς κακῆς ἀπεκόπη καὶ ὑπολείπεται μικρὸν μέρος αὐτῆς, οὔτε κόπος ἀπαιτεῖται, ἀλλὰ μικρὰ προσοχὴ καὶ προσπάθεια ὀλίγον χρόνον ὥστε ἀφοῦ κατορθώσωμεν ἐμεῖς νὰ μὴ ὁρκιζώμεθα νὰ γίνωμεν διδάσκαλοι καὶ εἰς τοὺς ἄλλους καὶ μὲ παρρησίαν νὰ ἴδωμεν τὸ ἱερὸν Πάσχα, καὶ μὲ πολὺν εὐχαρίστησιν διπλασίαν καὶ τριπλασίαν ἀπὸ τὴν συνηθισμένην εὐφροσύνην νὰ ἀπολαύσωμεν. Διότι δὲν προξενεῖ τόσην εὐχαρίστησιν ἡ ἀπαλλαγὴ ἀπὸ τοὺς κόπους καὶ τοὺς ἱδρῶτας τῆς νηστείας, ὅσον τὸ νὰ ἔλθωμεν εἰς τὴν ἱερὰν ἐκείνην ἑορτὴν μὲ κατόρθωμα πνευματικὸν καὶ στέφανον, ὁ ὁποῖος δὲν μαραίνεται ποτέ.

Διὰ νὰ γίνῃ δὲ ταχυτέρα ἡ διόρθωσις κάμε αὐτὸ τὸ ὁποῖον σοῦ λέγω· ζωγράφισε εἰς τὸν τοῖχον τῆς οἰκίας σου καὶ εἰς τὰ τοιχώματα τῆς καρδίας σου τὸ δρεπάνι ἐκεῖνο ποὺ πετᾷ[19] καὶ νόμιζε ὅτι τοῦτο πετᾷ ἐπὶ τῆς κατάρας ποὺ προέρχεται ἀπὸ τοὺς ὅρκους, καὶ συνεχῶς αὐτὴν νὰ συλλογίζεσαι· καὶ ἂν ἄλλον ἰδῇς νὰ ὁρκίζεται, ἐμπόδισέ τον καὶ φρόντισε καὶ διὰ τοὺς ὑπηρέτας σου. Διότι ἂν ἀποβλέψωμεν ὄχι μόνον πῶς ἡμεῖς νὰ κατορθώσωμεν τοῦτο, ἀλλὰ καὶ ἄλλους νὰ φέρωμεν εἰς αὐτὸ τὸ σημεῖον, γρήγορα θὰ φθάσωμεν εἰς τὸ τέρμα. Διότι ἀφοῦ ἔχωμεν ἀναλάβει νὰ διορθώσωμεν ἄλλους, θὰ κοκκινίσωμεν καὶ θὰ ἐντραπῶμεν, ἐὰν φανῶμεν ὅτι παραλείπομεν αὐτὰ ποὺ εἰς τοὺς ἄλλους συνιστῶμεν νὰ κάμνουν. Δὲν χρειάζονται περισσότερα λόγια· διότι ὡμιλήσαμεν δι' αὐτὰ εἰς τὴν προηγουμένην ὁμιλίαν, καὶ αὐτὰ ἐλέχθησαν διὰ νὰ ὑπενθυμίσωμεν ἐκεῖνα. Ὁ δὲ Θεός, ὁ ὁποῖος φροντίζει περισσότερον ἀπὸ ἡμᾶς διὰ τὰς ψυχάς μας, εἴθε νὰ μᾶς κάμῃ τελείους καὶ εἰς τοῦτο καὶ εἰς κάθε ἄλλο ἀγαθὸν ἔργον, ὥστε ἀφοῦ παρουσιάσωμεν ὡς καρποὺς κάθε ἔργον ἀρετῆς νὰ ἀξιωθῶμεν τῆς βασιλείας τῶν οὐρανῶν, διὰ τῆς χάριτος καὶ φιλανθρωπίας τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, διὰ τοῦ ὁποίου καὶ μετὰ τοῦ ὁποίου εἰς τὸν Πατέρα καὶ συγχρόνως εἰς τὸ ἅγιον Πνεῦμα ἀνήκει ἡ δόξα εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ΟΜΙΛΙΑ ΔΕΚΑΤΗ

ΕΠΑΙΝΟΣ ΤΩΝ ΜΕΤΑ ΤΗΝ ΕΣΤΙΑΣΙΝ ΑΠΑΝΤΗΚΟΤΩΝ *εἰς τὴν ἀκρόασιν· καὶ φυσιολογία κόσμου· καὶ κατὰ τῶν θεοποιούντων τὴν κτίσιν· καὶ περὶ τοῦ μὴ ὀμνύειν.*

1. Χαίρω καὶ συγχαίρω πᾶσιν ὑμῖν, ὅτι τὴν παραίνεσιν ἡμῶν, ἣν ὑπὲρ τῶν μὴ νηστευόντων καὶ διὰ τοῦτο ἀπολιμπανομένων ἐποιησάμεθα πρῴην, εἰς ἔργον ὑμεῖς ἐξηνέγκατε. Καὶ γὰρ πολλοὺς οἶμαι τῶν ἠριστηκότων παρεῖναι τήμερον, καὶ τὸν καλὸν ἡμῖν σύλλογον τοῦτον πληροῦν· καὶ τοῦτο στοχάζομαι ἐκ τοῦ λαμπρότερον ἡμῖν τὸ θέατρον γενέσθαι, καὶ πλείω τῶν ἀκροωμένων τὴν σύνοδον. Οὐ μάτην, ὡς ἔοικε, τοὺς πολλοὺς περὶ αὐτῶν πρῴην ἀνηλώσαμεν λόγους τὴν ὑμετέραν ἀγάπην παρακαλοῦντες ἕλκειν πρὸς τὴν μητέρα αὐτούς, καὶ πείθειν ὡς ἔξεστι καὶ μετὰ τροφὴν σωματικὴν καὶ τροφῆς μετασχεῖν πνευματικῆς.

Πότε γάρ, εἰπέ μοι, βέλτιον πεποιήκατε ἀγαπητοί; Τῇ παρελθούσῃ συνάξει, ὅτε μετὰ τὴν τράπεζαν ἐπὶ ὕπνον ἐτρέπεσθε, ἢ νῦν, ὅτε μετὰ τὴν τράπεζαν πρὸς τὴν ἀκρόασιν τῶν θείων ἀπηντήκατε νόμων; ὅτε ἐπὶ τῆς ἀγορᾶς διετρίβετε, καὶ συνεδρίων μετείχετε οὐδὲν ἐχόντων χρηστόν, ἢ νῦν, ὅτε μετὰ τῶν ἀδελφῶν ἑστήκατε τῶν ὑμετέρων, καὶ προφητικῶν ἀκούετε λόγων; Οὐκ ἔστιν αἰσχύνη τὸ φαγεῖν, ἀγαπητοί, ἀλλὰ τί; Τὸ φαγόντα μένειν οἴκοι καὶ ὑ-

ΟΜΙΛΙΑ ΔΕΚΑΤΗ

ΕΠΑΙΝΟΣ ΠΡΟΣ ΕΚΕΙΝΟΥΣ ΠΟΥ ΗΛΘΟΝ

διὰ νὰ ἀκούσουν τὸ κήρυγμα μετὰ τὸ φαγητόν· καὶ φυσιολογία τοῦ κόσμου· καὶ ἐναντίον ἐκείνων οἱ ὁποῖοι θεοποιοῦν τὴν κτίσιν· καὶ περὶ τοῦ νὰ μὴ ὁρκιζώμεθα.

1. Χαίρομαι καὶ σᾶς συγχαίρω ὅλους διότι τὴν συμβουλήν μου, τὴν ὁποίαν σᾶς ἔδωκα εἰς τὴν προηγουμένην ὁμιλίαν, δι' ἐκείνους ποὺ δὲν νηστεύουν, καὶ διὰ τοῦτο δὲν ἔρχονται ἐδῶ, ἐπειδὴ ἔχουν φάγει, τὴν ἐφαρμόσατε. Διότι νομίζω ὅτι πολλοὶ ἀπὸ ἐκείνους ποὺ ἔφαγον εἶναι σήμερον παρόντες καὶ συμπληρώνουν τὴν καλὴν αὐτὴν συγκέντρωσίν μας· καὶ συμπεραίνω τοῦτο ἀπὸ τὸ γεγονὸς ὅτι τὸ θέαμα ποὺ παρουσιάζομεν εἶναι λαμπρότερον καὶ ἡ συγκέντρωσις τῶν ἀκροατῶν μεγάλη. Καθὼς φαίνεται δὲν ἐπῆγαν χαμένοι οἱ λόγοι τοὺς ὁποίους προηγουμένως εἴπομεν, μὲ τοὺς ὁποίους παρακαλούσαμεν τὴν ἀγάπην σας νὰ φέρετε αὐτοὺς πρὸς τὴν μητέρα ἐκκλησίαν καὶ τοὺς πείσετε ὅτι ἐπιτρέπετε ὕστερα ἀπὸ τὴν τροφὴν τὴν σωματικὴν νὰ λάβουν μέρος καὶ εἰς τὴν πνευματικήν.

Διότι πότε, ἀγαπητοί μου, εἴπατέ μου, ἐκάματε καλύτερα; Κατὰ τὴν προηγουμένην σύναξιν, ὁπότε μετὰ τὸ φαγητὸν ἐπηγαίνατε νὰ κοιμηθῆτε, ἢ τώρα, ὁπότε μετὰ τὴν τράπεζαν ἤλθατε νὰ ἀκούσετε τοὺς θείους νόμους; Τότε ποὺ διεμένατε εἰς τὴν ἀγορὰν καὶ ἐλαμβάνατε μέρος εἰς συνέδρια ἀνώφελα, ἢ τώρα ποὺ στέκεσθε μὲ τοὺς ἀδελφούς σας καὶ ἀκοῦτε τοὺς προφητικοὺς λόγους; Δὲν εἶναι ἐντροπὴ νὰ φάγῃ κανείς, ἀγαπητοί, ἀλλὰ τί; Τὸ νὰ μένῃ εἰς τὸ σπίτι, ὅταν φάγῃ καὶ νὰ μὴ ἔρχεται εἰς τὴν ἱερὰν αὐτὴν ἑορτήν.

στερεῖν τῆς ἱερᾶς ταύτης ἑορτῆς. Οἴκοι μὲν γὰρ μένων ἀργότερος ἔσῃ καὶ νωθέστερος, ἐνταῦθα δὲ ἐλθὼν πάντα ὕπνον καὶ πᾶσαν ῥᾳθυμίαν ἀποτινάξεις· οὐ ῥᾳθυμίαν δὲ μόνον, ἀλλὰ καὶ ἀθυμίαν ἅπασαν ἀποθέμενος, ῥάων καὶ εὐθυμότερος ἐν ἅπασιν ἔσῃ τοῖς συμπίπτουσι πράγμασι.

Καὶ τί χρὴ τὰ ἄλλα λέγειν; Στῆθι μόνον ἐγγὺς τοῦ νηστεύοντος καὶ μετέλαβες αὐτοῦ εὐθέως τῆς εὐωδίας· μύρον γάρ ἐστιν ὁ νηστεύων πνευματικόν, καὶ διὰ τῶν ὀφθαλμῶν, καὶ διὰ τῆς γλώττης, καὶ διὰ πάντων ἐμφαίνων τὴν τῆς ψυχῆς εὐταξίαν. Ταῦτα οὐχὶ κατηγορῶν τῶν ἠριστηκότων εἶπον, ἀλλ' ἵνα δείξω τῆς νηστείας τὸ κέρδος. Νηστείαν δὲ οὐ τὴν ἀποχὴν λέγω τῶν βρωμάτων μόνον, ἀλλὰ καὶ πρὸ ταύτης τὴν ἁμαρτημάτων ἀποχήν· ἐπεὶ καὶ ὁ ἑστιασθείς, καὶ ἐνταῦθα μετὰ τῆς προσηκούσης παραγενόμενος σωφροσύνης, οὐ πολὺ τοῦ νηστεύοντος ἀπολιμπάνεται, ὥσπερ οὖν ὁ νηστεύσας καὶ μὴ μετὰ σπουδῆς καὶ ἀκριβείας τοῖς λεγομένοις προσέχων, οὐδὲν ἀπὸ τῆς νηστείας καρπώσεται μέγα. Ὁ γὰρ ἐσθίων καὶ συνάξεως ἁγίας κοινωνῶν μετὰ τῆς προσηκούσης σπουδῆς τοῦ μηδὲν ἐσθίοντος καὶ ἀπολιμπανομένου πολὺ βελτίων ἐστίν. Οὐδὲν γὰρ τοιοῦτο τὸ μὴ φαγεῖν ἡμᾶς ὠφελῆσαι δυνήσεται, ὅσα ὠφελεῖ καὶ δίδωσιν ἀγαθὰ τὸ πνευματικῆς μετασχεῖν διδασκαλίας.

Ποῦ γὰρ ἑτέρωθι ταῦτα ἀκούσῃ ἅπερ ἐνταῦθα φιλοσοφεῖς; Ἂν εἰς δικαστήριον ἀπέλθῃς, ἀμφισβητήσεις ἐκεῖ καὶ μάχαι· ἂν εἰς βουλευτήριον ἢ τῶν πολιτικῶν πραγμάτων φροντίς· ἂν εἰς οἰκίαν, τῶν ἰδιωτικῶν ἡ μέριμνα κατατρύχει πάντοθεν· ἂν εἰς συλλόγους καὶ συνέδρια τῆς ἀγορᾶς, πάντα ἐκεῖ γήϊνα καὶ φθαρτά. Ἢ γὰρ περὶ τῶν ὠνίων, ἢ περὶ τῶν εἰσφορῶν, ἢ περὶ τραπέζης πολυτελοῦς,

Διότι παραμένων εἰς τὸ σπίτι θὰ γίνῃς περισσότερον τεμπέλης καὶ νωθρός, ἐνῷ ἂν ἔλθῃς ἐδῶ θὰ ἀποτινάξῃς κάθε ὕπνον καὶ κάθε ἀμέλειαν· καὶ ὄχι μόνον δὲ τὴν ἀμέλειαν, ἀλλὰ καὶ τὴν λύπην ὅλην θὰ ἀποβάλῃς καὶ θὰ εἶσαι εὔκολος καὶ χαρούμενος εἰς ὅλα ὅσα θὰ σοῦ συμβοῦν.

Καὶ διατί πρέπει νὰ ἀναφέρωμεν τὰ ἄλλα; Στάσου μόνον πλησίον τοῦ νηστεύοντος καὶ ἀμέσως μεταλαμβάνεις ἀπὸ τὴν εὐωδίαν του· διότι αὐτὸς ποὺ νηστεύει εἶναι μύρον πνευματικὸν καὶ διὰ τῶν ὀφθαλμῶν καὶ διὰ τῆς γλώσσης καὶ δι' ὅλων φανερώνει τὴν εὐταξίαν τῆς ψυχῆς του. Αὐτὰ τὰ εἶπα ὄχι διὰ νὰ κατηγορήσω αὐτοὺς ποὺ ἔφαγαν, ἀλλὰ διὰ νὰ δείξω τὸ κέρδος τῆς νηστείας. Καὶ ὅταν λέγω νηστείαν δὲν ἐννοῶ τὴν ἀποχὴν μόνον ἀπὸ τὰ φαγητά, ἀλλὰ περισσότερον ἀπὸ αὐτὴν τὴν ἀποχὴν ἀπὸ τὰ ἁμαρτήματα· διότι καὶ ἐκεῖνος ποὺ ἔφαγε καὶ ἦλθεν ἐδῶ μὲ τὴν πρέπουσαν σωφροσύνην, δὲν ὑστερεῖ πολὺ ἀπὸ ἐκεῖνον ποὺ νηστεύει, ὅπως πάλιν ἐκεῖνος ποὺ νηστεύει καὶ δὲν προσέχει μὲ προθυμίαν εἰς τὰ λεγόμενα, οὐδεμίαν ὠφέλειαν μεγάλην θὰ καρπωθῇ ἀπὸ τὴν νηστείαν. Διότι ἐκεῖνος ποὺ ἔφαγε καὶ ἔλαβε μέρος εἰς τὴν ἁγίαν συγκέντρωσιν μὲ τὴν πρέπουσαν προθυμίαν, εἶναι πολὺ καλύτερος ἀπὸ ἐκεῖνον ποὺ δὲν ἔφαγε καὶ δὲν μετέχει εἰς αὐτήν. Διότι τὸ νὰ μὴ φάγωμεν εἰς τίποτε περισσότερον δὲν θὰ μᾶς ὠφελήσῃ, ἀπὸ ὅσα ἀγαθὰ δίδει καὶ ὠφελεῖ τὸ νὰ μετάσχωμεν εἰς πνευματικὴν διδασκαλίαν.

Ποῦ ἀλλοῦ θὰ ἀκούσῃς αὐτὰ διὰ τὰ ὁποῖα ἐδῶ φιλοσοφεῖς; Ἂν μεταβῇς εἰς δικαστήριον, θὰ διαπιστώσῃς ὅτι ὑπάρχουν ἐκεῖ φιλονεικίαι καὶ διαμάχαι· ἂν θὰ ὑπάγῃς εἰς τὸ βουλευτήριον, ἐκεῖ θὰ ἰδῇς νὰ ὑπάρχῃ ἡ φροντίδα διὰ τὰ πολιτικὰ πράγματα· ἂν εἰς οἰκίαν, ἐκεῖ βασανίζει ἀπὸ παντοῦ ἡ μέριμνα διὰ τὰ ἰδιωτικὰ πράγματα· ἂν πάλιν μεταβῇς εἰς τὰς διαφόρους συγκεντρώσεις καὶ τὰ συνέδρια τῆς ἀγορᾶς, ἐκεῖ ὅλα εἶναι γήινα καὶ φθαρτά. Διότι ἢ περὶ τῶν τροφῶν ἢ περὶ τῶν εἰσφορῶν, ἢ περὶ πολυτελοῦς τραπέζης ἢ

ἢ περὶ χωρίων πράσεως, ἢ περὶ συμβολαίων ἑτέρων, ἢ περὶ διαθηκῶν, ἢ περὶ κληρονομιῶν, ἢ περὶ ἑτέρων τινῶν τοιούτων ἅπαντες τοῖς ἐκεῖ συλλεγομένοις οἱ λόγοι γίνονται.

Κἂν εἰς αὐτὰς δὲ εἰσέλθῃς τὰς βασιλικὰς αὐλάς, καὶ ἐκεῖ πάλιν τὰ αὐτὰ ἀκούσῃ διαλεγομένων ἁπάντων περὶ χρημάτων, περὶ δυναστείας, περὶ δόξης τῆς ἐνταῦθα τιμωμένης, πνευματικὸν δὲ οὐδέν· ἐνταῦθα δὲ τοὐναντίον ἅπαν, περὶ τοῦ οὐρανοῦ καὶ τῶν ἐν οὐρανῷ πραγμάτων, περὶ ψυχῆς, περὶ ζωῆς τῆς ἡμετέρας, καὶ τίνος ἕνεκεν γεγόναμεν, καὶ διὰ τί τοσοῦτον διατρίβομεν ἐνταῦθα χρόνον, καὶ ἐπὶ τίσιν ἀποδημοῦμεν ἐντεῦθεν, καὶ τί μετὰ ταῦτα ἡμᾶς διαδέξεται, καὶ τίνος ἕνεκεν τὸ σῶμα ἡμῖν πήλινον, καὶ τίς ἡ τοῦ θανάτου φύσις, καὶ τί ποτέ ἐστιν ἡ παροῦσα ζωή, καὶ τίς ἡ μέλλουσα, καὶ οὐδὲν ἁπλῶς γήϊνον, ἀλλὰ πάντες περὶ πνευματικῶν ἡμῖν οἱ λόγοι γίνονται· καὶ μεγάλα τῆς σωτηρίας ἡμῶν λαβόντες ἐφόδια, οὕτως ἐντεῦθεν ἀπελευσόμεθα μετὰ χρηστῆς τῆς ἐλπίδος.

2. Ἐπεὶ οὖν οὐκ εἰκῇ τὰ σπέρματα κατεβάλομεν, ἀλλ᾿ ὥσπερ ὑμᾶς παρεκάλεσα, πάντας ἐθηρεύσατε τοὺς ἀπολειφθέντας ὑμῶν, φέρε καὶ ἡμεῖς ὑμᾶς ἀμειψώμεθα, καὶ μικρὰ τῶν πρότερον εἰρημένων ὑμᾶς ἀναμνήσαντες, τὰ λειπόμενα ἀποδῶμεν πάλιν. Τίνα οὖν ἦν τὰ πρῴην εἰρημένα; Ἐζητοῦμεν πῶς καὶ τίνι τρόπῳ πρὸ τῆς τῶν Γραφῶν δόσεως τὰ καθ᾿ ἡμᾶς ᾠκονόμησεν ὁ Θεός, καὶ ἐλέγομεν ὅτι διὰ τῆς κτίσεως ἐπαίδευσεν ἡμῶν τὸ γένος, οὐρανὸν ἐκτείνας καὶ εἰς τὸ μέσον προθείς, βιβλίον μέγιστον καὶ ἰδιώταις, καὶ σοφοῖς, καὶ πένησι, καὶ πλουσίοις, καὶ Σκύθαις, καὶ βαρβάροις, καὶ πᾶσιν ἁπλῶς τοῖς τὴν γῆν οἰκοῦσι χρήσιμον, πολὺ μεῖζον τοῦ πλήθους τῶν διδασκομένων ὄν.

Πολλὰ καὶ περὶ νυκτὸς καὶ ἡμέρας, καὶ τῆς τούτων εὐταξίας, καὶ τοῦ ῥυθμοῦ τοῦ μετὰ ἀκριβείας ὑπ᾿ αὐτῶν φυ-

περὶ πωλήσεως ἐκτάσεων ἢ περὶ συμβολαίων ἄλλων ἢ περὶ διαθηκῶν, ἢ περὶ κληρονομιῶν, ἢ περὶ ἄλλων παρομοίων πραγμάτων συζητοῦν ὅλοι οἱ ἐκεῖ συγκεντρωνόμενοι.

Καὶ ἂν εἰσέλθῃς εἰς αὐτὰς τὰς βασιλικὰς αὐλάς, καὶ ἐκεῖ πάλιν θὰ ἀκούσῃς νὰ συζητοῦν περὶ χρημάτων, περὶ δυναστείας, περὶ δόξης ποὺ τιμᾶται ἐδῶ εἰς τὴν γῆν, καὶ διὰ τίποτε τὸ πνευματικόν· ἐδῶ ὅμως συμβαίνει ἐντελῶς τὸ ἀντίθετον, περὶ τοῦ οὐρανοῦ καὶ τῶν οὐρανίων πραγμάτων, περὶ ψυχῆς, περὶ ζωῆς τῆς ἰδικῆς μας, καὶ διατί ἔχομεν δημιουργηθῆ, καὶ διατί μένομεν ἐδῶ τόσον χρόνον, καὶ διατί φεύγομεν ἀπὸ ἐδῶ, καὶ τί θὰ μᾶς διαδεχθῇ μετὰ ταῦτα, καὶ διὰ ποῖον λόγον τὸ σῶμα μας εἶναι ἀπὸ πηλόν, καὶ ποία ἡ φύσις τοῦ θανάτου, καὶ τί ἆρά γε εἶναι ἡ παροῦσα ζωὴ καὶ ποία ἡ μέλλουσα, καὶ δὲν συζητοῦμεν τίποτε τὸ γήινον, ἀλλὰ ὅλα ὅσα λέγονται ἐδῶ εἶναι πνευματικά· καὶ ἀφοῦ λάβωμεν μεγάλα ἐφόδια διὰ τὴν σωτηρίαν μας, ἔπειτα φεύγομεν ἀπὸ ἐδῶ μὲ καλὰς ἐλπίδας.

2. Ἐπειδὴ λοιπὸν δὲν κατεβάλομεν τοὺς σπόρους ματαίως, ἀλλὰ ὅπως σᾶς παρεκάλεσα, ἐφέρατε ἐδῶ ὅλους ὅσους ἀπὸ σᾶς εἶχαν ἀπουσιάσει, ἐμπρὸς λοιπὸν καὶ ἡμεῖς ἂς σᾶς ἀνταμείψωμεν τώρα, καὶ ἀφοῦ σᾶς ὑπενθυμίσωμεν ὀλίγα ἀπὸ ἐκεῖνα ποὺ προηγουμένως εἴπομεν, νὰ σᾶς ἀποδώσωμεν τὰ ὑπόλοιπα πάλιν. Ποῖα λοιπὸν ἦσαν ἐκεῖνα ποὺ ἐλέχθησαν προηγουμένως. Ἐζητούσαμεν νὰ μάθωμεν πῶς καὶ μὲ ποῖον τρόπον, πρὶν δοθοῦν αἱ Γραφαί, οἰκονόμησεν αὐτὰ ποὺ ἀφοροῦν ἡμᾶς ὁ Θεός, καὶ ἐλέγομεν ὅτι διὰ τῆς κτίσεως ἐπαιδαγώγησε τὸ γένος ἡμῶν, ἐκτείνας τὸν οὐρανὸν καὶ θέσας αὐτὸν εἰς τὸ μέσον, ὡς μέγιστον βιβλίον καὶ εἰς τοὺς σοφούς, καὶ εἰς τοὺς ἁπλοϊκούς, καὶ εἰς τοὺς πτωχούς, καὶ εἰς τοὺς πλουσίους, καὶ εἰς τοὺς Σκύθας, καὶ εἰς τοὺς βαρβάρους, καὶ εἰς ὅλους γενικῶς ποὺ κατοικοῦν εἰς τὴν γῆν χρήσιμον βιβλίον, ἀνώτερον ἀπὸ ὅλα ὅσα διδάσκονται.

Πολλὰ καὶ περὶ τῆς νυκτὸς καὶ τῆς ἡμέρας εἴπομεν καὶ περὶ τῆς εὐταξίας αὐτῶν, καὶ τοῦ ρυθμοῦ τὸν ὁποῖον δια-

λαττομένου διελέχθημεν· πολλὰ καὶ περὶ τοῦ χοροῦ τῶν ὡρῶν τοῦ ἔτους, καὶ τῆς τούτων ἰσότητος. Καθάπερ γὰρ ἡ ἡμέρα τῆς νυκτὸς οὐδὲ ἡμιώριον πλεονεκτεῖ, κατὰ πάντα τὸν ἐνιαυτόν· οὕτω καὶ αὗται πρὸς ἀλλήλας ἐξ ἴσης τὰς ἡμέρας διενείμαντο πάσας. Ἀλλ' ὅπερ καὶ ἔμπροσθεν ἔλεγον, ὅτι οὐ τὸ μέγεθος καὶ τὸ κάλλος τῆς κτίσεως δείκνυσι τὸν δημιουργὸν μόνον, ἀλλὰ καὶ ὁ τρόπος αὐτὸς τῆς συμπήξεως, καὶ τὸ ὑπὲρ φύσεως ἀκολουθίαν εἶναι τῆς δημιουργίας τὸν τρόπον. Φύσεως μὲν γὰρ ἀκολουθία ἦν, τὸ ὕδωρ ὑπὲρ τὴν γῆν φέρεσθαι· νῦν δὲ τοὐναντίον ὁρῶμεν, τὴν γῆν ὑπὸ τῶν ὑδάτων βασταζομένην. Φύσεως ἦν ἀκολουθία, τὸ πῦρ ἄνω τρέχειν· νῦν δὲ τὸ ἐναντίον βλέπομεν κάτω πρὸς τὴν γῆν τετραμμένας τοῦ ἡλίου τὰς ἀκτῖνας, καὶ τὰ ὕδατα, ὑπεράνω τῶν οὐρανῶν ὄντα, καὶ οὐ διολισθαίνοντα, καὶ τὸν ἥλιον κάτωθεν τρέχοντα, καὶ οὐδὲ σβεννύμενον ὑπὸ τῶν ὑδάτων, οὔτε ἀφανίζοντα τὴν νοτίδα ἐκείνην. Πρὸς τούτοις εἰρήκαμεν ὅτι ἐκ τεττάρων στοιχείων τόδε τὸ πᾶν συνέστηκεν ἐναντίων ἀλλήλοις καὶ μαχομένων, καὶ θάτερον τὸ ἕτερον οὐ κατηνάλωσε, καίτοι γε ἀλλήλων ὄντα ἀναλωτικά. Ὅθεν δῆλον ὅτι δύναμίς τις ἀόρατος αὐτὰ χαλινοῖ, καὶ δεσμὸς γίνεται ἡ τοῦ Θεοῦ βούλησις.

Τούτῳ πλέον ἐνδιατρίψαι σήμερον βούλομαι τῷ λόγῳ ἀλλὰ διανάστητε, καὶ προσέχετε μετ' ἀκριβείας ἡμῖν. Ὥστε δὲ σαφέστερον γενέσθαι τὸ θαῦμα, ἀπὸ τοῦ σώματος τοῦ ἡμετέρου τὴν διδασκαλίαν τὴν περὶ τούτων ποιήσομαι. Καὶ γὰρ τὸ σῶμα τὸ ἡμέτερον τὸ βραχὺ τοῦτο καὶ μικρὸν ἐκ τεττάρων συνέστηκε στοιχείων, θερμοῦ μὲν τοῦ αἵματος, ξηροῦ δὲ τῆς χολῆς τῆς ξανθῆς· καὶ ὑγροῦ μὲν τοῦ φλέγματος, ψυχροῦ δὲ τῆς μελαίνης χολῆς. Καὶ μή τις ἀλλότριον ἡμῶν εἶναι νομιζέτω τοῦτον τὸν λόγον· «Ὁ γὰρ πνευ-

φυλάττουν με μεγάλην ἀκρίβειαν· πολλὰ καὶ περὶ τοῦ χοροῦ τῶν ὡρῶν τοῦ ἔτους καὶ τῆς ἰσότητος ἐκείνων. Διότι ὅπως ἡ ἡμέρα δὲν ὑπερέχει ἀπὸ τὴν νύκτα οὔτε κατὰ μισὴν ὥραν, καθ' ὅλην τὴν διάρκειαν τοῦ ἔτους· ἔτσι καὶ αὐταὶ ἐμοίρασαν μεταξύ των ὅλας τὰς ἡμέρας κατὰ ἴσα μέρη. Ἀλλὰ ὅπως ἔλεγον καὶ προηγουμένως, ὅτι δηλαδὴ δὲν φανερώνει τὸν δημιουργὸν μόνον τὸ μέγεθος καὶ τὸ κάλλος τῆς κτίσεως, ἀλλὰ καὶ ὁ τρόπος τῆς συγκροτήσεως αὐτῆς, καὶ τὸ ὅτι ἔγινε παρὰ τοὺς ἰσχύοντας φυσικοὺς νόμους. Διότι φυσικὸς νόμος εἶναι τὸ νερὸ νὰ φέρεται ἐπάνω εἰς τὴν γῆν· τώρα ὅμως βλέπομεν τὸ ἀντίθετον, δηλαδὴ ἡ γῆ νὰ βαστάζεται ὑπὸ τῶν ὑδάτων. Εἶναι φυσικὸς νόμος ἡ φωτιὰ νὰ κατευθύνεται πρὸς τὰ ἐπάνω· τώρα ὅμως βλέπομεν τὸ ἀντίθετον νὰ γίνεται, δηλαδὴ αἱ ἀκτῖνες τοῦ ἡλίου νὰ ἔχουν στραφῆ πρὸς τὰ κάτω, καὶ τὰ ὕδατα, ἐνῷ εὑρίσκονται ὑπεράνω τῶν οὐρανῶν, δὲν τρέχουν πρὸς τὰ κάτω, καὶ ὁ ἥλιος ἐνῷ διατρέχει τὴν τροχιάν του κάτω ἀπὸ αὐτά, οὔτε σβήνεται ἀπὸ τὰ ὕδατα, οὔτε ἐξαφανίζει τὴν δρόσον ἐκείνην. Ἐπὶ πλέον εἴπομεν ὅτι ἐκ τεσσάρων στοιχείων, ποὺ εἶναι ἀντίθετα μεταξύ των καὶ μάχονται, ἐδημιούργησε τὸ σύμπαν ὅλον, καὶ ἐνῷ εἶναι ἀντίθετα δὲν ἐξόντωσε τὸ ἕνα τὸ ἄλλο, ἂν καὶ εἶναι τὸ ἕνα διὰ τὸ ἄλλο καταστρεπτικό. Ὅθεν εἶναι φανερὸν ὅτι κάποια δύναμις ἀόρατος περιορίζει τὴν καταστρεπτικήν των ἰδιότητα, καὶ γίνεται σύνδεσμος μεταξύ των ἡ θέλησις τοῦ Θεοῦ.

Εἰς αὐτὸ τὸ σημεῖον τοῦ λόγου θέλω σήμερον νὰ ἐπιμείνω· ὅμως συγκεντρώσατε τὴν προσοχήν σας καὶ προσέχετε μὲ μεγάλην προσοχήν. Καὶ διὰ νὰ γίνῃ σαφέστερον τὸ θαῦμα, ἀπὸ τὸ σῶμα τὸ ἰδικόν μας θὰ κάμω τὴν διδασκαλίαν. Διότι καὶ τὸ σῶμα τὸ ἰδικόν μας τὸ μικρὸν καὶ βραχύ, ἀποτελεῖται ἀπὸ τέσσαρα στοιχεῖα, ἀπὸ τὸ θερμὸν αἷμα, ἀπὸ τὴν ξανθὴν χολὴν ποὺ εἶναι ξηρά, ἀπὸ τὸ φλέγμα ποὺ εἶναι ὑγρόν, καὶ ἀπὸ τὴν μαύρην χολὴν ποὺ εἶναι ψυχρὸν στοιχεῖον. Καὶ ἂς μὴ νομίσῃ κανεὶς ὅτι ὁ λόγος αὐτὸς εἶναι ξένος πρὸς τὴν ἐργασίαν μας· «διότι ὁ πνευματικὸς ἄνθρωπος

ματικὸς ἀνακρίνει μὲν τὰ πάντα, αὐτὸς δὲ ὑπ' οὐδενὸς ἀνακρίνεται». Οὕτω καὶ ὁ Παῦλος γεωργικῶν ἥψατο θεωρημάτων περὶ ἀναστάσεως ἡμῖν διαλεγόμενος, καί φησιν· «Ἄφρον, σὺ ὃ σπείρεις οὐ ζωοποιεῖται, ἐὰν μὴ ἀποθάνῃ». Εἰ δὲ ὁ μακάριος ἐκεῖνος τοὺς τῆς γεωργίας ἐκίνει λόγους, οὐδὲ ἡμῖν μέμψοιτό τις ἰατρικῶν ἁπτομένοις νοημάτων· περὶ γὰρ δημιουργίας Θεοῦ νῦν ἡμῖν ὁ λόγος· καὶ ἀναγκαία γένοιτ' ἂν ἡμῖν αὕτη τῶν νοημάτων ἡ ὑπόθεσις.

Ὅπερ οὖν ἔφθην εἰπών, ἐκ τεττάρων ἡμῖν στοιχείων τοῦτο τὸ σῶμα συνέστηκε, κἂν τὸ ἕτερον στασιάσῃ μέχρι παντός, θάνατος ἀπὸ τῆς στάσεως γίνεται ταύτης· οἷον τῆς χολῆς πλεοναζούσης τίκτεται πυρετός κἂν ἐπικρατήσῃ πέρα τοῦ μέτρου ταχίστην ἐπάγει τὴν τελευτήν· πάλιν τοῦ ψυχροῦ πλεονάζοντος παρέσεις, καὶ τρόμοι, καὶ ἀποπληξίαι, καὶ μυρία ἕτερα νοσήματα τίκτεται· καὶ ὅλως ἑκάστη νοσημάτων ἰδέα ἀπὸ τῆς πλεονεξίας τῶν στοιχείων γίνεται τούτων, ὅταν τὸ ἕτερον τοὺς οἰκείους ὑπερβὰν ὅρους καὶ τῶν λοιπῶν τυραννῇ, καὶ τὴν συμμετρίαν λυμήνηται πᾶσαν.

Ἐρώτησον τοίνυν τὸν λέγοντα αὐτόματα εἶναι τὰ πάντα, καὶ ἀφ' ἑαυτῶν συνεστάναι. Εἰς τὸ βραχὺ τοῦτο σῶμα καὶ μικρόν, καὶ φαρμάκων ἀπολαῦον καὶ ἰατρικῆς ἐπιστήμης, καὶ τῆς διοικούσης αὐτὸ ψυχῆς ἔνδον, καὶ φιλοσοφίας πολλῆς, καὶ μυρίων ἑτέρων βοηθημάτων, οὐκ ἰσχύει διαπαντὸς ἐν εὐταξίᾳ μένειν, ἀλλ' ἀπόλλυται καὶ διαφθείρεται πολλάκις ἐν αὐτῷ ταραχῆς γενομένης· πῶς ἂν ὁ τοσοῦτος κόσμος τοσούτους ὄγκους σωμάτων ἔχων, καὶ ἐκ τῶν αὐτῶν συγκείμενος στοιχείων, εἰ μὴ πολλῆς ἀπήλαυσε προνοίας, ἔμεινεν ἂν ἐπὶ τοσοῦτον χρόνον ἀτάραχος; Οὐδὲ γὰρ ἂν ἔχοι λόγον, τὸ μὲν προνοίας ἀπαλαῦον ἡμῶν σῶμα καὶ

1. Α' Κορ. 2, 15.
2. Α' Κορ. 15, 36.

κατανοεῖ καὶ διακρίνει ὅλα, αὐτὸς ὅμως ἀπὸ κανένα μὴ πνευματικὸν δὲν κατανοεῖται»[1]. Ἔτσι καὶ ὁ Παῦλος ἐχρησιμοποίησε γεωργικὰς γνώσεις ὁμιλῶν πρὸς ἡμᾶς περὶ ἀναστάσεως καὶ λέγει· «ἀνόητε, ἐκεῖνο ποὺ σπέρνεις δὲν ζωοποιεῖται, ἐὰν δὲν ἀποθάνῃ»[2]. Ἐὰν δὲ ὁ μακάριος μετεχειρίζετο τοὺς λόγους τῆς γεωργίας, δὲν ἠμπορεῖ κανεὶς νὰ κατηγορήσῃ οὔτε ἡμᾶς ποὺ εἰσερχόμεθα εἰς τὰ πεδία τῆς ἰατρικῆς· διότι ὁ λόγος τώρα ἀναφέρεται εἰς τὴν δημιουργίαν τοῦ κόσμου ὑπὸ τοῦ Θεοῦ καὶ εἶναι ἀνάγκη νὰ χρησιμοποιήσωμεν τέτοια παραδείγματα.

Ἐκεῖνο ποὺ εἶπα προηγουμένως, ὅτι δηλαδὴ τὸ σῶμα τὸ ἰδικόν μας ἀποτελεῖται ἀπὸ τέσσαρα στοιχεῖα, καὶ ἂν τὸ ἕνα ἐξεγερθῇ ἐναντίον τοῦ ἄλλου, θάνατος προέρχεται ἀπὸ τὴν στάσιν αὐτήν· παραδείγματος χάριν, ὅταν πλεονάζῃ ἡ χολὴ γεννᾶται πυρετός, καὶ ἂν πλεονάσῃ πολὺ ἐπιφέρει γρήγορα τὸν θάνατον· πάλιν ἐὰν πλεονάσῃ τὸ ψυχρὸν στοιχεῖον παραλύσεις, τρόμοι καὶ ἀποπληξίαι καὶ ἀναρίθμητα ἄλλα νοσήματα γεννῶνται· καὶ γενικῶς κάθε νόσημα προέρχεται ἀπὸ τὸν πλεονασμὸν τῶν στοιχείων τούτων, ὅταν τὸ ἕνα περάσῃ τὰ ὅριά του καὶ ἐπιβληθῇ εἰς τὰ ἄλλα καὶ καταστρέψῃ τὴν μεταξύ των συνεργασίαν.

Ἐρώτησε λοιπὸν ἐκεῖνον ποὺ λέγει ὅτι ὅλα ἔγιναν μόνα τους καὶ διατηροῦνται μόνα τους. Ἐὰν τὸ βραχὺ καὶ μικρὸν τοῦτο σῶμα, τὸ ὁποῖον ἔχει τὴν συνδρομὴν τῶν φαρμάκων καὶ τὴν βοήθειαν τῶν ἰατρῶν καὶ τῆς ψυχῆς ποὺ τὸ διοικεῖ ἀπὸ μέσα, καὶ τῆς φιλοσοφικῆς σκέψεως, καὶ ἀναριθμήτων ἄλλων βοηθημάτων, δὲν ἠμπορεῖ νὰ μένῃ διαρκῶς εἰς εὐταξίαν, ἀλλὰ χάνεται καὶ διαφθείρεται, ὅταν γίνῃ πολλάκις ἐντὸς αὐτοῦ κάποια ἀναταραχή, πῶς εἶναι δυνατόν, ὁ τόσον μεγάλος κόσμος καὶ ὁ ὁποῖος ἔχει τόσους ὄγκους σωμάτων, καὶ ὁ ὁποῖος ἀποτελεῖται ἀπὸ τὰ ἴδια μὲ τὸ σῶμα στοιχεῖα νὰ μείνῃ ἐπὶ τόσα χρόνια ἀτάραχος, ἐὰν δὲν εἶχε τὴν πρόνοιαν τοῦ Θεοῦ; Διότι θὰ ἦτο παράλογον τὸ μὲν σῶμα μας ποὺ ἀπολαμβάνει καὶ τῆς ἐσωτερικῆς καὶ τῆς ἐξω-

τῆς ἔξωθεν καὶ τῆς ἔνδοθεν, μόλις διαρκεῖν πρὸς τὴν αὐτοῦ σύστασιν· τὸν δὲ τοσοῦτον κόσμον μηδεμιᾶς ἀπολαύοντα προνοίας, ἐπὶ τοσαῦτα ἔτη μηδὲν τοιοῦτον παθεῖν, οἷον τὸ σῶμα τὸ ἡμέτερον.

Πῶς γὰρ οὐδὲ ἓν τῶν στοιχείων τούτων, εἰπέ μοι, τοὺς οἰκείους ὑπερέβη ὅρους, καὶ τὰ λοιπὰ κατηνάλωσεν ἅπαντα; Τίς δὲ αὐτὰ συνήγαγεν ἀπ' ἀρχῆς; τίς ἔδησε, τίς ἐχαλίνωσε, τίς ἐπὶ τοσοῦτον διακρατεῖ χρόνον; Καὶ γὰρ εἰ μὲν ἁπλοῦν καὶ μονοειδὲς ἦν τοῦ κόσμου τὸ σῶμα, οὐχ οὕτως ἀδύνατον ἦν τὸ λεγόμενον· ὅταν δὲ μάχη τοσαύτη τῶν στοιχείων ἐξ ἀρχῆς ᾖ, τίς οὕτως ἀνόητος ὡς ἐννοῆσαι ὅτι χωρὶς τοῦ συνάγοντος συνῆλθε ταῦτα αὐτόματα, καὶ συνελθόντα ἔμεινεν;

Εἰ γὰρ ἡμεῖς οὐχὶ φύσει, ἀλλὰ προαιρέσει πρὸς ἀλλήλους ἐχθρωδῶς ἔχοντες οὐκ αὐτόματοι συμβαίημεν ἕως ἂν ἐχθροὶ μένωμεν, καὶ πρὸς ἀλλήλους ἔχωμεν ἀηδῶς, ἀλλ' ἑτέρου δεόμεθα τοῦ συνάγοντος ἡμᾶς, καὶ μετὰ τὸ συναγαγεῖν ἐπισφίγγοντος καὶ πείθοντος μένειν ἐπὶ τῆς καταλλαγῆς, καὶ μὴ πάλιν ἀποπηδᾶν, πῶς ἂν τὰ μήτε λογισμοῦ, μήτε αἰσθήσεώς τινος μετέχοντα στοιχεῖα, καὶ φύσει πολέμια ἀλλήλοις ὄντα καὶ ἐχθρὰ συνῆλθε καὶ συνέβη, καὶ μετ' ἀλλήλων ἔμεινεν, εἰ μὴ δύναμίς τις ἦν ἄρρητος, ἡ καὶ συνάγουσα, καὶ μετὰ τὸ συναγαγεῖν διαπαντὸς μετὰ τοῦ δεσμοῦ τούτου κατέχουσα;

3. Οὐχ ὁρᾷς πῶς τοῦτο τὸ σῶμα τῆς ψυχῆς ἀποστάσης διαρρεῖ, καὶ μαραίνεται, καὶ ἀπόλλυται, καὶ πρὸς τὴν οἰκείαν ἕκαστον τῶν στοιχείων ἐπανέρχεται λῆξιν; Τὸ αὐτὸ δὴ τοῦτο καὶ ἐπὶ τοῦδε ἐγένετο ἂν τοῦ κόσμου, εἰ κατέλιπεν αὐτὸν ἔρημον τῆς οἰκείας προνοίας ἡ διαπαντὸς αὐτὸν κυβερνῶσα δύναμις. Εἰ γὰρ πλοῖον ἄνευ κυβερνήτου οὐ συνίσταται, ἀλλὰ καταποντίζεται εὐκόλως, ὁ κόσμος πῶς

τερικῆς προνοίας, μόλις νὰ ἠμπορῇ νὰ συντηρηθῇ, ὁ δὲ τόσος κόσμος, ἄνευ οὐδεμιᾶς προνοίας, ἐπὶ τόσα ἔτη νὰ μὴ πάθῃ τίποτε τοιοῦτον, ὅπως τὸ ἰδικόν μας σῶμα.

Διότι, εἰπέ μου, πῶς οὔτε ἕνα ἀπὸ τὰ στοιχεῖα αὐτὰ δὲν ἐξεπέρασε τὰ ὅριά του καὶ δὲν κατέστρεψεν ὅλα τὰ ἄλλα; Ποῖος δὲ ἀπὸ τὴν ἀρχὴν τὰ ἐσυναρμολόγησε; Ποῖος τὰ ἔδεσεν; Ποῖος τὰ ἐχαλιναγώγησε, ποῖος τὰ συγκρατεῖ ἐπὶ τόσον μεγάλον χρόνον; Καὶ ἐὰν μὲν ἦτο ἀπὸ ἕνα εἶδος τὸ σύμπαν, δὲν θὰ ἦτο καὶ τόσον ἀδύνατον αὐτὸ τὸ ὁποῖον λέγω· ὅταν ὅμως ὑπάρχῃ τόση διαμάχη μεταξὺ τῶν στοιχείων, ποῖος εἶναι τόσον ἀνόητος ὥστε νὰ ἰσχυρισθῇ ὅτι χωρὶς κάποιος νὰ τὰ συνεκέντρωσεν αὐτὰ μόνα των αὐτομάτως συνηνώθησαν, καὶ ἀφοῦ συνηνώθησαν ἔμειναν;

Διότι ἐὰν ἡμεῖς οἱ ἄνθρωποι ποὺ ὄχι ἐκ φύσεως, ἀλλὰ ἐκ προαιρέσεως διακείμεθα ἐχθρικῶς μεταξύ μας, δὲν ἠμποροῦμεν, ἕως ὅτου εὑρισκόμεθα εἰς ἐχθροπραξίας καὶ αἰσθανόμεθα ἀηδίαν μεταξύ μας, μόνοι μας νὰ συμφιλιωθοῦμεν, ἀλλὰ χρειαζόμεθα ἄλλον διὰ νὰ μᾶς συμφιλιώσῃ καὶ μετὰ τὴν συμφιλίωσιν νὰ συσφίγξῃ τὰς σχέσεις καὶ νὰ μᾶς πείσῃ νὰ μείνωμεν συμφιλιωμένοι, καὶ νὰ μὴ ἐκτραποῦμεν πάλιν, πῶς εἶναι δυνατὸν τὰ στοιχεῖα τοῦ σύμπαντος ποὺ δὲν ἔχουν λογικὸν καὶ αἴσθησιν καὶ ἐκ φύσεως εἶναι ἀντίθετα μεταξύ των, νὰ συνενωθοῦν καὶ νὰ συμβιβαστοῦν μεταξύ των καὶ νὰ μείνουν μαζί, ἐὰν δὲν ὑπῆρχε κάποια ἄρρητος δύναμις ἡ ὁποία καὶ τὰ συνήνωσε καὶ ἀφοῦ τὰ συνήνωσε τὰ συγκρατεῖ συνεχῶς διὰ τοῦ δεσμοῦ τούτου;

3. Δὲν βλέπεις πῶς αὐτὸ τοῦτο τὸ σῶμα ὅταν ἡ ψυχὴ ἀπομακρυνθῇ ἀπὸ αὐτὸ καταρρέει καὶ μαραίνεται καὶ χάνεται, καὶ ἐπανέρχεται κάθε ἕνα ἀπὸ τὰ στοιχεῖα του εἰς τὸ εἶδος του; Τὸ ἴδιον θὰ συνέβαινε καὶ ἐπὶ τοῦ κόσμου, ἐὰν τὸν ἄφηνεν ἔρημον ἡ δύναμις τῆς προνοίας τοῦ Θεοῦ, ἡ ὁποία διαπαντὸς κυβερνᾷ αὐτόν. Διότι ἐὰν πλοῖον χωρὶς κυβερνήτην δὲν ἠμπορῇ νὰ ὑπάρξῃ, ἀλλὰ καταποντίζεται εὔκολα, πῶς εἶναι δυνατὸν νὰ ὑπάρχῃ ἐπὶ τόσον χρόνον ὁ κό-

ἂν συνέστη ἐπὶ τοσοῦτον χρόνον μηδενὸς αὐτὸν κυβερνῶντος; Καὶ ἵνα μηδὲν εἴπω πλέον, νόμισον εἶναι πλοῖον τὸν κόσμον, τρόπιν ὑποκεῖσθαι τὴν γῆν, ἱστία τὸν οὐρανόν, ἐπιβάτας τοὺς ἀνθρώπους, πέλαγος τὴν ὑποκειμένην ἄβυσσον. Πῶς οὖν ἐπὶ τοσούτου χρόνου ναυάγιον οὐκ ἐγένετο; Ἔασον γοῦν πλοῖον μίαν ἡμέραν χωρὶς κυβερνήτου καὶ ναυτῶν, καὶ ὄψει καταποντιζόμενον εὐθέως· ἀλλ' ὁ κόσμος οὐδὲν τοιοῦτον ἔπαθε πεντακισχίλια καὶ πολλῷ πλείονα λοιπὸν ἔτη ἔχων.

Καὶ τί λέγω πλοῖον; Καλύβην μικρὰν ἐπήξατό τις ἐν ταῖς ἀμπέλοις, καὶ τοῦ καρποῦ συναιρεθέντος ἀφῆκεν ἔρημον, καὶ οὐδὲ δύο πολλάκις ἡμέρας διαμένει, ἀλλὰ διαλύεται καὶ καταπίπτει ταχέως. Εἶτα καλύβη μὲν οὐκ ἂν σταίη χωρὶς τοῦ προνοοῦντος, δημιούργημα δὲ τοσοῦτον οὕτω καλὸν καὶ θαυμαστόν, καὶ νόμοι νυκτὸς καὶ ἡμέρας, καὶ ὡρῶν ἐνηλλαγμέναι χορεῖαι, καὶ φύσεως δρόμος ποικίλος τις καὶ παντοδαπὸς ἐν γῇ, καὶ θαλάττῃ, καὶ ἀέρι, καὶ οὐρανῷ, καὶ φυτοῖς, καὶ ζώοις πετομένοις, νηχομένοις, βαδίζουσιν, ἕρπουσι, καὶ ἐν τῷ πάντων ἐκείνων κυριωτέρῳ τῶν ἀνθρώπων γένει, πῶς ἂν διέμεινεν ἐπὶ τοσοῦτον ἀδιάπτωτος χρόνον χωρὶς προνοίας τινός;

Μετὰ γὰρ τῶν εἰρημένων ἔπελθέ μοι τοὺς λειμῶνας τῷ λόγῳ, τοὺς παραδείσους, τὰ γένη τῶν ἀνθῶν, τὰς βοτάνας ἁπάσας, τὰς χρείας αὐτῶν, τὴν εὐωδίαν, τὰ σχήματα, τὴν θέσιν, τὰ ὀνόματα μόνον, τὰ δένδρα τὰ ἔγκαρπα, τὰ ἄκαρπα, τῶν μετάλλων τὴν φύσιν, τῶν ζώων τῶν ἐν θαλάττῃ, τῶν ἐν τῇ γῇ, τῶν νηκτῶν, τῶν ἀεροπόρων, τὰ ὄρη, τὰς νάπας, τοὺς δρυμούς, τὸν κάτω λειμῶνα, τὸν ἄνω λειμῶνα (καὶ γὰρ ἐν τῇ γῇ λειμὼν καὶ ἐν τῷ οὐρανῷ λειμών), τὰ ποικίλα τῶν ἄστρων ἄνθη, κάτω ῥόδα, ἄνω ἶρις.

σμος χωρὶς κάποιος νὰ τὸν κυβερνᾷ; Καὶ διὰ νὰ μὴ εἰπῶ περισσότερα, νὰ θεωρήσῃς ὅτι ὁ κόσμος εἶναι πλοῖον, ὅτι ὡς βάσιν (καρίναν) ἔχει τὴν γῆν, ὡς ἱστία τὸν οὐρανόν, ὡς ἐπιβάτας τοὺς ἀνθρώπους, ὡς πέλαγος τὴν ἄβυσσον ποὺ εἶναι κάτω. Πῶς λοιπὸν ἐπὶ τόσον χρονικὸν διάστημα δὲν ἔγινε κάποιο ναυάγιον; Ἄφησε ἕνα πλοῖον μίαν μόνον ἡμέραν χωρὶς κυβερνήτην καὶ ναύτας, καὶ θὰ τὸ ἰδῇς νὰ καταποντίζεται ἀμέσως· ὁ κόσμος ὅμως τίποτε τέτοιο δὲν ἔπαθε, ἂν καὶ ὑπάρχῃ περισσότερον ἀπὸ πέντε χιλιάδες χρόνια.

Καὶ διατί λέγω πλοῖον; Κάποιος ἔστησε μικρὰν καλύβην εἰς τὰ ἀμπέλια καὶ ὅταν ἐμάζευσε τὸν καρπόν, τὴν ἄφησε ἔρημον, καὶ δὲν διατηρεῖται περισσότερον ἀπὸ δύο ἡμέρας, ἀλλὰ διαλύεται καὶ πέφτει ἀμέσως. Ἔπειτα, ἐνῷ ἡ καλύβα δὲν εἶναι δυνατὸν νὰ σταθῇ εἰς τὴν θέσιν της χωρὶς ἐκεῖνον ποὺ φροντίζει δι' αὐτήν, δημιούργημα δὲ τόσον μεγάλο, τόσον καλὸν καὶ θαυμαστόν, καὶ νόμοι νυκτὸς καὶ ἡμέρας καὶ ἐναλλαγαὶ ὡρῶν, καὶ δρόμος τῆς φύσεως ποικίλος καὶ διάφορος εἰς τὴν ξηρὰν καὶ εἰς τὴν θάλασσαν καὶ εἰς τὸν ἀέρα καὶ εἰς τὸν οὐρανὸν καὶ εἰς τὰ φυτὰ καὶ τὰ ζῶα ποὺ κολυμβοῦν, ποὺ βαδίζουν, ποὺ ἕρπουν, καὶ τὸ σπουδαιότερον ὅλων τούτων, τὸ γένος τῶν ἀνθρώπων, πῶς εἶναι δυνατὸν νὰ παραμείνουν ἐπὶ τόσον χρόνον ἀδιάπτωτα χωρὶς κάποιος νὰ φροντίζῃ δι' αὐτά;

Διότι μετὰ ἀπὸ ὅσα ἐλέχθησαν ἂς διέλθωμεν διὰ τοῦ λόγου τὰ λειβάδια, τοὺς ὡραίους κήπους, τὰ εἴδη τῶν ἀνθέων, τὰ βάτανα ὅλα, τὰς ἀνάγκας αὐτῶν, τὴν εὐωδίαν, τὰ σχήματα, τὴν στάσιν, τὰ ὀνόματα μόνον, τὰ καρποφόρα δένδρα, τὰ ἄκαρπα, τὴν φύσιν τῶν μετάλλων, τὴν φύσιν τῶν θαλασσίων ζώων, τῶν εὑρισκομένων εἰς τὴν ξηράν, τῶν κολυμβώντων, τῶν πετώντων εἰς τὸν ἀέρα, τὰ ὄρη, τὰς κοιλάδας μὲ τὰ δάση, τὰ δάση, τοὺς ἀνθοστολίστους κάτω τόπους, τοὺς ἐπάνω ἀνθοστολίστους (διότι καὶ εἰς τὴν γῆν καὶ εἰς τοὺς οὐρανοὺς ὑπάρχουν ἀνθότοποι), τὰ διάφορα ἄνθη τῶν ἄστρων, κάτω τριαντάφυλλα, ἐπάνω οὐράνιον τόξον.

Βούλει καὶ ἐπὶ τῶν ὀρνίθων σοι δείξω λειμῶνα; Κατάμαθε τοῦ ταὼ τὸ σῶμα τὸ ποικίλον, καὶ πᾶσαν ὑπερβαίνον βαφήν, τοὺς πορφυρίζοντας στρουθούς. Ἐννόησόν μοι τὸ κάλλος τοῦ οὐρανοῦ πόσον ἔχει χρόνον καὶ οὐκ ἠμαυρώθη, ἀλλ' ὥσπερ σήμερον κατασκευασθείς, οὕτως ἐστὶν ἀποστίλβων καὶ λαμπρός· τῆς γῆς τὴν δύναμιν, πῶς οὐκ ἠτόνησεν αὐτῆς ἡ γαστὴρ τοσοῦτον τίκτουσα χρόνον. Ἐννόησόν μοι τὰς πηγὰς πῶς ἀναβλύζουσι, καὶ οὐκ ἐπέλιπον ἐξ οὗ γεγόνασι διηνεκῶς βρύουσαι, καὶ ἡμέραν καὶ νύκτα πᾶσαν. Ἐννόησόν μοι τὴν θάλατταν, πόσους δεχομένη ποταμοὺς οὐχ ὑπερέβη τὸ μέτρον. Ἀλλὰ μέχρι τίνος διώκομεν ἀκίχητα; Ἄξιον ἐφ' ἑκάστων τῶν εἰρημένων λέγειν· «Ὡς ἐμεγαλύνθη τὰ ἔργα σου Κύριε, πάντα ἐν σοφίᾳ ἐποίησας». Ἀλλὰ τίς ὁ σοφὸς τῶν ἀπίστων λόγος ὅταν ἅπαντα ταῦτα διέλθωμεν πρὸς αὐτούς, τὸ μέγεθος, τὸ κάλλος τῆς κτίσεως, τὴν δαψίλειαν, τὴν ἀφθονίαν τὴν ἐν ἅπασιν;

Αὐτὸ μὲν οὖν τοῦτο μάλιστά ἐστιν ἔγκλημα, φησίν, ὅτι οὕτω καλὸν καὶ μέγαν τὸν κόσμον ἐποίησεν ὁ Θεός· εἰ μὴ γὰρ αὐτὸν καλὸν καὶ μέγαν ἐποίησεν ὁ Θεός, οὐκ ἂν αὐτὸν ἐθεοποιήσαμεν· νῦν δὲ ἐκπλαγέντες αὐτοῦ τὸ μέγεθος, καὶ θαυμάσαντες αὐτοῦ τὸ κάλλος, ἐνομίσαμεν αὐτὸν εἶναι θεόν. Ἀλλ' ἕωλος οὗτος ὁ λόγος ἐστίν. Ὅτι γὰρ οὔτε τὸ μέγεθος, οὔτε τὸ κάλλος τῆς ἀσεβείας αἴτιον, ἀλλ' ἡ ἐκείνων ἄνοια δείκνυμεν ἡμεῖς οἱ μηδὲν τοιοῦτον παθόντες. Τίνος γὰρ ἕνεκεν αὐτὸν οὐκ ἐθεοποιήσαμεν; Οὐ τοῖς αὐτοῖς ὀφθαλμοῖς αὐτὸν βλέπομεν; Οὐ τὰ αὐτὰ τῆς κτίσεως ἀπολαύομεν ἅπερ ἐκεῖνοι; Οὐ τὴν αὐτὴν ψυχὴν κεκτήμεθα; Οὐ τὸ αὐτὸ σῶμα ἔχομεν; Οὐ τὴν αὐτὴν πατοῦμεν γῆν;

---

3. Ψαλμ. 103, 24.

Θέλεις καὶ εἰς τὰ πτηνὰ νὰ σοῦ δείξω ὡραῖα πράγματα ὡσὰν ἀνθοτόπους; Πρόσεξε τὸ σῶμα τοῦ παγωνιοῦ, τοῦ ὁποίου ἡ ποικιλία τῶν χρωμάτων ὑπερβαίνει κάθε βαφήν, καὶ τοὺς στρουθοκαμήλους τῶν ὁποίων τὰ πούπουλα ἔχουν πορφυροῦν χρῶμα. Σκέψου τὴν ὡραιότητα τοῦ οὐρανοῦ, ποὺ ἂν καὶ ἐπέρασε τόσος χρόνος δὲν ἔχασε καθόλου ἀπὸ αὐτήν, ἀλλὰ εἶναι στιλπνὸς καὶ λαμπρός, ὡσὰν νὰ κατεσκευάσθη σήμερον· βλέπε τὴν δύναμιν τῆς γῆς πῶς δὲν ἀδυνάτισεν ἡ κοιλία της νὰ γεννᾷ ἐπὶ τόσον χρόνον. Σκέψου ἀκόμη τὰς πηγὰς πῶς ἀναβλύζουν, καὶ δὲν ἐσταμάτησαν ἀπὸ τότε ποὺ ἔγιναν νὰ ἀναβλύζουν συνεχῶς ὅλην τὴν ἡμέραν καὶ τὴν νύκτα. Σκέψου τὴν θάλασσαν, ἡ ὁποία ἂν καὶ δέχεται ἐντός της τόσους ποταμούς, δὲν ἐξεπέρασε τὰ ὅριά της. Ἀλλὰ μέχρι πότε θὰ ματαιοπονοῦμεν, ἀφοῦ αὐτὰ δὲν τελειώνουν ποτέ; Ἀξίζει διὰ κάθε ἕνα ἀπὸ αὐτὰ ποὺ ἐλέχθησαν νὰ εἰποῦμεν· «Πόσον μεγάλα καὶ ἀξιοθαύμαστα εἶναι τὰ ἔργα σου, Κύριε, ὅλα ἀνεξαιρέτως τὰ ἐδημιούργησες μὲ σοφίαν»[3]. Ἀλλὰ ποῖον λογικὸν λόγον θὰ εἴπουν οἱ ἄπιστοι ὅταν ἀναφέρωμεν ὅλα αὐτὰ εἰς αὐτούς, τὸ μέγεθος, τὴν ὡραιότητα τῆς κτίσεως, τὴν μεγαλοδωρίαν, τὴν ἀφθονίαν εἰς ὅλα.

Αὐτὸ τοῦτο λοιπόν, λέγουν, εἶναι τὸ μεγαλύτερον ἔγκλημα τὸ ὅτι ἐδημιούργησεν ὁ Θεὸς τόσον ὡραῖον καὶ μεγάλον τὸν κόσμον· διότι ἐὰν δὲν τὸν ἔκαμε τόσον μεγάλον καὶ ὡραῖον, δὲν θὰ τὸν ἐθεοποιούσαμεν· τώρα ὅμως ποὺ ἔχομεν ἐκπλαγῆ ἀπὸ τὸ μέγεθός του καὶ ἐθαυμάσαμεν τὴν ὡραιότητά του, ἐνομίσαμεν ὅτι εἶναι αὐτὸς Θεός. Ἀλλὰ εἶναι ἀβάσιμος ὁ ἰσχυρισμὸς αὐτός· διότι, διὰ τὸ ὅτι οὔτε τὸ μέγεθος, οὔτε ἡ ὡραιότης τοῦ κόσμου εἶναι αἰτία τῆς ἀσεβείας των, ἀλλὰ ἡ μωρία ἐκείνων, τὸ ἀποδεικνύομεν ἡμεῖς οἱ ὁποῖοι δὲν ἔχομεν πάθει ποτὲ τίποτε τέτοιο. Διατί λοιπὸν δὲν τὸν ἐθεοποιήσαμεν καὶ ἡμεῖς; Δὲν τὸν βλέπομεν καὶ ἡμεῖς μὲ τὰ ἴδια μάτια; Δὲν ἀπολαμβάνομεν τὰ ἴδια ἀγαθὰ ἀπὸ τὴν κτίσιν, τὰ ὁποῖα ἀπολαμβάνουν καὶ ἐκεῖνοι; Δὲν ἔχομεν τὴν ἰδίαν ψυχήν; Δὲν ἔχομεν τὸ ἴδιον σῶμα; Δὲν πα-

Πῶς ἡμᾶς οὐκ ἔπεισε τὸ κάλλος καὶ τὸ μέγεθος τὰ αὐτὰ νοῆσαι ἐκείνοις; Οὐκ ἐντεῦθεν δὲ τοῦτο ἔσται δῆλον μόνον, ἀλλὰ καὶ ἑτέρωθεν. Ὅτι γὰρ οὐ διὰ τὸ κάλλος αὐτὸν ἐθεοποίησαν, ἀλλὰ διὰ τὴν οἰκείαν ἄνοιαν, τὸν πίθηκον τίνος ἕνεκεν προσεκύνησαν, τὸν κροκόδειλον, τὸν κύνα, τὰ εὐτελέστερα τῶν ζώων; Ὄντως «Ἐματαιώθησαν ἐν τοῖς διαλογισμοῖς αὐτῶν, καὶ ἐσκοτίσθη ἡ ἀσύνετος αὐτῶν καρδία· φάσκοντες γὰρ εἶναι σοφοὶ ἐμωράνθησαν». Πλὴν ἀλλ' οὐκ ἀπὸ τούτων ἀπολογησόμεθα μόνον, ἀλλὰ καὶ ἕτερόν τι πλέον ἐροῦμεν.

4. Ταῦτα γὰρ ἄνωθεν ὁ Θεὸς προειδώς, καὶ ταύτην αὐτῶν ἀνεῖλε τὴν πρόφασιν κατὰ τὴν αὐτοῦ σοφίαν· διὰ τοῦτο οὐ μόνον θαυμαστὸν καὶ μέγαν τὸν κόσμον ἐποίησεν, ἀλλὰ καὶ φθαρτόν, καὶ ἐπίκηρον, καὶ τῆς ἀσθενείας αὐτοῦ πολλὰ δείγματα ἐγκατέθετο, καὶ ὅπερ ἐπὶ τῶν ἀποστόλων ἐποίησε, τοῦτο καὶ ἐπὶ τοῦ κόσμου παντός. Τί δὲ ἐπὶ τῶν ἀποστόλων ἐποίησεν; Ἐπειδὴ πολλὰ σημεῖα καὶ θαύματα ἐποίουν καὶ μεγάλα καὶ παράδοξα, εἴασεν αὐτοὺς συνεχῶς μαστίζεσθαι, ἐλαύνεσθαι, δεσμωτήριον οἰκεῖν, ἀσθενείαις περιπίπτειν σωματικαῖς, ἐν διηνεκέσιν εἶναι θλίψεσιν, ἵνα μὴ τῶν σημείων τὸ μέγεθος θεοὺς αὐτοὺς παρὰ τοῖς ἀνθρώποις νομίζεσθαι ποιήσῃ· διὰ τοῦτο, τοσαύτην δοὺς χάριν, τὸ σῶμα ἀφῆκεν εἶναι θνητόν, πολλοῖς δὲ καὶ ἐπίνοσον, καὶ οὐ μετέβαλεν αὐτῶν τὴν ἀσθένειαν, ἵνα ἐγγυήσηται τὴν φύσιν.

Καὶ οὐκ ἐμὸς οὗτος ὁ λόγος, ἀλλ' αὐτοῦ τοῦ Παύλου οὕτω λέγοντος· «Ἐὰν γὰρ θελήσω καυχήσασθαι, οὐκ ἔσομαι ἄφρων· φείδομαι δέ, μή τις εἰς ἐμὲ λογίσηται ὑπὲρ ὃ

4. Ρωμ. 1, 21-22.
5. Πρβλ. Πράξ. 2, 43.

τοῦμεν τὴν ἰδίαν γῆν; Πῶς δὲν ἔπεισεν ἡμᾶς ἡ ὡραιότης καὶ τὸ μέγεθος τῆς κτίσεως νὰ σκεφθοῦμε τὰ ἴδια μὲ ἐκείνους; Καὶ ὄχι μόνον ἀπὸ αὐτὰ ἀλλὰ καὶ ἀπὸ ἄλλα εἶναι αὐτὰ φανερὰ ὅτι δηλαδὴ δὲν εἶναι αὐτὴ ἡ αἰτία. Τὸ ὅτι δὲν ἐθεοποίησαν τὸν κόσμον ἐξ αἰτίας τῆς ὡραιότητος, ἀλλὰ ἐξ αἰτίας τῆς ἰδικῆς των μωρίας, ἀποδεικνύεται ἂν τοὺς ὑποβάλωμεν τὴν ἐρώτησιν, διὰ ποῖον λόγον προσεκύνησαν τὸν πίθηκον, τὸν κροκόδειλον, τὸν σκύλον καὶ τὰ ἀτελέστερα ζῶα; Ὄντως «ἀπεδείχθησαν ἀνόητοι μὲ τοὺς ψευδεῖς καὶ πλανεμένους συλλογισμούς των καὶ ἐσκοτίσθη ἡ ἀσύνετος καὶ ἀνίκανος νὰ καταλάβῃ τὰ ἀληθῆ διάνοιά των, διότι ἐνῷ ἰσχυρίζονται ὅτι εἶναι σοφοὶ ἔγιναν μωροὶ καὶ ἀνόητοι»[4]. Ὅμως δὲν θὰ ἀπολογηθῶμεν μόνον μὲ αὐτά, ἀλλὰ καὶ κάτι ἀκόμα ἐπὶ πλέον θὰ εἰποῦμεν.

4. Διότι ἐπειδὴ προεγνώριζεν αὐτὰ ὁ Θεὸς καὶ τὴν πρόφασίν των αὐτὴν τὴν ἀνῄρεσε μὲ τὴν σοφίαν του· διὰ τοῦτο ὄχι μόνον ἔκαμε τὸν κόσμον θαυμαστὸν καὶ μέγαν, ἀλλὰ καὶ φθαρτόν, καὶ πρόσκαιρον καὶ ἔθεσεν ἐντὸς αὐτοῦ πολλὰς ἀποδείξεις τῆς ἀδυναμίας του, καὶ ἐκεῖνο ποὺ ἔκαμεν εἰς τοὺς ἀποστόλους, τοῦτο ἔκαμε καὶ εἰς ὁλόκληρον τὸν κόσμον. Τί ἔκαμε ἐπὶ τῶν ἀποστόλων; Ἐπειδὴ ἔκαμαν πολλὰ μεγάλα καὶ παράδοξα θαύματα[5], ἄφησεν αὐτοὺς συνεχῶς νὰ μαστιγώνωνται, νὰ διώκωνται, νὰ μένουν εἰς τὴν φυλακήν, νὰ περιπίπτουν εἰς σωματικὰς ἀσθενείας, νὰ εὑρίσκωνται εἰς συνεχεῖς θλίψεις, διὰ νὰ μὴ νομίσουν οἱ ἄνθρωποι ὅτι εἶναι θεοὶ ἐξ αἰτίας τοῦ μεγέθους τῶν σημείων· διὰ τοῦτο, ἐνῷ τοὺς ἔδωκε τόσην χάριν, ἄφησε τὸ σῶμα των νὰ εἶναι θνητόν, εἰς πολλοὺς μάλιστα καὶ φιλάσθενον, καὶ δὲν ἐθεράπευσε τὴν ἀσθένειαν αὐτῶν, διὰ νὰ ἀποτελῇ τοῦτο ἐγγύησιν ὅτι εἶναι ἄνθρωποι.

Καὶ ὁ λόγος αὐτὸς δὲν εἶναι ἰδικός μου, ἀλλὰ τοῦ Παύλου, ὁ ὁποῖος λέγει· «διότι ἐὰν θελήσω νὰ καυχηθῶ, δὲν θὰ εἶμαι ἀνόητος, διότι θὰ εἴπω ἀλήθειαν· δυσκολεύομαι ὅμως νὰ καυχηθῶ διὰ νὰ μὴ μοῦ λογαριάσῃ κανεὶς παραπάνω ἀπὸ ἐ-

βλέπει, ἢ ἀκούει τι ἐξ ἐμοῦ»· καὶ πάλιν· «Ἔχομεν δὲ τὸν θησαυρὸν τοῦτον ἐν ὀστρακίνοις σκεύεσιν». Τί δέ ἐστιν, «Ἐν ὀστρακίνοις σκεύεσιν»; Ἐν τῷ σώματι τούτῳ, φησί, τῷ θνητῷ καὶ ἐπικήρῳ. Καθάπερ γὰρ τὸ ὄστρακον ἐκ πηλοῦ καὶ πυρὸς γίνεται, οὕτω δὴ καὶ τὸ σῶμα τῶν ἁγίων ἐκείνων πήλινον ὄν, καὶ τοῦ πνευματικοῦ πυρὸς δεξάμενον τὴν ἐνέργειαν, γέγονεν ὄστρακον. Καὶ τίνος ἕνεκεν τοῦτο γεγένηται, καὶ θησαυρὸν τοσοῦτον καὶ χαρισμάτων δαψίλειαν θνητῷ καὶ φθαρτῷ σώματι ἐναπέθετο; «Ἵνα ἡ ὑπερβολὴ τῆς δυνάμεως ᾖ τοῦ Θεοῦ καὶ μὴ ἐξ ἡμῶν». Ὅταν γὰρ ἴδῃς τοὺς ἀποστόλους νεκροὺς μὲν ἀνιστῶντας, αὐτοὺς δὲ ἀσθενοῦντας καὶ μὴ δυναμένους ἀπαλλαγῆναι τῆς ἀρρωστίας, εἴσῃ σαφῶς ὅτι ἡ τοῦ νεκροῦ ἀνάστασις οὐ τῆς δυνάμεως τοῦ ἀναστήσαντος, ἀλλὰ τῆς ἐνεργείας τοῦ Πνεύματος γέγονεν.

Ὅτι γὰρ ἠρρώστουν συνεχῶς ἄκουσον τί φησιν ὁ Παῦλος περὶ Τιμοθέου, «Οἴνῳ ὀλίγῳ χρῶ διὰ τὸν στόμαχόν σου, καὶ τὰς πυκνάς σου ἀσθενείας», καὶ πάλιν περὶ ἑτέρου, «Τρόφιμον δὲ ἀπέλιπον ἐν Μιλήτῳ ἀσθενοῦντα»· καὶ Φιλιππησίοις ἐπιστέλλων ἔλεγεν, ὅτι «Ἐπαφρόδιτος ἠσθένησε παραπλήσιον θανάτῳ». Εἰ γὰρ καὶ τούτων ὄντων θεοὺς αὐτοὺς εἶναι ἐνόμισαν, καὶ θύειν ἐπεχείρησαν, λέγοντες, «Οἱ θεοὶ ὁμοιωθέντες ἀνθρώποις κατέβησαν πρὸς ἡμᾶς», εἰ μὴ ταῦτα ἐγένετο, ποῦ οὐκ ἂν ἐξέβησαν ἀσεβείας, τὰ θαύματα τότε ὁρῶντες; Ὥσπερ οὖν ἐνταῦθα διὰ τὸ μέγεθος τῶν σημείων, καὶ τὴν φύσιν ἀφῆκεν ἐν ἀσθενείᾳ μένειν, καὶ τοὺς ἐπαλλήλους συνεχώρησε πειρασμούς, ἵνα μὴ νομισθῶσιν εἶναι θεοί, οὕτω καὶ ἐπὶ τῆς κτίσεως παραπλήσιόν τι τούτοις ἐποίησε. Καὶ γὰρ καλὴν αὐτὴν καὶ μεγάλην, καὶ φθαρτὴν πάλιν κατεσκεύασε.

---

6. Β΄ Κορ. 12, 6.
7. Β΄ Κορ. 4, 7.
8. Σημαίνει ἐδῶ πήλινον ἀγγεῖον, κεραμίδι.
9. Β΄ Κορ. 4, 7.

κεῖνο ποὺ βλέπει εἰς ἐμὲ ἢ ἀκούει ἀπὸ ἐμέ»[6]· καὶ πάλιν· «ἔχομεν δὲ τὸν θησαυρὸν αὐτὸν εἰς ὀστράκινα σκεύη»[7]. Τί σημαίνει «εἰς ὀστράκινα σκεύη»; Διὰ τὸ σῶμα αὐτὸ τὸ θνητὸν καὶ πρόσκαιρον τὸ λέγει. Διότι ὅπως τὸ ὄστρακον[8] γίνεται ἀπὸ τὸν πηλὸν καὶ τὴν φωτιάν, ἔτσι λοιπὸν καὶ τὸ σῶμα τῶν ἁγίων ἐκείνων, ἐπειδὴ ἦτο πήλινον, καὶ ἐδέχθη τὴν ἐνέργειαν τοῦ πνευματικοῦ πυρός, ἔγινεν ὄστρακον. Καὶ διὰ ποῖον λόγον ἔγινε τοῦτο, καὶ τόσον θησαυρὸν καὶ τόσον πλοῦτον χαρισμάτων ἔβαλε μέσα εἰς θνητὸν καὶ φθαρτὸν σῶμα; «Διὰ νὰ ἀποδειχθῇ ὅτι ὑπερβολικὴ δύναμις προέρχεται ἀπὸ τὸν Θεὸν καὶ ὄχι ἀπὸ ἡμᾶς»[9]. Διότι ὅταν ἴδῃς τοὺς ἀποστόλους νὰ ἀνασταίνουν νεκρούς, οἱ ἴδιοι δὲ νὰ εἶναι ἀσθενεῖς καὶ νὰ μὴ ἠμποροῦν νὰ ἀπαλλαγοῦν ἀπὸ τὴν ἀσθένειαν, θὰ γνωρίσῃς καλῶς ὅτι ἡ ἀνάστασις τοῦ νεκροῦ δὲν ἔγινε μὲ τὴν δύναμιν ἐκείνου, ἀλλὰ διὰ τῆς ἐνεργείας τοῦ ἁγίου Πνεύματος.

Διὰ τὸ ὅτι δὲ ἠσθένουν συνεχῶς, ἄκουε τί λέγει ὁ Παῦλος διὰ τὸν Τιμόθεον· «Νὰ χρησιμοποιῇς ὀλίγον κρασὶ διὰ τὸ στομάχι σου καὶ τὰς συχνάς σου ἀσθενείας[10]· καὶ πάλιν δι' ἄλλον γράφει· «τὸν Τρόφιμον ἄφησα ἄρρωστον εἰς τὴν Μίλητον»[11], καὶ γράφων πρὸς τοὺς Φιλιππησίους ἔλεγεν ὅτι «ὁ Ἐπαφρόδιτος ἠσθένησε βαρέως μέχρι θανάτου»[12]. Διότι ἐὰν παρ' ὅλα ταῦτα, τοὺς ἐθεώρησαν οἱ ἄνθρωποι ὅτι εἶναι θεοὶ καὶ ἐπεχείρησαν νὰ θυσιάσουν ὑπὲρ αὐτῶν λέγοντες «οἱ θεοὶ ἔγιναν ὅμοιοι μὲ τοὺς ἀνθρώπους καὶ κατέβησαν πρὸς ἡμᾶς»[13], ἐὰν δὲν εἶχον γίνει αὐτά, εἰς ποῖον σημεῖον ἀσεβείας δὲν θὰ ἔφθανον τότε βλέποντες τὰ θαύματά των; Ὅπως λοιπὸν ἐδῶ διὰ τὸ μέγεθος τῶν θαυμάτων καὶ τὴν φύσιν αὐτῶν ἄφησε νὰ μένῃ ἡ ἀδυναμία, καὶ τοὺς ἀλλεπαλλήλους πειρασμοὺς ἐπέτρεψε, διὰ νὰ μὴ θεωρηθοῦν ὅτι εἶναι θεοί, ἔτσι καὶ ἐπὶ τῆς κτίσεως κάτι παραπλήσιον μὲ αὐτὰ ἔκαμε. Καθ' ὅσον τὴν ἔκαμε καὶ καλὴν καὶ μεγάλην, ἀλλὰ καὶ φθαρτήν.

---

10. Α' Τιμ. 5, 25.
11. Β' Τιμ. 4, 20.
12. Φιλ. 2, 27.
13. Πράξ. 14, 11.

Καὶ ἀμφότερα ταῦτα αἱ Γραφαὶ φιλοσοφοῦσιν· ὁ μὲν γὰρ τὸ κάλλος τῶν οὐρανῶν διηγούμενος οὕτω φησίν· «Οἱ οὐρανοὶ διηγοῦνται δόξαν Θεοῦ»· καὶ πάλιν, «Ὁ στήσας τὸν οὐρανὸν ὡσεὶ καμάραν, καὶ διατείνας αὐτὸν ὡς σκηνὴν ἐπὶ τῆς γῆς»· καὶ πάλιν, «Ὁ κατέχων τὸν γῦρον τοῦ οὐρανοῦ». Ἕτερος δὲ δεικνὺς ὅτι εἰ καὶ καλὸς καὶ μέγας, ἀλλὰ φθαρτός ἐστιν, οὕτω φησί· «Καταρχὰς σὺ Κύριε τὴν γῆν ἐθεμελίωσας καὶ ἔργα τῶν χειρῶν σού εἰσιν οἱ οὐρανοί· αὐτοὶ ἀπολοῦνται, σὺ δὲ διαμένεις· καὶ πάντες ὡς ἱμάτιον παλαιωθήσονται, καὶ ὡσεὶ περιβόλαιον ἑλίξεις αὐτούς, καὶ ἀλλαγήσονται». Καὶ πάλιν περὶ τοῦ ἡλίου φησὶν ὁ Δαυΐδ, ὅτι «Ὡς νυμφίος ἐκπορευόμενος ἐκ παστοῦ αὐτοῦ· ἀγαλλιάσεται ὡς γίγας δραμεῖν ὁδόν».

Εἶδες τὸ κάλλος τοῦ ἄστρου καὶ τὸ μέγεθος πῶς σοι παρέστησε; Καθάπερ γὰρ ἐκ παστάδος τινὸς νυμφίος φανείς, οὕτως ὁ ἥλιος ὑπὸ τὴν ἕω τὰς ἀκτῖνας ἀφίησι, καὶ ὥσπερ τινὶ κροκωτῷ παραπετάσματι τὸν οὐρανὸν καλλωπίζων, καὶ ροδοειδεῖς ποιῶν τὰς νεφέλας, καὶ ἀνεμποδίστως τρέχων πᾶσαν τὴν ἡμέραν, οὐδενὶ διακόπτεται πρὸς τὸν δρόμον κωλύματι. Εἶδες τοίνυν τὸ κάλλος αὐτοῦ; Εἶδες αὐτοῦ τὸ μέγεθος; Βλέπε καὶ τῆς ἀσθενείας αὐτοῦ τὸ δεῖγμα. Καὶ γὰρ καὶ τοῦτο δηλῶν τις σοφὸς ἔλεγε, «Τί φωτεινότερον ἡλίου;», φησί, «καὶ τοῦτο ἐκλείπει». Οὐκ ἀπὸ τούτου δὲ μόνον αὐτοῦ τὴν ἀσθένειάν ἐστιν ἰδεῖν, ἀλλὰ καὶ ἐν ταῖς τῶν νεφελῶν συνδρομαῖς. Νέφους γοῦν ὑποδραμόντος πολλάκις τὰς ἀκτῖνας ἀφεὶς καὶ φιλονεικήσας διαρ-

14. Ψαλ. 18, 2.
15. Ἡσ. 40, 22.
16. Αὐτόθι.
17. Ψαλμ. 101, 26-27.
18. Ψαλ. 18, 6.
19. Σοφ. Σειρ. 17, 31.

Καὶ διὰ τὰς δύο αὐτὰς ἰδιότητας τῆς φύσεως φιλοσοφοῦν αἱ Γραφαί· διότι ὁ μὲν ἕνας ὁμιλῶν διὰ τὴν ὡραιότητα τῶν οὐρανῶν λέγει τὰ ἑξῆς· «Οἱ οὐρανοὶ διηγοῦνται τὴν ἔνδοξον σοφίαν τοῦ Θεοῦ»[14]· καὶ πάλιν· «Ἐκεῖνος ποὺ ἔστησε τὸν οὐρανὸν ὡς θόλον καὶ τὸν ἥπλωσεν ὡς σκηνὴν ἐπάνω εἰς τὴν γῆν»[15]· καὶ πάλιν· «Ἐκεῖνος ποὺ κατέχει τὸν γῦρον τοῦ οὐρανοῦ»[16]. Ἄλλος δὲ δεικνύων ὅτι ἂν καὶ εἶναι καλὸς καὶ μεγάλος ὁ κόσμος, ὅμως εἶναι φθαρτός, λέγει τὰ ἑξῆς· «Κατ' ἀρχὴν σύ, Κύριε, ἐστήριξας τὴν γῆν ὡσὰν ἐπάνω εἰς θεμέλιον στερεὸν καὶ ἔργα τῶν χειρῶν σου εἶναι οἱ οὐρανοί· αὐτοὶ θὰ καταστραφοῦν καὶ θὰ ἀλλάξουν τὸ σχῆμα των, σὺ ὅμως παραμένεις ἀναλλοίωτος καὶ ἀμετάβλητος, καὶ ὅλος ὁ κόσμος ὡσὰν ἔνδυμα θὰ παλιώσῃ καὶ ὡσὰν ἐξωτερικὸν ροῦχον ποὺ περιβάλλονται οἱ ἄνθρωποι, θὰ τὸν γυρίσῃς καὶ θὰ τὸν περιτυλίξῃς καὶ θὰ ἀλλάξῃ γινόμενος καινούργιος»[17]. Καὶ διὰ τὸν ἥλιον πάλιν λέγει ὁ Δαβὶδ ὅτι «ὡς νυμφίος ποὺ ἐξέρχεται ἀπὸ τὸν νυφικὸν θάλαμον στολισμένος μὲ ἐκθαμβωτικὰ ἐνδύματα, καὶ ὡς γίγας ἀκούραστος ποὺ προχωρεῖ μὲ εὐχαρίστησιν, διὰ νὰ διατρέξῃ καθημερινῶς τὸν δρόμον του»[18].

Εἶδες πῶς σοῦ παρέστησε τὸ κάλλος καὶ τὸ μέγεθος τοῦ ἄστρου τούτου; ὡσὰν τὸν νυμφίον ποὺ ἐξέρχεται ἀπὸ κάποιον νυμφικὸν θάλαμον, ἔτσι καὶ ὁ ἥλιος ἀφήνει τὰς ἀκτῖνας του εἰς τὴν ἀνατολήν, καὶ ὡσὰν νὰ στολίζῃ τὸν οὐρανὸν μὲ κροκωτὸν παραπέτασμα, καὶ κάμνει τὰ σύννεφα νὰ πάρουν τὸ χρῶμα τῶν ρόδων καὶ τρέχει κάθε ἡμέραν ἀνεμπόδιστα, χωρὶς νὰ συναντᾷ κανένα κώλυμα εἰς τὸν δρόμον του. Εἶδες λοιπὸν τὴν ὡραιότητα αὐτοῦ; Εἶδες τὸ μέγεθος αὐτοῦ; Βλέπε τώρα καὶ τὴν ἀπόδειξιν τῆς ἀδυναμίας του. Καὶ τὴν ἀδυναμίαν αὐτὴν φανερώνων κάποιος σοφὸς ἔλεγε· «Τί ὑπάρχει φωτεινότερον ἀπὸ τὸν ἥλιον;», λέγει, «καὶ τοῦτο ἐκλείπει»[19]. Καὶ ὄχι μόνον ἀπὸ τὸ χωρίον τοῦτο ἠμπορεῖ κανεὶς νὰ ἰδῇ τὴν ἀδυναμίαν του, ἀλλὰ καὶ ἀπὸ τὴν συγκέντρωσιν τῶν νεφῶν. Ὅταν λοιπὸν εὑρεθῇ σύννεφον κάτω ἀπὸ τὰς ἀκτῖνας καὶ ἐνῷ προσπαθεῖ νὰ διαρρήξῃ αὐτὸ μὲ

ῥῆξαι τὸ νέφος οὐκ ἴσχυσε, παχυτέρας τῆς νεφέλης οὔσης καὶ οὐκ ἀνασχομένης αὐτῷ διασχεῖν. Ἀλλὰ τὰ σπέρματα τρέφει, φησί· καὶ μὴν οὐκ αὐτὸς τρέφει μόνος, ἀλλὰ καὶ γῆς δεῖται, καὶ δρόσου, καὶ ὑετῶν, καὶ ἀνέμων, καὶ τῆς τῶν ὡρῶν εὐμοιρίας· κἂν μὴ ταῦτα ἅπαντα συνδράμῃ, περιττὴ ἡ τοῦ ἡλίου γίνεται χρεία.

Τοῦτο δὲ οὐκ ἂν εἴη Θεοῦ, τὸ δεῖσθαι ἑτέρων πρὸς ἅπερ ἂν βούληται ποιεῖν· Θεοῦ γὰρ ἴδιον μάλιστα τὸ ἀνενδεές. Αὐτὸς γοῦν οὐχ οὕτω τὰ σπέρματα ἐξήγαγεν ἀπὸ τῆς γῆς, ἀλλ' ἐκέλευσε μόνον, καὶ πάντα ἐβλάστησε. Καὶ πάλιν, ἵνα μάθῃς ὅτι οὐχ ἡ τῶν στοιχείων φύσις, ἀλλὰ τὸ πρόσταγμα αὐτοῦ πάντα ποιεῖ, αὐτά τε τὰ στοιχεῖα οὐκ ὄντα παρήγαγε, καὶ ἐπὶ τῶν Ἰουδαίων, οὐδενὸς δεηθείς, τὸ μάννα κατήγαγεν· «Ἄρτον γάρ», φησίν, «οὐρανοῦ ἔδωκεν αὐτοῖς». Καὶ τί λέγω, πρὸς τὴν τῶν καρπῶν ἀκμὴν ὅτι ἑτέρων δεῖται στοιχείων πρὸς τὴν αὐτῶν σύστασιν, ὅπουγε καὶ αὐτὸς πολλῶν χρήζει πρὸς σύστασιν, καὶ οὐκ ἂν αὐτὸς ἀρκέσειεν ἑαυτῷ; Καὶ γὰρ ἵνα βαδίζῃ, τοῦ οὐρανοῦ δεῖται καθάπερ ἐδάφους τινὸς ὑποκειμένου, καὶ ἵνα φαίνηται τῆς τοῦ ἀέρος καθαρότητος, καὶ λεπτότητος, ὥστε ἂν πυκνωθῇ πέρα τοῦ μέτρου καὶ οὗτος, οὐκ ἰσχύει δεῖξαι τὸ ἑαυτοῦ φῶς ἐκεῖνος, καὶ ἵνα μὴ πᾶσιν ἀφόρητος ᾖ, μηδὲ κατακαύσῃ πάντα, ψυχρότητος δεῖται πάλιν καὶ δρόσου.

Ὅταν οὖν καὶ περιγίνηται αὐτοῦ στοιχεῖα ἕτερα, καὶ τὴν ἀσθένειαν αὐτοῦ διορθῶται, (περιγίνεται μὲν ὡς νεφέλαι καὶ τοῖχοι, καὶ ἄλλα τινὰ σώματα ἀποκρύπτοντα αὐτοῦ τὸ φῶς· διορθοῦται δὲ αὐτοῦ τὴν ἀμετρίαν ὡς δρόσοι, καὶ πηγαί, καὶ ψυχρότης ἀέρος) πῶς ἂν οὗτος εἴη Θεός;

---

20. Ψαλμ. 77, 24.

τὰς ἀκτῖνας του δὲν τὸ κατορθώνει, διότι συμβαίνει νὰ ἔχῃ πάχος περισσότερον τοῦ συνήθους καὶ δὲν ἐπιτρέπει εἰς αὐτὸν νὰ τὸ διαπεράσῃ. Ἀλλά, θὰ μοῦ εἰπῇς, τρέφει τοὺς σπόρους· καὶ ὅμως δὲν τοὺς τρέφει μόνον αὐτός, ἀλλὰ ἔχουν ἀνάγκην καὶ χώματος καὶ ὑγρασίας καὶ βροχῶν καὶ ἀνέμων καὶ τῆς συνδρομῆς τῶν ἐποχῶν τοῦ ἔτους· καὶ ἂν δὲν συνδράμουν ὅλα αὐτὰ εἶναι περιττὴ ἡ χρησιμότης τοῦ ἡλίου.

Τοῦτο δὲ δὲν εἶναι ἴδιον τοῦ Θεοῦ, τὸ νὰ ἔχῃ ἀνάγκην τῆς βοηθείας τῶν ἄλλων διὰ νὰ κάμῃ αὐτὸ ποὺ θέλει· διότι ἴδιον τοῦ Θεοῦ εἶναι τὸ νὰ μὴ ἔχῃ ἀνάγκην κανενός. Αὐτὸς ὅμως δὲν ἔβγαλε μὲ αὐτὸν τὸν τρόπον τὰ σπέρματα ἀπὸ τὴν γῆν, ἀλλὰ διέταξε μόνον καὶ ἐβλάστησαν τὰ πάντα. Καὶ πάλιν διὰ νὰ μάθῃς ὅτι ὄχι ἡ φύσις τῶν στοιχείων, ἀλλὰ ἡ διαταγὴ αὐτοῦ δημιουργεῖ τὰ πάντα, ἐδημιούργησε τὰ στοιχεῖα αὐτὰ ἐκ τῆς ἀνυπαρξίας καὶ εἰς τὴν ἐποχὴν τῶν Ἰουδαίων ἔρριψε τὸ μάννα ἀπὸ τὸν οὐρανόν, χωρὶς νὰ ἔχῃ τὴν ἀνάγκην κανενός· «διότι ἄρτον» λέγει «ἐκ τοῦ οὐρανοῦ ἔδωκεν εἰς αὐτούς»[20]. Καὶ τί λέγω ὅτι ὁ ἥλιος ἔχει ἀνάγκην καὶ ἄλλων παραγόντων διὰ νὰ δώσῃ εἰς τοὺς σπόρους ἀνάπτυξιν καὶ ζωήν, ἀφοῦ καὶ αὐτὸς ὁ ἴδιος ἔχει τὴν ἀνάγκην πολλῶν διὰ τὴν συντήρησίν του καὶ ὁ ἴδιος δὲν ἠμπορεῖ νὰ ἐπαρκέσῃ διὰ τὸν ἑαυτόν του; Διότι καὶ διὰ νὰ βαδίζῃ ἔχει τὸν οὐρανὸν ἀνάγκην ὡσὰν κάποιο ἔδαφος ποὺ εὑρίσκεται ὑποκάτω, καὶ διὰ νὰ φαίνεται ἔχει ἀνάγκην τῆς καθαρότητος καὶ τῆς λεπτότητος τοῦ ἀέρος, ὥστε ἂν γίνῃ οὗτος πυκνὸς πέραν τοῦ κανονικοῦ, δὲν ἠμπορεῖ ἐκεῖνος νὰ δείξῃ τὸ φῶς του καὶ διὰ νὰ μὴ εἶναι εἰς ὅλους ἀνυπόφορος καὶ διὰ νὰ μὴ κατακαύσῃ τὰ πάντα, ἔχει ἀνάγκην πάλιν ψυχρότητος καὶ δροσιᾶς.

Ἀφοῦ λοιπὸν ὑπάρχουν ἄλλα στοιχεῖα δυνατώτερα αὐτοῦ, καὶ διορθώνουν τὴν ἀσθένειαν αὐτοῦ (ὑπερισχύουν αὐτοῦ αἱ νεφέλαι καὶ οἱ τοῖχοι καὶ μερικὰ ἄλλα σώματα ποὺ ἀποκρύπτουν τὸ φῶς του· διορθώνουν δὲ τὴν ὑπερβολικήν του θερμότητα ἡ δροσιὰ καὶ αἱ πηγαὶ καὶ ἡ ψυχρότης τοῦ

Τὸν γὰρ Θεὸν ἀνενδεῆ εἶναι χρή, καὶ μηδενὸς δεῖσθαι, καὶ πᾶσιν ἁπάντων αἴτιον εἶναι τῶν καλῶν, καὶ παρὰ μηδενὸς κωλύεσθαι· καθάπερ οὖν καὶ περὶ τοῦ Θεοῦ φησιν ὁ Παῦλος καὶ ὁ προφήτης Ἡσαΐας, ὁ μὲν οὕτω λέγων ἐκ προσώπου αὐτοῦ, «Τὸν οὐρανὸν καὶ τὴν γῆν ἐγὼ πληρῶ, λέγει Κύριος»· καὶ πάλιν, «Θεὸς ἐγγίζων ἐγώ εἰμι, καὶ οὐ Θεὸς πόρρωθεν»· καὶ πάλιν ὁ Δαυΐδ, «Εἶπα τῷ Κυρίῳ, Κύριός μου εἶ σύ, ὅτι τῶν ἀγαθῶν μου οὐ χρείαν ἔχεις». Ὁ δὲ Παῦλος τὸ ἀνενδεὲς αὐτοῦ δηλῶν, καὶ δεικνὺς ὅτι ἀμφότερα ταῦτα μάλιστά ἐστι Θεοῦ, τὸ μηδενὸς δεῖσθαι, καὶ πᾶσιν αὐτὸν ἅπαντα χορηγεῖν, οὕτω πώς φησιν· «Ὁ Θεὸς ὁ ποιήσας τὸν οὐρανόν, καὶ τὴν γῆν, καὶ τὴν θάλασσαν, οὐ προσδεόμενός τινος αὐτός, διδοὺς πᾶσι ζωήν, καὶ τὰ πάντα».

5. Ἐνῆν μὲν οὖν καὶ τὰ λοιπὰ στοιχεῖα ἐπελθεῖν, τὸν οὐρανόν, τὸν ἀέρα, τὴν γῆν, τὴν θάλατταν, καὶ δεῖξαι αὐτῶν τὴν ἀσθένειαν, καὶ πῶς ἕκαστον τοῦ πλησίον δεῖται, καὶ τούτου χωρὶς ἀπόλλυται καὶ διαφθείρεται. Καὶ γὰρ καὶ ἡ γῆ ἐὰν ἀπολείπωσιν αὐτὴν αἱ πηγαί, καὶ ἡ παρὰ τῆς θαλάττης καὶ τῶν ποταμῶν ἐνσπειρομένη νοτίς, καταφρυγεῖσα ταχέως ἀπόλλυται, καὶ τὰ λοιπὰ δὲ στοιχεῖα ἄλλων δεῖται, καὶ ἀὴρ ἡλίου, ὥσπερ ἥλιος ἀέρος· ἀλλ' ἵνα μὴ μακρότερον ποιῶμεν τὸν λόγον, ἐκ τῶν εἰρημένων ἱκανὰς τοῖς βουλομένοις ἀφορμὰς δόντες ἀρκεσθησόμεθα.

Εἰ γὰρ ὁ πάσης τῆς κτίσεως θαυμαστότερος ἥλιος οὕτως ἀσθενὴς ὢν καὶ ἐνδεὴς ὤφθη, πολλῷ μᾶλλον τὰ λοιπὰ τοῦ κόσμου μέρη· ὅπερ οὖν εἶπον τοῖς φιλοπόνοις ἐκεῖνα δοὺς ἀναλέγεσθαι, αὐτὸς ἀπὸ τῶν Γραφῶν ὑμῖν διαλέξομαι

---

21. Ἱερ. 23, 24.
22. Ψαλμ. 15, 2.
23. Πράξ. 17, 24-25.

ἀέρος) πῶς εἶναι δυνατὸν νὰ εἶναι αὐτὸς Θεός; Διότι ὁ Θεὸς πρέπει νὰ εἶναι τέλειος καὶ νὰ μὴ ἔχῃ ἀνάγκην κανενὸς καὶ νὰ εἶναι εἰς ὅλα ἡ αἰτία τῶν καλῶν καὶ νὰ μὴ ὑφίσταται κανένα κακόν· καθὼς λοιπὸν καὶ περὶ τοῦ Θεοῦ λέγει ὁ Παῦλος καὶ ὁ προφήτης Ἡσαΐας ὁ ὁποῖος λέγει τὰ ἑξῆς· «τὸν οὐρανὸν καὶ τὴν γῆν ἐγὼ πληρῶ, λέγει Κύριος»· καὶ πάλιν· «Θεὸς εὑρισκόμενος πλησίον εἶμαι ἐγὼ καὶ ὄχι μακράν»[21]· καὶ πάλιν ὁ Δαβὶδ λέγει· «Εἶπα εἰς τὸν Κύριον σὺ εἶσαι ὁ πραγματικὸς Κύριός μου, διότι δὲν ἔχεις ἀνάγκην τῶν δώρων μου»[22]. Ὁ δὲ Παῦλος θέλων νὰ φανερώσῃ ὅτι ὁ Θεὸς δὲν ἔχει κανενὸς ἀνάγκην, καὶ ὅτι τὰ δύο αὐτὰ εἶναι ἴδιον τοῦ Θεοῦ, τὸ ὅτι δηλαδὴ δὲν ἔχει ἀνάγκην κανενὸς καὶ τὸ ὅτι αὐτὸς εἶναι ποὺ χορηγεῖ ὅλα, λέγει τὰ ἑξῆς· «Ὁ Θεὸς ποὺ ἐδημιούργησε τὸν οὐρανὸν καὶ τὴν γῆν καὶ τὴν θάλασσαν, δὲν ἔχει ἀνάγκην ἀπὸ τίποτε, αὐτὸς ποὺ δίδει εἰς ὅλα ζωὴν καὶ ὅλα ὅσα χρειάζονται πρὸς συντήρησίν των»[23].

5. Ἦτο λοιπὸν δυνατὸν καὶ τὰ ἄλλα στοιχεῖα τῆς φύσεως νὰ ἐξετάσωμεν, τὸν οὐρανόν, τὸν ἀέρα, τὴν γῆν, τὴν θάλασσαν, καὶ νὰ δείξωμεν τὴν ἀδυναμίαν αὐτῶν, καὶ πῶς κάθε ἕνα ἀπὸ αὐτὰ ἔχει ἀνάγκην τοῦ πλησίον του καὶ χωρὶς τὴν βοήθειαν αὐτοῦ χάνεται καὶ καταστρέφεται. Διότι καὶ ἡ γῆ, ἐὰν τὴν ἐγκαταλείψουν αἱ πηγαὶ καὶ ἡ ὑγρασία ποὺ ἐπέρχεται εἰς αὐτὴν ἀπὸ τὴν θάλασσαν καὶ τοὺς ποταμούς, θὰ κατακαῇ γρήγορα καὶ θὰ χαθῇ, καὶ τὰ ἄλλα στοιχεῖα τῆς φύσεως ἔχουν ἀνάγκην τὸ ἕνα τοῦ ἄλλου, καὶ ὁ ἀέρας ἔχει ἀνάγκην τοῦ ἡλίου, ὅπως καὶ ὁ ἥλιος τοῦ ἀέρος· ἀλλὰ διὰ νὰ μὴ κάμωμεν μακρότερον τὸν λόγον θὰ ἀρκεσθῶμεν εἰς αὐτά, ἀφοῦ μὲ ὅσα εἴπομεν ἐδώσαμεν ἀρκετὰς ἀφορμὰς εἰς ὅσους ἐπιθυμοῦν νὰ ἐρευνήσουν τὸ θέμα τοῦτο.

Διότι ἐὰν ὁ ἥλιος, ὁ ὁποῖος εἶναι τὸ θαυμαστότερον ἀπὸ ὅλα τὰ στοιχεῖα τῆς κτίσεως, φαίνεται τόσον ἀδύνατος καὶ ἐλλιπής, πολὺ περισσότερον τὰ ἄλλα μέρη τοῦ κόσμου· ἀλλὰ ὅπως εἶπα αὐτὸ θὰ τὸ ἐξετάσουν οἱ φιλόπονοι ἀκροαταί, ἐγὼ δὲ τώρα ἀπὸ τὰς Γραφὰς θὰ σᾶς ἀποδείξω ὅτι ὄχι μόνον ὁ

πάλιν, δεικνὺς ὅτι οὐχ ὁ ἥλιος μόνος, ἀλλὰ καὶ ἅπας φθαρτός ἐστιν οὗτος ὁ κόσμος. Ὅταν γὰρ ἀλλήλων ἀναλωτικὰ τὰ στοιχεῖα ᾖ, καὶ κολάζῃ μὲν τοῦ ἡλίου τὴν δύναμιν ψυχρότης ἐπιγινομένη πλέον, ἀναλίσκει δὲ ταύτην τὸ θερμὸν πάλιν ἐπικρατῆσαν, καὶ τὰς ἐναντίας ποιότητάς τε καὶ διαθέσεις ἐν ἀλλήλοις ποιεῖ καὶ πάσχει τὰ στοιχεῖα, εὔδηλον ὅτι μεγάλης φθορᾶς ταῦτα ἀπόδειξις, καὶ τοῦ σῶμα εἶναι πάντα τὰ ὁρώμενα.

Ἀλλ' ἐπειδὴ τῆς ἀφελείας τῆς ἡμετέρας ὑψηλότερος ὁ λόγος οὗτος, φέρε ἐπὶ τὴν γλυκεῖαν ὑμᾶς τῶν Γραφῶν ἀγαγόντες πηγήν, τὴν ἀκοὴν ὑμῶν ἀναπαύσωμεν. Οὐ γὰρ δὴ περὶ οὐρανοῦ καὶ γῆς κατὰ μέρος ὑμῖν ἐροῦμεν, ἀλλὰ περὶ πάσης ὁμοῦ τῆς κτίσεως τοῦτο αὐτὸ τὸν ἀπόστολον ἡμῖν ἀποφαινόμενον δείξομεν, καὶ λέγοντα σαφῶς οὕτως, ὅτι πᾶσα ἡ κτίσις φθορᾷ δουλεύει νῦν, καὶ διὰ τί δουλεύει, καὶ πότε αὐτῆς ἀπαλλαγήσεται, καὶ εἰς ποίαν μεταβήσεται λῆξιν. Εἰπὼν γάρ, ὅτι «Οὐκ ἄξια τὰ παθήματα τοῦ νῦν καιροῦ πρὸς τὴν μέλλουσαν δόξαν ἀποκαλύπτεσθαι εἰς ἡμᾶς», ἐπήγαγεν· «Ἡ γὰρ ἀποκαραδοκία τῆς κτίσεως τὴν ἀποκάλυψιν τῶν υἱῶν τοῦ Θεοῦ ἀπεκδέχεται· τῇ γὰρ ματαιότητι ἡ κτίσις ὑπετάγη οὐχ ἑκοῦσα, ἀλλὰ διὰ τὸν ὑποτάξαντα ἐπ' ἐλπίδι».

Ὃ δὲ λέγει τοιοῦτόν ἐστι· φθαρτή, φησίν, ἡ κτίσις ἐγένετο· τοῦτο γάρ ἐστι τό· «Τῇ ματαιότητι ὑπετάγη»· φθαρτὴ δὲ ἐγένετο τοῦ Θεοῦ κελεύσαντος οὕτως. Ἐκέλευσε δὲ ὁ Θεὸς οὕτω διὰ τὸ γένος τὸ ἡμέτερον· ἐπειδὴ γὰρ φθαρτὸν ἤμελλε τρέφειν ἄνθρωπον, καὶ αὐτὴν τοιαύτην εἶναι ἐχρῆν· οὐ γὰρ δὴ φθαρτὰ σώματα ἤμελλεν ἀφθάρτῳ ἐνδιαιτᾶσθαι κτίσει. Ἀλλ' ὅμως οὐ μένει τοιαύτη, φησίν, ἀλλὰ «Καὶ αὐτὴ ἡ κτίσις ἐλευθερωθήσεται ἀπὸ τῆς δουλείας τῆς φθορᾶς»· εἶτα δηλῶν πότε τοῦτο ἔσται καὶ διὰ τίνας, ἐπήγαγεν, «Εἰς

24. Ρωμ. 8, 19-20.
25. Ρωμ. 8, 21.

ἥλιος ἀλλὰ ὁλόκληρος ὁ κόσμος εἶναι φθαρτὸς καὶ πρόσκαιρος. Διότι ἀφοῦ τὰ στοιχεῖα ἀπὸ τὰ ὁποῖα ἀποτελεῖται εἶναι καταστρεπτικὰ τὸ ἕνα τοῦ ἄλλου καὶ μειώνει τὴν δύναμιν τοῦ ἡλίου ἡ ὑπερβολικὴ ψυχρότης, καταστρέφει δὲ αὐτὴν ἡ ἐπικράτησις τῆς θερμότητος, καὶ τὰς ἀντιθέτους ποιότητας καὶ διαθέσεις μεταξύ των ἐνεργοῦν καὶ πάσχουν τὰ στοιχεῖα, εἶναι ὁλοφάνερον ὅτι τοῦτο εἶναι ἀπόδειξις μεγάλης φθορᾶς καὶ ὅτι ὅλα ὅσα φαίνονται εἶναι φθαρτά, ὅπως τὸ σῶμα.

Ἀλλ' ἐπειδὴ ὁ λόγος αὐτὸς εἶναι ἀνώτερος ἀπὸ τὴν ἰδικήν μας ἁπλότητα, ἐμπρὸς ἂς μεταφερθῶμεν εἰς τὴν γλυκείαν πηγὴν τῶν Γραφῶν διὰ νὰ ἀναπαύσωμεν τὴν ἀκοήν σας. Διότι δὲν θὰ σᾶς ὁμιλήσωμεν περὶ οὐρανοῦ καὶ γῆς, ἀλλὰ περὶ ὅλης τῆς κτίσεως, μαζὶ θὰ σᾶς δείξωμεν τὸν ἴδιον τὸν ἀπόστολον νὰ λέγῃ καὶ νὰ τονίζῃ σαφῶς ὅτι ὅλη ἡ κτίσις δουλεύει τώρα εἰς τὴν φθοράν, καὶ διὰ ποίαν αἰτίαν δουλεύει, καὶ πότε θὰ ἀπαλλαγῇ ἀπὸ αὐτὴν τὴν δουλείαν, καὶ ποῖον θὰ εἶναι τὸ τέλος. Διότι ἀφοῦ εἶπεν ὅτι «δὲν εἶναι ἄξια νὰ συγκριθοῦν ὅσα ὑποφέρομεν εἰς τὸν τωρινὸν καιρὸν πρὸς τὴν δόξαν ποὺ θὰ δοθῇ εἰς ἡμᾶς» προσέθεσεν· «διότι καὶ αὐτὴ ἡ κτίσις μὲ μεγάλην ἀνυπομονησίαν περιμένει τὴν ἔνδοξον φανέρωσιν τῶν παιδιῶν τοῦ Θεοῦ· διότι ἡ κτίσις ὑπεδουλώθη εἰς τὴν ματαιότητα, ὄχι μὲ τὴν θέλησίν της, ἀλλὰ ἀπὸ τὸν Θεὸν ποὺ τὴν ὑπέταξε μὲ κάποιαν ἐλπίδα»[24].

Αὐτὸ δὲ ποὺ λέγει σημαίνει τὸ ἑξῆς· φθαρτή, λέγει, ἐδημιουργήθη ἡ κτίσις· διότι αὐτὸ σημαίνει τὸ «εἰς τὴν ματαιότητα ὑπεδουλώθη»· φθαρτὴ δὲ ἔγινε διότι ὁ Θεὸς διέταξεν ἔτσι. Διέταξε δὲ ὁ Θεὸς τοῦτο ἐξ αἰτίας τοῦ ἰδικοῦ μας γένους· διότι ἐπειδὴ ἐπρόκειτο νὰ τρέφῃ φθαρτὸν ἄνθρωπον, φθαρτὴ ἔπρεπε νὰ εἶναι καὶ αὐτή· διότι δὲν ἔπρεπε φθαρτὰ σώματα νὰ ζοῦν καὶ νὰ κατοικοῦν μέσα εἰς ἄφθαρτον κτίσιν. Ὅμως δὲν θὰ παραμείνῃ τοιαύτη, λέγει, ἀλλὰ «καὶ αὐτὴ ἡ κτίσις θὰ ἐλευθερωθῇ ἀπὸ τὴν δουλείαν τῆς φθορᾶς»[25]· ἔπειτα διὰ νὰ φανερώσῃ πότε θὰ γίνῃ τοῦτο, προσέθεσε, «διὰ νὰ

τὴν ἐλευθερίαν τῆς δόξης τῶν τέκνων τοῦ Θεοῦ». Ὅταν γὰρ ἀναστῶμεν, φησί, καὶ ἄφθαρτα λάβωμεν σώματα, τότε καὶ τοῦ οὐρανοῦ τὸ σῶμα, καὶ τῆς γῆς καὶ τῆς κτίσεως ἁπάσης ἄφθαρτον ἔσται καὶ ἀκήρατον.

Ὅταν οὖν ἴδῃς ἥλιον ἀνίσχοντα, θαύμασον τὸν δημιουργόν· ὅταν ἴδῃς αὐτὸν κρυπτόμενον καὶ ἀφανιζόμενον, κατάμαθε τῆς φύσεως τὴν ἀσθένειαν, καὶ μὴ προσκυνήσῃς αὐτὸν ὡς Θεόν. Διὰ γὰρ τοῦτο οὐ μόνον τῇ φύσει τῶν στοιχείων δεῖγμα τῆς ἀσθενείας αὐτῶν ἐγκατέθετο ὁ Θεός, ἀλλὰ καὶ τοῖς αὐτοῦ δούλοις ἀνθρώποις οὖσιν ἐπιτάξαι αὐτοῖς ἐκέλευσεν, ἵνα κἂν ἀπὸ τῆς ὄψεως μὴ γνωρίσῃς αὐτῶν τὴν δουλείαν ἀπὸ τῶν ἐπιταττόντων μάθῃς, ὅτι σύνδουλά σοί ἐστι ταῦτα ἅπαντα. Ὁ γοῦν Ἰησοῦς ὁ τοῦ Ναυή φησι· «Στήτω ὁ ἥλιος κατὰ Γαβαών, καὶ ἡ σελήνη κατὰ φάραγγα Αἰλών». Καὶ πάλιν ὁ προφήτης Ἡσαΐας ἀναποδίσαι αὐτὸν ἐπὶ τοῦ βασιλέως Ἐζεκίου πεποίηκε, καὶ Μωϋσῆς ἀέρι, καὶ θαλάττῃ, καὶ γῇ, καὶ πέτραις ἐπέταξεν· Ἐλισσαῖος ὑδάτων φύσιν μετέβαλεν, οἱ τρεῖς παῖδες πυρὸς περιεγένοντο. Ὁρᾷς πῶς ἑκατέρωθεν ἡμῶν προενόησεν ὁ Θεός, διὰ μὲν τοῦ κάλλους τῶν στοιχείων εἰς τὴν αὐτοῦ θεογνωσίαν ἡμᾶς ἄγων, διὰ δὲ τῆς ἀσθενείας οὐκ ἀφιεὶς εἰς τὴν ἐκείνων καταπεσεῖν λατρείαν;

6. Ὑπὲρ δὴ τούτων ἁπάντων δοξάσωμεν αὐτὸν τὸν κηδεμόνα ἡμῶν, μὴ διὰ ῥημάτων μόνον, ἀλλὰ καὶ διὰ πραγμάτων, καὶ πολιτείαν ἀρίστην ἐπιδειξώμεθα, τήν τ' ἄλλην, καὶ τὴν περὶ τοὺς ὅρκους ἐγκράτειαν λέγω. Οὐ γὰρ δὴ πᾶν ἁμάρτημα τὴν αὐτὴν φέρει κόλασιν, ἀλλὰ τὰ εὐκατόρθωτα μείζονα ἡμῖν ἐπάγει τὴν τιμωρίαν· ὅπερ οὖν καὶ ὁ Σολομὼν αἰνιττόμενος ἔλεγεν· «Οὐ θαυμαστὸν ἐὰν ἁλῷ τις κλέπτων· κλέπτει γὰρ ἵνα τὴν ψυχὴν αὐτοῦ ἐμπλήσῃ πεινῶ-

---

26. Αὐτόθι.
27. Ἰησ. Ναυῆ 10, 12.
28. Πρβλ. Ἠσ. 38, 8.
29. Πρβλ. Δ' Βασιλ. 2, 20, 3, 16.

λάβῃ μέρος εἰς τὴν ἐλευθερίαν τῆς ἐνδόξου καταστάσεως τῶν παιδιῶν τοῦ Θεοῦ»[26]. Διότι ὅταν θὰ ἀναστηθῶμεν, λέγει, μὲ αὐτά, καὶ θὰ λάβωμεν ἄφθαρτα σώματα, τότε καὶ τοῦ οὐρανοῦ τὸ σῶμα, καὶ τῆς γῆς καὶ τῆς κτίσεως ὅλης θὰ εἶναι ἀθάνατον καὶ ἄφθαρτον.

Ὅταν λοιπὸν ἰδῇς τὸν ἥλιον νὰ ἀνατείλλῃ, νὰ θαυμάσῃς τὸν δημιουργὸν αὐτοῦ· ὅταν τὸν ἰδῇς νὰ κρύπτεται καὶ νὰ ἐξαφανίζεται, νὰ ἐννοήσῃς τὴν ἀδυναμίαν τῆς φύσεως, καὶ νὰ μὴ τὸν προσκυνήσῃς ὡς Θεόν. Διὰ τοῦτο ὄχι μόνον εἰς τὴν φύσιν τῶν στοιχείων ἐνέβαλε δείγματα τῆς ἀδυναμίας αὐτῶν ὁ Θεός, ἀλλὰ καὶ εἰς τοὺς ἀνθρώπους, τοὺς δούλους του, διέταξε νὰ δώσουν διαταγὰς εἰς αὐτά, ὥστε, καὶ ἂν ἀκόμα δὲν γνωρίσῃς τὴν ἀδυναμίαν των ἀπὸ τὴν ὄψιν των, ἀπὸ ἐκείνους ποὺ τὰ διατάσσουν νὰ μάθῃς ὅτι ὅλα αὐτά, ὅπως καὶ σύ, εἶναι δοῦλοι. Ὁ Ἰησοῦς τοῦ Ναυῆ λέγει· «Νὰ σταθῇ ὁ ἥλιος ἐπάνω εἰς τὴν Γαβαών, καὶ ἡ σελήνη ἐπάνω εἰς τὴν φάραγγα Αἰλών»[27]. Καὶ πάλιν ὁ προφήτης Ἠσαΐας τὸν ἔκαμε νὰ γυρίσῃ πίσω ἐπὶ τοῦ βασιλέως Ἐζεκίου»[28], καὶ ὁ Μωϋσῆς τὸν ἀέρα, τὴν θάλασσαν, τὴν γῆν καὶ τοὺς βράχους διέταξεν· ὁ Ἐλισσαῖος μετέβαλε τὴν φύσιν τῶν ὑδάτων[29], καὶ οἱ τρεῖς παῖδες ὑπερίσχυσαν τῆς φωτιᾶς. Βλέπεις πῶς καὶ διὰ τῶν δύο ἐπρονόησεν ὁ Θεὸς δι' ἡμᾶς, διὰ μὲν τῆς ὡραιότητος τῶν στοιχείων ὁδηγῶν ἡμᾶς εἰς τὴν θεογνωσίαν αὐτοῦ, καὶ διὰ τῆς ἀδυναμίας τούτων μὴ ἐπιτρέπων ἡμᾶς νὰ καταπέσωμεν εἰς τὴν λατρείαν ἐκείνων;

6. Λοιπὸν δι' ὅλα αὐτὰ ἂς δοξάσωμεν τὸν Θεὸν ποὺ φροντίζει δι' ἡμᾶς, ὄχι μόνον μὲ λόγια, ἀλλὰ καὶ μὲ ἔργα, καὶ ἂς ἐπιδείξωμεν ἄριστον βίον καὶ ὡς πρὸς τὰ ἄλλα, καὶ ὡς πρὸς τὴν ἐγκράτειαν τῶν ὅρκων. Διότι βεβαίως δὲν ἐπιφέρει τὴν ἰδίαν τιμωρίαν κάθε ἁμάρτημα, ἀλλὰ ἐκεῖνα ποὺ εὔκολα κατορθώνονται, ἐπιφέρουν εἰς ἡμᾶς μεγαλυτέραν τιμωρίαν· τοῦτο καὶ ὁ Σολομῶν ὑπαινίσσετο καὶ ἔλεγε· «Δὲν εἶναι παράξενον ἂν συλληφθῇ κάποιος νὰ κλέπτῃ· διότι κλέπτει διὰ νὰ χορτάσῃ ἐπειδὴ πεινᾷ· ὁ μοιχὸς ὅμως ἀπὸ

σαν· ὁ δὲ μοιχὸς δι' ἔνδειαν φρενῶν ἀπώλειαν τῇ ἑαυτοῦ ψυχῇ περιποιεῖται». Ὃ δὲ λέγει τοιοῦτόν ἐστι· δεινὸν μὲν καὶ ὁ κλέπτης, ἀλλ' οὐχ οὕτω δεινὸν ὡς ὁ μοιχός· ἐκεῖνος μὲν γὰρ εἰ καὶ ψυχρὰν αἰτίαν, ἀλλ' ὅμως ἔχει προβαλέσθαι τὴν ἀπὸ τῆς πενίας ἀνάγκην, οὗτος δὲ οὐδεμιᾶς ἀνάγκης αὐτὸν βιαζομένης ὑπὸ ἀνοίας μόνης εἰς τὸ βάραθρον καταπίπτει τῆς ἁμαρτίας.

Τοῦτο καὶ ἐπὶ τῶν ὀμνυόντων ἐστὶν εἰπεῖν· οὐδὲ γὰρ οὗτοί τινα πρόφασιν ἔχουσι προβαλέσθαι, ἀλλὰ καταφρόνησιν μόνον. Καὶ οἶδα μὲν ὅτι ἐπαχθὴς εἶναι δοκῶ λοιπὸν καὶ φορτικός, τῇ συνεχείᾳ τῆς παραινέσεως δοκῶν ἐνοχλεῖν, ἀλλ' ὅμως οὐκ ἀφίσταμαι, ἵνα κἂν τὴν ἀναισχυντίαν αἰδεσθέντες τὴν ἐμήν, ἀποστῆτε τῆς πονηρᾶς τῶν ὅρκων συνηθείας. Εἰ γὰρ ὁ δικαστὴς ἐκεῖνος ὁ ἀπηνὴς καὶ ὠμός, χήρας ἐνόχλησιν αἰδεσθεὶς τὸν τρόπον μετέβαλε, πολλῷ μᾶλλον ὑμεῖς τοῦτο ἐργάσεσθε, καὶ μάλιστα ὅταν ὁ παρακαλῶν ὑμᾶς μὴ ὑπὲρ ἑαυτοῦ, ἀλλ' ὑπὲρ τῆς ὑμετέρας τοῦτο ποιῇ σωτηρίας· μᾶλλον δὲ καὶ ὑπὲρ ἐμαυτοῦ οὐκ ἂν ἀρνησαίμην τοῦτο ποιεῖν· τὰ γὰρ ὑμέτερα ἀγαθὰ ἐμαυτοῦ νομίζω εἶναι κατορθώματα. Ἐβουλόμην δὲ ὑμᾶς, ὥσπερ ἐγὼ πονῶ καὶ κόπτομαι περὶ τῆς ὑμετέρας σωτηρίας, οὕτω καὶ ὑμᾶς φροντίσαι τῆς ὑμετέρας ψυχῆς, καὶ πάντως ἂν τέλος ἔλαβε τουτὶ τὸ κατόρθωμα.

Καὶ τί χρὴ τὰ πολλὰ λέγειν; Εἰ γὰρ μηδὲ γέεννα ἦν, μηδὲ κόλασις παρακούουσι, μηδὲ μισθὸς ὑπακούουσιν, ἐγὼ δὲ προσελθὼν ὑμῖν τοῦτο ἐν χάριτι ᾔτησα μέρει, ἆρα οὐκ ἂν ἐπενεύσατε; οὐκ ἂν ἐδώκατε τὴν αἴτησιν κούφην οὕτως αἰτοῦντι χάριν; Ὅταν δὲ ὁ Θεὸς αὐτὴν αἰτῶν ᾖ δι' ὑμᾶς τοὺς διδόντας, οὐ δι' ἑαυτὸν τὸν λαμβάνοντα, τίς οὕτως ἀγνώμων, τίς οὕτως ἄθλιος καὶ ταλαίπωρος, ὡς Θεῷ χάριν

30. Παροιμ. 6, 30-32.

ἔλλειψιν νοῦ καταστρέφει τὴν ψυχήν του»[30]. Αὐτὸ δὲ ποὺ λέγει σημαίνει τὸ ἑξῆς· εἶναι κακὸν τὸ νὰ εἶναι κανεὶς κλέπτης, ἀλλὰ ὄχι τόσον κακὸν ὅσον τὸ νὰ εἶναι μοιχός· διότι ἐκεῖνος ἔχει νὰ προβάλῃ, ἂν καὶ ὄχι σοβαρὰν δικαιολογίαν, τὴν ἀνάγκην τῆς πείνας, αὐτὸς ὅμως ποὺ δὲν βιάζεται ἀπὸ καμμίαν ἀνάγκην, ἐξ αἰτίας τῆς μωρίας του πέφτει εἰς τὸ βάραθρον τῆς ἁμαρτίας.

Τοῦτο καὶ δι' αὐτοὺς ποὺ ὁρκίζονται ἠμποροῦμεν νὰ τὸ εἰποῦμεν· διότι καὶ αὐτοὶ οὐδεμίαν πρόφασιν ἔχουν νὰ προβάλλουν, ἀλλὰ τὴν καταφρόνησιν μόνον. Καὶ γνωρίζω ὅτι σᾶς φαίνομαι δυσάρεστος καὶ φορτικός, καὶ σᾶς ἔγινα ἐνοχλητικὸς μὲ τὰς συνεχεῖς παραινέσεις, ἀλλ' ὅμως δὲν θὰ ἀπομακρυνθῶ ἀπὸ τὰς συμβουλάς μου, ὥστε νὰ κόψετε τὴν κακὴν αὐτὴν συνήθειαν τῶν ὅρκων ἐντρεπόμενοι τὴν ἰδικήν μου ἀναισχυντίαν. Διότι ἐὰν ὁ δικαστὴς ἐκεῖνος ὁ ἄκαμπτος καὶ σκληρός, ἐντραπεὶς ἀπὸ τὴν ἐνόχλησιν τῆς χήρας ἤλλαξε στάσιν, πολὺ περισσότερον σεῖς θὰ κάμετε τοῦτο, καὶ μάλιστα ὅταν αὐτὸς ποὺ σᾶς παρακαλεῖ δὲν τὸ κάμει χάριν τοῦ ἑαυτοῦ του, ἀλλὰ τὸ κάμει αὐτὸ διὰ τὴν ἰδικήν σας σωτηρίαν· μᾶλλον δὲ καὶ διὰ τὸν ἑαυτόν μου δὲν θὰ ἤθελα νὰ ἀρνηθῶ νὰ κάμω τοῦτο· διότι τὰ ἰδικά σας ἀγαθὰ νομίζω ὅτι εἶναι ἰδικά μου κατορθώματα. Ἐπιθυμῶ δὲ σεῖς, ὅπως ἐγὼ τώρα κοπιάζω καὶ κόπτομαι διὰ τὴν ἰδικήν σας σωτηρίαν, ἔτσι καὶ σεῖς νὰ φροντίσετε διὰ τὴν ψυχήν σας, καὶ τότε ὁπωσδήποτε θὰ ἐφέρατε εἰς τέλος τὸ κατόρθωμα τοῦτο.

Καὶ διατί πρέπει νὰ εἰπῶ πολλά; Διότι ἐὰν δὲν ὑπῆρχε γέεννα, οὔτε τιμωρία διὰ τοὺς παραβάτας, οὔτε ἀμοιβὴ δι' αὐτοὺς ποὺ τηροῦν τὰς ἐντολάς, καὶ ἐγὼ σᾶς ἐζητοῦσα τοῦτο ὡς χάριν, ἆρά γε δὲ θὰ τὸ ἐκάνατε; Δὲν θὰ μοῦ ἐδίδατε αὐτὸ ποὺ θὰ σᾶς ἐζητοῦσα, ἀφοῦ θὰ ἦτο τόσον εὔκολον; Ὅταν δὲ ὁ Θεὸς ζητῇ αὐτὴν τὴν χάριν πρὸς τὸ συμφέρον τὸ ἰδικόν σας, καὶ ὄχι τὸ ἰδικόν του, ποῖος θὰ εἶναι τόσον ἀγνώμων, τόσον ἄθλιος καὶ ταλαίπωρος, ὥστε, ἐνῷ ὁ Θεὸς ζητεῖ αὐτὴν τὴν χάριν, νὰ μὴ τοῦ τὴν δώσῃ καὶ ὅταν μάλι-

αἰτοῦντι μὴ δοῦναι, καὶ μάλιστα ὅταν αὐτὸς ἀπολαύειν μέλλῃ τῆς χάριτος ὁ διδούς;

Ταῦτ' οὖν ἐννοήσαντες, καὶ πρὸς ἑαυτοὺς ἀναχωρήσαντες ἐντεῦθεν, λέγετε τὰ εἰρημένα ἅπαντα, καὶ τοὺς μὴ προσέχοντας παντὶ διορθοῦτε τρόπῳ, ἵνα καὶ τῶν οἰκείων καὶ τῶν ἀλλοτρίων κατορθωμάτων τὴν ἀμοιβὴν ἀπολάβωμεν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, δι' οὗ καὶ μεθ' οὗ τῷ Πατρὶ ἡ δόξα ἅμα τῷ ἁγίῳ Πνεύματι εἰς τοὺς αἰῶνας τῶν αἰώνων· Ἀμήν.

στα αὐτὸς ποὺ θὰ δώσῃ τὴν χάριν αὐτὴν θὰ ὠφεληθῇ ἐξ αὐτῆς;

Αὐτὰ λοιπὸν ἀφοῦ κατανοήσετε καὶ πάρετε εἰς τὸ σπίτι σας, νὰ λέγετε ὅλα ὅσα ἐλέχθησαν, καὶ ἐκείνους ποὺ δὲν προσέχουν μὲ κάθε τρόπον νὰ διορθώνετε, διὰ νὰ ἀπολαύσωμεν τὴν ἀμοιβὴν καὶ τῶν ἰδικῶν μας καὶ τῶν ξένων κατορθωμάτων, διὰ τῆς χάριτος καὶ φιλανθρωπίας τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, διὰ τοῦ ὁποίου καὶ μετὰ τοῦ ὁποίου εἰς τὸν Πατέρα ἂς εἶναι ἡ δόξα συγχρόνως καὶ εἰς τὸ ἅγιον Πνεῦμα, εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ΟΜΙΛΙΑ ΕΝΔΕΚΑΤΗ

ΕΥΧΑΡΙΣΤΙΑ ΠΡΟΣ ΤΟΝ ΘΕΟΝ

Περὶ τῆς ἀπαλλαγῆς τῶν ἐκ τῆς στάσεως προσδοκηθέντων κακῶν, καὶ ἀνάμνησις τῶν τότε συμβάντων· ἔτι δὲ καὶ κατὰ τῶν τὸ σῶμα ἡμῶν διαβαλλόντων· καὶ περὶ τῆς τοῦ ἀνθρώπου κατασκευῆς· καὶ πρὸς τῷ τέλει περὶ τοῦ κατορθῶσαι τὸ μὴ ὀμνύειν.

1. Ἐπειδὰν ἐννοήσω τὸν παρελθόντα χειμῶνα, καὶ τὴν παροῦσαν γαλήνην, οὐ παύομαι λέγων, εὐλογητὸς ὁ Θεὸς ὁ ποιῶν πάντα, καὶ μετασκευάζων αὐτά· ὁ ποιήσας φῶς ἐκ σκότους, ὁ κατάγων εἰς πύλας ᾅδου καὶ ἀνάγων, ὁ παιδεύων καὶ μὴ θανατῶν· καὶ τοῦτο καὶ ὑμᾶς λέγειν βούλομαι διηνεκῶς, καὶ μὴ διαλιμπάνειν· εἰ γὰρ αὐτὸς τοῖς ἔργοις ἡμᾶς εὐηργέτησε, τίνος ἂν εἴημεν ἄξιοι συγγνώμης ἡμεῖς, μηδὲ λόγοις αὐτὸν ἀμειβόμενοι; Διὸ παρακαλῶ μηδέποτε διαλιμπάνειν εὐχαριστοῦντας αὐτῷ· ἂν γὰρ περὶ τὰ πρῶτα γενώμεθα εὐγνώμονες, εὔδηλον ὅτι καὶ ἑτέρων μειζόνων ἀπολαύσομεν.

Λέγωμεν τοίνυν διηνεκῶς, εὐλογητὸς ὁ Θεός, ὁ καὶ ἡμῖν δοὺς μετὰ ἀδείας τὴν εἰωθυῖαν ὑμῖν παραθεῖναι τράπεζαν, καὶ ὑμῖν παρασχὼν μετὰ τοῦ θαρρεῖν τῶν ἡμετέρων ἀκροᾶσθαι λόγων. Εὐλογητὸς ὁ Θεός, ὅτι οὐκέτι τὸν ἔξωθεν φεύγοντες κίνδυνον, ἀλλ' ἀκροάσεως ἐπιθυμοῦντες ἐνταῦθα συντρέχομεν, οὐκέτι μετὰ ἀγωνίας καὶ τρόμου καὶ φροντίδος ἀλλήλοις συγγινόμεθα, ἀλλὰ μετὰ ἀδείας πολλῆς

1. Πρβλ. Ἀμὼς 5, 8 Ἰὼβ 37, 15.
2. Πρβλ. Α' Βασ. 2, 6.

ΟΜΙΛΙΑ ΕΝΔΕΚΑΤΗ

ΕΥΧΑΡΙΣΤΙΑ ΠΡΟΣ ΤΟΝ ΘΕΟΝ

διὰ τὴν ἀπαλλαγὴν ἀπὸ τὰ κακὰ ποὺ ἀνεμένοντο ἕνεκα τῆς στάσεως, καὶ ἀνάμνησις ἐκείνων ποὺ συνέβησαν τότε· καὶ ἐναντίον ἐκείνων ποὺ κατηγοροῦν τὸ σῶμα μας· καὶ περὶ τῆς κατασκευῆς τοῦ ἀνθρώπου· καὶ τέλος περὶ τοῦ πῶς νὰ ἐπιτύχωμεν νὰ μὴ ὁρκιζώμεθα.

1. Ὅταν ἐνθυμηθῶ τὴν παρελθοῦσαν τρικυμίαν καὶ τὴν παροῦσαν γαλήνην δὲν παύω νὰ λέγω, εὐλογητὸς ἂς εἶναι ὁ Θεὸς ὁ ὁποῖος ἐπιτρέπει ὅλα καὶ μεταβάλλει ὅλα μετά· αὐτὸς ποὺ παρήγαγε τὸ φῶς ἀπὸ τὸ σκότος[1], αὐτὸς ποὺ ὁδηγεῖ μέχρι τὰς πύλας τοῦ Ἅδου καὶ πάλιν ἀνυψώνει ἀπὸ ἐκεῖ[2]· αὐτὸς ποὺ τιμωρεῖ, ἀλλὰ δὲν θανατώνει· καὶ τοῦτο θέλω καὶ σεῖς συνεχῶς νὰ λέγετε καὶ νὰ μὴ τὸ παραλείπετε· διότι ἐὰν αὐτὸς μᾶς εὐηργέτησε διὰ τῶν ἔργων, ποίας συγγνώμης θὰ εἴμεθα ἄξιοι, ὅταν ἡμεῖς δὲν τὸν ἀμείβωμεν οὔτε μὲ λόγια; Διὰ τοῦτο σᾶς παρακαλῶ νὰ μὴ παραλείπετε ποτὲ νὰ εὐχαριστῆτε αὐτόν· διότι ἂν εἰς τὰ πρῶτα φανοῦμεν εὐγνώμονες εἶναι ὁλοφάνερον ὅτι καὶ ἄλλα μεγαλύτερα ἀγαθὰ θὰ ἀπολαύσωμεν.

Ἂς λέγωμεν λοιπὸν συνεχῶς, ἂς εἶναι εὐλογητὸς ὁ Θεός, ὁ ὁποῖος ἔδωκε καὶ εἰς ἡμᾶς τὴν εὐκαιρίαν μὲ θάρρος νὰ παραθέσωμεν εἰς σᾶς τράπεζαν πνευματικήν, καὶ εἰς σᾶς ἐπέτρεψε μὲ θάρρος νὰ ἀκοῦτε τοὺς λόγους μου. Εὐλογητὸς ἂς εἶναι ὁ Θεός, διότι συγκεντρωνόμεθα ἐδῶ ὄχι διὰ νὰ ἀποφύγωμεν τὸν ἐξωτερικὸν κίνδυνον, ἀλλὰ διὰ νὰ ἀκούσωμεν τὸ κήρυγμα, καὶ τώρα πλέον δὲν πλησιάζει ὁ ἕνας τὸν ἄλλον μὲ ἀγωνίαν καὶ τρόμον καὶ φροντίδα, ἀλλὰ μὲ θάρρος

ἅπαν ἀποτιναξάμενοι τὸ δέος· ὡς τάς γε ἔμπροσθεν ἡμέρας τῶν κλυδωνιζομένων ἐν μέσῳ πελάγει, καὶ ναυάγιον καθ' ἑκάστην προσδοκώντων τὴν ὥραν, οὐδὲν ἄμεινον διεκείμεθα, μυρίαις δι' ὅλης ἡμέρας σοβούμενοι φήμαις, ταραττόμενοι, καὶ δονούμενοι πάντοθεν καὶ καθ' ἑκάστην ἡμέραν περιεργαζόμενοι καὶ πολυπραγμονοῦντες, τίς ἀφῖκται ἐκ τοῦ στρατοπέδου; τί δὲ ἐλθὼν ἀπήγγειλε, καὶ πότερον ἀληθὲς ἢ ψευδὲς τὸ λεγόμενον; καὶ νύκτας ἀΰπνους διατελοῦντες, καὶ τὴν πόλιν ὁρῶντες καὶ δακρύοντες ὡς αὐτίκα ἀπολλυμένην.

Διὰ τοῦτο καὶ ἡμεῖς τὰς ἔμπροσθεν ταύτας ἐσιγήσαμεν ἡμέρας, διὰ τὸ κεκενῶσθαι τὴν πόλιν ἡμῶν ἅπασαν, καὶ πρὸς τὰς ἐρημίας μετῳκίσθαι πάντας, καὶ διὰ τὸ τοὺς ὑπολειφθέντας κεκακῶσθαι τῷ νέφει τῆς ἀθυμίας. Ψυχὴ γὰρ ἅπαξ ἀθυμίας πλησθεῖσα, πρὸς πᾶσιν ἀκρόασίν ἐστιν ἀνεπιτήδειος. Διὰ τοῦτο καὶ οἱ τοῦ Ἰὼβ φίλοι παραγενόμενοι, καὶ τὴν τραγῳδίαν τῆς οἰκίας ἐκείνης ἰδόντες, καὶ τὸν δίκαιον ἐπὶ τῆς κοπρίας καθήμενον, καὶ ἡλκωμένον, διέρρηξάν τε τὰ ἱμάτια αὐτῶν, καὶ ἀνῴμοξαν, καὶ σιγῇ παρεκάθηντο, δηλοῦντες ὅτι οὐδὲν οὕτως ἐπιτήδειον παρὰ τὴν ἀρχὴν τοῖς ὀδυνωμένοις ὡς ἡσυχία καὶ σιγή· καὶ γὰρ ἦν μεῖζον παραμυθίας τὸ πάθος. Διὰ τοῦτο καὶ οἱ Ἰουδαῖοι τῷ πηλῷ, καὶ τῇ πλινθείᾳ προσδεδεμένοι, Μωσέα παραγενόμενον ἰδόντες, οὐκ ἐδύναντο τοῖς λεγομένοις προσέχειν ἀπὸ τῆς ὀλιγοψυχίας καὶ τῆς θλίψεως αὐτῶν.

Καὶ τί θαυμαστὸν εἰ μικρόψυχοί τινες ἄνθρωποι τοῦτο ἔπαθον, ὅπου καὶ τοὺς μαθητὰς εὑρίσκομεν τούτῳ περιπεσόντας τῷ πάθει; Μετὰ γὰρ τὸ μυστικὸν ἐκεῖνο δεῖπνον, ἐπειδὴ λαβὼν αὐτοὺς ὁ Χριστὸς κατ' ἰδίαν διελέγετο, παρὰ μὲν τὴν ἀρχὴν συνεχῶς αὐτὸν ἠρώτων αἱ μαθηταί, ποῦ ὑπάγεις; Ἐπειδὴ δὲ εἶπεν αὐτοῖς τὰ μικρὸν ὕστερον αὐτοὺς

3. Ἐξ. 5, 19-21.

πολύ, ἐπειδὴ ἀπετινάξαμεν τὸν φόβον· διότι τὰς προηγουμένας ἡμέρας δὲν διεφέραμεν ἀπὸ ἐκείνους ποὺ ὑφίστανται τρικυμίαν εἰς τὸ μέσον τῆς θαλάσσης, καὶ περιμένουν ἀπὸ ὥραν εἰς ὥραν νὰ ναυαγήσουν, διότι ἀναρίθμητοι φῆμαι καθ' ὅλην τὴν ἡμέραν μᾶς ἀνησυχοῦσαν, μᾶς ἐτάρασσον καὶ μᾶς ἐκουνοῦσαν ἀπὸ παντοῦ καὶ κάθε ἡμέραν μὲ ἀγωνίαν καὶ περιέργειαν ἐρωτούσαμεν, ποῖος ἦλθεν ἀπὸ τὸ στρατόπεδον; Τί εἶπεν αὐτὸς ποὺ ἦλθε; καὶ εἶναι ἀλήθεια ἢ ψέματα ὅσα μᾶς εἶπε; Καὶ ἐπεράσαμεν νύκτας ἄϋπνοι καὶ ἐβλέπαμεν τὴν πόλιν μὲ δάκρυα ὡς καταστρεφομένην ἀπὸ στιγμῆς εἰς στιγμήν.

Διὰ τοῦτο καὶ ἡμεῖς τὰς προηγουμένας αὐτὰς ἡμέρας ἐσιωπήσαμεν, ἐπειδὴ εἶχε ἀδειάσει ὅλη ἡ πόλις καὶ ἐπῆγαν οἱ ἄνθρωποι νὰ κατοικήσουν εἰς τὰς ἐρήμους καὶ ἐπειδὴ ἀκόμη καὶ ὅσοι ἔμειναν ἐδῶ εἶχον σκοτισθῆ ἀπὸ τὴν μεγάλην λύπην. Διότι ἡ ψυχὴ ποὺ ἐγέμισεν ἅπαξ διὰ λύπης, εἶναι ἀκατάλληλος πρὸς κάθε εἴδους ἀκρόασιν. Διὰ τοῦτο καὶ οἱ φίλοι τοῦ Ἰὼβ ὅταν ἦλθον πρὸς αὐτὸν καὶ ἀντίκρυσαν τὴν τραγικὴν κατάστασιν τῆς οἰκίας του, καὶ τὸν δίκαιον νὰ κάθεται ἐπάνω εἰς τὴν κόπρον καὶ νὰ ἔχῃ πληγὰς καὶ ἔσχισαν τὰ ἐνδύματά των καὶ ἐθρήνησαν, καὶ παρέμειναν σιωπηλοί, φανερώνοντες ὅτι τίποτε δὲν εἶναι τόσον κατάλληλον πρᾶγμα εἰς τοὺς θλιβομένους εἰς τὴν ἀρχήν, ὅσον ἡ ἡσυχία καὶ ἡ σιωπή· διότι αὐτὸ ποὺ ἔπαθεν ἦτο μεγαλύτερον ἀπὸ τὴν παρηγορίαν. Διὰ τοῦτο καὶ οἱ Ἰουδαῖοι ὅταν εἰργάζοντο εἰς τὴν λάσπην καὶ τοὺς πλίνθους καὶ εἶδαν νὰ τοὺς ἐπισκέπτεται ὁ Μωυσῆς[3], δὲν ἠμποροῦσαν νὰ δώσουν προσοχὴν εἰς ὅσα τοὺς ἔλεγε λόγῳ τῆς μικροψυχίας καὶ τῆς θλίψεώς των.

Καὶ τί τὸ παράδοξον ἂν κάποιοι μικρόψυχοι ἄνθρωποι ἔπαθαν τοῦτο, ἀφοῦ καὶ οἱ μαθηταὶ τοῦ Χριστοῦ περιέπεσαν εἰς τὸ ἴδιον τοῦτο πάθος; Διότι μετὰ τὸν μυστικὸν δεῖπνον, ὅταν τοὺς ἐπῆρεν ὁ Χριστὸς ἰδιαιτέρως καὶ τοὺς ὡμιλοῦσεν, εἰς τὴν ἀρχὴν τῆς ὁμιλίας συνεχῶς τὸν ἐρωτοῦσαν οἱ μαθηταὶ ποῦ πηγαίνεις; Ὅταν δὲ εἶπεν εἰς αὐτοὺς τὰ κακὰ ποὺ

διαδεξόμενα κακά, τοὺς πολέμους, τὰς ἐπαναστάσεις, τὰς ἀπεχθείας τὰς παρὰ πάντων, τὰς μάστιγας, τὰ δεσμωτήρια, τὰς ἀπαγωγάς, ὥσπερ τινὶ φορτίῳ βαρυτάτῳ τῷ φόβῳ τῶν εἰρημένων, καὶ τῇ τῶν μελλόντων ἀθυμίᾳ πιεζομένη τότε αὐτῶν ἡ ψυχή, ἀχανὴς λοιπὸν ἔμεινε. Διὸ συγχυθέντας αὐτοὺς ἰδὼν ὁ Χριστός, αὐτὸ τοῦτο ὀνειδίζων ἔλεγε, «Πορεύομαι πρὸς τὸν Πατέρα μου, καὶ οὐδεὶς ἐξ ὑμῶν ἐρωτᾷ με, ποῦ ὑπάγεις; Ἀλλ' ὅτι ταῦτα λελάληκα ὑμῖν, ἡ λύπη πεπλήρωκεν ὑμῶν τὴν καρδίαν».

Διὰ τοῦτο καὶ ἡμεῖς ἐσιγήσαμεν τὸν παρελθόντα χρόνον, τὸν παρόντα καιρὸν ἀναμένοντες. Εἰ γὰρ ὁ μέλλων δεῖσθαί τινος, κἂν εὔλογα μέλλῃ προτείνειν, ἐπιτηδειότητα ἀναμένει καιροῦ, ὅπως ἡμέρῳ καὶ εὖ διακειμένῳ τῷ μέλλοντι διδόναι τὴν αἴτησιν προσέλθοι, καὶ τὴν ἀπὸ τοῦ καιροῦ λαβὼν συμμαχίαν ἐπιτύχοι τῆς χάριτος, πολλῷ μᾶλλον τὸν λέγοντα καιρὸν ἐπιτήδειον ζητεῖν χρή, ὅπως εὖ διακειμένῳ τῷ ἀκροατῇ, καὶ πάσης ἀπηλλαγμένῳ φροντίδος καὶ ἀθυμίας προσαγάγῃ τοὺς λόγους, ὃ δὴ καὶ ἡμεῖς πεποιήκαμεν.

2. Νῦν γοῦν ἐπειδὴ τὴν ἀθυμίαν ἀπετινάξασθε, καὶ τῶν προτέρων ὑμᾶς ἀναμνῆσαι βουλόμεθα, ὥστε σαφέστερον ὑμῖν γενέσθαι τὸν λόγον· ὃ γὰρ περὶ τῆς κτίσεως εἰρήκαμεν, ὅτι οὐχὶ καλὴν μόνον, καὶ θαυμαστήν, καὶ μεγάλην αὐτὴν ἐποίησεν ὁ Θεός, ἀλλὰ καὶ ἀσθενῆ, καὶ φθαρτήν, καὶ τούτων αὐτῶν πάλιν πολλὰ ἐγκατέθηκε δείγματα, ἀμφότερα πρὸς τὸ χρήσιμον ἡμῖν οἰκονομῶν, καὶ διὰ μὲν τοῦ κάλλους εἰς τὸ θαῦμα τοῦ πεποιηκότος ἐνάγων, διὰ δὲ τῆς ἀσθενείας

4. Ἰω. 16, 5-6.

θὰ τοὺς διαδεχθοῦν μετά, τοὺς πολέμους, τὰς ἐπαναστάσεις, τὴν ἐκ μέρους ὅλων ἀπέχθειαν, τὰς μαστιγώσεις, τὰς φυλακάς, τὰ δικαστήρια, τὰς ἀπαγωγάς, τότε ἡ ψυχὴ αὐτῶν, ὡσὰν νὰ ἐπιέζετο ἀπὸ κάποιο βαρὺ φορτίον ἀπὸ τὸν φόβον τῶν λεχθέντων καὶ ἀπὸ τὴν λύπην διὰ τὰ μέλλοντα, ἔμεινεν ἄφωνος. Διὰ τοῦτο, ἐπειδὴ τοὺς εἶδε νὰ ἔχουν συγχυσθῆ τοὺς μαλώνει δι' αὐτὸ καὶ τοὺς λέγει· «Πηγαίνω πρὸς τὸν Πατέρα μου καὶ κανεὶς ἀπὸ σᾶς δὲν μὲ ἐρωτᾷ ποῦ πηγαίνεις; Ἐπειδὴ ὅμως αὐτὰ σᾶς εἶπα ἐγέμισεν ἡ λύπη τὴν ψυχήν σας»[4].

Διὰ τοῦτο καὶ ἡμεῖς ἐσιωπήσαμεν τὰς προηγουμένας ἡμέρας, καὶ ἐπεριμέναμεν τὴν κατάλληλον εὐκαιρίαν. Διότι ἂν ἐκεῖνος ποὺ εὑρίσκεται εἰς τὴν ἀνάγκην νὰ ζητήσῃ κάτι, βέβαια ὄχι κάποιο παράλογον πρᾶγμα, περιμένει τὴν κατάλληλον εὐκαιρίαν, ὅταν θὰ ἀπευθυνθῇ εἰς ἐκεῖνον ὁ ὁποῖος πρόκειται νὰ τοῦ δώσῃ, νὰ εἶναι ἥμερος καὶ εὐδιάθετος, ὥστε ἐπωφελούμενος τῆς εὐκαιρίας νὰ ἐπιτύχῃ αὐτὸ ποὺ θέλει, πολὺ περισσότερον ἐκεῖνος ποὺ ὁμιλεῖ πρέπει νὰ ἐπιζητῇ νὰ εὕρῃ τὸν κατάλληλον χρόνον κατὰ τὸν ὁποῖον θὰ εἶναι διατεθειμένος καλῶς ὁ ἀκροατὴς καὶ ἀπηλλαγμένος ἀπὸ κάθε φροντίδα διὰ νὰ τοῦ προσφέρῃ τοὺς λόγους, πρᾶγμα τὸ ὁποῖον καὶ ἐμεῖς ἐκάμαμεν.

2. Τώρα λοιπὸν ἐπειδὴ ἀπεμακρύνατε τὴν λύπην σας, ἐπιθυμοῦμεν νὰ σᾶς ὑπενθυμίσωμεν ἐκεῖνα ποὺ εἴπομεν εἰς τὴν προηγουμένην ὁμιλίαν, διὰ νὰ γίνῃ εἰς σᾶς σαφέστερος ὁ λόγος· διότι ἐκεῖνο ποὺ εἴπομεν περὶ τῆς κτίσεως, ὅτι δηλαδὴ ὄχι μόνον καλὴν καὶ θαυμαστὴν καὶ μεγάλην τὴν ἔκαμεν ὁ Θεός, ἀλλὰ καὶ ἀσθενῆ καὶ φθαρτὴν καὶ ὅτι ἔθεσεν ἐντὸς αὐτῆς πολλὰ δείγματα τούτων, δηλαδὴ τῆς ἀδυναμίας καὶ τῆς φθορᾶς, ὥστε καὶ διὰ τῶν δύο τούτων νὰ ὠφελήσῃ εἰς τὸν θαυμασμὸν καὶ διὰ μὲν τῆς ὡραιότητος νὰ μᾶς ὁδηγήσῃ εἰς τὸν θαυμασμὸν τοῦ δημιουργοῦ, διὰ δὲ τῆς ἀδυναμίας εἰς τὴν ἀπομάκρυνσιν τῆς λατρείας τῆς φύσεως· τοῦτο

τοῦ σέβεσθαι τὴν κτίσιν ἡμᾶς ἀπάγων· τοῦτο καὶ ἐπὶ τοῦ σώματος τοῦ ἡμετέρου ἐστὶν ἰδεῖν γεγενημένον.

Καὶ γὰρ καὶ περὶ τούτου πολλοὶ ζητοῦσι, τῶν τε τῆς ἀληθείας ἐχθρῶν, τῶν τε σὺν ἡμῖν τεταγμένων, τίνος ἕνεκεν φθαρτὸν καὶ ἐπίκηρον γέγονεν. Ἑλλήνων δὲ πολλοὶ καὶ αἱρετικῶν οὐδὲ γεγενῆσθαι αὐτὸ παρὰ τοῦ Θεοῦ φασιν· ἀνάξιον γὰρ αὐτὸ τῆς τοῦ Θεοῦ δημιουργίας λέγουσι, ῥύπους, καὶ ἱδρῶτας, καὶ δάκρυα, καὶ πόνους, καὶ ταλαιπωρίας, καὶ τὰ ἄλλα τοῦ σώματος ἐπιόντες ἅπαντα. Ἐγὼ δὲ ἐπειδὰν περὶ τούτων γένηται λόγος, πρῶτον μὲν ἐκεῖνο ἂν εἴποιμι· μή μοι τὸν ἄνθρωπον λέγε τοῦτον τὸν προσκεκρουκότα, τὸν ἠτιμωμένον, τὸν καταδικασθέντα· ἀλλ' εἰ βούλει μαθεῖν ὁποῖον ἐξ ἀρχῆς ἡμῖν τὸ σῶμα ἔπλασεν ὁ Θεός, ἐπὶ τὸν παράδεισον ἔλθωμεν, καὶ τὸν ἐξ ἀρχῆς γενόμενον ἄνθρωπον ἴδωμεν.

Οὐ γὰρ οὕτω τὸ σῶμα ἐκεῖνο φθαρτὸν καὶ ἐπίκηρον ἦν, ἀλλ' ὥσπερ τις χρυσοῦς ἀνδριὰς ἀπὸ χωνευτηρίου προελθὼν ἄρτι, καὶ λαμπρὸν ἀποστίλβων· οὕτω πάσης φθορᾶς ἐκεῖνο τὸ σῶμα ἀπήλλακτο, καὶ οὔτε πόνος ἠνόχλει, οὔτε ἱδρὼς ἐλυμαίνετο, οὐ φροντίδες ἐπεβούλευον, οὐκ ἀθυμίαι ἐπολιόρκουν, οὐκ ἄλλο τι τῶν τοιούτων ἐλύπει παθῶν· ἐπειδὴ δὲ σωφρόνως τὴν εὐημερίαν οὐκ ἤνεγκεν, ἀλλ' ἐξύβρισεν εἰς τὸν εὐεργέτην, καὶ τὸν ἀπατεῶνα δαίμονα τοῦ κηδεμόνος Θεοῦ, καὶ τιμήσαντος αὐτόν, ἐνόμισεν ἀξιοπιστότερον εἶναι, καὶ θεὸς γενέσθαι προσεδόκησε, καὶ μείζονα τῆς οἰκείας ἀξίας ἔλαβεν ἔννοιαν, τότε δή, τότε καὶ διὰ τῶν πραγμάτων αὐτῶν σωφρονίζων αὐτὸν ὁ Θεός, φθαρτόν τε ἐποίησε καὶ θνητόν, καὶ ταῖς πολλαῖς ταύταις κατέδησεν ἀνάγκας, οὐχὶ μισῶν, οὐδὲ ἀποστρεφόμενος, ἀλλὰ κηδεμόνος, καὶ τὴν πονηρὰν καὶ ὀλέθριον ἐκείνην ἀπόνοιαν ἐκ προοιμίων κω-

ἠμποροῦμεν νὰ τὸ διαπιστώσωμεν ὅτι συμβαίνει καὶ εἰς τὸ ἰδικόν μας σῶμα.

Διότι περὶ τοῦ ζητήματος αὐτοῦ πολλοὶ ἐξετάζουν καὶ ζητοῦν νὰ μάθουν, πολλοὶ ἐκ τῶν ἐχθρῶν τῆς ἀληθείας, καὶ ἐκ τῶν ἰδικῶν μας, διατί ἔχει γίνει τὸ ἀνθρώπινον σῶμα καὶ φθαρτὸν καὶ προσωρινόν. Πολλοὶ ἐκ τῶν ἐθνικῶν καὶ τῶν αἱρετικῶν, οὔτε ὅτι ἔχει δημιουργηθῆ ὑπὸ τοῦ Θεοῦ παραδέχονται· διότι λέγουν ὅτι τοῦτο εἶναι ἀνάξιον τῆς δημιουργίας τοῦ Θεοῦ, ἐπειδὴ ἔχει ἀκαθαρσίας, ἱδρῶτας καὶ δάκρυα καὶ πόνους καὶ τὰ ἄλλα κακά. Ἐγὼ δὲ ὅταν τύχῃ νὰ γίνῃ περὶ αὐτῶν τῶν κακῶν λόγος, πρῶτον μὲν θὰ εἰπῶ τὸ ἑξῆς· μὴ μοῦ ἀναφέρῃς τὸ σῶμα τοῦ ἀνθρώπου τούτου ποὺ ἡμάρτησε, ποὺ ἔχει ξεπέσει καὶ καταδικασθῆ· ἀλλ' ἐὰν θέλῃς νὰ μάθῃς ποῖον ἦτο τὸ σῶμα ποὺ ἔπλασεν ὁ Θεὸς ἐξ ἀρχῆς, ἂς ἔλθωμεν εἰς τὸν παράδεισον, καὶ ἂς ἴδωμεν τὸν ἄνθρωπον πῶς ἐξ ἀρχῆς ἐδημιουργήθη.

Διότι τὸ σῶμα ἐκεῖνο δὲν ἦτο ἔτσι φθαρτὸν καὶ θνητόν, ἀλλὰ ὅπως κάποιος χρυσοῦς ἀνδριάς, ὁ ὁποῖος μόλις ἐξῆλθεν ἀπὸ τὸ χωνευτήριον, καὶ εἶναι λαμπρὸς καὶ στιλπνός, ἔτσι καὶ τὸ σῶμα ἐκεῖνο ἦτο ἀπηλλαγμένον ἀπὸ κάθε φθοράν, καὶ δὲν τὸ ἐνοχλοῦσεν οὔτε πόνος, οὔτε ἱδρώτας τὸ ἔβλαπτεν, οὔτε φροντίδες τὸ ἐβασάνιζαν, οὔτε λύπαι τὸ ἐπολιόρκουν, οὔτε ἄλλο τίποτε ἀπὸ αὐτὰ τὰ πάθη τοῦ ἐπροξενοῦσαν λύπην· ἐπειδὴ ὅμως εἰς τὴν εὐημερίαν αὐτοῦ ταύτην δὲν ἐφάνη σώφρων ὁ ἄνθρωπος, ἀλλ' ἐξύβρισε τὸν εὐεργέτην του καὶ ἐθεώρησε τὸν ἀπαταιῶνα δαίμονα περισσότερον ἀξιόπιστον ἀπὸ τὸν Θεόν, ὁ ὁποῖος τόσον τὸν ἐτίμησε καὶ ἐφρόντισε δι' αὐτόν, καὶ ἤλπισεν ὅτι θὰ γίνῃ Θεός, καὶ ἐσχημάτισε διὰ τὸν ἑαυτόν του ἰδέαν μεγαλυτέραν τῆς πραγματικῆς, τότε λοιπὸν διὰ νὰ σωφρονίσῃ ὁ Θεὸς μὲ αὐτὰ τὰ ἴδια τὰ πράγματα, ἔκαμε φθαρτὸν τὸ σῶμα του καὶ προσωρινὸν καὶ μὲ πολλὰς ἀνάγκας τὸν ἔδεσεν, ὄχι διότι τὸν ἐμισοῦσεν, οὔτε ἐπειδὴ τὸν ἀπεστρέφετο, ἀλλ' ἐπειδὴ ἐφρόντιζε διὰ τὸ καλόν του καὶ ἤθελε τὴν καταστρεπτικὴν ἐκείνην

λύων, καὶ περαιτέρω προελθεῖν οὐκ ἐῶν, ἀλλὰ δι' αὐτῆς τῶν πραγμάτων τῆς πείρας διδάσκων αὐτόν, ὅτι θνητός τέ ἐστι καὶ ἐπίκηρος, καὶ ταύτῃ πείθων μηδέποτε τοιαῦτα φαντάζεσθαι καὶ ὀνειροπολεῖν. Καὶ γὰρ εἶπεν ὁ διάβολος, «Ἔσεσθε ὡς θεοί».

Πρόῤῥιζον οὖν ταύτην ἀνασπάσαι βουλόμενος τὴν ἔννοιαν, πολυπαθὲς αὐτοῦ καὶ ταλαίπωρον τὸ σῶμα πεποίηκε, δι' αὐτῆς τῆς φύσεως παιδεύων αὐτόν, μηδέποτε τοιαύτην λαβεῖν ἔννοιαν. Καὶ ὅτι τοῦτό ἐστιν ἀληθές, μάλιστα μὲν ἐκ τῶν ἐπ' ἐκείνου γεγενημένων δῆλον· μετὰ γὰρ τὴν προσδοκίαν ἐκείνην, ταύτῃ κατεδικάσθη τῇ τιμωρίᾳ. Καὶ σκόπει μοι Θεοῦ σύνεσιν· οὐκ ἀφῆκεν αὐτὸν πρῶτον ἀποθανεῖν, ἀλλὰ τὸν υἱὸν τὸν ἐκείνου συνεχώρησε τοῦτο παθεῖν, ἵνα πρὸ τῶν ὀφθαλμῶν ἰδὼν τὸ σῶμα σηπόμενον καὶ φθειρόμενον, μεγάλην ἀπὸ τῆς ὄψεως ταύτης δέξηται φιλοσοφίας διδασκαλίαν, καὶ μάθῃ τί γέγονε, καὶ σωφρονισθεὶς καλῶς οὕτως ἐντεῦθεν ἀπέλθῃ.

Μάλιστα μὲν οὖν, ὅπερ ἔφην, καὶ ἐκ τῶν ἤδη γεγενημένων τοῦτο δῆλον, οὐκ ἔλαττον δὲ καὶ ἐκ τῶν μετὰ ταῦτα ῥηθησομένων ἔσται φανερόν. Εἰ γὰρ ἀνάγκῃ τοιαύτῃ τοῦ σώματος ἐνδεδεμένου καὶ πάντων ἀποθνησκόντων καὶ φθειρομένων καὶ σηπομένων ἐν ταῖς ἁπάντων ὄψεσι καὶ διαλελυμένων εἰς κόνιν, καὶ τῶν ἔξωθεν φιλοσόφων ἕνα καὶ τοῦτον ποιησαμένων συμπληρωματικὸν ὅρον τοῦ τῶν ἀνθρώπων γένους· ἐρωτηθέντες γὰρ τί ποτε ἄνθρωπός ἐστι, ζῶον λογικὸν θνητὸν εἶπον· εἰ τοίνυν πάντων ταῦτα ὁμολογούντων ἐτόλμησαν ἑαυτοὺς ἀπαθανατίσαι τινὲς ἐν ταῖς τῶν πολλῶν ὑπολήψεσι, καὶ τῆς ὄψεως μαρτυρούσης τὸν θάνατον, ἐφιλονείκησαν ἀναῤῥηθῆναι θεοί, καὶ ἐτιμήθησαν οὕτως· εἰ μὴ προυχώρησεν ὁ θάνατος διδάσκων ἅπαντας τὸ τῆς φύσεως ἐπίκηρον καὶ φθαρτόν, ποῦ οὐκ ἂν ἐξέβησαν ἀσεβείας πολλοὶ τῶν ἀνθρώπων;

---

5. Γεν. 3, 5.

ὑψηλοφροσύνην νὰ τοῦ τὴν κόψῃ εἰς τὴν ἀρχὴν καὶ νὰ μὴ τὴν ἀφήσῃ νὰ ἀναπτυχθῇ, διδάσκων αὐτὸν διὰ τῆς πείρας τῶν πραγμάτων ὅτι εἶναι θνητὸς καὶ προσωρινὸς καὶ πείθων, ὅτι δὲν πρέπει νὰ ἔχῃ τοιαύτας ἰδέας καὶ τοιαῦτα ὀνειροπολήματα. Καθ' ὅσον ὁ διάβολος τοῦ εἶπε «θὰ γίνετε ὡς θεοί»[5].

Θέλων λοιπὸν ὁ Θεὸς νὰ ἐκριζώσῃ ἀπὸ τὸν νοῦν του αὐτὴν τὴν ἰδέαν, ἔκαμε τὸ σῶμα του νὰ ὑπόκειται εἰς πολλὰ παθήματα καὶ ταλαιπωρίας, διδάσκων αὐτὸν δι' αὐτῆς τῆς φύσεώς του νὰ μὴ βάλῃ εἰς τὸν νοῦν του τοιαύτην ἰδέαν. Καὶ ὅτι τοῦτο εἶναι ἀληθές, πρὸ πάντων ἀπὸ ὅσα εἰς ἐκεῖνον ἔγιναν φαίνεται, διότι ὅταν συνέλαβεν αὐτὴν τὴν ἰδέαν κατεδικάσθη μὲ αὐτὴν τὴν τιμωρίαν. Καὶ πρόσεξε νὰ ἰδῇς τὴν σύνεσιν τοῦ Θεοῦ· δὲν ἄφησεν αὐτὸν νὰ ἀποθάνῃ πρῶτα, ἀλλὰ ἐπέτρεψεν ὁ υἱός του νὰ πάθῃ τοῦτο, διὰ νὰ ἰδῇ ἐμπρὸς εἰς τὰ μάτια του τὸ σῶμα νὰ σήπεται καὶ νὰ καταστρέφεται, καὶ ἀπὸ τὸ θέαμα τοῦτο νὰ πάρῃ μεγάλην φιλοσοφικὴν διδασκαλίαν καὶ νὰ μάθῃ ποῖος ἔχει γίνει, καὶ ἀφοῦ σωφρονισθῇ καλῶς, τότε νὰ ἀπέλθῃ ἀπὸ ἐδῶ.

Πρὸ πάντων μὲν λοιπόν, ἐκεῖνο ποὺ εἶπα, ἐξ ὅσων συνέβησαν, φαίνεται, ὄχι ὅμως ὀλιγώτερον καὶ ἀπὸ ὅσα κατόπιν θὰ εἴπω, θὰ γίνῃ φανερόν. Διότι ἀφοῦ τώρα, ποὺ τόσας ἀνάγκας ἔχει τὸ σῶμα καὶ ὅλοι ἀποθνήσκουν καὶ καταστρέφονται καὶ σήπονται ἐμπρὸς εἰς τὰ μάτια ὅλων καὶ ἔχουν διαλυθῆ εἰς σκόνην, καὶ οἱ ἐθνικοὶ φιλόσοφοι προσέθεσαν καὶ τὴν ἰδιότητα τοῦ φθαρτοῦ ὡς ἕνα γνώρισμα συμπληρωματικὸν τοῦ ἀνθρωπίνου γένους· διότι ἐρωτηθέντες τί ἆρά γε εἶναι ἄνθρωπος, εἶπον, ζῷον, λογικόν, θνητόν. Ἐὰν λοιπόν, ἐνῷ ὅλοι παραδέχονται αὐτά, μερικοὶ ἐτόλμησαν νὰ ἀνακηρύξουν τοὺς ἑαυτούς των ἀθανάτους εἰς τὴν σκέψιν τῶν πολλῶν, καὶ ἐνῷ ἡ ὄψις των ἐμαρτυροῦσε τὸν θάνατον, ἠθέλησαν νὰ ἀνακηρυχθοῦν θεοὶ καὶ ἐτιμήθησαν ὡς τοιοῦτοι, ἐὰν δὲν ἐπηκολούθη ὁ θάνατος, διὰ νὰ μᾶς διδάσκῃ τὸ φθαρτὸν καὶ προσωρινὸν τῆς φύσεώς μας, εἰς ποῖον σημεῖον ἀσεβείας δὲν θὰ ἔφθανον πολλοὶ ἀπὸ τοὺς ἀνθρώπους;

Ἄκουσον τοίνυν τί φησιν ὁ προφήτης περί τινος βαρβάρου βασιλέως τοιαύτην μανέντος μανίαν· «Ἐπάνω τῶν ἄστρων τοῦ οὐρανοῦ θήσω», φησί, «τὸν θρόνον μου, καὶ ἔσομαι ὅμοιος τῷ ὑψίστῳ». Εἶτα, καταγελῶν αὐτοῦ καὶ τὴν τελευτὴν αὐτοῦ δηλῶν, φησίν, «Ὑποκάτω σου στρώσουσι σῆψιν, καὶ τὸ κατακάλυμμά σου σκώληξ». Ὃ δὲ λέγει τοιοῦτόν ἐστιν· ἄνθρωπος τοιαύτην ἀναμένων τελευτήν, τοιαῦτα φαντάζεσθαι ἐτόλμησας; Καὶ περὶ ἑτέρου πάλιν τοῦ βασιλέως, λέγω τῶν Τυρίων, ταῦτα κατασκευάζοντος καὶ βουλομένου νομίζεσθαι θεοῦ, φησί, «Σὺ δὲ οὐκ εἶ θεός, ἀλλ' ἄνθρωπος, καὶ οἱ κατακεντοῦντές σε τοῦτο ἐροῦσιν».

Ὥστε ἄνωθεν καὶ μεθ' ὑπερβολῆς ἀναιρῶν τῆς εἰδωλολατρείας τὴν ὑπόθεσιν, τοιοῦτον ἡμῖν τὸ σῶμα ἐποίησεν ὁ Θεός. Καὶ τί θαυμάζεις εἰ ἐπὶ τοῦ σώματος τοῦτο γέγονεν, ὅπου γε καὶ ἐπὶ τῆς ψυχῆς ἐστιν ἰδεῖν τοιοῦτόν τι γεγενημένον; Θνητὴν μὲν γὰρ οὐκ ἐποίησεν, ἀλλ' ἀφῆκεν ἀθάνατον εἶναι· λήθῃ δέ, καὶ ἀγνοίᾳ, καὶ ἀθυμίᾳ, καὶ φροντίσιν ὑπεύθυνον αὐτὴν κατεσκεύασε· καὶ τοῦτο ἐποίησεν, ἵνα μὴ πρὸς τὴν οἰκείαν εὐγένειαν ἰδοῦσα μείζονα τῆς οἰκείας ἀξίας ἔννοιαν λάβῃ. Εἰ γὰρ καὶ τούτων ὄντων ἐτόλμησάν τινες εἰπεῖν ὅτι τῆς οὐσίας ἐστὶ τοῦ Θεοῦ· εἰ καὶ τούτων ἀπήλλακτο τῶν παθῶν, ποῦ οὐκ ἂν ἦλθον οὗτοι μανίας;

Πλὴν ἀλλ' ὅπερ ἐπὶ τῆς κτίσεως ἔλεγον, τοῦτο καὶ ἐπὶ τοῦ σώματος λέγω, ὅτι ὁμοίως δι' ἀμφότερα ταῦτα θαυμάζω τὸν Θεόν, καὶ ὅτι φθαρτὸν αὐτὸ ἐποίησε, καὶ ὅτι ἐν τῇ φθορᾷ τὴν οἰκείαν ἰσχὺν ἀπέδειξε καὶ σοφίαν. Ὅτι μὲν γὰρ βελτίονος αὐτὸ ἴσχυε ποιῆσαι ὕλης, ἔδειξεν ἐκ τοῦ οὐρανίου τε σώματος καὶ τοῦ ἡλιακοῦ. Ὁ γὰρ ἐκεῖνα τοιαῦτα ποιήσας, καὶ τοῦτο τοιοῦτον ποιῆσαι, εἴπερ ἐθέλησεν, ἴ-

6. Ἡσ. 14, 13-14.
7. Αὐτόθι 11.
8. Ἰεζ. 28, 9.

῎Ακουσε λοιπὸν τί λέγει ὁ προφήτης διὰ κάποιον βάρβαρον βασιλέα ὁ ὁποῖος κατελήφθη ἀπὸ τοιαύτην τρέλλαν· «ἐπάνω εἰς τὰ ἄστρα τοῦ οὐρανοῦ θὰ θέσω» λέγει «τὸν θρόνον μου, καὶ θὰ γίνω ὅμοιος μὲ τὸν Ὕψιστον»[6]. ῎Επειτα περιπαίζων αὐτὸν καὶ θέλων νὰ φανερώσῃ τὸν θάνατόν του λέγει· «Κάτω ἀπὸ σὲ θὰ στρώσουν σῆψιν, καὶ ὡς σκέπασμά σου θὰ εἶναι σκουλήκια»[7]. Αὐτὸ δὲ ποὺ λέγει ἔχει τὴν ἑξῆς ἔννοιαν· ἐνῷ εἶσαι ἄνθρωπος καὶ ἀναμένεις τὸν θάνατον, ἐτόλμησες νὰ φαντασθῇς τέτοια; Καὶ περὶ ἄλλου πάλιν τοῦ βασιλέως τῶν Τυρίων, ὁ ὁποῖος ἐσκέπτετο τέτοια καὶ ἤθελε νὰ θεωρῆται θεός, λέγει, «Σὺ δὲ δὲν εἶσαι θεός, ἀλλὰ ἄνθρωπος καὶ ἐκεῖνοι ποὺ θὰ σὲ τρυπήσουν, θὰ εἴπουν τοῦτο»[8].

Ὥστε ἀπὸ τὴν ἀρχὴν καὶ καθ' ὁλοκληρίαν, θέλων νὰ ἀφαιρέσῃ τὴν βάσιν τῆς εἰδωλολατρείας, ἔκαμε τοιοῦτον τὸ σῶμα μας ὁ Θεός. Καὶ διατί θαυμάζεις ἐὰν τοῦτο ἔγινεν ἐπὶ τοῦ σώματος, ἀφοῦ τὸ ἴδιον ἠμπορεῖ νὰ ἰδῇ κανεὶς ὅτι ἔγινε καὶ εἰς τὴν ψυχήν; Διότι δὲν τὴν ἔκαμε βεβαίως θνητήν, ἀλλὰ τὴν ἄφησε νὰ εἶναι ἀθάνατος· ἐν τούτοις τὴν ἐδημιούργησε τοιαύτην, ὥστε νὰ ὑπόκειται εἰς τὴν λήθην, τὴν ἄγνοιαν, τὴν λύπην, τὰς φροντίδας· καὶ τοῦτο τὸ ἔκαμε, διὰ νὰ τὴν προφυλάξῃ νὰ μὴ σχηματίσῃ διὰ τὸν ἑαυτόν της μεγάλην ἰδέαν, τὴν ὁποίαν θὰ ἐσχημάτιζεν ἀποβλέπουσα εἰς τὴν εὐγενῆ φύσιν της. Διότι ἐὰν καὶ παρ' ὅλα αὐτά, ἐτόλμησαν μερικοὶ νὰ εἰποῦν ὅτι εἶναι ἀπὸ τὴν οὐσίαν τοῦ Θεοῦ· ἐὰν καὶ ἀπὸ αὐτὰς τὰς ἐλλείψεις ἦτο ἀπηλλαγμένη, εἰς ποίαν τρέλλαν δὲν θὰ ἔφθαναν;

᾿Αλλ' ὅ,τι ἔλεγα διὰ τὴν κτίσιν, τὸ ἴδιον ἐπαναλαμβάνω καὶ διὰ τὸ σῶμα, ὅτι δηλαδὴ θαυμάζω τὸν Θεὸν καὶ διὰ τὰ δύο αὐτὰ καὶ διὰ τὸ ὅτι τὸ ἔκαμε φθαρτόν, καὶ ὅτι εἰς τὴν φθορὰν αὐτὴν τοῦ σώματος ἐπέδειξε τὴν δύναμίν του καὶ τὴν σοφίαν του. Διότι τὸ ὅτι ἠμποροῦσε νὰ κάμῃ αὐτὸ ἀπὸ καλυτέραν ὕλην, τὸ ἀπέδειξεν καὶ ἐκ τῆς κατασκευῆς τοῦ οὐρανίου καὶ τοῦ ἡλιακοῦ σώματος. Διότι ἐκεῖνος ποὺ ἔκαμε αὐτὰ τοιαῦτα, ἐὰν ἤθελε καὶ τοῦτο ἠμποροῦσε νὰ τὸ κάμῃ

σχυσεν ἄν· ἀλλ' ἡ αἰτία τῆς ἀσθενείας ἐστὶν ἡ προειρημένη πρόφασις. Οὐ μὴν τοῦτο ὑποτέμνεται τοῦ δημιουργοῦ τὸ θαῦμα, ἀλλὰ καὶ ἐπιτείνει πλέον. Τὸ γὰρ εὐτελὲς τῆς οὐσίας τοῦτο μάλιστα δείκνυσι τῆς τέχνης τὸ εὔπορον καὶ εὐμήχανον, ὅτι ἐν πηλῷ καὶ τέφρᾳ τοσαύτην ἐνέθηκεν ἁρμονίαν, καὶ τοιαύτας αἰσθήσεις οὕτω ποικίλας καὶ παντοδαπάς, καὶ τοιαῦτα δυναμένας φιλοσοφεῖν.

3. Ὥστε ὅσῳπερ ἂν κατηγορῇς τοῦ τῆς οὐσίας εὐτελοῦς, τοσούτῳ μᾶλλον θαύμασον τὸ μεγαλεῖον τῆς τέχνης. Ἐπεὶ καὶ ἀνδριαντοποιὸν οὐχ οὕτω θαυμάζω τὸν ἀπὸ χρυσοῦ καλὸν ἀνδριάντα ποιοῦντα, ὡς τὸν ἀπὸ πηλοῦ τοῦ διαπίπτοντος τῇ τῆς τέχνης εὐπορίᾳ δυνάμενον κάλλος ἐπιδεῖξαι πλάσεως θαυμαστὸν καὶ ἀμήχανον. Ἐκεῖ μὲν γὰρ καὶ συντελεῖ ἡ ὕλη τῷ πλάττοντι, ἐνταῦθα δὲ γυμνὴ τῆς τέχνης ἐστὶν ἡ ἐπίδειξις. Σὺ δὲ εἰ βούλει μαθεῖν πόση τοῦ δημιουργήσαντος ἡμᾶς ἐστιν ἡ σοφία, ἐννόησον τί γίνεται ἀπὸ πηλοῦ. Τί δὲ ἕτερον ἀλλ' ἢ πλίνθος καὶ κέραμος; Ἀλλ' ὅμως ἴσχυσεν ὁ ἀριστοτέχνης Θεὸς ἀπὸ τῆς ὕλης ἐξ ἧς γίνεται κέραμος καὶ πλίνθος μόνον, ὀφθαλμὸν οὕτω ποιῆσαι καλόν, ὡς ἅπαντας ἐκπλήττειν τοὺς ὁρῶντας, καὶ τοσαύτην ἐνθεῖναι τούτῳ δύναμιν, ὡς ἀέρος τοσοῦτον ὕψος καθορᾶν, καὶ μικρᾶς κόρης ἀντιλήψει τοσαῦτα περιλαμβάνειν σώματα, καὶ ὄρη, καὶ νάπας, καὶ βουνούς, καὶ πελάγη, καὶ οὐρανὸν δι' ἐκείνης τῆς μικρᾶς.

Μὴ τοίνυν εἴπῃς μοι τὰ δάκρυα καὶ τὰς λήμας· τοῦτο γὰρ διὰ τὴν σὴν ἁμαρτίαν γέγονεν· ἀλλ' ἐννόησον αὐτοῦ τὸ κάλλος, καὶ τὴν δύναμιν τὴν ὀπτικήν, καὶ πῶς τοσοῦτον ἐπιὼν ἀέρος μῆκος οὐ κάμνει καὶ ταλαιπωρεῖ, ἀλλὰ πόδες

παρόμοιο· ἀλλ' ἡ αἰτία ποὺ ἔγινε μὲ ἀδυναμίας εἶναι ὁ λόγος ποὺ προανεφέραμεν. Ὅμως δὲν μειώνεται μὲ τοῦτο ἡ θαυμαστὴ δύναμις τῆς δημιουργίας, ἀλλὰ ἀντιθέτως περισσότερον ἀποδεικνύεται. Διότι τὸ εὐτελὲς ὑλικὸν ἀπὸ τὸ ὁποῖον κατεσκευάσθη φανερώνει περισσότερον τὸν πλοῦτον καὶ τὸ πολυμήχανον τῆς σοφίας τοῦ Θεοῦ, ὅτι εἰς τὴν λάσπην καὶ τὴν τέφραν ἔβαλε τόσην ἁρμονίαν καὶ τοιαύτας αἰσθήσεις ποικίλας καὶ παντὸς εἴδους, καὶ αὐταὶ νὰ ἠμποροῦν νὰ κάνουν σκέψεις φιλοσοφικάς.

3. Ὥστε ὅσον καὶ ἂν κατηγορῇς τὸ εὐτελὲς τῆς οὐσίας τοῦ σώματος, τόσον περισσότερον νὰ θαυμάσῃς τὸ μεγαλεῖον τῆς τέχνης αὐτοῦ. Διότι δὲν θαυμάζω τόσον τὸν ἀνδριαντοποιὸν ἐκεῖνον ὁ ὁποῖος κατασκευάζει καλὸν ἀνδριάντα ἀπὸ χρυσόν, ὅσον ἐκεῖνον, ποὺ ἀπὸ πηλόν, ὁ ὁποῖος εὔκολα καταρρέει καὶ διαλύεται μὲ τὴν ἱκανότητα τῆς τέχνης του ἠμπορεῖ νὰ μᾶς παρουσιάσῃ θαυμαστὴν ὡραιότητα καὶ ἀκατανόητον. Διότι ἐκεῖ βοηθάει καὶ ἡ ὕλη τὸν ἀνδριαντοποιόν, ἐδῶ ὅμως ὅλον τὸ ἔργον καὶ ἡ ἐπίδειξις τῆς τέχνης ἀνήκει εἰς τὴν ἱκανότητα τοῦ δημιουργοῦ. Σὺ δὲ ἐὰν θέλῃς νὰ μάθῃς πόση εἶναι ἡ σοφία τοῦ δημιουργήσαντος ἡμᾶς Θεοῦ, σκέψου τί γίνεται ἀπὸ τὴν λάσπην. Τί ἄλλο παρὰ πλίνθος καὶ κεραμίδι; Ὅμως ὁ ἀριστοτέχνης Θεὸς ἠμπόρεσεν ἀπὸ τὴν ὕλην ἐκείνην ἀπὸ τὴν ὁποίαν γίνεται κεραμίδι καὶ πλίνθος μόνον, νὰ κάμῃ τόσον ὡραῖο μάτι, ὥστε νὰ ἐκπλαγοῦν ὅσοι τὸ βλέπουν, καὶ νὰ βάλῃ ἐντὸς αὐτοῦ τόσην δύναμιν, ὥστε νὰ ἠμπορῇ νὰ βλέπῃ εἰς μεγάλα ὕψη τῆς ἀτμοσφαίρας καὶ διὰ τῆς τόσον μικρᾶς κόρης, νὰ ἠμπορῇ νὰ ἀντιλαμβάνεται καὶ νὰ περιλαμβάνῃ τόσας εἰκόνας σωμάτων, καὶ βουνῶν καὶ φαράγγων καὶ λόφων καὶ θαλασσῶν καὶ ὅλον τὸν οὐρανόν.

Μὴ μοῦ ἀναφέρῃς τὰ δάκρυα καὶ τὶς τσίμπλες· διότι αὐτὰ προῆλθον ἀπὸ τὴν ἁμαρτίαν σου· ἀλλὰ σκέψου τὸ κάλλος αὐτοῦ καὶ τὴν ὀπτικήν του δύναμιν καὶ πῶς, ἐνῷ τρέχει τόσον μῆκος ἀτμοσφαίρας δὲν κουράζεται καὶ δὲν ταλαιπωρεῖται, ἀλλὰ τὰ πόδια καὶ ὀλίγον νὰ βαδίσουν κουράζονται

μὲν ὀλίγον προελθόντες πονοῦσι καὶ ἐκλύονται, ὀφθαλμὸς δὲ ὁδεύων τοσοῦτο μὲν ὕψος, τοσοῦτο δὲ εὖρος, οὐδεμιᾶς αἰσθάνεται ἀρρωστίας. Ἐπειδὴ γὰρ τῶν ἁπάντων μελῶν ἡμῖν ἀναγκαιότερόν ἐστι τοῦτο, οὐκ ἀφῆκεν αὐτὸ πιέζεσθαι καμάτῳ, ὥστε ἀνεμπόδιστον ἡμῖν αὐτοῦ τὴν διακονίαν εἶναι καὶ ἀκώλυτον. Μᾶλλον δὲ ποῖος λόγος παραστῆσαι δυνήσεται τοῦ μέλους τούτου τὴν ἀρετὴν ἅπασαν;

Καὶ τί λέγω περὶ κόρης καὶ τῆς ὀπτικῆς δυνάμεως; Ἐὰν γάρ, ὃ πάντων εὐτελέστερον εἶναι δοκεῖ τῶν μελῶν, τοῦ ὀφθαλμοῦ τὰς βλεφαρίδας ἐξετάσῃς μόνον, καὶ ἐν ταύταις πολλὴν ὄψει τοῦ δημιουργοῦ Θεοῦ τὴν σοφίαν. Καθάπερ γὰρ ἐπὶ τῶν ἀσταχύων οἱ ἀνθέρικες ὥσπερ τινὰ δόρατα προβεβλημένοι τοὺς ὄρνιθας ἀποσοβοῦσιν, οὐκ ἐπιτρέποντες ἐγκαθέζεσθαι τῷ καρπῷ, καὶ διακλᾶν τὴν καλάμην ἀσθενεστέραν οὖσαν· οὕτω δὴ καὶ ἐπὶ τῶν ὀφθαλμῶν, ὥσπερ τινὲς ἀνθέρικες καὶ δόρατα προβέβληνται αἱ τῶν βλεφάρων τρίχες, κόνιν καὶ κάρφη, καὶ πάντα τὰ διενοχλοῦντα ἔξωθεν ἀποκρουόμεναι τῶν ὀφθαλμῶν, καὶ οὐκ ἐῶσαι ἐνοχλεῖσθαι τὰ βλέφαρα.

Ἴδοις ἂν καὶ ἐπὶ τῶν ὀφρύων ἑτέραν σοφίαν οὐκ ἐλάττονα ταύτης. Τίς γὰρ οὐκ ἂν ἐκπλαγείη τὴν θέσιν αὐτῶν; Ὅτι οὔτε πέρα τοῦ μέτρου προβέβληνται, ὥστε ἐπισκοτεῖν τοῖς ὀφθαλμοῖς, οὔτε ἐνδοτέρω τοῦ δέοντος ὑφιζάνουσιν· ἀλλ' ὥσπερ οἰκίας γεῖσος, οὕτως ἐξέχουσιν ἄνωθεν, τὸν ἐκ τῆς κεφαλῆς κατιόντα ἱδρῶτα δεχόμεναι, καὶ τοὺς ὀφθαλμοὺς λυπεῖν οὐκ ἐῶσαι. Διὰ δὴ τοῦτο καὶ τρίχες αὐταῖς εἰσιν ἐμπεφυκυῖαι τῇ δασύτητι τὰ καταρρέοντα ἐπέχουσαι, καὶ μετὰ πολλῆς στέγουσαι τῆς ἀκριβείας, καὶ πολλὴν ταῖς ὄψεσι τὴν εὐμορφίαν παρέχουσαι.

Οὐ τοῦτο δὲ μόνον ἄν τις θαυμάσειεν, ἀλλὰ καὶ ἕτερον οὐκ ἔλαττον τούτου. Τίνος γὰρ ἕνεκεν, εἰπέ μοι, αἱ μὲν

καὶ παραλύουν, ἐνῷ τὸ μάτι ἂν καὶ ὁδεύει εἰς τόσον μεγάλο ὕψος, εἰς τόσον πλάτος, δὲν αἰσθάνεται καμμίαν ἀσθένειαν. Ἐπειδὴ εἶναι τὸ ἀναγκαιότερον ἀπὸ ὅλα τὰ μέλη δὲν τὸ ἄφησε νὰ κουράζεται, ὥστε ἡ ὑπηρεσία του νὰ εἶναι ἀνεμπόδιστος καὶ ἐλευθέρα. Μᾶλλον δὲ ποῖος λόγος θὰ ἠμπορέσῃ νὰ παρουσιάσῃ τοῦ μέλους τούτου τὰ προσόντα ὅλα;

Καὶ διατί ὁμιλῶ διὰ τὴν κόρην τοῦ ὀφθαλμοῦ καὶ τὴν ὀπτικὴν δύναμιν αὐτοῦ; Διότι ἐὰν ἐξετάσῃς, αὐτὸ τὸ ὁποῖον θεωρεῖται εὐτελέστερον ἀπὸ ὅλα τὰ μέλη, τὰς βλεφαρίδας, καὶ εἰς αὐτὰς θὰ ἰδῇς τὴν μεγάλην σοφίαν τοῦ δημιουργοῦ. Διότι ὅπως εἰς τὰ στάχια προβάλλουν τὰ ἄγανα ὡσὰν δόρατα καὶ ἐμποδίζουν τὰ πτηνὰ καὶ δὲν τὰ ἐπιτρέπουν νὰ καθίσουν ἐπάνω εἰς τὸν καρπόν, καὶ νὰ σπάσουν τὴν καλαμιὰν ποὺ εἶναι ἀδύνατη, ἔτσι λοιπὸν καὶ εἰς τοὺς ὀφθαλμούς, ὡσὰν ἄγανα καὶ δόρατα προβάλλουν αἱ τρίχες τῶν βλεφάρων, καὶ ἀπομακρύνουν ἀπὸ αὐτὰ τὴν σκόνην, τὰ διάφορα σκουπίδια καὶ ὅλα ὅσα ἔρχονται ἀπὸ ἔξω, καὶ δὲν τὰ ἀφήνουν νὰ ἐνοχλοῦν τὰ βλέφαρα.

Καὶ εἰς τὰ φρύδια ἠμπορεῖς νὰ ἰδῇς ἄλλην σοφίαν ὄχι μικροτέραν ἀπὸ αὐτὴν ποὺ ἀνέφερα. Διότι ποῖος δὲν ἤθελεν ἐκπλαγῇ ἀπὸ τὴν θέσιν αὐτῶν; Διότι οὔτε προβάλλουν πρὸς τὰ ἔξω περισσότερον ἀπὸ ὅ,τι πρέπει, ὥστε νὰ ἐπιφέρουν σκότος εἰς τοὺς ὀφθαλμούς, οὔτε πάλιν ἔχουν χωθῇ μέσα πέραν τοῦ δέοντος, ἀλλὰ ὡσὰν τὸ ἐξέχον μέρος τῆς στέγης τοῦ σπιτιοῦ, ἔτσι προεξέχουν ἐπάνω εἰς τὰ μάτια, δεχόμενα τὸν ἱδρῶτα ποὺ κατεβαίνει ἀπὸ τὸ μέτωπον, καὶ δὲν τὸν ἀφήνουν νὰ προξενήσῃ κάποιαν ἐνόχλησιν εἰς τὰ μάτια. Διὰ τοῦτο λοιπὸν ἀποτελοῦνται ἀπὸ πυκνὰς τρίχας, ὥστε μὲ τὴν πυκνότητα νὰ συγκρατοῦν τὰ ὑγρὰ ποὺ τρέχουν ἀπὸ ἐπάνω, καὶ νὰ στεγάζουν μὲ μεγάλην ἀποτελεσματικότητα τοὺς ὀφθαλμούς, καὶ νὰ παρέχουν πολλὴν ὡραιότητα εἰς τὰ πρόσωπα.

Καὶ δὲν θαυμάζει κανεὶς μόνον τοῦτο, ἀλλὰ καὶ κάτι ἄλλο ὄχι μικρότερον ἀπὸ αὐτό. Διότι, εἰπέ μου, διὰ ποῖον

τῆς κεφαλῆς αὔξονται τρίχες καὶ ἀποκείρονται, αἱ δὲ τῶν ὀφρύων οὐκ ἔτι; Οὐδὲ γὰρ τοῦτο ἁπλῶς, οὐδὲ ὡς ἔτυχεν ἡμῖν γέγονεν, ἀλλ' ὥστε μὴ χαλωμένας ἐπισκοτεῖν τοῖς ὀφθαλμοῖς, ὅπερ οἱ πρὸς βαθὺ γῆρας ἐλθόντες πάσχουσι.

Τίς δ' ἂν δυνηθείη τὴν διὰ τοῦ ἐγκεφάλου δεικνυμένην σοφίαν ἅπασαν διελθεῖν; Πρῶτον μὲν γὰρ αὐτὸν ἁπαλὸν ἐποίησεν, ἐπειδὴ ταῖς αἰσθήσεσιν ἁπάσαις αὐτὸς χορηγεῖ τὰς πηγάς· εἶτα ἵνα μὴ παρὰ τὴν οἰκείαν παραβλάπτηται φύσιν, ὀστοῖς αὐτὸν πάντοθεν ἐπετείχισε· πάλιν ἵνα μὴ τῇ σκληρότητι τῶν ὀστῶν παρατριβόμενος ἐνοχλῆται, ὑμένα μέσον ἐπέτεινεν, οὐχ ἕνα μόνον ἀλλὰ καὶ δεύτερον, τὸν μὲν ὑποτείνας τῷ βρέγματι κάτωθεν, τὸν δὲ ἄνωθεν περιβαλὼν τῇ τοῦ ἐγκεφάλου σαρκί· καὶ ἔστιν ἐκεῖνος τούτου σκληρότερος. Τοῦτο δὲ ἐποίησε διὰ τὴν εἰρημένην αἰτίαν, καὶ ἵνα τὰς φερομένας ἐπὶ τῆς κεφαλῆς πληγὰς μὴ πρῶτος ὁ ἐγκέφαλος δέχηται, ἀλλὰ προαπαντῶσαι αἱ μήνιγγες αὗται ταῖς βολαῖς τὴν βλάβην διαλύωσιν ἅπασαν, καὶ ἀνεπηρέαστον αὐτὸν διατηρῶσι.

Καὶ τὸ μὴ συνεχές τε καὶ ἓν εἶναι τὸ καλύπτον αὐτὸν ὀστοῦν, ἀλλὰ πολλὰς πανταχόθεν ἔχειν ῥαφάς, πολλῆς ἀσφαλείας αὐτῷ πάλιν ὑπόθεσις γίνεται. Τῶν τε γὰρ συνεχόντων αὐτὸν ἀτμῶν εἰς τὸ ἔξω ῥᾳδία γένοιτ' ἂν ἀναπνοὴ διὰ τῶν ῥαφῶν ἐκείνων, ὥστε αὐτὸν μὴ συμπνίγεσθαι πληγή τε εἴ τις ἐπενεχθείη ποθέν, οὐχ ὁλοσχερὴς γίνεται ἡ βλάβη. Εἰ μὲν γὰρ ἓν καὶ συνεχὲς ἦν τὸ ὀστοῦν, καὶ εἰς ἓν μέρος κατενεχθεῖσα ἡ πληγὴ τὸ πᾶν ἐλυμήνατο ἄν· τῷ δὲ εἰς πολλὰ διαιρεῖσθαι νῦν, οὐκ ἂν γένοιτο τοῦτο. Εἰ γὰρ καὶ συμβαίη τρωθῆναι μέρος ἕν, τὸ κατ' ἐκεῖνο τὸ μέρος ὀστοῦν κείμενον παραβλάπτεται μόνον, τὰ δὲ λοιπὰ ἀσινῆ μένει πάντα, τοῦ συνεχοῦς τῆς πληγῆς διακοπτομένου τῇ τῶν ὀστῶν διαιρέσει, καὶ οὐκ ἰσχύοντος εἰς τὰ παρακείμενα ἐκταθῆναι. Διὰ τοῦτο ἐκ πολλῶν αὐτοῦ τὴν σκέπην ὀστῶν συνέ-

λόγον, αἱ μὲν τρίχες τῆς κεφαλῆς μεγαλώνουν καὶ κόπτονται, αἱ δὲ τρίχες τῶν φρυδιῶν δὲν μεγαλώνουν; Διότι καὶ τοῦτο δὲν ἔγινε τυχαίως καὶ χωρὶς λόγον, ἀλλὰ διότι θὰ κατήρχοντο πρὸς τὰ κάτω καὶ θὰ ἠμπόδιζαν τοὺς ὀφθαλμούς, ὅταν θὰ ἐμεγάλωναν, ὅπως συμβαίνει μὲ αὐτοὺς ποὺ ἔφθασαν εἰς βαθὺ γῆρας.

Ποῖος θὰ ἠμπορέσῃ νὰ διηγηθῇ ὅλην τὴν σοφίαν ποὺ παρουσιάζει ἡ κατασκευὴ τοῦ ἐγκεφάλου; Πρῶτον μὲν τὸν ἔκαμε μαλακὸν ἐπειδὴ αὐτὸς δίδει εἰς ὅλας τὰς αἰσθήσεις τὰς πηγάς· ἔπειτα διὰ νὰ μὴ βλάπτεται, λόγῳ τῆς μαλακῆς φύσεώς του, τὸν περιέβαλεν ἀπὸ παντοῦ μὲ ὀστᾶ· πάλιν δὲ διὰ νὰ μὴ ἐνοχλῆται ἀπὸ τὴν σκληρότητα τῶν ὀστῶν, μεταξὺ αὐτοῦ καὶ τῶν ὀστῶν ἔθεσε λεπτοτάτην μεμβράνην, καὶ ὄχι μίαν, ἀλλὰ δύο, τὴν μὲν μίαν ἁπλωμένην κάτω ἀπὸ τὸ βρεγματικὸν ὀστοῦν, τὴν δὲ ἄλλην ἔβαλε γύρω ἀπὸ τὸν ἐγκέφαλον· καὶ εἶναι ἐκείνη σκληροτέρα ἀπὸ αὐτήν. Τοῦτο δὲ τὸ ἔκαμε καὶ διὰ τὸν λόγον ποὺ ἀνεφέραμεν, καὶ διὰ νὰ μὴ δέχεται πρῶτος ὁ ἐγκέφαλος τὰ διάφορα κτυπήματα, ἀλλὰ νὰ κτυπῶνται πρῶτον αἱ μεμβράναι καὶ νὰ σβήνουν τὸ κτύπημα καὶ νὰ διατηροῦν αὐτὸν ἀνεπηρέαστον.

Καὶ τὸ ὅτι τὸ ὀστοῦν ποὺ τὸν σκεπάζει δὲν εἶναι ἕνα καὶ μονοκόμματον, ἀλλὰ ἔχει πολλὰς ραφὰς ἀπὸ παντοῦ, γίνεται αἰτία δι' αὐτὸν διὰ μεγάλην ἀσφάλειαν. Διότι διὰ τῶν ραφῶν ἐκείνων ἐξέρχονται οἱ ἐντὸς αὐτοῦ ἀτμοὶ εὔκολα, ὥστε νὰ μὴ συμπνίγεται, καὶ ἂν τύχῃ καὶ δεχθῇ ἀπὸ κάπου κτύπημα, νὰ μὴ γίνῃ ὁλοσχερὴς ἡ βλάβη. Διότι ἐὰν ἦτο ἓν καὶ συνεχὲς τὸ ὀστοῦν καὶ ἂν ἐκτυπᾶτο εἰς ἕνα καὶ μόνον μέρος, θὰ κατεστρέφετο ὁλόκληρον· τώρα δὲ ποὺ ἀποτελεῖται ἀπὸ πολλὰ ὀστᾶ συνηνωμένα, δὲν ἠμπορεῖ νὰ γίνῃ τοῦτο. Ἐὰν τυχὸν καὶ κτυπήσῃ εἰς ἕνα μέρος, βλάπτεται τὸ ὀστοῦν ἐκεῖνο μόνον ποὺ ἐκτυπήθη, τὰ δὲ ἄλλα μένουν ἀβλαβῆ, διότι ἡ πληγὴ λόγῳ τῆς διαιρέσεως τῶν ὀστῶν, δὲν ἠμπορεῖ νὰ ἐπεκταθῇ καὶ εἰς τὰ πλησίον εὑρισκόμενα. Διὰ τοῦτο τὸ κάλυμμα αὐτοῦ τὸ ἔκαμεν ἀπὸ πολλὰ ὀστᾶ ὁ Θεός,

θηκεν ὁ Θεός, καὶ καθάπερ οἰκίαν τις οἰκοδομῶν, στέγην καὶ κεραμῖδας ἄνωθεν ἐπιτίθησιν· οὕτω τὰ ὀστᾶ ταῦτα ἐπέθηκεν ἄνωθεν ἐπὶ τῆς κεφαλῆς ὁ Θεός, καὶ τρίχας παρεσκεύασεν, ὥστε ἀντὶ πιλημάτων τινῶν εἶναι τῇ κεφαλῇ.

Τὸ αὐτὸ δὲ τοῦτο καὶ ἐπὶ τῆς καρδίας ἐποίησεν. Ἐπειδὴ γὰρ τὸ κυριώτατόν ἐστιν τῶν ἐν ἡμῖν μελῶν ἡ καρδία, καὶ τῆς ζωῆς ἡμῶν ἁπάσης αὕτη τὸ κῦρος ἐγκεχείρισται, καὶ τὸ τυχὸν πληγείσης αὐτῆς θάνατος γίνεται, στεγανοῖς καὶ σκληροῖς ὀστοῖς καὶ ταύτην πανταχόθεν περιέφραξε, ταῖς τοῦ θώρακος προβολαῖς, καὶ τοῖς ὠμοπλάταις ὄπισθεν τειχίσας αὐτήν. Καὶ ὅπερ ἐπὶ τῶν μηνίγγων ἐποίησε, τοῦτο καὶ ἐπὶ ταύτης εἰργάσατο. Ὥστε γὰρ μὴ συνεχῶς ἀλλομένην αὐτὴν καὶ πηδῶσαν ἐν τοῖς θυμοῖς καὶ ταῖς τοιαύταις ὁρμαῖς καὶ τῇ σκληρότητι τῶν ὀστῶν ἐγκρύουσαν τῶν περιφραττόντων αὐτὴν παρατρίβεσθαι καὶ ὀδυνᾶσθαι, ὑμένας τε ὑπέτεινεν ἐκεῖ πολλούς, καὶ τὸν πνεύμονα ὑπέθηκεν ὥσπερ ἁπαλὸν στρῶμα τοῖς ἅλμασιν αὐτῆς παραθείς, ἵνα ἀλύτως ἐκρηγνυμένη, τούτῳ μηδὲν ἀηδὲς πάσχῃ.

Καὶ τί λέγω περὶ ἐγκεφάλου καὶ καρδίας, ὅπου γε εἴ τις καὶ περὶ τῶν ὀνύχων αὐτῶν ζητήσειε, πολλὴν καὶ ἐν τούτοις ὄψεται τὴν σοφίαν τοῦ Θεοῦ ἐνδεικνυμένην, καὶ ἀπὸ τοῦ σχήματος αὐτῶν, καὶ ἀπὸ τῆς οὐσίας, καὶ ἀπὸ τῆς θέσεως. Ἐνῆν εἰπεῖν καὶ τίνος ἕνεκεν οὐκ ἰσόμετροι πάντες ἡμῖν οἱ δάκτυλοι, καὶ πολλὰ ἕτερα τούτων πλείονα· ἀλλ' ἀρκούντως καὶ ἐκ τῶν εἰρημένων τοῖς ἐθέλουσι προσέχειν ἡ σοφία τοῦ δημιουργήσαντος ἡμᾶς διαλάμπει Θεοῦ· διόπερ ἀφεὶς τοῦτο τὸ μέρος τοῖς φιλοπόνοις ἐξεργάσασθαι μετὰ ἀκριβείας, ἐφ' ἑτέραν ἀντίθεσιν τρέψομαι.

4. Καὶ γὰρ πολλοὶ μετὰ τῶν εἰρημένων κἀκεῖνο ἀντιλέγουσι· τί δή ποτε, εἰ βασιλεὺς τῶν ἀλόγων ἐστὶν ὁ ἄνθρωπος, καὶ ῥώμῃ, καὶ ὀξύτητι, καὶ τάχει πολλὰ τῶν ζώων αὐτοῦ πλεονεκτεῖ; Καὶ γὰρ ταχύτερον ἵππος ἀνθρώπου, καὶ

καὶ ὅπως ὅταν κτίζῃ κανεὶς σπίτι τοποθετεῖ ἐπάνω στέγην καὶ κεραμίδια, ἔτσι καὶ τὰ ὀστᾶ αὐτὰ τὰ ἔθεσεν ἐπάνω εἰς τὸ κεφάλι ὁ Θεός, καὶ ἔκαμε νὰ φυτρώσουν τρίχες, ὥστε νὰ εἶναι διὰ τὸ κεφάλι ὡσὰν κάποιος μάλλινος σκοῦφος.

Τὸ ἴδιον ἔκαμε καὶ διὰ τὴν καρδίαν. Διότι ἐπειδὴ εἶναι τὸ σπουδαιότατον ἀπὸ ὅλα τὰ μέλη ἡ καρδία ἔχει ἐμπιστευθῆ εἰς αὐτὴν ὁλόκληρος ἡ ζωή μας, καὶ ἐπειδὴ ἡ παραμικρὰ πληγή της ἐπιφέρει τὸν θάνατον, καὶ αὐτὴν τὴν περιέφραξε μὲ γερὰ καὶ σκληρὰ ὀστᾶ καὶ διὰ τῶν προβολῶν τοῦ θώρακος ἔμπροσθεν καὶ τὴν ὠμοπλάτην ὄπισθεν τὴν ἐτείχισεν. Καὶ ὅ,τι ἔκαμε εἰς τὸν ἐγκέφαλον μὲ τὰς μεμβράνας, τὸ ἴδιον ἔκαμε καὶ ἐδῶ. Ὥστε διὰ νὰ μὴ προσκρούῃ εἰς τὴν σκληρότητα τῶν ὀστῶν καὶ ὑποφέρῃ ἀπὸ τοὺς πόνους, κατὰ τοὺς συχνοὺς παλμούς της καὶ τὰ πηδήματα ποὺ κάμει κατὰ τοὺς θυμοὺς τοῦ ἀνθρώπου καὶ τὰς τοιαύτας ὁρμάς, ἥπλωσεν ἐκεῖ πολλὰς μεμβράνας καὶ τὸν πνεύμονα ἔβαλε κάτω ἀπὸ αὐτὴν ὡσὰν μαλακὸν στρῶμα εἰς τὰ κτυπήματα αὐτῆς διὰ νὰ κτυπᾷ μαλακὰ εἰς αὐτὸν ὅταν πάλλεται, καὶ διὰ νὰ μὴ παθαίνῃ κανὲν κακόν.

Καὶ διατί ὁμιλῶ περὶ τοῦ ἐγκεφάλου καὶ τῆς καρδίας, ἀφοῦ καὶ διὰ τὰ νύχια ἂν προσέξῃ κανείς, θὰ ἰδῇ νὰ ἀποδεικνύεται καὶ διὰ τούτων ἡ μεγάλη σοφία τοῦ Θεοῦ, καὶ ἀπὸ τὸ σχῆμα αὐτῶν καὶ ἀπὸ τὴν οὐσίαν των καὶ ἀπὸ τὴν θέσιν των. Θὰ ἦτο δυνατὸν νὰ εἴπουμεν διατί δὲν ἔχουν ὅλα τὰ δάκτυλα τὸ ἴδιον μῆκος, καὶ πολλὰ ἄλλα περισσότερα ἀπὸ αὐτά· ὅμως καὶ ἐξ ὅσων εἴπομεν, δι' αὐτοὺς ποὺ θέλουν νὰ προσέχουν, διαλάμπει ἡ σοφία τοῦ Θεοῦ· διὰ τοῦτο ἀφοῦ ἀφήσω τὸ μέρος τοῦτο νὰ τὸ ἐξετάσουν λεπτομερῶς ὅσοι εἶναι φιλόπονοι, θὰ ἐπιχειρήσω ν' ἀναιρέσω ἄλλην ἀντίρρησιν.

4. Διότι πολλοὶ ἐκτὸς τῶν ὅσων ἐλέχθησαν, προβάλλουν καὶ τὴν ἑξῆς ἀντίρρησιν· διατί ἆρά γε, ἀφοῦ ὁ ἄνθρωπος εἶναι ὁ βασιλεὺς τῶν ἀλόγων ζώων, πολλὰ ἀπὸ τὰ ζῶα ὑπερτεροῦν ἀπὸ αὐτὸν καὶ εἰς τὴν δύναμιν καὶ εἰς εὐκινησίαν καὶ εἰς τὴν ταχύτητα; Καθ' ὅσον ὁ ἵππος εἶναι ταχύτε-

πληκτικώτερον βοῦς, καὶ κουφότερον ἀετός, καὶ ἰσχυρότερον λέων. Τί οὖν ἂν εἴποιεν πρὸς ταῦτα; Ὅτι καὶ ἐντεῦθεν μάλιστα εἰσόμεθα τοῦ Θεοῦ τὴν σοφίαν, καὶ τὴν τιμὴν ἣν ἡμᾶς ἐτίμησε. Ταχύτερον μὲν γὰρ ἵππος ἀνθρώπου, ἀλλ' εἰς ἀποδημίας τάχος ἐπιτηδειότερον ἄνθρωπος ἵππου· ἵππος μὲν γάρ, κἂν πάντων ὀξύτατος καὶ ἀλκιμώτατος ᾖ, μόλις διακοσίους δραμεῖται τῆς ἡμέρας σταδίους· ἄνθρωπος δὲ ὑποζεύξας ἵππους ἐκ διαδοχῆς πολλούς, καὶ δισχιλίους δυνήσεται σταδίους διανύσαι. Ὥστε ὅπερ ἐκείνῳ τὸ τάχος, τούτῳ ὁ λογισμὸς καὶ ἡ τέχνη παρέσχε μετὰ πλείονος τῆς ὑπερβολῆς· οὐκ ἔχει μὲν γὰρ πόδας ἰσχυροὺς ὁ ἄνθρωπος, ὥσπερ ἐκεῖνος, ἔχει δὲ τοὺς ἐκείνου τῶν ἑαυτοῦ οὐκ ἔλαττον αὐτῷ διακονουμένους.

Τῶν μὲν γὰρ ἀλόγων οὐδὲ ἓν ζώων ἕτερον πρὸς τὴν ἑαυτοῦ χρείαν ὑποζεῦξαι δύναται, ὁ δὲ ἄνθρωπος πάντα ἔπεισι, καὶ διὰ τῆς ποικίλης τέχνης τῆς παρὰ τοῦ Θεοῦ δοθείσης αὐτῷ, πρὸς τὴν μάλιστα προσήκουσαν αὐτῷ οἰκονομίαν ἕκαστον ὑπάγει τῶν ζώων. Εἰ δὲ ἦσαν οὕτως ἰσχυροὶ οἱ πόδες τῶν ἀνθρώπων ὡς οἱ τῶν ἵππων, πρὸς ἕτερα ἂν ἐγένοντο ἄχρηστοι, πρὸς δυσχωρίας, πρὸς ἀκρωρείας, πρὸς ἀναβάσεις δένδρων· ἡ γὰρ ὁπλὴ ταῖς πρὸς τὰ τοιαῦτα βαδίσεσιν ἐμποδίζειν εἴωθεν. Ὥστε εἰ καὶ ἁπαλώτεροι οἱ πόδες αὐτῶν, ἀλλὰ πρὸς πλείους ἐπιτηδειότεροι χρείας, καὶ οὔτε διὰ τὴν ἀσθένειάν τι βλάπτονται, τῆς τοῦ ἵππου δυνάμεως διακονουμένης, καὶ παρὰ τὴν ποικιλίαν τῆς βαδίσεως πλεονεκτοῦσι.

Πάλιν ἐστὶ πτερὸν τῷ ἀετῷ κοῦφον, ἀλλ' ἔστιν ἐμοὶ λόγος καὶ τέχνη δι' ἧς δύναμαι πάντα τὰ ἱπτάμενα ζῶα

ρος ἀπὸ τὸν ἄνθρωπον καὶ τὸ βόδι ἀνθεκτικότερον καὶ ἐλαφρότερος ὁ ἀετὸς καὶ ἰσχυρότερος ὁ λέων. Τί θὰ ἀπαντήσωμεν εἰς αὐτά; Ὅτι καὶ ἀπὸ ἐκεῖ θὰ γνωρίσωμεν τὴν σοφίαν τοῦ Θεοῦ καὶ τὴν τιμὴν μὲ τὴν ὁποίαν μᾶς ἐτίμησεν. Εἶναι βέβαια ταχύτερος ὁ ἵππος ἀπὸ τὸν ἄνθρωπον ἀλλὰ διὰ μακρυνὰ ταξίδια εἶναι καταλληλότερος ὁ ἄνθρωπος ἀπὸ τὸν ἵππον· διότι ὁ ἵππος, ἀκόμα καὶ ἂν εἶναι ὁ ταχύτατος καὶ δυνατώτατος μόλις διακόσια στάδια θὰ ἠμπορέσῃ νὰ διατρέξῃ τὴν ἡμέραν· ὁ ἄνθρωπος ὅμως ἂν ζεύξῃ διαδοχικῶς πολλὰ ἄλογα εἰς τὸ ἀμάξι του, θὰ ἠμπορέσῃ νὰ διανύσῃ καὶ δύο χιλιάδες στάδια. Ὥστε τὸ πλεονέκτημα ποὺ δίδει εἰς ἐκεῖνον ἡ ταχύτης, εἰς τὸν ἄνθρωπον εἰς πολὺ μεγαλύτερον βαθμὸν δίδει ἡ ἐφευρετικότης καὶ ὁ λογισμός· καὶ δὲν ἔχει πόδια δυνατὰ ὁ ἄνθρωπος, ὅπως ὁ ἵππος, ἔχει ὅμως τὰ ἰδικά του πόδια ποὺ τὸν ἐξυπηρετοῦν ἐξ ἴσου, ὅπως τὸν ἵππον τὰ ἰδικά του.

Διότι ἀπὸ τὰ ἄλογα ζῷα δὲν ἠμπορεῖ οὔτε ἕνα νὰ χρησιμοποιήσῃ τὸ ἄλλο διὰ τὰς ἰδικάς του ἀνάγκας, ὁ ἄνθρωπος ὅμως ὅλα τὰ μεταχειρίζεται καὶ διὰ τῶν διαφόρων εἰδῶν ἱκανοτήτων ποὺ τοῦ ἔδωκεν ὁ Θεὸς κάθε ἕνα ζῷον τὸ χρησιμοποιεῖ κατὰ τὸν προσήκοντα εἰς αὐτὸν τρόπον. Ἐὰν δὲ ἦσαν τόσον δυνατὰ τὰ πόδια τῶν ἀνθρώπων, ὅπως τὰ πόδια τῶν ἵππων, διὰ ἄλλα ἔργα θὰ ἦσαν ἄχρηστα, ὅπως π.χ. διὰ τὸ βάδισμα εἰς κακοτόπια, εἰς κορφοβούνια, δι' ἀναβάσεις εἰς τὰ δένδρα· διότι ἡ ὁπλὴ συνήθως γίνεται ἐμπόδιον διὰ τοιούτου εἴδους βαδίσματα. Ὥστε ἂν καὶ εἶναι ἁπαλώτερα τὰ πόδια τῶν ἀνθρώπων, ὅμως εἶναι καταλληλότερα πρὸς ἐξυπηρέτησιν περισσοτέρων ἀναγκῶν, καὶ οὔτε ἐξ αἰτίας τῆς ἀδυναμίας των ἐμποδίζονται εἰς τὸ ἔργον των, διότι ἐξυπηρετοῦνται ὑπὸ τῆς δυνάμεως τοῦ ἵππου καὶ ἔχουν τὸ πλεονέκτημα νὰ κάνουν ποικιλίαν βαδίσματος.

Πάλιν ἔχει ἐλαφρὰ πτερὰ ὁ ἀετὸς καὶ πετᾷ, ὅμως ὑπάρχει εἰς ἐμὲ λογικὸν καὶ ἱκανότητα διὰ τῆς ὁποίας ἠμπορῶ ὅλα τὰ ζῷα ποὺ πετοῦν εἰς τὸν ἀέρα νὰ τὰ κατεβάσω καὶ νὰ

κατενεγκεῖν καὶ χειρώσασθαι. Εἰ δὲ βούλει καὶ τὸ ἐμὸν πτερὸν ἰδεῖν, ἔχω πολλῷ κουφότερον ἐκείνων, οὐ μέχρι δέκα σταδίων, καὶ εἴκοσι, οὐδὲ μέχρι τοῦ οὐρανοῦ, ἀλλὰ καὶ ὑπὲρ αὐτὸν ἀνιπτάμενον τὸν οὐρανόν, καὶ ὑπὲρ τὸν οὐρανὸν τοῦ οὐρανοῦ ἄνω, οὗ ὁ Χριστός ἐστιν ἐν δεξιᾷ τοῦ Θεοῦ καθήμενος. Τὰ ἄλογα πάλιν ἐν τῷ σώματι τὰ ὅπλα ἔχει, οἷον ὁ βοῦς τὰ κέρατα, τοὺς ὀδόντας ὁ ὗς ὁ ἄγριος, τοὺς ὄνυχας ὁ λέων· ἐμοὶ δὲ οὐκ ἐν τῇ φύσει τοῦ σώματος τὰ ὅπλα κατέθετο ὁ Θεός, ἀλλ' ἔξω τοῦ σώματος, δεικνὺς ὅτι ἥμερον ζῶον ὁ ἄνθρωπος, καὶ ὅτι οὐκ ἀεί μοι τούτων τῶν ὅπλων καιρός· καὶ γὰρ πολλάκις μὲν αὐτὰ ἀποτίθημι, πολλάκις δὲ μεταχειριζόμεναι· ἵν' οὖν ἐλεύθερος ὦ καὶ ἀπολελυμένος, μὴ διηνεκῶς ἀναγκαζόμενος βαστάζειν τὰ ὅπλα, ἐποίησεν αὐτὰ κεχωρισμένα τῆς φύσεως εἶναι τῆς ἐμῆς. Οὐ γὰρ μόνον τῷ ψυχὴν ἔχειν λογικὴν κρατοῦμεν τῶν ἀλόγων, ἀλλὰ καὶ τῷ σώματι πλεονεκτοῦμεν αὐτῶν.

Καὶ γὰρ καὶ τοῦτο τῆς ψυχῆς εὐγενείᾳ συμβαῖνον κατεσκεύασεν ὁ Θεός, καὶ τοῖς ἐπιτάγμασιν αὐτῆς ἐπιτήδειον· καὶ γὰρ τὸ σῶμα τοιοῦτον οὐχ ἁπλῶς ἐποίησεν, ἀλλ' οἷον εἰκὸς εἶναι λογικῇ ψυχῇ διακονούμενον· ὡς εἰ μὴ τοιοῦτον ἦν, σφόδρα ἂν ἐνεποδίσθησαν αἱ τῆς ψυχῆς ἐνέργειαι· καὶ τοῦτο δῆλον ἐκ τῶν νοσημάτων. Εἰ γὰρ μικρόν τι παρατραπείη τῆς οἰκείας καταστάσεως αὐτὴ τῆς σαρκὸς ἡ διακόσμησις, πολλαὶ τῶν ἐνεργειῶν τῆς ψυχῆς ἐμποδίζονται· οἷόν τι λέγω, εἰ θερμότερος ἢ ψυχρότερος ὁ ἐγκέφαλος γένοιτο. Ὥστε πολλὴν καὶ ἀπὸ τοῦ σώματός ἐστιν ἰδεῖν τὴν κηδεμονίαν τοῦ Θεοῦ, οὐχ ὅτι μόνον ἐξ ἀρχῆς αὐτὸ βέλτιον ἐποίησε τοῦ νῦν ὄντος, οὐδ' ὅτι τὸ νῦν πρὸς τὸ χρήσιμον αὐτὸ μετεσκεύασεν, ἀλλ' ὅτι καὶ πρὸς πολλῷ μείζονα ἀναστήσει δόξαν πάλιν. Εἰ δὲ καὶ ἑτέρωθεν θέλεις μαθεῖν ὅσην περὶ

τὰ συλλάβω. Ἐὰν δὲ θέλῃς νὰ ἰδῇς καὶ τὰ ἰδικά μου φτερά, ἔχω κατὰ πολὺ ἐλαφρότερα ἀπὸ ἐκεῖνα, καὶ ὄχι εἰς ὕψος δέκα σταδίων καὶ εἴκοσι, οὔτε μέχρι τοῦ οὐρανοῦ, ἀλλὰ καὶ ὑπεράνω τοῦ οὐρανοῦ, καὶ ὑπεράνω ἀπὸ τὸν οὐρανὸν τοῦ οὐρανοῦ, ὅπου εἶναι καθήμενος ὁ Χριστὸς εἰς τὰ δεξιὰ τοῦ Θεοῦ, ἠμπορῶ νὰ πετάξω. Τὰ ἄλογα ζῶα πάλιν ἔχουν τὰ ὅπλα εἰς τὸ σῶμα των, ὅπως τὸ βόδι τὰ κέρατα, ὁ ἀγριόχοιρος τὰ δόντια, ὁ λέων τὰ νύχια· εἰς ἐμὲ ὅμως ὁ Θεὸς δὲν ἔβαλε τὰ ὅπλα εἰς τὴν φύσιν τοῦ σώματος, ἀλλὰ ἔξω ἀπὸ τὸ σῶμα, δεικνύων μὲ αὐτὸ ὅτι ὁ ἄνθρωπος εἶναι ἥμερον ζῶον, καὶ ὅτι δὲν μοῦ χρειάζονται πάντοτε αὐτὰ τὰ ὅπλα· καθ' ὅσον ἄλλοτε αὐτὰ τὰ ἀφήνω κατὰ μέρος, ἄλλοτε δὲ τὰ μεταχειρίζομαι· διὰ νὰ εἶμαι λοιπὸν ἐλεύθερος καὶ εὐκίνητος καὶ νὰ μὴ εἶμαι ἀναγκασμένος συνεχῶς νὰ κρατῶ ὅπλα, τὰ ἔκαμε νὰ εἶναι χωρισμένα ἀπὸ τὴν ἰδικήν μου φύσιν. Καὶ δὲν ὑπερέχομεν ἀπὸ τὰ ἄλογα ζῶα εἰς τὸ ὅτι ἔχομεν ψυχὴν λογικήν, ἀλλὰ καὶ εἰς τὸ ὅτι πλεονεκτοῦμεν καὶ ὡς πρὸς τὸ σῶμα.

Καθ' ὅσον καὶ τοῦτο τὸ κατεσκεύασεν ὁ Θεὸς σύμφωνον μὲ τὴν εὐγένειαν τῆς ψυχῆς, καὶ κατάλληλον νὰ τηρῇ τὰ προστάγματά της· διότι τὸ σῶμα δὲν τὸ ἔκαμεν ἁπλῶς τοιοῦτον, ἀλλὰ τοιοῦτον ὥστε νὰ εἶναι κατάλληλον διὰ νὰ ὑπηρετῇ τὴν λογικὴν ψυχήν· διότι ἐὰν δὲν ἦτο τοιοῦτον, θὰ ἠμποδίζοντο πολὺ αἱ ἐνέργειαι τῆς ψυχῆς· καὶ τοῦτο φαίνεται ἐκ τῶν διαφόρων νοσημάτων. Διότι ἂν ἔστω καὶ ὀλίγον παρεκτραπῇ ἀπὸ τὴν φυσικήν του κατάστασιν ὁ ἀνθρώπινος ὀργανισμός, πολλαὶ ἐνέργειαι τῆς ψυχῆς ἐμποδίζονται· ἐννοῶ δηλαδὴ τὸ ἑξῆς, ἐὰν γίνῃ π.χ. ὁ ἐγκέφαλος θερμότερος ἢ ψυχρότερος. Ὥστε καὶ ἀπὸ τὴν κατασκευὴν τοῦ σώματος ἠμπορεῖ νὰ ἰδῇ κανεὶς τὴν μεγάλην πρόνοιαν τοῦ Θεοῦ, ὄχι μόνον διότι ἀπὸ τὴν ἀρχὴν τὸ ἔκαμε καλύτερον ἀπὸ ὅ,τι εἶναι σήμερον, οὔτε διότι καὶ τώρα τὸ κατεσκεύασε διὰ νὰ εἶναι χρήσιμον, ἀλλὰ διότι θὰ τὸ ἀναστήσῃ καὶ πάλιν μὲ πολὺ μεγαλυτέραν δόξαν. Ἂν δὲ θέλῃς νὰ μάθῃς καὶ ἀπὸ

τὸ σῶμα ὁ Θεὸς ἐπεδείξατο σοφίαν, ἐρῶ τοῦτο ὃ μάλιστα πάντων ὁ Παῦλος ἐκπληττόμενος φαίνεται συνεχῶς. Τί δὲ τοῦτό ἐστιν; Τὰ μέλη πλεονεκτεῖν ἀλλήλων πεποίηκεν, οὐκ ἐν τοῖς αὐτοῖς, ἀλλὰ τὰ μὲν ἐν κάλλει, τὰ δὲ ἰσχύϊ κρατεῖν παρεσκεύασεν· οἷον καλὸς ὁ ὀφθαλμός, ἀλλ' ἰσχυρότεροι οἱ πόδες· τιμία ἡ κεφαλή, ἀλλ' οὐ δύναται εἰπεῖν τοῖς ποσίν, χρείαν ὑμῶν οὐκ ἔχω· καὶ τοῦτο καὶ ἐπὶ τῶν ἀλόγων ἐστὶν ἰδεῖν, τοῦτο καὶ ἐπὶ τοῦ βίου παντός.

Ὁ γοῦν βασιλεὺς τῶν ὑπηκόων δεῖται, οἱ ὑπήκοοι τοῦ βασιλέως, ὥσπερ ἡ κεφαλὴ τῶν ποδῶν. Καὶ πάλιν ἐπὶ τῶν ἀλόγων τὰ μέν ἐστιν ἰσχυρότερα, τὰ δὲ εὐπρεπέστερα, καὶ τὰ μὲν ἡμᾶς τέρπει, τὰ δὲ τρέφει, τὰ δὲ περιβάλλει· οἷον τέρπει μὲν ὁ ταώς, τρέφουσι δὲ ὄρνιθες καὶ ὕες, περιβάλλουσι δὲ πρόβατα καὶ αἶγες, συμπονεῖ καὶ βοῦς καὶ ὄνος. Ἔστι δὲ καὶ ἄλλα ἃ τούτων μὲν οὐδὲν παρέχει, γυμνάζει δὲ ἡμῶν τὴν δύναμιν, ὡς τὰ ἄγρια θηρία τῶν κυνηγετικῶν αὔξει τὴν ἰσχύν, καὶ τῷ φόβῳ παιδεύει τὸ γένος ἡμῶν, καὶ προσεκτικώτερον ποιεῖ, καὶ πρὸς θεραπείαν δὲ ἡμῖν οὐκ ὀλίγην φορὰν ἀπὸ τῶν οἰκείων εἰσάγει σωμάτων.

Ὥστε ὅταν εἴπῃ σοί τις, πῶς ἄρχων εἶ τῶν ἀλόγων φοβούμενος λέοντα; εἰπὲ πρὸς αὐτόν, ὅτι παρὰ τὴν ἀρχὴν οὐχ οὕτω τὰ πράγματα διέκειτο, ὅτε εὐδοκίμουν παρὰ τῷ Θεῷ, ὅτε ἐν παραδείσῳ διέτριβον· ἀλλ' ἐπειδὴ προσέκρουσα τῷ Δεσπότῃ, ὑπεύθυνος ἐγενόμην τοῖς δούλοις· καὶ οὐδὲ νῦν ὁλοσχερῶς, ἀλλ' ἔχω τινὰ τέχνην δι' ἧς κρατῶ τῶν θηρίων. Οὕτω καὶ ἐπὶ τῶν οἰκιῶν γίνεται τῶν μεγάλων, ὅτε οἱ υἱοί, κἂν εὐγενεῖς ὦσιν, ὦσι δὲ ἀτελεῖς, πολλοὺς τῶν δούλων δεδοίκασιν· ὅταν δὲ καὶ προσκεκρουκότες ὦσιν, ἐ-

9. Πρβλ. Α' Κορ. 12, 21.

ἀλλοῦ πόσην σοφίαν ἔδειξε διὰ τὸ σῶμα ὁ Θεὸς θὰ σοῦ εἰπῶ τοῦτο, τὸ ὁποῖον κατ' ἐξοχὴν ἔκαμε τὸν Παῦλον νὰ ἐκπλήσσεται συνεχῶς. Ποῖον δὲ εἶναι τοῦτο; Ἐδημιούργησε τὰ μέλη ὥστε τὸ ἕνα νὰ ὑπερέχῃ τοῦ ἄλλου, ὄχι εἰς τὰ ἴδια πράγματα, ἀλλὰ ἄλλα μὲν εἰς τὴν ὡραιότητα, ἄλλα δὲ εἰς τὴν δύναμιν· ὅπως ὡραῖα εἶναι τὰ μάτια, ἀλλὰ δυνατώτερα τὰ πόδια· πολύτιμος ἡ κεφαλή, ὅμως δὲν ἠμπορεῖ νὰ εἰπῇ εἰς τὰ πόδια, δὲν ἔχω τὴν ἰδικήν σας ἀνάγκην[9]· καὶ τοῦτο ἠμποροῦμε νὰ παρατηρήσωμεν ὅτι συμβαίνει καὶ εἰς τὰ ἄλογα ζῶα, καὶ εἰς ὁλόκληρον τὴν ζωήν μας.

Ὁ βασιλεὺς λοιπὸν ἔχει ἀνάγκην τῶν ὑπηκόων, οἱ ὑπήκοοι ἔχουν τὴν ἀνάγκην τοῦ βασιλέως, ὅπως καὶ τὸ κεφάλι ἔχει τὴν ἀνάγκην τῶν ποδιῶν. Καὶ ἐπὶ τῶν ἀλόγων ζώων, ἄλλα μὲν εἶναι ἰσχυρότερα, ἄλλα ὡραιότερα καὶ ἄλλα μὲν μᾶς εὐχαριστοῦν, ἄλλα μᾶς τρέφουν καὶ ἄλλα μᾶς ἐνδύουν· ὅπως π.χ. προκαλεῖ εὐχαρίστησιν τὸ παγῶνι, μᾶς τρέφουν δὲ οἱ ὄρνιθες καὶ οἱ χοῖροι, μᾶς ἐνδύουν δὲ τὰ πρόβατα καὶ τὰ γίδια, μᾶς βοηθοῦν δὲ εἰς τὴν ἐργασίαν μας τὸ βόδι καὶ ὁ ὄνος. Ὑπάρχουν δὲ καὶ ἄλλα τὰ ὁποῖα δὲν μᾶς παρέχουν τίποτε ἀπὸ αὐτά, ὅμως γυμνάζουν τὴν δύναμίν μας, ὅπως τὰ ἄγρια θηρία αὐξάνουν τὴν δύναμιν τῶν κυνηγῶν, καὶ μὲ τὸν φόβον ποὺ προκαλοῦν διδάσκουν τὸ γένος μας καὶ τὸ κάμουν προσεκτικώτερον, καὶ ὄχι ὀλίγας φορὰς μᾶς θεραπεύουν μὲ τὰ σώματά των.

Ὥστε ὅταν σοῦ εἰπῇ κάποιος πῶς εἶσαι ἄρχων τῶν ἀλόγων ζώων ἀφοῦ φοβᾶσαι τὸν λέοντα; εἰπὲ πρὸς αὐτόν, ὅτι εἰς τὴν ἀρχὴν ὅταν εὑρισκόμην εἰς τὴν εὐδαιμονίαν τοῦ παραδείσου κοντὰ εἰς τὸν Θεὸν δὲν ἦσαν ἔτσι τὰ πράγματα, ἐπειδὴ ὅμως ἡμάρτησα εἰς τὸν Κύριον, ὑπεδουλώθην· καὶ δὲν ὑπεδουλώθην ὁλοσχερῶς, ἀλλὰ ἔχω κάποιαν ἱκανότητα διὰ νὰ ἐπικρατῶ καὶ ἐπιβάλλωμαι εἰς τὰ θηρία. Τὸ ἴδιον γίνεται εἰς τὰς μεγάλας οἰκογενείας, ὅπου τὰ παιδιὰ αὐτῶν, ἂν καὶ εἶναι εὐγενεῖς, ἐπειδὴ ὅμως δὲν ἔχουν αὐτεξουσιότητα, φοβοῦνται πολλοὺς ἀπὸ τοὺς δούλους· καὶ ὅταν σφάλ-

πιτείνεται μᾶλλον ἡ ἀγωνία. Ταῦτα καὶ περὶ ὄφεων, καὶ σκορπίων, καὶ ἐχιδνῶν ἐστιν εἰπεῖν, ὅτι διὰ τὴν ἁμαρτίαν ἡμῖν ἐστι φοβερά.

5. Οὐκ ἐπὶ τοῦ σώματος δὲ τοῦ ἡμετέρου μόνον, οὐδὲ ἐπὶ τῶν βίων τῶν διαφόρων, οὐδὲ ἐπὶ τῶν ἀλόγων, ἀλλὰ καὶ ἐπὶ δένδρων ἐστὶν ἰδεῖν τὴν ποικιλίαν ταύτην· καὶ τὸ πάντων εὐτελέστερον ἴδοι τις ἂν κατὰ τοῦ μείζονος ἔχον ὑπεροχήν, καὶ οὐ πάντα ἐν ἅπασιν ὄντα, ἵνα πάντα ἡμῖν ἀναγκαῖα ᾖ, καὶ τοῦ Δεσπότου τὴν ποικίλην σοφίαν ἴδωμεν. Μὴ τοίνυν κατηγόρει τοῦ Θεοῦ διὰ τὴν φθορὰν τοῦ σώματος, ἀλλὰ διὰ τοῦτο μᾶλλον αὐτὸν προσκύνει, καὶ τῆς σοφίας, καὶ τῆς κηδεμονίας αὐτὸν θαύμαζε· τῆς σοφίας μέν, ὅτι ἴσχυσεν ἐν οὕτω φθαρτῷ σώματι τοσαύτην ἐπιδείξασθαι ἁρμονίαν· τῆς κηδεμονίας δέ, ὅτι διὰ τὴν τῆς ψυχῆς ὠφέλειαν φθαρτὸν αὐτὸ ἐποίησεν, ἵνα αὐτῆς καταστείλῃ τὸ φύσημα, καὶ τὴν ἀπόνοιαν καθέλῃ.

Τί οὖν οὐκ ἐξ ἀρχῆς αὐτὸν τοιοῦτον ἐποίησε, φησίν; Ἀπολογούμενός σοι διὰ τῶν πραγμάτων αὐτῶν, καὶ μονονουχὶ λέγων διὰ τῆς ἐκβάσεως αὐτῆς, ὅτι ἐγὼ μέν σε ἐπὶ μείζονα ἐκάλουν τιμήν, σὺ δὲ σαυτὸν ἀνάξιον κατέστησας τῆς δωρεᾶς, ἐκπεσὼν τοῦ παραδείσου· πλὴν ἀλλ' οὐδὲ οὕτω περιόψομαί σε, ἀλλὰ διορθώσομαί σου τὸ ἁμάρτημα, καὶ εἰς τὸν οὐρανόν σε ἀνάξω. Καὶ γὰρ διὰ τοῦτό σε ἐπὶ τοσοῦτον χρόνον ἀφῆκα σήπεσθαι καὶ διαφθείρεσθαι, ἵνα ἐν τῷ πλήθει τοῦ χρόνου μόνιμός σοι γένηται τῆς ταπεινοφροσύνης ἡ διδασκαλία, καὶ μηδέποτε τὴν προτέραν ἔννοιαν ἀναλάβῃς. Ὑπὲρ δὴ τούτων ἁπάντων εὐχαριστήσωμεν τῷ φιλανθρώπῳ Θεῷ, καὶ τῆς κηδεμονίας αὐτὸν ἀμειψώμεθα ἀμοιβὴν ἡμᾶς ὠφελοῦσαν πάλιν, καὶ τῆς ἐντολῆς, ὑπὲρ ἧς συχνῶς ὑμῖν διαλέγομαι, πολλὴν ποιησώμεθα τὴν σπουδήν,

λουν εἰς κάτι, ἀκόμη περισσότερον ἐπιτείνεται ἡ ἀγωνία των. Τὰ ἴδια ἠμπορεῖ νὰ εἰπῇ κανεὶς καὶ διὰ τὰ φίδια καὶ διὰ τοὺς σκορπιούς, καὶ τὶς ὀχιές, ὅτι δηλαδὴ ἐξ αἰτίας τῆς ἁμαρτίας μας ἔγιναν φοβερά.

5. Ὄχι μόνον εἰς τὸ ἰδικόν μας σῶμα, οὔτε εἰς τὰ διάφορα εἴδη ζωῆς, οὔτε μόνον εἰς τὰ ἄλογα ζῶα, ἀλλὰ καὶ εἰς τὰ δένδρα ἠμπορεῖ νὰ ἰδῇ κανεὶς τὴν ποικιλίαν αὐτήν· καὶ ἐκεῖνο ποὺ θεωρεῖται εὐτελέστερον ὅλων ἠμπορεῖ νὰ ἰδῇ κανεὶς ὅτι ὑπερέχει ἀπὸ ἐκεῖνο ποὺ θεωρεῖται ἀνώτερον, καὶ δὲν εἶναι ὅλα ἴδια διὰ νὰ μᾶς χρειάζωνται ὅλα καὶ νὰ διαπιστώνωμεν τὴν σοφίαν τοῦ Θεοῦ. Μὴ κατηγορῇς λοιπὸν τὸν Θεὸν διότι φθείρεται τὸ σῶμα, ἀλλὰ ἐξ αἰτίας τούτου περισσότερον νὰ προσκυνῇς αὐτὸν καὶ νὰ τὸν θαυμάζῃς διὰ τὴν σοφίαν καὶ τὴν πρόνοιάν του· διὰ τὴν σοφίαν μὲν διότι ἠμπόρεσεν εἰς τόσον φθαρτὸν σῶμα νὰ ἐπιδείξῃ τόσην ἁρμονίαν· διὰ τὴν πρόνοιαν δὲ διότι ἔκαμεν αὐτὸ φθαρτὸν διὰ τὴν ὠφέλειαν τῆς ψυχῆς, διὰ νὰ περιορίσῃ τὴν ὑπερηφάνειαν αὐτῆς καὶ νὰ κρημνίσῃ τὴν ἀλαζονείαν της.

Λοιπὸν διατί δὲν ἔκαμεν αὐτὸν ἀπὸ τὴν ἀρχὴν τοιοῦτον; λέγει. Διὰ νὰ σοῦ ὁμιλήσῃ διὰ τῶν πραγμάτων αὐτῶν, καὶ διὰ νὰ σοῦ εἰπῇ διὰ τῆς ἀποτελεσματικότητος αὐτῶν ὅτι ἐγὼ μὲν σὲ προώριζα διὰ μεγαλυτέραν τιμήν, σὺ ὅμως ἔκαμες τὸν ἑαυτόν σου ἀνάξιον αὐτῆς τῆς δωρεᾶς, ἀφοῦ ἐξέπεσες ἀπὸ τὸν παράδεισον· ὅμως παρὰ τὸ ὅτι εἶσαι εἰς αὐτὴν τὴν κατάστασιν δὲν θὰ ἀδιαφορήσω διὰ σέ, ἀλλὰ θὰ διορθώσω τὸ ἁμάρτημά σου καὶ θὰ σὲ ἀνεβάσω εἰς τὸν οὐρανόν. Διότι διὰ τοῦτο σὲ ἄφησα νὰ σήπεσαι καὶ νὰ καταστρέφεσαι ἐπὶ τόσον χρόνον, διὰ νὰ γίνῃ εἰς σὲ μόνιμη κατάστασις ἡ διδασκαλία τῆς ταπεινοφροσύνης διὰ τῆς πολυκαιρίας, καὶ νὰ μὴ ἐπανέλθῃς πλέον εἰς τὴν προηγουμένην ἰδέαν. Δι᾽ ὅλα λοιπὸν αὐτὰ ἂς εὐχαριστήσωμεν τὸν φιλάνθρωπον Θεόν, καὶ ἂς ἀνταμείψωμεν αὐτὸν διὰ τὴν πρόνοιάν του μὲ ἀμοιβὴν ποὺ μᾶς ὠφελεῖ, καὶ ἂς καταβάλωμεν προσπάθειαν νὰ τηρήσωμεν τὴν ἐντολήν, περὶ τῆς ὁποίας συνεχῶς ὁμιλῶ πρὸς σᾶς. Διότι

Οὐ γὰρ ἀποστήσομαι ἕως ἂν κατορθώσητε, ἐπειδὴ τὸ ζητούμενον ἡμῖν οὐ τοῦτό ἐστιν, ἢ ὀλιγάκις εἰπεῖν ἢ πολλάκις, ἀλλὰ μέχρι τότε λέγειν, ἕως ἂν ὑμᾶς πείσωμεν.

Πρὸς μὲν οὖν Ἰουδαίους ὁ Θεὸς ἔλεγε διὰ τοῦ προφήτου, «Εἰ εἰς κρίσεις καὶ μάχας νηστεύετε, ἵνα τί μοι νηστεύετε;». Πρὸς ὑμᾶς δὲ ἐρεῖ δι' ἡμῶν, εἰς εἰς ὅρκους καὶ ἐπιορκίας νηστεύετε, ἵνα τί νηστεύετε; Πῶς γὰρ τὸ πάσχα ὀψόμεθα τὸ ἱερόν; Πῶς τὴν θυσίαν δεξόμεθα τὴν ἁγίαν; Πῶς τῶν θαυμαστῶν κοινωνήσομεν μυστηρίων διὰ τῆς γλώττης, δι' ἧς τὸν νόμον τοῦ Θεοῦ κατεπατήσαμεν, διὰ τῆς γλώττης, δι' ἧς τὴν ψυχὴν ἐμολύναμεν; Εἰ γὰρ πορφυρίδα τις βασιλικὴν οὐκ ἂν ἀνάσχοιτο χερσὶ δέξασθαι μεμιασμέναις, πῶς σῶμα δεσποτικὸν δεξόμεθα ἀκαθάρτῳ γενομένῃ γλώττῃ; Ὁ μὲν γὰρ ὅρκος τοῦ πονηροῦ, ἡ δὲ θυσία τοῦ Δεσπότου. «Τίς οὖν κοινωνία φωτὶ πρὸς σκότος, ἢ τίς συμφώνησις Χριστῷ πρὸς Βελίαρ;».

Ὅτι μὲν οὖν ἐσπουδάκατε ταύτης ἀπαλλαγῆναι τῆς παρανομίας οἶδα σαφῶς, ἀλλ' ἐπειδὴ καθ' αὐτὸν ἕκαστος οὐκ ἂν εὐκόλως αὐτὸ κατορθώσειε, ποιησώμεθα φρατρίας καὶ συμμορίας, καὶ ὅπερ ἐπὶ τῶν συμποσίων οἱ πένητες ποιοῦσιν, ἐπειδὰν αὐτὸς ἕκαστος ἑστιάτωρ ὁλόκληρος γενέσθαι μὴ δύνηται, συνελθόντες ἅπαντες ἐξ ἐράνου τὴν εὐωχίαν εἰσφέρουσι, τοῦτο καὶ ἡμεῖς ποιήσωμεν· ἐπειδὴ καθ' ἑαυτοὺς ἐσμεν ῥάθυμοι, συμμορίας ποιήσαντες ἀλλήλοις παρεγγυῶμεν εἰσφέρειν συμβουλήν, καὶ παραγγελίαν, καὶ παράκλησιν, καὶ ἐπιτίμησιν, καὶ ὑπόμνησιν, καὶ ἀπειλήν, ἵνα ἐκ τῆς ἑκάστου σπουδῆς ἅπαντες κατορθώσωμεν.

Ἐπειδὴ γὰρ τὰ τῶν πλησίον ὀξύτερον βλέπομεν ἢ τὰ ἡμέτερα, ἡμεῖς ἑτέρους φυλάττωμεν, καὶ τὴν ἡμετέραν φυλα-

10. Ἠσ. 58, 4-5.

δὲν θὰ παύσω νὰ σᾶς ὁμιλῶ ἕως ὅτου τὸ κατορθώσετε τοῦτο, διότι αὐτὸ ποὺ ἐπιδιώκομεν δὲν εἶναι νὰ σᾶς ὁμιλοῦμεν πολὺ ἢ λίγο, ἀλλὰ νὰ σᾶς ὁμιλοῦμεν ἕως ὅτου σᾶς πείσωμεν νὰ ἐφαρμώσετε τὴν ἐντολὴν αὐτήν.

Πρὸς τοὺς Ἰουδαίους μὲν ὁ Θεὸς ἔλεγε διὰ τοῦ προφήτου «ἐάν, καθ' ὃν χρόνον εὑρίσκεσθε εἰς δίκας καὶ φιλονεικίας, νηστεύετε, διατί νηστεύετε;»[10]. Πρὸς σᾶς δὲ θὰ εἰπῇ δι' ἐμοῦ, ἂν καθ' ὃν χρόνον ὁρκίζεσθε καὶ ἐπιορκεῖτε νηστεύετε, διατί νηστεύετε; Πῶς θὰ ἴδωμεν τὸ Πάσχα τὸ ἱερόν; Πῶς θὰ δεχθῶμεν τὴν ἁγίαν θυσίαν; Πῶς θὰ κοινωνήσωμεν τῶν θαυμαστῶν μυστηρίων διὰ τῆς γλώσσης, διὰ τῆς ὁποίας ἐμολύναμεν τὴν ψυχήν μας, διὰ τῆς ὁποίας κατεπατήσαμεν τὸν νόμον τοῦ Θεοῦ; Διότι ἂν ἔνδυμα βασιλικὸν δὲν ἀνέχεται κανεὶς νὰ πιάσῃ μὲ μολυσμένα χέρια, πῶς θὰ δεχθοῦμεν μὲ ἀκάθαρτον γλῶσσαν Δεσποτικὸν σῶμα; Διότι ὁ μὲν ὅρκος εἶναι τοῦ πονηροῦ, ἡ δὲ θυσία τοῦ Δεσπότου. «Ποία ἐπικοινωνία λοιπὸν καὶ σχέσις ὑπάρχει μεταξὺ φωτὸς καὶ σκότους, ἢ ποία συμφωνία μεταξὺ Χριστοῦ καὶ Σατανᾶ;

Ὅτι μὲν λοιπὸν ἔχετε καταβάλει προσπάθειαν νὰ ἀπαλλαγῆτε ἀπὸ αὐτὴν τὴν παρανομίαν τὸ γνωρίζω καλά, ἐπειδὴ ὅμως κάθε ἕνας μόνος του δὲν θὰ τὸ κατορθώσῃ εὔκολα, ἂς κάμωμεν σωματεῖα καὶ ἀδελφότητας, καὶ ἂς κάμωμεν ἐκεῖνο ποὺ κάνουν οἱ πτωχοὶ εἰς τὰ συμπόσια, ἐπειδὴ κάθε ἕνας χωριστὰ ἐξ αὐτῶν δὲν ἠμπορεῖ νὰ γίνῃ ἑστιάτωρ, μαζεύονται ὅλοι καὶ διὰ συνεισφορᾶς συγκεντρώνουν τὸ ποσὸν καὶ κάμουν τὸ συμπόσιον· ἐπειδὴ ὅταν εἴμεθα μόνοι μας, εἴμεθα ράθυμοι, ἀφοῦ κάμωμεν σωματεῖα, ἂς προτρέπωμεν ὁ ἕνας τὸν ἄλλον νὰ συνεισφέρῃ συμβουλήν, καὶ παραγγελίαν, καὶ παρηγορίαν, καὶ ἐπιτίμησιν, καὶ ὑπόμνησιν, καὶ ἀπειλήν, ὥστε ἀπὸ τὴν προσπάθειαν τοῦ κάθε ἑνὸς χωριστά, ὅλοι νὰ κατορθώσωμεν τὴν τήρησιν τῆς ἐντολῆς.

Καὶ ἐπειδὴ τὰ σφάλματα τῶν ἄλλων τὰ βλέπομεν καλύτερα παρὰ τὰ ἰδικά μας, ἡμεῖς ἂς προφυλάσσωμεν τοὺς ἄλλους, καὶ τὴν ἰδικήν μας προφύλαξιν ἂς ἀφήσωμεν εἰς ἐκεί-

κὴν ἐπιτρέψωμεν ἐκείνοις, καὶ τὴν καλὴν ἅμιλλαν ταύτην ποιησώμεθα, ἵνα οὕτω περιγενόμενοι τῆς πονηρᾶς ταύτης συνηθείας, μετὰ παρρησίας ἐπὶ τὴν ἁγίαν ταύτην ἔλθωμεν ἑορτήν, καὶ τῆς ἁγίας μετάσχωμεν θυσίας μετὰ χρηστῆς ἐλπίδος, καὶ συνειδότος ἀγαθοῦ, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, δι᾽ οὗ καὶ μεθ᾽ οὗ τῷ Πατρὶ ἡ δόξα, ἅμα τῷ ἁγίῳ Πνεύματι, εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

νους, καὶ ἂς ἔχωμεν μεταξύ μας αὐτὴν τὴν καλὴν ἅμιλλαν, ὥστε νὰ κόψωμεν αὐτὴν τὴν κακὴν συνήθειαν καὶ μὲ παρρησίαν νὰ ἔλθωμεν εἰς τὴν ἁγίαν αὐτὴν ἑορτήν, καὶ νὰ μετάσχωμεν τῆς ἁγίας θυσίας μὲ καλὰς ἐλπίδας καὶ ἀγαθὴν συνείδησιν, διὰ τῆς χάριτος καὶ φιλανθρωπίας τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, διὰ τοῦ ὁποίου καὶ μετὰ τοῦ ὁποίου εἰς τὸν Πατέρα ἀνήκει ἡ δόξα καὶ εἰς τὸ ἅγιον Πνεῦμα εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ΟΜΙΛΙΑ ΔΩΔΕΚΑΤΗ

ΕΥΧΑΡΙΣΤΙΑ ΠΡΟΣ ΤΟΝ ΘΕΟΝ

περὶ τῆς συγχωρήσεως τῶν ἡμαρτηκότων εἰς τὸν βασιλέα· καὶ φυσιολογία τῆς κτίσεως· καὶ ὅτι ποιήσας ὁ Θεὸς τὸν ἄνθρωπον νόμον φυσικὸν ἐγκατέθηκεν αὐτῷ· καὶ περὶ τοῦ πάσῃ σπουδῇ ἀπέχεσθαι τῶν ὅρκων.

1. Καὶ χθὲς εἶπον, εὐλογητὸς ὁ Θεὸς καὶ σήμερον τὸ αὐτὸ τοῦτο πάλιν ἐρῶ. Εἰ γὰρ τὰ δεινὰ παρῆλθεν, ἡ μνήμη τῶν δεινῶν μὴ παρερχέσθω, οὐχ ἵνα ἀλγῶμεν, ἀλλ' ἵνα εὐχαριστῶμεν. Ἐὰν γὰρ ἡ μνήμη τῶν δεινῶν μένῃ, ἡ πεῖρα τῶν δεινῶν οὐδέποτε ἐπιστήσεται. Τί γὰρ δεῖ τῆς πείρας, τῆς μνήμης ἡμᾶς σωφρονιζούσης; Ὥσπερ οὖν οὐκ ἀφῆκεν ἡμᾶς ὁ Θεὸς καταποντισθῆναι παρόντων τῶν λυπηρῶν, οὕτω μὴ ἀφῶμεν ἑαυτοὺς ἐκλυθῆναι παρελθόντων ἐκείνων. Παρεκάλεσεν ἡμᾶς ἀθυμοῦντας τότε, εὐχαριστοῦμεν αὐτῷ χαίροντες νῦν· παρεμυθήσατο ὀδυνωμένους, καὶ οὐ προέδωκε, μὴ τοίνυν μηδὲ ἡμεῖς ἑαυτοὺς εὐθηνουμένους προδῶμεν εἰς ῥαθυμίαν ἐκκλίνοντες. «Μνήσθητι γὰρ καιρὸν λιμοῦ», φησίν, «ἐν ἡμέρᾳ πλησμονῆς».

Μνησθῶμεν οὖν καιρὸν πειρασμοῦ καὶ ἡμεῖς ἐν ἡμέρᾳ ἀνέσεως· καὶ ἐπὶ τῶν ἁμαρτημάτων δὲ τὸ αὐτὸ τοῦτο ποιῶμεν. Κἂν ἁμάρτῃς καὶ συγχωρήσῃ σοι τὴν ἁμαρτίαν ὁ Θεός, τὴν μὲν συγχώρησιν δέξαι, καὶ εὐχαρίστησον, τῆς δὲ ἁμαρτίας μὴ ἐπιλάθῃ, οὐχ ἵνα σαυτὸν κατατρύχῃς τῷ λογισμῷ, ἀλλ' ἵνα τὴν ψυχὴν παιδεύσῃς μὴ σκιρτᾶν, μηδὲ περι-

1. Σοφ. Σειρ. 18, 25.

ΟΜΙΛΙΑ ΔΩΔΕΚΑΤΗ

ΕΥΧΑΡΙΣΤΙΑ ΠΡΟΣ ΤΟΝ ΘΕΟΝ

διὰ τὴν συγχώρησιν ἐκείνων ποὺ ἔσφαλαν εἰς τὸν βασιλέα· καὶ φυσιολογία περὶ τῆς κτίσεως· καὶ περὶ τοῦ ὅτι ὅταν ἐδημιούργησεν ὁ Θεὸς τὸν ἄνθρωπον ἔθεσεν ἐντὸς αὐτοῦ νόμον φυσικόν· καὶ περὶ τοῦ ὅτι πρέπει μὲ κάθε τρόπον νὰ ἀπέχωμεν ἀπὸ τοὺς ὅρκους.

1. Καὶ χθὲς εἶπον, εὐλογητὸς ὁ Θεός, καὶ σήμερον πάλιν τὸ ἴδιον θὰ εἰπῶ. Διότι ἂν καὶ παρῆλθον τὰ δεινά, ὅμως ἡ ἐνθύμησις τῶν δεινῶν ἂς μὴ λησμονῆται, ὄχι διὰ νὰ λυπούμεθα, ἀλλὰ διὰ νὰ εὐχαριστῶμεν τὸν Θεόν. Διότι ἐὰν ἡ ἐνθύμησις τῶν κακῶν μένῃ, οὐδέποτε θὰ λάβωμεν πεῖραν αὐτῶν. Διατί λοιπὸν χρειάζεται ἡ πεῖρα, ἀφοῦ ἡ ἀνάμνησις τῶν κακῶν μᾶς σωφρονίζει; Ὅπως ὁ Θεὸς λοιπὸν δὲν μᾶς ἄφησε νὰ καταποντισθῶμεν ὅταν μᾶς εὑρῆκαν τὰ παρόντα λυπηρὰ πράγματα, ἔτσι καὶ ἡμεῖς ἂς μὴ ἀφήσωμεν τοὺς ἑαυτούς μας νὰ παραλύσουν τώρα ποὺ ἐπέρασαν ἐκεῖνα. Μᾶς παρηγόρησε τότε ποὺ ἤμεθα λυπημένοι, ἂς τὸν εὐχαριστήσωμεν τώρα χαίροντες· μᾶς παρηγόρησε τότε ποὺ εἴμεθα στενοχωρημένοι καὶ δὲν μᾶς ἐπρόδωσεν, ἂς μὴ προδώσωμεν λοιπὸν καὶ ἡμεῖς τοὺς ἑαυτούς μας τώρα ποὺ ἔχομεν ἡμέρα εὐτυχίας μὲ τὸ νὰ ρέπωμεν εἰς ραθυμίαν, διότι λέγει «ἐνθυμήσου τὰς ἡμέρας τοῦ λιμοῦ, ὅταν εἶσαι χορτᾶτος»[1].

Ἂς ἐνθυμηθῶμεν λοιπὸν καὶ ἡμεῖς τὸν καιρὸν τῶν δοκιμασιῶν κατὰ τὰς ἡμέρας τῆς ἀνέσεως· καὶ διὰ τὰς ἁμαρτίας μας τὸ ἴδιον νὰ κάμωμεν. Ὅταν ἁμαρτήσῃς καὶ σοῦ συγχωρήσῃ ὁ Θεὸς τὴν ἁμαρτίαν σου, τὴν μὲν συγχώρησιν νὰ δεχθῇς καὶ νὰ τὸν εὐχαριστήσῃς, τὴν ἁμαρτίαν ὅμως νὰ μὴ λησμονήσῃς, καὶ τοῦτο ὄχι διὰ νὰ τυραννῇς τὸν ἑαυτόν σου μὲ τὴν ἐνθύμησιν αὐτῆς, ἀλλὰ διὰ νὰ παιδεύῃς τὸν ἑ-

πίπτειν πάλιν τοῖς αὐτοῖς. Οὕτω καὶ ὁ Παῦλος ἐποίησεν· εἰπὼν γάρ, ὅτι «Πιστόν με ἡγήσατο θέμενος εἰς διακονίαν», ἐπήγαγε, «Τὸν πρότερον ὄντα βλάσφημον, καὶ διώκτην καὶ ὑβριστήν». Ἐκπομπευέσθω, φησίν, ὁ βίος τοῦ οἰκέτου, ἵνα φανῇ ἡ φιλανθρωπία τοῦ Δεσπότου. Εἰ γὰρ καὶ συγχώρησιν ἔλαβον ἁμαρτημάτων, ἀλλὰ τὴν μνήμην οὐκ ἐκβάλλω τῶν ἁμαρτημάτων. Οὐ τοῦ Δεσπότου δὲ τὴν φιλανθρωπίαν ἐδείκνυ τοῦτο μόνον, ἀλλὰ κἀκεῖνον λαμπρότερον ἐποίει. Ὅταν γὰρ μάθῃς τίς ἦν ἔμπροσθεν, τότε αὐτὸν θαυμάσεις πλέον· καὶ ὅταν ἴδῃς ἐκ τίνος τίς ἐγένετο, τότε αὐτὸν ἀποδέξῃ μειζόνως· κἂν μεγάλα ᾖς ἡμαρτηκώς, χρηστὰς ἕξεις ἐντεῦθεν τὰς ἐλπίδας μεταβαλλόμενος· πρὸς γὰρ τοῖς εἰρημένοις, καὶ τοὺς ἐν ἀπογνώσει τὸ ὑπόδειγμα τοῦτο παρακαλεῖ καὶ ἀνίστασθαι ποιεῖ.

Ὅπερ οὖν καὶ ἐπὶ τῆς πόλεως τῆς ἡμετέρας· τὰ γὰρ συμβάντα ἅπαντα τήν τε ἀρετὴν ὑμῶν δείκνυσι, δυνηθέντων διὰ τῆς μετανοίας τοσαύτην ὀργὴν ἀποκρούσασθαι, τήν τε τοῦ Θεοῦ φιλανθρωπίαν κηρύττει, ἐξ ὀλίγης τῆς ἐπιστροφῆς τοσοῦτον παρενέγκαντος νέφος, τούς τε ἐν ἀπογνώσει πάντας ἀνίστησι μαθόντας ἐκ τῶν ἡμετέρων, ὅτι τὸν ἄνω καὶ πρὸς τὴν τοῦ Θεοῦ βλέποντα ῥοπήν, κἂν μυρία περιστῇ πανταχόθεν κύματα, καταποντισθῆναι οὐκ ἔνι. Τίς γὰρ εἶδε, τίς ἤκουσέ ποτε τὰ ἡμέτερα πάθη; Ἐκ βάθρων αὐτῶν καθ' ἑκάστην προσεδοκῶμεν ἡμέραν ἀνασπασθήσεσθαι τὴν πόλιν μετὰ τῶν ἐνοικούντων· ἀλλ' ὅτε ἤλπιζε καταποντίζειν τὸ σκάφος ὁ διάβολος, τότε καθαρὰν γαλήνην ἐποίησεν ὁ Θεός.

Μὴ τοίνυν ἐπιλανθανώμεθα τοῦ μεγέθους τῶν δεινῶν, ἵνα μνημονεύωμεν τοῦ μεγέθους τῶν εὐεργεσιῶν τῶν παρὰ τοῦ Θεοῦ γενομένων· καὶ γὰρ ὁ μὴ εἰδὼς τοῦ νοσήματος

---

2. Α΄ Τιμ. 1, 12-13.

αυτόν σου νὰ μὴ ὑπερηφανεύεται καὶ νὰ μὴ πέφτῃ πάλιν εἰς τὰ ἴδια ἁμαρτήματα. Ἔτσι ἔκαμε καὶ ὁ Παῦλος· διότι ὅταν εἶπεν ὅτι «μὲ ἔκρινεν ἄξιον τῆς ἐμπιστοσύνης του καὶ μὲ ἔθεσεν εἰς τὴν διακονίαν τοῦ Εὐαγγελίου», προσέθεσεν «ἐμὲ ποὺ ἤμουν προηγουμένως βλάσφημος καὶ διώκτης»[2]. Ἂς διαπομπεύεται, λέγει, ὁ βίος τοῦ δούλου, διὰ νὰ φανῇ ἡ φιλανθρωπία τοῦ Δεσπότου. Διότι ἂν καὶ ἔλαβον ἄφεσιν τῶν ἁμαρτημάτων, ὅμως αὐτὰ δὲν τὰ ἐξέχασα. Τοῦτο δὲν ἐφανέρωνε τὴν φιλανθρωπίαν μόνον τοῦ Δεσπότου, ἀλλὰ καθιστοῦσε καὶ τὸν ἑαυτόν του λαμπρότερον. Διότι ὅταν μάθῃς ποῖος ἤσουν προηγουμένως, τότε θὰ τὸν θαυμάσῃς περισσότερον· καὶ ὅταν μάθῃς ἀπὸ ποίαν κατάστασιν εἰς ποίαν εὑρέθῃς, τότε θὰ τὸν ἀγαπήσῃς καὶ θὰ τὸν τιμήσῃς περισσότερον· καὶ ἂν ἔκαμες μεγάλα ἁμαρτήματα, θὰ ἐλπίζῃς ὅτι ἠμπορεῖς νὰ διορθωθῇς, διότι ἐκτὸς τῶν ἀνωτέρω τὸ παράδειγμά του παρηγορεῖ ἐκείνους ποὺ εἶναι ἀπηλπισμένοι καὶ τοὺς κάνει νὰ ἀνορθώνωνται πνευματικῶς.

Τοῦτο καὶ ἐπὶ τῆς πόλεώς μας θὰ συμβῇ· διότι ὅλα ὅσα συνέβησαν φανερώνουν τὴν ἀρετήν σας, ποὺ ἠμπορέσατε διὰ τῆς μετανοίας τόσον μεγάλην ὀργὴν νὰ ἀποκρούσετε, καὶ διακηρύσσει τὴν φιλανθρωπίαν τοῦ Θεοῦ, ὁ ὁποῖος, μὲ μικρὰν μεταβολὴν ποὺ ἐδείξατε, τόσον μεγάλο πλῆθος κακῶν ἀπεμάκρυνε καὶ ἀνώρθωσε τόσους ἀπηλπισμένους· διότι θὰ μάθουν ἀπὸ ἡμᾶς ὅτι ἐκεῖνος ποὺ βλέπει πρὸς τὰ ἄνω καὶ πιστεύει ὅτι ὁ Θεὸς βοηθεῖ, καὶ ἂν εὑρεθῇ μέσα εἰς ἀναρίθμητα κύματα δοκιμασιῶν, δὲν εἶναι δυνατὸν νὰ καταποντισθῇ. Διότι ποῖος εἶδε, ποῖος ἤκουσε ποτὲ τὰ ἰδικά μας παθήματα; Ἀνεμέναμεν καθημερινῶς τὴν ἐκ θεμελίων ἀνατροπὴν τῆς πόλεως μὲ τοὺς κατοίκους της· ἀλλὰ καθ᾽ ὃν χρόνον ἤλπιζεν ὁ διάβολος νὰ καταποντίσῃ τὸ σκάφος, τότε ἔκαμε τελείαν γαλήνην ὁ Θεός.

Ἂς μὴ λησμονῶμεν λοιπὸν τὸ μέγεθος τῶν κακῶν, διὰ νὰ ἐνθυμούμεθα τὸ μέγεθος τῶν εὐεργεσιῶν ποὺ ἔγιναν εἰς ἡμᾶς ἀπὸ τὸν Θεόν· διότι ἐκεῖνος ποὺ δὲν γνωρίζει τὴν φύ-

τὴν φύσιν οὐκ εἴσεται τοῦ ἰατροῦ τὴν τέχνην. Ταῦτα καὶ πρὸς τοὺς παῖδας λέγωμεν τοὺς ἡμετέρους, καὶ εἰς μυρίας παραπέμπωμεν γενεάς, ἵνα μάθωσιν ἅπαντες, πῶς ἐσπούδασεν ὁ διάβολος καὶ τὸ ἔδαφος ἀφανίσαι τῆς πόλεως, καὶ πῶς ἴσχυσεν ὁ Θεὸς πεπτωκυῖαν αὐτὴν καὶ κειμένην ἐπ' ὄψεσι στῆσαι πάλιν, καὶ μηδὲ τὴν τυχοῦσαν συγχωρῆσαι γενέσθαι βλάβην, ἀλλὰ καὶ τὸν φόβον ἀνεῖλε, καὶ τὸν κίνδυνον ἀπεκρούσατο μετὰ πολλοῦ τοῦ τάχους. Καὶ γὰρ τῇ παρελθούσῃ ἑβδομάδι τὰς οὐσίας δημεύεσθαι προσεδοκῶμεν ἅπαντες, καὶ στρατιώτας ἡμῖν ἐπαφίεσθαι, καὶ μυρία ἕτερα ὠνειροπολοῦμεν δεινά· ἀλλ' ἰδοὺ πάντα ἐκεῖνα παρῆλθεν, ὥσπερ νέφος, καὶ ὥσπερ σκιὰ παρατρέχουσα, καὶ τῇ προσδοκίᾳ τῶν δεινῶν ἐκολάσθημεν μόνον· μᾶλλον δὲ οὐκ ἐκολάσθημεν, ἀλλ' ἐπαιδεύθημεν, καὶ βελτίους γεγόναμεν, τοῦ Θεοῦ τὴν καρδίαν τοῦ βασιλέως μαλάξαντος.

Λέγωμεν τοίνυν διαπαντὸς καὶ καθ' ἡμέραν, εὐλογητὸς ὁ Θεός, καὶ μετὰ πλείονος σπουδῆς τῇ συνάξει προσέχωμεν, καὶ πρὸς τὴν ἐκκλησίαν τρέχωμεν, ὅθεν ἐκαρπωσάμεθα τὴν ὠφέλειαν. Ἴστε γὰρ ἐν ἀρχῇ ποῦ κατεφύγετε, ποῦ συνεδράμετε, πόθεν ἡμῖν ἡ σωτηρία γέγονεν. Ἐχώμεθα τοίνυν τῆς ἱερᾶς ἀγκύρας, καὶ καθάπερ ἐν τῷ καιρῷ τῶν κινδύνων ἡμᾶς οὐ προέδωκεν, οὕτω μηδὲ ἡμεῖς αὐτὴν ἐν τῷ καιρῷ τῆς ἀνέσεως καταλίπωμεν, ἀλλὰ μείνωμεν μετὰ ἀκριβείας, καὶ τὰς συνάξεις, καὶ τὰς εὐχάς, καὶ τὴν τῶν θείων λογίων ἀκρόασιν ποιώμεθα καθ' ἡμέραν, καὶ τὴν σχολὴν ἣν ἀνηλίσκομεν περιεργαζόμενοι, πολυπραγμονοῦντες, τοὺς ἀπὸ τοῦ στρατοπέδου περιτρέχοντες, σπουδάζοντες ὑπὲρ τῶν ἐπικειμένων κακῶν, ταύτην ἀναλώσωμεν ἅπασαν εἰς τὴν τῶν θείων νόμων ἀκρόασιν, ἀλλὰ μὴ εἰς ἀκαίρους καὶ ἀνοήτους διατριβάς, ἵνα μὴ πάλιν εἰς τὴν ἀνάγκην τῆς ἀσχολίας ἐκείνης ἑαυτοὺς καταστήσωμεν.

σιν τῆς ἀσθενείας, δὲν θὰ ἠμπορέσῃ νὰ μάθῃ τὴν ἱκανότητα τοῦ ἰατροῦ. Αὐτὰ νὰ λέγωμεν καὶ εἰς τὰ παιδιά μας, καὶ ἂς τὰ μεταβιβάζωμεν εἰς ἀναριθμήτους γενεάς, διὰ νὰ μάθουν ὅλοι, πῶς ἐπροσπάθησεν ὁ διάβολος καὶ τὸ ἔδαφος ἀκόμη τῆς πόλεως νὰ ἐξαφανίσῃ καὶ πῶς ἠμπόρεσεν ὁ Θεός, ἐνῷ αὐτὴ εἶχε πέσει νὰ τὴν ἀνορθώσῃ καὶ πάλιν ἐμπρός σας, καὶ νὰ μὴ ἐπιτρέψῃ νὰ τῆς γίνῃ οὔτε ἡ παραμικρὰ βλάβη, ἀλλὰ καὶ τὸν φόβον ἀφῄρεσε καὶ τὸν κίνδυνον ἀπέκρουσε πολὺ γρήγορα. Διότι κατὰ τὴν παρελθοῦσαν ἑβδομάδα ἀνεμέναμεν ὅλοι τὴν δήμευσιν τῶν περιουσιῶν μας, τὴν ἐπίθεσιν τῶν στρατιωτῶν καὶ πολλὰ ἄλλα κακὰ ἐφανταζόμεθα· ἀλλὰ ἰδοὺ ὅλα ἐκεῖνα ἐπέρασαν, ὡσὰν σύννεφον καὶ ὅπως περνᾷ ἡ σκιά, καὶ ἐτιμωρήθημεν μόνον μὲ τὴν ἀγωνίαν ποὺ φέρει ἡ ἀναμονὴ τῶν κακῶν, μᾶλλον δὲ δὲν ἐτιμωρήθημεν, ἀλλὰ ἐδιδάχθημεν, καὶ ἐγίναμεν καλύτεροι, διότι ὁ Θεὸς ἐμαλάκωσε τὴν καρδίαν τοῦ βασιλέως.

Ἂς λέγωμεν λοιπὸν συνεχῶς καὶ καθημερινῶς, εὐλογητὸς ὁ Θεός, καὶ μὲ μεγαλυτέραν προθυμίαν ἂς προσέχωμεν εἰς τὴν συγκέντρωσιν καὶ ἂς τρέχωμεν πρὸς τὴν ἐκκλησίαν, ἀπὸ τὴν ὁποίαν ἀπηλαύσαμεν τὴν ὠφέλειαν. Διότι γνωρίζετε εἰς τὴν ἀρχήν, ποῦ κατεφύγατε, ποῦ ἐτρέξατε, ἀπὸ ποῦ ἦλθεν ἡ σωτηρία εἰς ἡμᾶς. Ἂς κρατούμεθα λοιπὸν ἀπὸ τὴν ἱερὰν ἄγκυραν, καὶ ὅπως δὲν μᾶς ἐπρόδωσεν εἰς τὸν καιρὸν τῶν κινδύνων, ἔτσι καὶ ἡμεῖς ἂς μὴ τὴν ἐγκαταλείπωμεν κατὰ τὸν καιρὸν τῆς ἀνέσεως, ἀλλὰ νὰ μείνωμεν μὲ ἀφοσίωσιν, καὶ ἂς κάμωμεν καθημερινῶς καὶ τὰς συνάξεις καὶ τὰς προσευχὰς καὶ τὴν ἀκρόασιν τῶν θείων λόγων, καὶ τὸν καιρὸν ποὺ ἐχάσαμεν ἐξετάζοντες μὲ περιέργειαν αὐτοὺς ποὺ ἤρχοντο ἀπὸ τὸ στρατόπεδον, ἐξετάζοντες τὰ ἐπικείμενα κακά, ἂς τὸν διαθέσωμεν τώρα ὅλον εἰς τὴν ἀκρόασιν τῶν θείων νόμων καὶ ὄχι εἰς ἀτόπους καὶ ἀνωφελεῖς ἀσχολίας, διὰ νὰ μὴ φθάσωμεν πάλιν εἰς τὴν ἀνάγκην νὰ ἀσχοληθῶμεν μὲ τὰς ἀσχολίας ἐκείνας (τοῦ φόβου καὶ τῆς ἀγωνίας).

2. Ἐν μὲν οὖν ταῖς παρελθούσαις τρισὶν ἡμέραις ἕνα θεογνωσίας ἐξητάσαμεν τρόπον, καὶ πρὸς τὸ τέλος αὐτὸν ἠγάγομεν, ἑρμηνεύοντες πῶς «Οἱ οὐρανοὶ διηγοῦνται τὴν δόξαν Θεοῦ», καὶ τί ποτέ ἐστι τὸ παρὰ τοῦ Παύλου λεγόμενον, ὅτι «Τὰ ἀόρατα αὐτοῦ ἀπὸ κτίσεως κόσμου τοῖς ποιήμασι νοούμενα καθορᾶται», καὶ ἐδείκνυμεν πῶς ἀπὸ κτίσεως κόσμου, καὶ πῶς δι' οὐρανοῦ, καὶ γῆς, καὶ θαλάττης ὁ δημιουργὸς δοξάζεται. Τήμερον δὲ ὀλίγα πάλιν εἰς αὐτὴν ταύτην φιλοσοφήσαντες τὴν ὑπόθεσιν ἐφ' ἕτερον βαδιούμεθα λόγον· οὐ γὰρ μόνον ἐποίησεν αὐτήν, ἀλλὰ καὶ γενομένην ἐργάζεσθαι παρεσκεύασεν, οὔτε πᾶσαν ἀκίνητον ἀφείς, οὔτε πᾶσαν κινεῖσθαι κελεύσας· ἀλλ' οὐρανὸς μὲν ἀκίνητος ἕστηκε καθάπερ ὁ προφήτης φησίν, «Ὁ στήσας τὸν οὐρανὸν ὡσεὶ καμάραν, καὶ διατείνας αὐτὸν ὡσεὶ σκηνὴν ἐπὶ τῆς γῆς»· ὁ δὲ ἥλιος μετὰ τῶν ἄστρων τῶν λοιπῶν καθ' ἑκάστην τρέχει τὴν ἡμέραν.

Καὶ γῆ πάλιν πέπηγε, τὰ δὲ ὕδατα βαδίζει διαπαντός· οὐχ ὕδατα δὲ μόνον, ἀλλὰ καὶ νεφέλαι, καὶ ὄμβροι συνεχεῖς καὶ ἐπάλληλοι κατὰ τὸν οἰκεῖον ἀποδιδόμενοι καιρόν· καὶ μία μὲν ἡ τῶν ὄμβρων φύσις, διάφορα δὲ τὰ ἐξ αὐτῶν γενόμενα. Καὶ γὰρ ἐν ἀμπέλῳ γίνεται οἶνος ὁ ὑετός, καὶ ἔλαιον ἐν ἐλαίᾳ, καὶ ἐν τοῖς ἄλλοις δὲ φυτοῖς πρὸς τοὺς αὐτῶν μεθίσταται χυμούς. Καὶ μία δὲ τῆς γῆς ἡ γαστὴρ καὶ διαφόρους φέρει καρπούς· καὶ μία μὲν ἡ τῆς ἡλιακῆς ἀκτῖνος θέρμη, καὶ διαφόρως ἅπαντα πεπαίνει, τὰ μὲν βραδύτερον, τὰ δὲ ταχύτερον πρὸς ἀκμὴν ἄγουσα. Τίς οὐκ ἂν ταῦτα ἐκπλαγείη καὶ θαυμάσειε;

Μᾶλλον δὲ οὐ τοῦτο μόνον ἐστὶ τὸ θαυμαστόν, ὅτι ποικίλην αὐτὴν καὶ διάφορον κατεσκεύασεν, ἀλλ' ὅτι καὶ κοινὴν αὐτὴν προσέθηκεν ἅπασι, καὶ πλουσίοις καὶ πένησι, καὶ ἁμαρτωλοῖς καὶ δικαίοις. Ὅπερ οὖν καὶ ὁ Χριστὸς ἔλεγεν,

---

3. Ψαλμ. 18, 2.
4. Ρωμ. 1, 20.
5. Ἠσ. 40, 22.

2. Εἰς τὰς ὁμιλίας λοιπὸν τῶν τριῶν προηγουμένων ἡμερῶν ἐξητάσαμεν ἕνα τρόπον θεογνωσίας καὶ τὸν ἐφέραμεν εἰς τὸ τέλος, ἑρμηνεύοντες πῶς «οἱ οὐρανοὶ διηγοῦνται τὴν δόξαν τοῦ Θεοῦ»[3] καὶ τί σημαίνει αὐτὸ ποὺ λέγει ὁ Παῦλος ὅτι «τὰ ἀόρατα αὐτοῦ ἀπὸ τῆς κτίσεως τοῦ κόσμου βλέπονται καὶ κατανοοῦνται διὰ τῶν δημιουργημάτων»[4] καὶ ἀπεδείξαμεν πῶς διὰ τῆς κτίσεως τοῦ κόσμου καὶ πῶς διὰ τοῦ οὐρανοῦ καὶ τῆς γῆς καὶ τῆς θαλάσσης δοξάζεται ὁ δημιουργός. Σήμερον δὲ ἀφοῦ φιλοσοφήσωμεν δι' ὀλίγων διὰ τὸ ἴδιον ζήτημα, θὰ μεταβῶμεν εἰς ἄλλο θέμα· διότι ὄχι μόνον ἐδημιούργησεν αὐτὴν ὁ Θεός, ἀλλὰ ἀφοῦ τὴν ἔκαμε, τὴν ἔκαμε νὰ ἐργάζεται, χωρὶς οὔτε ὅλην νὰ τὴν ἀφήσῃ ἀκίνητον, οὔτε νὰ κάμῃ ὅλην αὐτὴν νὰ κινῆται· ἀλλ' ὁ μὲν οὐρανὸς εἶναι ἀκίνητος, ὅπως λέγει ὁ προφήτης, «αὐτὸς ποὺ ἔστησε τὸν οὐρανὸν ὡσὰν καμάραν καὶ ἥπλωσεν αὐτὸν ὡσὰν σκηνὴν ἐπὶ τῆς γῆς»[5]· ὁ δὲ ἥλιος μαζὶ μὲ τὰ ἄλλα ἄστρα τρέχει καθ' ἑκάστην ἡμέραν.

Καὶ ἡ γῆ πάλιν εἶναι στερεὰ καὶ ἀκίνητος[6], τὰ δὲ νερὰ κινοῦνται συνεχῶς· καὶ ὄχι μόνον τὰ νερά, ἀλλὰ καὶ τὰ σύννεφα καὶ συνεχεῖς καὶ ἀλλεπάλληλοι βροχαὶ ποὺ γίνονται εἰς τὸν καιρόν τους· καὶ ἐνῷ εἶναι μία ἡ φύσις τῆς βροχῆς, ὅμως εἶναι διάφορα τὰ ἀποτελέσματά της. Διότι εἰς τὴν ἄμπελον ἡ βροχὴ γίνεται κρασί, εἰς τὴν ἐλαίαν λάδι, καὶ εἰς τὰ ἄλλα δὲ φυτὰ ἐξομοιώνεται μὲ τοὺς χυμούς των. Καὶ εἶναι μία ἡ κοιλία τῆς γῆς καὶ ὅμως παράγει διαφόρους καρπούς· καὶ εἶναι μία καὶ ἡ θερμότης τῆς ἀκτῖνος τοῦ ἡλίου, ὅμως κατὰ διαφορετικοὺς τρόπους τὰ τρέφει ὅλα καὶ συντελεῖ ἄλλα μὲν βραδύτερον, ἄλλα γρηγορώτερα νὰ ἀναπτυχθοῦν. Ποῖος δὲν θὰ θαυμάσῃ καὶ δὲν θὰ ἐκπλαγῇ δι' αὐτά;

Μᾶλλον δὲ δὲν εἶναι τοῦτο μόνον τὸ θαυμαστὸν ὅτι δηλαδὴ τὴν ἔκαμε ποικίλην καὶ διαφορετικήν, ἀλλὰ καὶ διότι τὴν ἔθεσεν εἰς τὴν διάθεσιν ὅλων τῶν πλουσίων καὶ πτωχῶν καὶ τῶν ἁμαρτωλῶν καὶ δικαίων. Τοῦτο ἔλεγε καὶ ὁ

6. Αὐτὰ βεβαίως εἶναι ἀπόψεις τῆς ἐποχῆς ἐκείνης ποὺ σήμερον δὲν ἰσχύουν.

ὅτι «Τὸν ἥλιον αὐτοῦ ἀνατέλλει ἐπὶ πονηροὺς καὶ ἀγαθοὺς καὶ βρέχει ἐπὶ δικαίους καὶ ἀδίκους»· καὶ μυρίων αὐτὴν ζώων ἐμπλήσας, καὶ φυσικὰ τοῖς ζώοις ἐνθεὶς ἤθη, τὰ μὲν μιμεῖσθαι, τὰ δὲ φεύγειν ἐκέλευσεν. Οἷον τι λέγω· φιλόπονόν ἐστιν ὁ μύρμηξ καὶ ἐπίπονον ποιεῖται τὴν ἐργασίαν· ἂν τοίνυν προσέχῃς, μεγίστην παρὰ τοῦ ζώου δέξῃ παραίνεσιν, ὥστε μὴ καταμαλακίζεσθαι, μηδὲ φεύγειν ἱδρῶτας καὶ πόνους. Διὰ τοῦτο καὶ ἡ Γραφὴ τὸν ὀκνηρὸν πρὸς ἐκεῖνον ἔπεμψε λέγουσα, «Ἴθι πρὸς τὸν μύρμηγκα, ὦ ὀκνηρέ, καὶ ζήλωσον τὰς ὁδοὺς αὐτοῦ καὶ γίνου ἐκείνου σοφώτερος». Οὐ βούλει, φησί, παρὰ τῶν Γραφῶν μαθεῖν ὅτι καλὸν τὸ ἐργάζεσθαι, καὶ ὅτι ὁ μὴ ἐργαζόμενος οὐδὲ ἐσθίειν ὀφείλει; Οὐ βούλει παρὰ τῶν διδασκάλων ἀκοῦσαι τοῦτο, παιδεύθητι παρὰ τῶν ἀλόγων; Οὕτω καὶ ἐν ταῖς οἰκίαις ποιοῦμεν, πολλάκις τοὺς μείζονας καὶ ἐντιμοτέρους εἶναι δοκοῦντας, ἐπειδὰν ἁμάρτωσι, παιδίοις νήφουσι προσέχειν παρακελευόμεθα, λέγοντες· βλέπε τὸν μικρότερόν σου πῶς ἐστι σπουδαῖος καὶ διεγηγερμένος.

Καὶ σὺ τοίνυν παρὰ τοῦ ζώου τούτου μεγίστην λαβὲ φιλοπονίας παραίνεσιν, καὶ θαύμασόν σου τὸν Δεσπότην, μὴ ἐπειδὴ ἥλιον ἐποίησε μόνον καὶ οὐρανόν, ἀλλ' ἐπειδὴ καὶ μύρμηκα ἐποίησεν· εἰ γὰρ καὶ βραχὺ τὸ ζῶον, ἀλλὰ τοῦ μεγέθους τῆς σοφίας τοῦ Θεοῦ πολλὴν ἔχει τὴν ἀπόδειξιν. Ἐννόησον γοῦν πῶς ἐστι συνετόν, καὶ θαύμασον, πῶς ἴσχυσεν ὁ Θεὸς ἐν οὕτω βραχεῖ σώματι τοσαύτην ἐγκαταθεῖναι ἐργασίας ἐπιθυμίαν ἀδιάπτωτον. Καὶ ἀπὸ τούτου μὲν τὸ φιλόπονον, ἀπὸ δὲ τῆς μελίττης καὶ τὸ φιλόκαλον καὶ τὸ φιλόπονον μάνθανε, καὶ τὸ φιλάλληλον. Καὶ γὰρ ἐκείνη οὐχ ἑαυτῇ μᾶλλον ἢ ἡμῖν πονεῖ καὶ ταλαιπωρεῖται καθ' ἑκάστην ἡμέραν· ὃ μάλιστα ἴδιον Χριστιανῷ, τὸ μὴ τὰ ἑαυτοῦ ζητεῖν, ἀλλὰ τὰ τῶν ἑτέρων.

---

7. Ματθ. 5, 45.
8. Παρ. 6, 6.
9. Πρβλ. Β' Θεσ. 10.

Χριστὸς ὅτι «ἀνατέλλει τὸν ἥλιον ποὺ εἶναι ἰδικός του ἀδιακρίτως διὰ τοὺς πονηροὺς καὶ ἀγαθοὺς καὶ βρέχει εἰς δικαίους καὶ ἀδίκους»[7]· ἀφοῦ λοιπὸν ἐγέμισε τὴν γῆν μὲ ζῷα αναρίθμητα, εἰς τὴν φύσιν τῶν ὁποίων ἔβαλε ἔνστικτα, καὶ ἄλλα μὲν νὰ μιμούμεθα, ἄλλα δὲ νὰ ἀποφεύγωμεν. Αὐτὸ ποὺ λέγω σημαίνει τὸ ἑξῆς· εἶναι ἐργατικὸν τὸ μυρμήγκι καὶ κάμει κοπιαστικὴν ἐργασίαν· ἂν λοιπὸν προσέχῃς εἰς αὐτὸ θὰ πάρῃς μεγάλο μάθημα νὰ μὴ γίνῃς μαλθακὸς καὶ ἀποφεύγῃς τοὺς ἱδρῶτας καὶ τοὺς κόπους. Διὰ τοῦτο καὶ ἡ Γραφὴ τὸν ὀκνηρὸν τὸν παρέπεμψεν εἰς τὸ μυρμήγκι λέγουσα· «πήγαινε πρὸς τὸ μυρμήγκι, ὦ ὀκνηρέ, καὶ ζήλευσε τοὺς δρόμους αὐτοῦ καὶ γίνε σοφώτερος ἀπὸ αὐτό»[8]. Δὲν θέλεις, λέγει, ἀπὸ τὰς Γραφὰς νὰ μάθῃς ὅτι ἡ ἐργασία εἶναι καλὸν πρᾶγμα καὶ ὅτι ὅποιος δὲν ἐργάζεται δὲν πρέπει νὰ τρώγῃ;[9] Δὲν θέλεις νὰ ἀκούσῃς τοῦτο ἀπὸ τοὺς διδασκάλους; μάθε τοῦτο ἀπὸ τὰ ἄλογα ζῷα. Τὸ ἴδιον κάμωμεν καὶ εἰς τὰς οἰκίας, πολλάκις τοὺς μεγαλυτέρους καὶ αὐτοὺς ποὺ φαίνονται περισσότερον ἄξιοι, ὅταν ἁμαρτήσουν τοὺς προτρέπομεν νὰ παίρνουν παράδειγμα ἀπὸ τὰ φρόνιμα παιδιὰ λέγοντες πρὸς αὐτούς· βλέπε τὸν μικρότερόν σου πόσον σπουδαῖος καὶ προσεκτικὸς εἶναι.

Καὶ σὺ λοιπὸν ἀπὸ τὸ ζῶον τοῦτο λάβε μεγίστην παραίνεσιν ἐργατικότητος καὶ θαύμασε τὸν Δεσπότην, ὄχι μόνον ἐπειδὴ ἐδημιούργησε τὸν ἥλιον καὶ τὸν οὐρανόν, ἀλλ' ἐπειδὴ ἐδημιούργησε καὶ τὸν μύρμηγκα· διότι ἂν καὶ εἶναι μικρὸν τὸ ζῶον, ὅμως ἔχει μεγάλην ἀπόδειξιν τοῦ μεγέθους τῆς σοφίας τοῦ Θεοῦ. Μάθε λοιπὸν πόσον συνετὸν εἶναι, καὶ θαύμασε πῶς ἠμπόρεσεν ὁ Θεὸς εἰς τόσον μικρὸν σῶμα νὰ βάλῃ τόσον μεγάλην ἐπιθυμίαν πρὸς διαρκῆ ἐργασίαν. Καὶ ἀπὸ αὐτὸ (τὸ μυρμήγκι) τὴν ἐργατικότητα, ἀπὸ δὲ τὴν μέλισσαν νὰ διδαχθῇς τὴν ἀγάπην πρὸς τὸ ὡραῖον καὶ πρὸς τὴν ἐργασίαν. Καθ' ὅσον ἐκείνη δὲν κοπιάζει καὶ ταλαιπωρεῖται καθημερινῶς διὰ τὸν ἑαυτόν της τόσον, ὅσον δι' ἡμᾶς· πρᾶγμα ποὺ ἁρμόζει εἰς τὸν χριστιανόν, τὸ νὰ μὴ φροντίζῃ δηλαδὴ διὰ τὸν ἑαυτόν του, ἀλλὰ διὰ τοὺς ἄλλους.

Ὥσπερ οὖν ἐκείνη πάντας περιίπταται τοὺς λειμῶνας, ἵνα ἑτοίμην ἑτέρῳ παρασκευάσῃ τράπεζαν· οὕτω καὶ σὺ ποίησον, ἄνθρωπε, κἂν χρήματα συλλέγῃς, εἰς ἑτέρους δαπάνησον, κἂν λόγους διδασκαλίας ἔχῃς, μὴ κατορύξῃς, ἀλλὰ πρόσθες εἰς μέσον τοῖς δεομένοις, κἂν ἕτερον ἔχῃς πλεονέκτημα, γενοῦ χρήσιμος τοῖς δεομένοις τῶν σῶν ἀπολαύειν πόνων. Οὐχ ὁρᾷς ὅτι διὰ τοῦτο μάλιστα τῶν ἄλλων ἐστὶν ἐντιμοτέρα ζώων ἡ μέλιττα, οὐκ ἐπειδὴ πονεῖ, ἀλλ' ἐπειδὴ ἑτέροις πονεῖ; Ἐπεὶ καὶ ὁ ἀράχνης πονεῖ καὶ ταλαιπωρεῖται καὶ λεπτὰ διατείνει κατὰ τοὺς τοίχους ὑφάσματα πᾶσαν γυναικὸς σοφίαν ὑπερβάλλοντα, ἀλλ' ἔστιν ἄτιμον τὸ ζῶον, ἐπειδὴ τὸ ἔργον ἡμῖν οὐδαμοῦ χρήσιμον. Τοιοῦτοί εἰσιν οἱ ἑαυτοῖς κάμνοντες καὶ ταλαιπωρούμενοι.

Μίμησαι τῆς περιστερᾶς τὸ ἀκέραιον, μίμησαι τοῦ ὄνου τὸ φιλοδέσποτον καὶ τοῦ βοός, μίμησαι τῶν ὀρνίθων τὸ ἀμέριμνον· ἔστι γάρ, ἔστι μεγάλα ἀπὸ τῶν ἀλόγων καρπώσασθαι εἰς ἠθῶν διόρθωσιν. Ἀπὸ τούτων καὶ ὁ Χριστὸς ἡμῖν διαλέγεται τῶν ζώων· «Γίνεσθε γὰρ φρόνιμοι», φησίν, «ὡς οἱ ὄφεις, καὶ ἀκέραιοι ὡς αἱ περιστεραί». Καὶ πάλιν· «Ἐμβλέψατε εἰς τὰ πετεινὰ τοῦ οὐρανοῦ, ὅτι οὐ σπείρει, οὐδὲ θερίζει, καὶ ὁ πατὴρ ὑμῶν ὁ οὐράνιος τρέφει αὐτά». Καὶ ὁ προφήτης δὲ ἐντρέπων τοὺς ἀγνώμονας Ἰουδαίους, οὕτω πώς φησιν· «Ἔγνω βοῦς τὸν κτησάμενον, καὶ ὄνος τὴν φάτνην τοῦ κυρίου αὐτοῦ, Ἰσραὴλ δέ με οὐκ ἔγνω». Καὶ πάλιν, «Τρυγὼν καὶ χελιδὼν ἀγροῦ, στρουθία, ἔγνωσαν καιροὺς εἰσόδων αὐτῶν, ὁ δὲ λαός μου οὐκ ἔγνω τὰ κρίματα Κυρίου τοῦ Θεοῦ αὐτοῦ».

---

10. Ματθ. 10, 16.
11. Ματθ. 6, 26.
12. Ἠσ. 1, 3.
13. Ἰερ. 8, 7.

Ὅπως λοιπὸν ἐκείνη πετᾷ εἰς ὅλα τὰ λειβάδια, διὰ νὰ κάμῃ ἕτοιμον τὸ τραπέζι εἰς ἄλλους, ἔτσι καὶ σὺ νὰ κάμῃς, ἄνθρωπε, καὶ εἴτε μαζεύεις χρήματα διὰ τοὺς ἄλλους νὰ τὰ ξοδεύῃς, εἴτε ἔχεις τὸ χάρισμα τοῦ λόγου μὴ τὸ χώσῃς εἰς τὴν γῆν, ἀλλὰ νὰ παρουσιάσῃς εἰς τὸ μέσον δι' ἐκείνους ποὺ ἔχουν ἀνάγκην, εἴτε ἔχεις κάποιο ἄλλο προσὸν γίνε χρήσιμος μὲ αὐτὸ εἰς ἐκείνους, ποὺ ἔχουν ἀνάγκην τῶν κόπων σου. Δὲν βλέπεις ὅτι διὰ τοῦτο κυρίως ἡ μέλισσα τιμᾶται καὶ ἀγαπᾶται περισσότερον ἀπὸ τὰ ἄλλα ζῶα, ὄχι ἐπειδὴ κοπιάζει, ἀλλὰ ἐπειδὴ κοπιάζει δι' ἄλλους; Καὶ ἡ ἀράχνη κοπιάζει καὶ ταλαιπωρεῖται, καὶ ἁπλώνει εἰς τοὺς τοίχους λεπτὰ ὑφάσματα, ποὺ εἶναι ἀνώτερα ἀπὸ κάθε ὑφαντικὴν ἱκανότητα κάθε γυναικός, ὅμως δὲν ἐκτιμᾶται τὸ ζῶον τοῦτο, ἐπειδὴ ἡ ἐργασία της εἰς τίποτε δὲν μᾶς χρησιμεύει. Τέτοιοι εἶναι ὅσοι κοπιάζουν καὶ ταλαιπωροῦνται διὰ τὸν ἑαυτόν τους.

Νὰ μιμηθῇς τὸ περιστέρι ὡς πρὸς τὴν ἀθωότητα, τὸν ὄνον καὶ τὸ βόδι ὡς πρὸς τὴν ἀφοσίωσιν πρὸς τὸν κύριόν των, νὰ μιμηθῇς τῶν ὀρνίθων τὴν ἔλλειψιν φροντίδων· διότι ὑπάρχουν καὶ εἶναι δυνατὸν ἀπὸ τὰ ἄλογα ζῶα νὰ ἀποκομίσωμεν μεγάλας ὠφελείας πρὸς διόρθωσιν τοῦ τρόπου τῆς ζωῆς μας. Ἀπὸ αὐτὰ τὰ ζῶα λαμβάνει καὶ ὁ Χριστὸς ἀφορμὴν καὶ μᾶς ὁμιλεῖ καὶ λέγει· «Φροντίσατε νὰ γίνετε φρόνιμοι ὅπως τὰ φίδια καὶ ἁπλοῖ ὡσὰν τὰ περιστέρια»[10]. Καὶ πάλιν· «Κοιτάξατε εἰς τὰ πετεινὰ τοῦ οὐρανοῦ καὶ ἴδετε ὅτι δὲν σπείρουν οὔτε θερίζουν καὶ ὅμως ὁ Πατὴρ σας ὁ οὐράνιος τὰ τρέφει»[11]. Καὶ ὁ προφήτης δὲ διὰ νὰ κάμῃ τοὺς ἀχαρίστους Ἰουδαίους νὰ ἐντραποῦν λέγει τὰ ἑξῆς· «Γνωρίζει ὁ βοῦς τὸν ἰδιοκτήτην του καὶ ὁ ὄνος τὴν φάτνην τοῦ κυρίου του, ὁ Ἰσραὴλ ὅμως δὲν γνωρίζει ἐμένα»[12]. Καὶ πάλιν· «Τὰ τρυγόνια καὶ τὰ χελιδόνια τοῦ ἀγροῦ καὶ τὰ πουλιὰ γνωρίζουν τὴν ἐποχὴν κατὰ τὴν ὁποίαν πρέπει νὰ μᾶς ἔλθουν, ὁ λαός μου ὅμως δὲν γνωρίζει τὰς κρίσεις Κυρίου τοῦ Θεοῦ του»[13].

Ἀπὸ μὲν τούτων καὶ τῶν τοιούτων ζώων μάνθανε κατορθοῦν ἀρετήν, ἀπὸ δὲ τῶν ἐναντίων παιδεύου φεύγειν κακίαν. Ὥσπερ γὰρ φιλόκαλον ἡ μέλιττα, οὕτως ὀλέθριον ἡ ἀσπίς· ἀποστράφηθι τοίνυν τὴν κακίαν, ἵνα μὴ ἀκούσῃς· «Ἰὸς ἀσπίδων ὑπὸ τὰ χείλη αὐτῶν». Ἀναίσχυντον πάλιν ὁ κύων· μίσησον καὶ ταύτην τὴν πονηρίαν. Δολερὸν καὶ πανοῦργον ἡ ἀλώπηξ· μὴ ζηλώσῃς τὸ νόσημα· ἀλλὰ καθάπερ ἡ μέλιττα τοῖς λειμῶσιν ἐφιπταμένη οὐ πάντα ἐκλέγει, ἀλλὰ τὰ χρήσιμα λαβοῦσα, τὰ λοιπὰ ἀφίησιν, οὕτω καὶ σὺ ποίησον, τῶν ἀλόγων ἐπελθὼν τὸ γένος, εἴ τι χρήσιμον παρ' ἐκείνων, λάμβανε· καὶ ἅπερ ἔχουσιν ἐν τῇ φύσει πλεονεκτήματα, ταῦτα σὺ διὰ τῆς προαιρέσεως κατόρθωσον· καὶ γὰρ καὶ ταύτῃ παρὰ τοῦ Θεοῦ τετίμησαι, ὅτι τὰ φυσικὰ αὐτῶν πλεονεκτήματα ἐκ προαιρέσεώς σοι παρέσχε κατορθοῦν, ἵνα καὶ βραβεῖα λάβῃς.

Ἐκείνοις γὰρ οὐκ ἐκ προαιρέσεως καὶ λόγου τὰ κατορθώματα, ἀλλ' ἀπὸ φύσεως μόνης. Οἷόν τι λέγω· ἡ μέλιττα μελιτουργεῖ οὐ λόγῳ μαθοῦσα τοῦτο καὶ λογισμῷ, ἀλλ' ἀπὸ τῆς φύσεως παιδευθεῖσα. Ἐπεὶ εἰ μὴ φυσικὸν ἦν τὸ ἔργον, μηδὲ τῷ γένει συγκεκλήρωτο, ἔδει πάντως τινὰς ἐξ αὐτῶν ἀπείρους εἶναι τῆς τέχνης· νῦν δὲ ἐξ οὗ γέγονεν ὁ κόσμος μέχρι τῆς παρούσης ἡμέρας, οὐδεὶς εἶδε μελίττας ἡσυχαζούσας καὶ μὴ μελιτουργούσας. Τοιαῦτα γὰρ τὰ φυσικὰ κοινὰ τοῦ παντὸς γένους ἐστὶ τὰ δὲ ἐκ προαιρέσεως οὐκ ἔστι κοινά· πόνου γὰρ δεῖται πρὸς τὸ κατορθωθῆναι.

3. Πάντα τοίνυν τὰ κάλλιστα λαβὼν περιβαλοῦ· καὶ γὰρ βασιλεὺς εἶ τῶν ἀλόγων· οἱ δὲ βασιλεῖς εἴ τι κάλλιστόν ἐστιν ἐν τοῖς ὑπηκόοις, εἴτε χρυσός, εἴτε ἄργυρος, εἴτε λί-

---

14. Γένος ἰοβόλων ὄφεων ἁπαντῶν εἰς τὴν Ἀμερικήν.
15. Ψαλμ. 139, 4.

Ἀπὸ αὐτὰ τὰ ζῶα καὶ τὰ παρόμοια τούτων μάθε νὰ ἐπιδιώκῃς τὴν ἀρετήν, ἀπὸ δὲ τὰ ἀντίθετα μάθε νὰ ἀποφεύγῃς τὴν κακίαν. Διότι ὅπως ἡ μέλισσα εἶναι φιλόκαλος, ἔτσι καὶ ἡ ἀσπὶς[14] εἶναι καταστρεπτική· νὰ ἀποστρέφεσαι λοιπὸν τὴν κακίαν, διὰ νὰ μὴ ἀκούσῃς ὅτι «δηλητήριον ἀσπίδων εἶναι κάτω ἀπὸ τὰ χείλη των»[15]. Ἀναίσχυντον ζῶον πάλιν εἶναι καὶ ὁ σκύλος· μίσησε καὶ αὐτὴν τὴν πονηρίαν. Δολία καὶ πανοῦργος εἶναι ἡ ἀλεπού· μὴ ζηλέψῃς τὴν ἀρρώστειαν αὐτήν, ἀλλὰ ὅπως ἡ μέλισσα ποὺ πετᾷ εἰς τὰ λειβάδια, δὲν παίρνει ὅλα ὅσα εὑρίσκει, ἀλλὰ ἀφοῦ συλλέξῃ τὰ χρήσιμα, ἀφήνει τὰ ἄλλα, ἔτσι κάμε καὶ σύ, ἀφοῦ μνημονεύσῃς τὰ γένη τῶν ἀλόγων, ἐὰν ὑπάρχῃ κάτι χρήσιμον εἰς ἐκεῖνα νὰ τὸ συγκρατήσῃς, καὶ ὅσα προσόντα φυσικὰ ἔχουν, αὐτὰ σὺ νὰ τὰ ἐπιτύχῃς διὰ τῆς θελήσεώς σου· διότι διὰ τοῦτο σὲ ἐτίμησεν ὁ Θεὸς δι' αὐτῆς, διὰ νὰ ἠμπορῇς ὅ,τι καλὸν κάμουν τὰ ζῶα ἐξ ἐνστίκτου, σὺ νὰ τὸ κάμῃς ἐκ προαιρέσεως, διὰ νὰ λάβῃς καὶ ἀμοιβήν.

Διότι εἰς ἐκεῖνα τὰ κατορθώματα δὲν γίνονται κατόπιν λογικῆς σκέψεως καὶ ἐλευθέρας θελήσεως ἀλλὰ κατόπιν φυσικῆς ἀνάγκης. Αὐτὸ ποὺ λέγω σημαίνει τὸ ἑξῆς· ἡ μέλισσα κάμει τὸ μέλι, ὄχι ἐπειδὴ ἐδιδάχθη τὸν τρόπον τῆς κατασκευῆς αὐτοῦ διὰ τοῦ λόγου ἢ διὰ τοῦ νοῦ της, ἀλλὰ ἐπειδὴ ἔμαθε τοῦτον ἐκ φύσεως. Διότι ἐὰν δὲν ἦτο ἔργον φυσικόν, ἀλλὰ ἐπίκτητον καὶ δὲν ἐδίδετο εἰς τὰς μελίσσας ὡς ἰδιαίτερον χαρακτηριστικὸν γνώρισμα τοῦτο, ἔπρεπε μερικαὶ ἀπὸ αὐτὰς νὰ μὴ γνωρίζουν τὴν τέχνην· τώρα ὅμως ἀπὸ τότε ποὺ ἐδημιουργήθη ὁ κόσμος μέχρι σήμερον κανεὶς δὲν εἶδε μελίσσας νὰ ἡσυχάζουν καὶ νὰ μὴ κάμνουν μέλι. Διότι τέτοια εἶναι τὰ φυσικὰ κοινά, εἶναι δηλαδὴ κοινὰ προσόντα ὅλων, ἐνῷ τὰ ἐκ προαιρέσεως ἔργα δὲν εἶναι κοινά, διότι ἔχουν ἀνάγκην κόπου διὰ νὰ κατορθωθοῦν.

3. Ἀφοῦ λοιπὸν λάβῃς ὅλα τὰ κάλλιστα ἰδιώματα τῶν ζώων, φόρεσέ τα· διότι εἶσαι βασιλεὺς τῶν ἀλόγων ζώων· οἱ δὲ βασιλεῖς ὅ,τι κάλλιστον ὑπάρχει εἰς τοὺς ὑπηκόους, εἴτε

θοι τίμιοι, εἴτε ἱμάτια πολυτελῆ, ταῦτα μεθ' ὑπερβολῆς αὐτοὶ κέκτηνται· καὶ θαύμαζέ σου τὸν Δεσπότην ἀπὸ τῆς κτίσεως. Εἰ δὲ τί σε ὑπερβαίνει τῶν ὁρωμένων, καὶ τὸν λόγον οὐ δύνασαι εὑρεῖν, καὶ διὰ τοῦτο δόξασον τὸν ποιήσαντα, ὅτι ὑπερβαίνει τὴν κατάληψιν ἡ σοφία τῶν γενομένων. Μὴ λέγε, διὰ τί τοῦτο; Ἕκαστον γὰρ χρήσιμόν ἐστιν, εἰ καὶ τὸν λόγον ἀγνοοῦμεν ἡμεῖς. Ὥσπερ οὖν ἐὰν εἰς ἰατρεῖον εἰσέλθῃς, καὶ ἴδῃς ἐργαλεῖα πολλὰ προκείμενα, θαυμάζεις τὴν ποικιλίαν τῶν ὀργάνων, καίτοι γε τὰς χρείας αὐτῶν οὐκ εἰδώς· οὕτω καὶ ἐπὶ τῆς κτίσεως ποίησον, κἂν ἴδῃς πολλὰ τῶν ζώων, καὶ τῶν βοτανῶν, καὶ τῶν φυτῶν, καὶ τῶν ἄλλων πραγμάτων ὧν τὰς χρείας οὐκ οἶδας, θαύμασον αὐτῶν τὴν ποικιλίαν, καὶ ἐκπλάγηθι καὶ διὰ τοῦτο τὸν ἀριστοτέχνην Θεόν, ὅτι οὔτε σοι πάντα δῆλα ἐποίησεν, οὔτε πάντα ἀφῆκεν ἄδηλα.

Οὐκ ἀφῆκε μὲν γὰρ πάντα ἄδηλα, ἵνα μὴ ἀπρονόητα εἶναι λέγῃς τὰ ὄντα· οὐκ ἀφῆκε δέ σοι πάντα γνώριμα εἶναι, ἵνα μὴ τὸ μέγεθος τῆς γνώσεως εἰς ἀπόνοιάν σε ἐπάρῃ. Οὕτω γοῦν καὶ τὸν πρῶτον ἄνθρωπον ὁ πονηρὸς δαίμων ἐκεῖνος ἐξετραχήλισεν, ἐλπίδι μείζονος γνώσεως, καὶ τῆς οὔσης ἀποστερήσας. Διὰ τοῦτο καὶ σοφός τις παραινεῖ λέγων· «Ἰσχυρότερά σου μὴ ζήτει, καὶ βαθύτερά σου μὴ ἐρεύνα. Ἃ προσετάγη σοι ταῦτα διανοοῦ· τὰ γὰρ πλείονα τῶν ἔργων αὐτοῦ ἐν ἀποκρύφοις»· καὶ πάλιν, «Πλείονα συνέσεως ἀνθρώπων ὑπεδείχθη σοι». Τοῦτο δὲ εἶπε παραμυθούμενος τὸν ἀσχάλλοντα καὶ ἀλύοντα, ἐπειδὴ μὴ πάντα οἶδεν. Καὶ γὰρ αὐτά, φησίν, ἅπερ ἐπετράπης εἰδέναι, σφόδρα ὑπερβαίνει σου τὴν σύνεσιν· οὐδὲ γὰρ οἴκοθεν εὗρες,

16. Σοφ. Σειρ. 3, 21-22.
17. Αὐτόθι 23.

χρυσός, εἴτε ἄργυρος, εἴτε πολύτιμοι λίθοι, εἴτε πολυτελῆ φορέματα, αὐτοὶ τὰ ἔχουν μὲ ἀφθονίαν, καὶ θαύμαζε τὸν Δεσπότην ἀπὸ τὴν δημιουργίαν τῆς κτίσεως. Ἐὰν δὲ κάτι ἀπὸ αὐτὰ ποὺ βλέπεις, εἶναι ἀνώτερον ἀπὸ τὰς νοητικάς σου ἱκανότητας καὶ δὲν ἠμπορῇς νὰ ἐννοήσῃς διατί ἐδημιουργήθη, καὶ διὰ τοῦτο νὰ δοξάσῃς τὸν δημιουργόν, διότι ἡ σοφία ποὺ ὑπάρχει εἰς ὅσα ἔγιναν, εἶναι ἀνώτερα τῆς διανοίας σου. Νὰ μὴ λέγῃς λοιπόν, διὰ ποῖον λόγον ἔγινε τοῦτο; Εἰς τί χρειάζεται τοῦτο; Διότι κάθε ἕνα εἶναι χρήσιμον, ἔστω καὶ ἂν ἀγνοοῦμεν τὸν λόγον τῆς ὑπάρξεώς του. Ὅπως λοιπόν, ὅταν εἰσέλθῃς εἰς ἰατρεῖον καὶ ἰδῇς νὰ ὑπάρχουν ἐκεῖ πολλὰ ἰατρικὰ ἐργαλεῖα, θαυμάζεις διὰ τὴν ποικιλίαν τῶν ὀργάνων τούτων, καίτοι δὲν γνωρίζεις εἰς τί χρησιμεύουν, ἔτσι νὰ κάμῃς καὶ διὰ τὴν κτίσιν, καὶ ὅταν ἰδῇς πολλὰ ἀπὸ τὰ ζῶα, τὰ βότανα, καὶ τὰ φυτά, καὶ τὰ ἄλλα πράγματα τῶν ὁποίων τὴν χρησιμότητα δὲν γνωρίζεις, νὰ θαυμάσῃς τὴν ποικιλίαν αὐτῶν καὶ νὰ ἐκπλαγῇς διὰ τοῦτο τὸν ἀριστοτέχνην Θεόν, διότι οὔτε τὴν χρησιμότητα ὅλων σοῦ ἔκαμε γνωστήν, οὔτε ὅλα πάλιν σοῦ τὰ ἄφησε χωρὶς νὰ τὰ γνωρίζῃς.

Δὲν τὰ ἄφησε ὅλα εἰς ἄγνοιαν, διὰ νὰ μὴ λέγῃς ὅτι τὰ δημιουργήματα ἔγιναν χωρὶς σκοπόν· δὲν σοῦ ἄφησε πάλιν νὰ γνωρίζῃς τὴν χρησιμότητα ὅλων, διὰ νὰ μὴ σὲ ὁδηγήσῃ τὸ μέγεθος τῆς γνώσεως τοῦτο εἰς τὴν ὑπερηφάνειαν. Ἔτσι λοιπὸν καὶ τὸν πρῶτον ἄνθρωπον ὁ πονηρὸς ἐκεῖνος δαίμων τὸν κατέστρεψε, διότι τοῦ ἔβαλε τὴν ἐλπίδα ὅτι θὰ γνωρίσῃ περισσότερα, καὶ τοῦ ἐστέρησε καὶ αὐτὴν ποὺ εἶχε. Διὰ τοῦτο καὶ κάποιος σοφὸς συμβουλεύει λέγων· «ἰσχυρότερά σου μὴ ζητᾷς καὶ βαθύτερά σου μὴ ἐξετάζῃς· αὐτὰ ποὺ σοῦ ἀνετέθησαν μὲ αὐτὰ νὰ ἀσχοληῆσαι· διότι τὰ περισσότερα ἀπὸ τὰ ἔργα του εἶναι ἀπόκρυφα»[16]· καὶ πάλιν «περισσότερα ἀπὸ ὅσα ἠμπορεῖ νὰ ἐννοήσῃ ὁ ἄνθρωπος σοῦ ἐφανερώθησαν»[17]. Εἶπε δὲ τοῦτο διὰ νὰ παρηγορήσῃ ἐκεῖνον ποὺ δυσφορεῖ καὶ λυπεῖται, ἐπειδὴ δὲν τὰ γνωρίζει ὅλα. Διότι καὶ αὐτά, λέγει, τὰ ὁποῖα σοῦ ἐπετράπη νὰ γνωρίζῃς εἶναι πολὺ ἀνώτερα

ἀλλὰ παρὰ τοῦ Θεοῦ διδαχθείς. Ἀρκοῦ τοίνυν τῷ δοθέντι πλούτῳ, καὶ μὴ πλέον ἐπιζήτει, ἀλλ' ὑπὲρ ὧν ἔλαβες εὐχαρίστει, μὴ ἀγανάκτει ὑπὲρ ὧν οὐκ ἔλαβες, καὶ ὑπὲρ ὧν οἶδας δόξαζε, μὴ σκανδαλίζου δι' ἃ οὐκ οἶδας· ἀμφότερα γὰρ χρησίμως ὁ Θεὸς ἐποίησε, καὶ τὰ μὲν ἀπεκάλυψε, τὰ δὲ ἀπέκλεισε τῆς σῆς προνοῶν σωτηρίας.

Εἷς μὲν οὖν, ὅπερ ἔφην, τρόπος θεογνωσίας ὁ διὰ τῆς κτίσεως, πολλὰς δυνάμενος ἡμέρας ἀναλῶσαι. Ἵνα γὰρ μὴ μόνον τοῦ ἀνθρώπου κατ' ἀκρίβειαν τὴν διατύπωσιν ἐπέλθωμεν, κατ' ἀκρίβειαν δὲ λέγω τὴν ἡμῖν δυνατήν, οὐ τὴν ὄντως ἀκρίβειαν· εἰ γὰρ καὶ πολλοὺς εἰρήκαμεν τῶν γενομένων λόγους, ἀλλ' εἰσὶ καὶ ἕτεροι πλείους ἀπόρρητοι, οὓς ὁ ποιήσας οἶδεν Θεός· οὐ γὰρ δὴ πάντας ἴσμεν αὐτοί· ἵν' οὖν ἅπασαν τοῦ ἀνθρώπου κατὰ ἀκρίβειαν τὴν διάπλασιν ἐπέλθωμεν, καὶ τὴν ἐν ἑκάστῳ μέλει σοφίαν εὕρωμεν, τῶν νεύρων, τῶν φλεβῶν, τῶν ἀρτηριῶν τὴν διανομήν, τὴν θέσιν, τὴν διάπλασιν τῶν ἄλλων ἁπάντων, οὐδὲ ἐνιαυτὸς ὁλόκληρος ἡμῖν ἀρκέσειεν ἂν πρὸς τὴν ἐξήγησιν ταύτην. Διόπερ τοῦτον ἐνταῦθα καταλύσαντες τὸν λόγον, καὶ τοῖς φιλοπόνοις καὶ φιλομαθέσι παρασχόντες ἐκ τῶν εἰρημένων καὶ τὰ λοιπὰ τῆς κτίσεως ἐπελθεῖν μέρη, ἐφ' ἑτέραν ὑπόθεσιν τὸν λόγον τρέψωμεν, ἐνδεικτικὴν καὶ αὐτὴν οὖσαν τῆς τοῦ Θεοῦ προνοίας. Τίς οὖν ἐστιν ἡ δευτέρα ὑπόθεσις;

Ἐξ ἀρχῆς πλάττων ὁ Θεὸς τὸν ἄνθρωπον, νόμον αὐτῷ φυσικὸν ἐγκατέθηκε. Καὶ τί ποτέ ἐστι νόμος φυσικός; Τὸ συνειδὸς ἡμῖν διήρθρωσε, καὶ αὐτοδίδακτον ἐποίησε τὴν γνῶσιν τῶν καλῶν καὶ τῶν οὐ τοιούτων· οὐ γὰρ δεόμεθα μαθεῖν ὅτι κακὸν ἡ πορνεία, καὶ καλὸν ἡ σωφροσύνη, ἀλλ' ἴσμεν ἐξ ἀρχῆς τοῦτο. Καὶ ἵνα μάθῃς ὅτι τοῦτο ἐξ ἀρχῆς

τῶν νοητικῶν σου δυνάμεων· καὶ οὔτε τὰ ἔμαθες μόνος σου, ἀλλὰ τὰ ἔμαθες ἀπὸ τὸν Θεόν. Νὰ ἀρκεσθῇς λοιπὸν εἰς τὸν πλοῦτον ποὺ σοῦ ἐδόθη, καὶ μὴ ζητᾷς περισσότερα, ἀλλὰ νὰ εὐχαριστῇς μὲν τὸν Θεὸν δι᾽ ὅσα ἔλαβες καὶ νὰ μὴ ἀγανακτῇς δι᾽ ὅσα δὲν ἔλαβες, καὶ δι᾽ ὅσα μὲν γνωρίζεις νὰ δοξάζῃς τὸν Θεόν, μὴ σκανδαλίζεσαι δὲ δι᾽ ὅσα δὲν γνωρίζεις· διότι καὶ τὰ δύο ὁ Θεὸς τὰ ἔκαμε χρησίμως, καὶ τὰ μὲν ἀπεκάλυψε, τὰ δὲ ἀπέκρυψε, προνοῶν διὰ τὴν σωτηρίαν σου.

Ἕνας μὲν λοιπόν, ὅπως εἶπον, τρόπος θεογνωσίας ὑπάρχει, ὁ διὰ τῆς κτίσεως καὶ ὁ ὁποῖος ἠμπορεῖ νὰ μᾶς ἀπασχολήσῃ ἐπὶ πολλὰς ἡμέρας. Διότι μόνον τὸν ἄνθρωπον ἂν ἐπιχειρήσωμεν νὰ ἐξετάσωμεν λεπτομερῶς, λέγω λεπτομερῶς, ὅσον βεβαίως εἶναι δυνατόν, ὄχι μὲ πᾶσαν λεπτομέρειαν· διότι ἂν καὶ ἔχομεν ἀναφέρει πολλοὺς λόγους διὰ τοὺς ὁποίους ἔγινε τὸ κάθε ἕνα, ὅμως ὑπάρχουν καὶ ἄλλοι πολλοί, μυστικοί, τοὺς ὁποίους γνωρίζει μόνον ὁ Θεὸς ποὺ τοὺς ἔκαμε· διότι δὲν τοὺς γνωρίζομεν ὅλους ἡμεῖς· καὶ ἂν ἠθέλαμεν ἐρευνήσει λεπτομερῶς τὴν διάπλασιν τοῦ ἀνθρώπου καὶ τὴν σοφίαν ποὺ εἰς κάθε μέλος ὑπάρχει, εἰς τὰ νεῦρα, εἰς τὰς φλέβας, εἰς τὴν διακλάδωσιν τῶν ἀρτηριῶν, εἰς τὴν θέσιν, εἰς τὴν σύστασιν ὅλων τῶν ἄλλων μελῶν, οὔτε ἕνα ἔτος δὲν θὰ ἔφθανε πρὸς ἐξήγησιν τούτων. Διὰ τοῦτο ἀφοῦ σταματήσωμεν ἐδῶ τὸν λόγον αὐτὸν καὶ ἀφήσωμεν εἰς τοὺς φιλοπόνους καὶ φιλομαθεῖς ἀπὸ τοὺς ἀκροατάς μας νὰ ἐξετάσουν καὶ τὰ ὑπόλοιπα μέρη τῆς κτίσεως, θὰ στρέψωμεν τὸν λόγον μας εἰς ἄλλο ζήτημα, ποὺ φανερώνει καὶ αὐτὸ τὴν πρόνοιαν τοῦ Θεοῦ. Ποία λοιπὸν εἶναι ἡ δευτέρα ὑπόθεσις;

Ἐξ ἀρχῆς ὅταν ἐδημιούργησεν ὁ Θεὸς τὸν ἄνθρωπον, ἔθεσεν ἐντός του νόμον φυσικόν. Καὶ τί σημαίνει νόμος φυσικός; Κατεσκεύασε τὴν συνείδησίν μας καὶ δι᾽ αὐτῆς μᾶς ἔκαμεν ἱκανοὺς μόνοι μας νὰ διδαχθῶμεν τὰ καλὰ καὶ τὰ κακά· διότι δὲν ἔχομεν ἀνάγκην νὰ μάθωμεν ὅτι εἶναι κακὸν ἡ πορνεία καὶ καλὸν ἡ σωφροσύνη, ἀλλὰ τοῦτο τὸ γνωρίζομεν ἀπὸ τὴν ἀρχὴν μόνοι μας. Καὶ διὰ νὰ μάθῃς ὅτι τοῦτο

ἴσμεν, ὁ νομοθέτης νόμους διδοὺς ὕστερον, καὶ εἰπών, «Οὐ φονεύσεις», οὐκ ἐπήγαγε, κακὸν γὰρ ὁ φόνος, ἀλλ' ἁπλῶς «Οὐ φονεύσεις» εἶπεν· ἀπηγόρευσε γὰρ τὴν ἁμαρτίαν μόνον, οὐκ ἐδίδαξε. Τίνος οὖν ἕνεκεν εἰπών, «Οὐ φονεύσεις», οὐ προσέθηκεν ὅτι κακὸν ὁ φόνος; Ἐπειδὴ προλαβὸν τὸ συνειδὸς ἡμᾶς ἐπαίδευσε τοῦτο, καὶ ὡς εἰδόσι καὶ ἐπισταμένοις οὕτω διαλέγεται.

Ὅταν γοῦν περὶ ἑτέρας ἐντολῆς λέγῃ τῆς οὐ γνωρίμης ἡμῖν ἀπὸ τοῦ συνειδότος γενομένης, οὐκ ἀπαγορεύει μόνον, ἀλλὰ καὶ τὴν αἰτίαν προστίθησι. Περὶ Σαββάτου γοῦν νομοθετῶν καὶ λέγων, «Τῇδε ἡμέρᾳ τῇ ἑβδόμῃ οὐ ποιήσεις ἔργον», καὶ τὴν αἰτίαν ἐπήγαγε τῆς ἀργίας· ποίαν δὴ ταύτην; «Ὅτι ἐν τῇ ἡμέρᾳ τῇ ἑβδόμῃ κατέπαυσεν ὁ Θεὸς ἀπὸ πάντων τῶν ἔργων αὐτοῦ ὧν ἤρξατο ποιῆσαι». Καὶ πάλιν, «Ὅτι οἰκέτης ἦσθα ἐν γῇ Αἰγύπτῳ». Τίνος οὖν ἕνεκεν, εἰπέ μοι, ἐπὶ μὲν τοῦ Σαββάτου τὴν αἰτίαν προσέθηκεν, ἐπὶ δὲ τοῦ φόνου οὐδὲν τοιοῦτον ἐποίησεν; Ἐπειδὴ αὕτη μὲν ἡ ἐντολὴ οὐ τῶν προηγουμένων ἦν, οὐδὲ τῶν ἐκ τοῦ συνειδότος ἡμῖν ἠκριβωμένων, ἀλλὰ μερική τις καὶ πρόσκαιρος, διὰ τοῦτο καὶ κατελύθη μετὰ ταῦτα· αἱ δὲ ἀναγκαῖαι καὶ συνέχουσαι τὴν ζωὴν τὴν ἡμετέραν, ἐκεῖναί εἰσιν· «Οὐ φονεύσεις, οὐ μοιχεύσεις, οὐ κλέψεις». Διόπερ οὐδαμοῦ αἰτίαν ἐνταῦθα τίθησιν, οὐδὲ διδασκαλίαν εἰσάγει, ἀλλ' ἀρκεῖται ψιλῇ τῇ ἀπαγορεύσει.

4. Οὐκ ἐντεῦθεν δὲ μόνον, ἀλλὰ καὶ ἑτέρωθεν ὑμῖν δεῖξαι πειράσομαι πῶς αὐτοδίδακτος ἦν ὁ ἄνθρωπος πρὸς τὴν τῆς ἀρετῆς γνῶσιν. Ἥμαρτεν ὁ Ἀδὰμ τὴν ἁμαρτίαν τὴν πρώτην, καὶ μετὰ τὴν ἁμαρτίαν εὐθέως ἐκρύπτετο· εἰ δὲ μὴ ᾔδει κακόν τι ἐργασάμενος, τίνος ἕνεκεν ἐκρύπτετο; Οὐδὲ γὰρ γράμματα ἦν, οὐ νόμος, οὐ Μωσῆς· πόθεν οὖν ἔγνω τὴν ἁμαρτίαν καὶ κρύπτεται; Καὶ οὐ κρύπτεται μόνον, ἀλλὰ καὶ ἐγκαλούμενος, ἐφ' ὅσον πειρᾶται μετατιθέναι τὴν

---

18. Ἐξ. 20, 13.
19. Ἐξ 20, 10.
20. Αὐτόθι.
21. Δευτ. 24, 18.
22. Ἐξ 20, 13-15.

τὸ ἐγνωρίζαμεν ἀπὸ τὴν ἀρχήν, ὅταν ὁ νομοθέτης ἔδωκε τοὺς νόμους καὶ εἶπε «Οὐ φονεύσεις»[18], δὲν προσέθεσε, διότι εἶναι κακὸν πρᾶγμα ὁ φόνος, ἀλλὰ ἁπλῶς εἶπεν· «Οὐ φονεύσεις»· δηλαδὴ ἀπηγόρευσε μόνον τὴν ἁμαρτίαν, δὲν ἐδίδαξε. Διατί λοιπὸν ὅταν εἶπεν «οὐ φονεύσεις» δὲν προσέθεσε, διότι εἶναι κακὴ πρᾶξις ὁ φόνος; Ἐπειδὴ ἐπρόλαβε καὶ μᾶς ἐδίδαξε περὶ τούτου ἡ συνείδησις, καὶ μᾶς ὁμιλεῖ ἔτσι ὅπως ὁμιλεῖ ἕνας εἰς ἄλλον ποὺ γνωρίζει καὶ ἐννοεῖ καλῶς.

Ὅταν λοιπὸν ὁμιλῇ δι' ἄλλην ἐντολήν, τὴν ὁποίαν δὲν γνωρίζομεν ἀπὸ τὴν συνείδησίν μας, δὲν ἀπαγορεύει μόνον, ἀλλὰ προσθέτει καὶ τὴν αἰτίαν τῆς ἀπαγορεύσεως. Νομοθετῶν καὶ λέγων διὰ τὴν ἀργίαν τοῦ Σαββάτου «Τὴν ἑβδόμην ἡμέραν δὲν θὰ ἐργασθῇς»[19] προσέθεσε καὶ τὴν αἰτίαν τῆς ἀργίας· ποία ἦτο λοιπὸν αὐτή; «ὅτι κατὰ τὴν ἑβδόμην ἡμέραν ἐτελείωσεν ὅλα τὰ ἔργα του ὁ Θεὸς τὰ ὁποῖα ἤρχισε νὰ κάμῃ»[20]. Καὶ πάλιν· «διότι ἤσουν δοῦλος εἰς τὴν Αἴγυπτον»[21]. Διὰ ποῖον λόγον, εἰπέ μου, διὰ μὲν τὸ Σάββατον προσέθεσε καὶ τὴν αἰτίαν, διὰ δὲ τὸν φόνον δὲν ἔκαμε τὸ ἴδιον; Ἐπειδὴ ἡ ἐντολὴ αὐτὴ δὲν ἦτο ἐκ τῶν προηγουμένων, οὔτε εἶχε διδαχθῇ ὑπὸ τῆς συνειδήσεως, ἀλλὰ ἦτο δευτερεύουσα καὶ προσωρινή, διὰ τοῦτο καὶ κατηργήθη μετά· αἱ ἀναγκαῖαι καὶ αὐταὶ ποὺ συγκρατοῦν τὴν ζωήν μας εἶναι ἐκεῖναι· «Οὐ φονεύσεις, οὐ μοιχεύσεις, οὐ κλέψεις»[22]. Διὰ τοῦτο πουθενὰ δὲν ἀναφέρει ἐδῶ αἰτίαν, οὔτε διδασκαλίαν, ἀλλὰ ἀρκεῖται εἰς ἁπλῆν ἀπαγόρευσιν μόνον.

4. Ὄχι μόνον ἐξ ὅσων εἶπα, ἀλλὰ καὶ ἀπὸ ἄλλα θὰ προσπαθήσω νὰ σᾶς ἀποδείξω πῶς ἦτο ὁ ἄνθρωπος αὐτοδίδακτος εἰς τὴν γνῶσιν τῆς ἀρετῆς. Ἡμάρτησεν ὁ Ἀδὰμ τὴν πρώτην ἁμαρτίαν, καὶ μετὰ τὴν ἁμαρτίαν ἀμέσως ἐκρύπτετο· ἐὰν δὲ δὲν ἐγνώριζεν ὅτι ἔκαμε κάποιο κακὸν διὰ ποῖον λόγον ἐκρύπτετο; Διότι οὔτε γράμματα ὑπῆρχον τότε, οὔτε ὁ νόμος, οὔτε ὁ Μωυσῆς· ἀπὸ ποῦ λοιπὸν ἐγνώρισε τὴν ἁμαρτίαν καὶ κρύπτεται; Καὶ δὲν κρύπτεται μόνον, ἀλλὰ καὶ ὅταν τὸν κατηγορῇ ὁ Θεὸς διὰ τὸ παράπτωμα προσπαθεῖ εἰς

αἰτίαν, λέγων· «Ἡ γυνὴ ἣν ἔδωκάς μοι, αὕτη ἔδωκέ μοι ἐκ τοῦ ξύλου, καὶ ἔφαγον»· κἀκείνη πάλιν ἐφ' ἕτερον μετάγει τὸ ἔγκλημα, τὸν ὄφιν. Καὶ ὅρα Θεοῦ σοφίαν· εἰπόντος γὰρ τοῦ Ἀδάμ, ὅτι «Ἤκουσα τῆς φωνῆς σου καὶ ἐφοβήθην, ὅτι γυμνός εἰμι, καὶ ἐκρύβην», οὐκ ἤλεγξεν εὐθέως ὁ Θεὸς τὸ γεγονός, οὐδὲ εἶπε· διὰ τί γὰρ ἔφαγες ἀπὸ τοῦ ξύλου; ἀλλὰ πῶς; «Τίς σοι ἀνήγγειλε», φησίν, «ὅτι γυμνὸς εἶ, εἰ μὴ ἀπὸ τοῦ ξύλου οὗ ἐνετειλάμην μοι τούτου μόνου μὴ φαγεῖν, ἀπ' αὐτοῦ ἔφαγες;». Οὔτε ἐσίγησεν, οὔτε φανερῶς αὐτὸν ἤλεγξεν· οὐκ ἐσίγησε μέν, ἵνα αὐτὸν ἐκκαλέσηται πρὸς ὁμολογίαν τῆς ἁμαρτίας· οὐκ ἤλεγξε δὲ φανερῶς, ἵνα μὴ αὐτοῦ τὸ πᾶν γένηται, κἀκεῖνος ἔρημος ᾖ τῆς ἀπὸ τῆς ἐξομολογήσεως γινομένης συγγνώμης ἡμῖν. Διὰ τοῦτο οὐκ εἶπε φανερῶς τὴν αἰτίαν ἀφ' ἧς ἡ γνῶσις γέγονεν, ἀλλ' ἐν ἐρωτήσεως τάξει προάγει τὸν λόγον, ἐκεῖνον καταλιμπάνων εἰς ἐξομολόγησιν ἐλθεῖν.

Πάλιν ἐπὶ τοῦ Κάϊν καὶ τοῦ Ἄβελ τὸ αὐτὸ τοῦτό ἐστιν ἰδεῖν. Πρῶτον μὲν γὰρ ἀπήρξαντο τῷ Θεῷ τῶν οἰκείων πόνων. Μὴ γὰρ δὴ ἀπὸ τῆς ἁμαρτίας μόνον, ἀλλὰ καὶ ἀπὸ τῆς ἀρετῆς δείξωμεν, ὅτι ἀμφοτέρων ἦν ἐπιστημονικὸς ὁ ἄνθρωπος. Ὅτι μὲν οὖν ᾔδει τὴν ἁμαρτίαν κακὸν ὂν ὁ ἄνθρωπος, ἔδειξεν ὁ Ἀδάμ, ὅτι δὲ καὶ τὴν ἀρετὴν ἠπίστατο καλὸν ὄν, ἐδήλωσεν πάλιν ὁ Ἄβελ. Οὐ γὰρ παρά τινος μαθών, οὐδὲ νόμου περὶ ἀπαρχῶν διαλεγομένου τότε ἀκούσας, ἀλλ' οἴκοθεν καὶ παρὰ τοῦ συνειδότος διδαχθεὶς τὴν θυσίαν ἐκείνην ἀνήνεγκε. Διὰ τοῦτο οὐ καταφέρω κάτω τὸν λόγον, ἀλλ' ἐπὶ τῶν προτέρων αὐτὸν ἀνθρώπων γυμνάζω, ὅτε οὔπω γράμματα, οὔτε νόμος, οὔτε προφῆται καὶ δικασταί, ἀλλὰ μόνος ὁ Ἀδὰμ μετὰ τῶν παί-

---

23. Γεν. 3, 12.
24. Αὐτόθι.
25. Γεν. 3, 12.

ἄλλον νὰ ἐπιρρίψῃ τὴν αἰτίαν λέγων· «Ἡ γυναῖκα ποὺ μοῦ ἔδωσες, αὐτὴ μοῦ ἔδωσε καὶ ἔφαγα ἀπὸ τὸν καρπὸν τοῦ δένδρου»[23]· καὶ ἐκείνη πάλιν εἰς ἄλλον μεταφέρει τὸ ἔγκλημα, εἰς τὸ φίδι. Καὶ βλέπε τὴν σοφίαν τοῦ Θεοῦ· ὅταν δηλαδὴ εἶπεν ὁ Ἀδὰμ ὅτι «ἤκουσα τὴν φωνήν σου καὶ ἐφοβήθην, διότι εἶμαι γυμνὸς καὶ ἐκρύβην»[24], δὲν ἤλεγξεν ἀμέσως ὁ Θεὸς τὴν πρᾶξιν του, οὔτε εἶπεν· διατί ἔφαγες ἀπὸ τὸν ἀπηγορευμένον καρπόν; Ἀλλὰ πῶς; «Ποῖος σοῦ ἀνήγγειλεν», λέγει, «ὅτι εἶσαι γυμνός, ἐκτὸς ἐὰν ἔφαγες ἀπὸ τοὺς καρποὺς τοῦ δένδρου ἀπὸ τὸ ὁποῖον σοῦ παρήγγειλα νὰ μὴ φάγῃς;»[25]. Οὔτε ἐσιώπησεν, οὔτε ἤλεγξεν αὐτὸν φανερά· δὲν ἐσίγησε μὲν διὰ νὰ τὸν κάμῃ νὰ ὁμολογήσῃ τὸ ἁμάρτημά του· δὲν τὴν ἤλεγξε δὲ φανερῶς, διὰ νὰ μὴ προέλθῃ ἐξ ὁλοκλήρου ἀπὸ αὐτὸν ἡ μετάνοιά του καὶ θὰ ἦτο ἐκεῖνος ἐστερημένος τῆς συγχωρήσεως ποὺ προσφέρει ἡ ἐξομολόγησις. Διὰ τοῦτο δὲν εἶπε φανερὰ τὴν αἰτίαν ἀπὸ τὴν ὁποίαν ἐκατάλαβεν ὅτι εἶναι γυμνός, διὰ δὲ τῆς ἐρωτήσεως προχωρεῖ τὴν συζήτησιν, διὰ νὰ τὸν ἀφήσῃ νὰ φθάσῃ μόνος του εἰς τὴν ἐξομολόγησιν.

Πάλιν εἰς τὸν Κάϊν καὶ τὸν Ἄβελ τὸν ἴδιον ἠμποροῦμεν νὰ ἰδοῦμεν. Διότι πρῶτον μὲν προσέφερον εἰς τὸν Θεὸν θυσίαν ἀπὸ τοὺς πρώτους κόπους των. Διότι θὰ δείξωμεν ὅτι ὄχι μόνον τὴν ἁμαρτίαν ἀλλὰ καὶ τὴν ἀρετὴν ἐγνώριζεν ὁ ἄνθρωπος. Τὸ ὅτι μὲν ἐγνώριζεν ὅτι ἡ ἁμαρτία εἶναι κακὸν τὸ ἔδειξεν ὁ Ἀδάμ, ὅτι δὲ πάλιν ἤξευρεν ὅτι ἡ ἀρετὴ εἶναι καλόν, τὸ ἐφανέρωσεν ὁ Ἄβελ. Καὶ οὔτε τὸ ἔμαθεν ἀπὸ κάποιον, οὔτε ἤκουσε κανένα νόμον νὰ ὁμιλῇ περὶ προσφορᾶς τῶν ἀπαρχῶν εἰς τὸν Θεόν, ἀλλὰ μόνος του καὶ ἀπὸ τὴν συνείδησίν του ἐδιδάχθη τὴν θυσίαν ἐκείνην καὶ τὴν προσέφερε. Διὰ τοῦτο δὲν ἀναφέρω περιπτώσεις μεταγενεστέρων χρόνων, ἀλλὰ στρέφω αὐτὸν εἰς τὴν ἐποχὴν τῶν πρώτων ἀνθρώπων, ὅτε οὔτε γράμματα, οὔτε νόμοι, οὔτε προφῆται καὶ δικασταί, ἀλλὰ μόνος ὁ Ἀδὰμ μὲ τὰ παιδιὰ ἦτο, διὰ νὰ

δων ἦν, ἵνα μάθῃς ὅτι ἐν τῇ φύσει προαπέκειτο τῶν καλῶν καὶ τῶν οὐ τοιούτων ἡ γνῶσις.

Πόθεν γὰρ ἔμαθεν ὅτι καλὸν τὸ προσφέρειν ὁ Ἄβελ, ὅτι καλὸν τὸ τιμᾶν τὸν Θεόν, καὶ εὐχαριστεῖν ἐν ἅπασι; Τί οὖν ὁ Κάϊν, φησίν, οὐ προσήνεγκε; Προσήνεγκε μὲν καὶ οὗτος, ἀλλ' οὐχ ὁμοίως. Κἀντεῦθεν δὲ πάλιν ἡ τοῦ συνειδότος φαίνεται γνῶσις. Ἐπειδὴ γὰρ τῷ τιμηθέντι βασκήνας περὶ σφαγῆς ἐβουλεύετο, κρύπτει τὴν δολερὰν γνώμην. Καὶ τί φησι; «Δεῦρο ἐξέλθωμεν εἰς τὸ πεδίον». Ἕτερον τὸ σχῆμα, φιλοφροσύνης γὰρ ἡ ὑπόκρισις· καὶ τὸ φρόνημα ἕτερον, ἀδελφοκτονίας γὰρ ἡ γνώμη. Καίτοι εἰ μὴ κακὸν ᾔδει τὸ βούλημα, τίνος ἕνεκεν αὐτὸ συνεσκίαζε; Καὶ μετὰ τὸ γενέσθαι τὸν φόνον, πάλιν ἐρωτώμενος ὑπὸ τοῦ Θεοῦ, «Ποῦ Ἄβελ ὁ ἀδελφός σου;» φησίν· «Οὐκ οἶδα· μὴ φύλαξ τοῦ ἀδελφοῦ μού εἰμι ἐγώ;». Τίνος γὰρ ἕνεκεν ἀρνεῖται; Οὐκ εὔδηλον ὅτι καταγινώσκων σφόδρα ἑαυτοῦ; Ὥσπερ γὰρ ὁ πατὴρ αὐτοῦ ἐκρύβη, οὕτω καὶ οὗτος ἀρνεῖται· καὶ μετὰ τὸν ἔλεγχον πάλιν φησί· «Μείζων ἡ αἰτία μου τοῦ ἀφεθῆναί με».

Ἀλλ' ὁ Ἕλλην οὐκ ἀνέχεται τούτων. Φέρε οὖν καὶ πρὸς ἐκεῖνον διαλεχθῶμεν, καὶ ὅπερ ἐπὶ τῆς κτίσεως ἐποιήσαμεν, οὐκ ἀπὸ τῶν Γραφῶν μόνον, ἀλλὰ καὶ ἀπὸ λογισμῶν τοὺς πρὸς ἐκείνους κινήσαντες ἀγῶνας, τοῦτο καὶ ἐπὶ τοῦ συνειδότος ποιῶμεν νῦν· καὶ γὰρ καὶ τοῦτο τὸ κεφάλαιον ὁ Παῦλος ἐκίνησε πρὸς ἐκείνους ἀγωνιζόμενος. Τί ποτ' οὖν ἐστιν ὃ λέγουσιν; Οὐκ ἔστιν ἡμῖν αὐτοδίδακτος νόμος ἐν τῷ συνειδότι, φησί, κείμενος, οὐδὲ τῇ φύσει τοῦτο ἐγκατέθηκεν ὁ Θεός. Πόθεν οὖν, εἰπέ μοι, πόθεν περὶ γάμων, περὶ φόνων, περὶ διαθηκῶν, περὶ παρακαταθηκῶν, περὶ τοῦ μὴ πλεονεκτεῖν ἀλλήλους, περὶ μυρίων ἑτέρων νό-

---

26. Γεν. 4, 8.
27. Γεν. 4, 9.
28. Γεν. 4, 13.

μάθῃς ὅτι ἡ γνῶσις τοῦ καλοῦ καὶ τοῦ κακοῦ ὑπῆρχεν εἰς τὴν φύσιν καὶ ὄχι εἰς τὴν γνῶσιν.

Διότι ἀπὸ ποῦ ἔμαθεν ὁ Ἄβελ ὅτι εἶναι καλὴ πρᾶξις τὸ νὰ προσφέρῃ θυσίαν, ὅτι εἶναι καλὸν τὸ νὰ τιμᾷ τὸν Θεόν, καὶ νὰ εὐχαριστῇ δι' ὅλα; Τί λοιπόν, δὲν προσέφερεν ὁ Κάϊν; Προσέφερε μὲν καὶ οὗτος, ἀλλὰ ὄχι καθ' ὅμοιον τρόπον μὲ αὐτόν. Καὶ ἀπὸ ἐκεῖ πάλιν φαίνεται ἡ γνῶσις, ποὺ δίδει ἡ συνείδησις. Διότι ἐπειδὴ ἐφθόνησε τὸν τιμηθέντα ὑπὸ τοῦ Θεοῦ ἀδελφόν του καὶ ἐσκέπτετο νὰ τὸν σφάξῃ, κρύπτει τὴν πονηράν του σκέψιν. Καὶ τί λέγει; «Ἔλα ἂς ὑπάγωμεν εἰς τὴν πεδιάδα»[26]. Ἄλλο εἶναι τὸ πρόσχημα, διότι ὑποκρίνεται ὅτι ἔχει φιλόφρονα αἰσθήματα· ἄλλο εἶναι τὸ φρόνημα, διότι ἡ σκέψις του εἶχεν ἀποφασίσει νὰ κάμῃ τὴν ἀδελφοκτονίαν. Καὶ ὅμως ἂν δὲν ἐγνώριζεν ὅτι ἦτο κακὴ ἡ σκέψις του, διὰ ποῖον λόγον ἀπέκρυπτεν αὐτήν; Καὶ μετὰ τὴν διάπραξιν τοῦ φόνου, ἐρωτώμενος πάλιν ὑπὸ τοῦ Θεοῦ «Ποῦ εἶναι ὁ Ἄβελ ὁ ἀδελφός σου;» λέγει· «Δὲν γνωρίζω· μήπως εἶμαι φύλαξ τοῦ ἀδελφοῦ μου ἐγώ;»[27]. Διὰ ποῖον λόγον ἀρνεῖται; Δὲν εἶναι ὁλοφάνερον ὅτι καταδικάζει πολὺ τὸν ἑαυτόν του; Διότι ὅπως ἀκριβῶς ὁ πατέρας του ἐκρύβη, ἔτσι καὶ αὐτὸς ἀρνεῖται· καὶ μετὰ τὸν ἔλεγχον πάλιν λέγει· «Εἶναι ἀδύνατον τὸ ἁμάρτημά μου νὰ συγχωρηθῇ»[28].

Ὅμως ὁ ἐθνικὸς δὲν ἀνέχεται νὰ ἀκούῃ αὐτά. Ἐμπρὸς λοιπὸν καὶ πρὸς ἐκεῖνον ἂς διαλεχθῶμεν, καὶ ὅ,τι ἐκάμαμεν ὁμιλοῦντες περὶ τῆς κτίσεως, ὄχι μόνον ἀντλοῦντες ἐπιχειρήματα ἀπὸ τὰς Γραφάς, ἀλλὰ καὶ ἀπὸ τὴν λογικήν, αὐτὸ ἂς κάμωμεν τώρα προκειμένου περὶ τῆς συνειδήσεως· καθ' ὅσον καὶ ὁ Παῦλος τὸ ἐπιχείρημα τοῦτο μετεχειρίσθη εἰς τὸν ἀγῶνα ἐναντίον των. Τί λοιπὸν αὐτοὶ ἰσχυρίζονται; Δὲν ὑπάρχει, λέγουν, αὐτοδίδακτος νόμος εἰς τὴν συνείδησίν μας, οὔτε ἔβαλεν εἰς τὴν φύσιν μας τοιοῦτον νόμον ὁ Θεός. Ἀπὸ ποῦ λοιπόν, εἰπέ μου, ἀπὸ ποῦ ἐνεπνεύσθησαν καὶ ἔγραψαν οἱ νομοθέται περὶ γάμων, περὶ φόνων, περὶ διαθηκῶν, περὶ παρακαταθηκῶν, περὶ τοῦ νὰ μὴ ἀδικῇ ὁ ἕνας τὸν ἄλλον,

μους ἔγραψαν οἱ παρ᾽ αὐτοῖς νομοθέται; Οὗτοι μὲν γὰρ οἱ νῦν ἴσως παρὰ τῶν πρώτων ἔμαθον, καὶ ἐκεῖνοι παρὰ τῶν προτέρων, καὶ παρὰ τῶν ἄνω πάλιν οὗτοι. Οἱ δὲ ἐξ ἀρχῆς καὶ πρῶτοι παρ᾽ αὐτοῖς νόμους θέντες, παρὰ τίνος ἔμαθον; Οὐκ εὔδηλον ὅτι παρὰ τοῦ συνειδότος; Οὐ γὰρ ἂν ἔχοιεν εἰπεῖν ὅτι Μωϋσεῖ συνεγένοντο, ὅτι προφητῶν ἤκουσαν. Πῶς γὰρ Ἕλληνες ὄντες; Ἀλλ᾽ εὔδηλον ὅτι ἀπὸ τοῦ νόμου ὃν ἔθηκεν ὁ Θεὸς τῷ ἀνθρώπῳ, ἐξ ἀρχῆς αὐτὸν πλάττων, ἀπὸ τούτου καὶ νόμους ἔθηκαν, καὶ τέχνας εὕραντο, καὶ τὰ ἄλλα πάντα. Καὶ γὰρ καὶ αἱ τέχναι οὕτω συνέστησαν τῶν ἐξ ἀρχῆς αὐτοδιδάκτως ἐπ᾽ αὐτὰς ἐλθόντων· οὕτω καὶ δικαστήρια γέγονε, οὕτω καὶ κολάσεις ὡρίσθησαν, ὅπερ οὖν καὶ ὁ Παῦλός φησιν.

Ἐπειδὴ γὰρ πολλοὶ τῶν Ἑλλήνων ἀντιλέγειν ἔμελλον, καὶ λέγειν ὅτι, πῶς κρινεῖ ὁ Θεὸς τοὺς ἀνθρώπους τοὺς πρὸ τοῦ Μωσέως; οὐ νομοθέτην ἔπεμψεν, οὐ νόμον εἰσήνεγκεν, οὐ προφήτην ἀπέστειλεν, οὐκ ἀπόστολον, οὐκ εὐαγγελιστήν· πῶς οὖν αὐτοὺς εὐθύνας ἀπαιτεῖ; βουλόμενος ὁ Παῦλος δεῖξαι, ὅτι αὐτοδίδακτον εἶχον νόμον, καὶ τὰ πρακτέα σαφῶς ᾔδεσαν, ἄκουσον πῶς φησιν. «Ὅταν γὰρ ἔθνη, τὰ μὴ νόμον ἔχοντα, φύσει τὰ τοῦ νόμου ποιῇ, οὗτοι νόμον μὴ ἔχοντες ἑαυτοῖς εἰσι νόμος, οἵτινες ἐνδείκνυνται τὸ ἔργον τοῦ νόμου γραπτὸν ἐν ταῖς καρδίαις αὐτῶν». Πῶς χωρὶς γραμμάτων; «Συμμαρτυρούσης αὐτῶν τῆς συνειδήσεως καὶ μεταξὺ ἄλλων τῶν λογισμῶν κατηγορούντων, ἢ καὶ ἀπολογουμένων ἐν ἡμέρᾳ, ὅτε κρινεῖ ὁ Θεὸς τὰ κρυπτὰ τῶν ἀνθρώπων κατὰ τὸ εὐαγγέλιόν μου διὰ Ἰησοῦ Χριστοῦ.

---

29. Ρωμ. 2, 14-16.

καὶ περὶ ἀναριθμήτων ἄλλων ζητημάτων; Οἱ σημερινοὶ νομοθέται ἴσως ἔμαθαν αὐτὰ ἀπὸ τοὺς προηγουμένους αὐτῶν, καὶ ἐκεῖνοι πάλιν ἀπὸ τοὺς προηγουμένους, καὶ ἐκεῖνοι πάλιν τὸ ἴδιον. Ἐκεῖνοι ὅμως ποὺ ἐξ ἀρχῆς καὶ πρῶτοι ἔθεσαν νόμους ἀπὸ ποῖον τοὺς ἔμαθαν; Δὲν εἶναι ὁλοφάνερον ὅτι ἀπὸ τὴν συνείδησιν; Διότι δὲν ἠμποροῦν νὰ εἰποῦν ὅτι τὰ ἔμαθαν ἀπὸ τὴν συναναστροφήν των μὲ τὸν Μωυσῆ, ἢ ὅτι ἤκουσαν τοὺς προφήτας. Πῶς ἦτο τοῦτο δυνατὸν ἀφοῦ ἦσαν ἐθνικοί; Ἀλλὰ εἶναι φανερὸν ὅτι ἀπὸ τὸν νόμον ποὺ ἔθεσεν ὁ Θεὸς ἐξ ἀρχῆς εἰς τὸν ἄνθρωπον ὅταν τὸν ἐδημιούργησεν, ἀπὸ αὐτὸν ἔλαβαν καὶ ἔκαμαν νόμους καὶ ἐφεῦρον τέχνας καὶ ὅλα τὰ ἄλλα. Διότι καὶ αἱ τέχναι ἔτσι ἔγιναν, ἐπειδὴ οἱ πρῶτοι τεχνῖται μόνοι των τὰς ἐπενόησαν· ἔτσι ἔγιναν καὶ τὰ δικαστήρια, ἔτσι ὡρίσθησαν αἱ τιμωρίαι, ὅπως λέγει καὶ ὁ Παῦλος.

Ἐπειδὴ πολλοὶ ἀπὸ τοὺς ἐθνικοὺς ἐπρόκειτο νὰ προβάλλουν ἀντιρρήσεις καὶ νὰ λέγουν ὅτι, πῶς θὰ κρίνῃ ὁ Θεὸς τοὺς πρὸ τοῦ Μωϋσέως ἀνθρώπους; Δὲν ἔστειλε νομοθέτην, δὲν τοὺς ἔδωκε νόμον, δὲν ἀπέστειλε προφήτην, οὔτε ἀπόστολον, οὔτε εὐαγγελιστήν· πῶς λοιπὸν ζητεῖ εὐθύνας ἀπὸ αὐτούς; Ἐπειδὴ ἤθελεν ὁ Παῦλος νὰ ἀποδείξῃ ὅτι εἶχαν αὐτοδίδακτον νόμον καὶ ἐγνώριζον καλῶς τί πρέπει νὰ κάμουν, ἄκουσε τί λέγει. «Διότι ὅταν οἱ ἐθνικοί, ποὺ δὲν ἔχουν νόμον γραπτὸν ἀπὸ τὸν Θεόν, ἐκτελοῦν ἐκ φύσεως ὅσα ὁ γραπτὸς νόμος διατάσσει, εἰς τοὺς ἀνθρώπους αὐτούς, καίτοι δὲν ἔχουν νόμον γραπτόν, νόμος εἶναι ὁ ἴδιος ὁ ἑαυτός των, αὐτοὶ τὸ ἔργον ποὺ κάνει ὁ νόμος ἀποδεικνύουν ὅτι τὸ ἔχουν γραμμένον εἰς τὰς καρδίας των». Πῶς ἀποδεικνύουν ὅτι τὸν ἔχουν γραμμένον; «Διότι ἡ συνείδησίς των δίδει μαρτυρίαν διὰ τὰς πράξεις των καὶ οἱ λογισμοὶ αὐτῶν ἀναμεταξύ των κατηγοροῦνται ἢ ἀπολογοῦνται καὶ θὰ ἀνακηρυχθοῦν δίκαιοι κατὰ τὴν ἡμέραν ποὺ θὰ κρίνῃ ὁ Θεὸς τὰς ἀποκρύφους πράξεις τῶν ἀνθρώπων, σύμφωνα μὲ τὸ εὐαγγέλιον ποὺ κηρύττω, διὰ τοῦ Ἰησοῦ Χριστοῦ»[29]. Καὶ πάλιν·

Καὶ πάλιν· «Ὅσοι γὰρ ἀνόμως ἥμαρτον, ἀνόμως καὶ ἀπολοῦνται· καὶ ὅσοι ἐν νόμῳ ἥμαρτον, διὰ νόμου κριθήσονται».

Τί ἐστιν, «ἀνόμως ἀπολοῦνται»; Οὐχὶ τοῦ νόμου κατηγοροῦντος, ἀλλὰ τῶν λογισμῶν καὶ τοῦ συνειδότος. Εἰ δὲ μὴ εἶχον νόμον τὸν τοῦ συνειδότος, οὐδὲ ἀπολέσθαι αὐτοὺς ἁμαρτάνοντας ἔδει. Πῶς γάρ, εἰ ἀνόμως ἥμαρτον; Ἀλλ' ἀνόμως ὅταν εἴπῃ, οὐ τοῦτο λέγει, ὅτι οὐκ εἶχον νόμον, ἀλλ' ὅτι οὐκ εἶχον νόμον γραπτόν, τὸν δὲ τῆς φύσεως νόμον εἶχον. Καὶ πάλιν· Δόξα δέ, καὶ τιμή, καὶ εἰρήνη παντὶ τῷ ἐργαζομένῳ τὸ ἀγαθόν, Ἰουδαίῳ τε πρῶτον καὶ Ἕλληνι.

5. Ταῦτα δὲ ἔλεγε περὶ τῶν ἄνω χρόνων διαλεγόμενος τῶν πρὸ τῆς παρουσίας τοῦ Χριστοῦ. Καὶ Ἕλληνα ἐνταῦθα καλεῖ οὐ τὸν εἰδωλολάτρην, ἀλλὰ τὸν προσκυνοῦντα μὲν τὸν Θεὸν μόνον, οὐκ ἐνδεδεμένον δὲ τῇ τῶν Ἰουδαϊκῶν παρατηρήσεων ἀνάγκῃ, σαββατισμοῖς λέγω καὶ περιτομῇ, καὶ καθαρισμοῖς διαφόροις, ἀλλὰ φιλοσοφίαν καὶ εὐσέβειαν ἅπασαν ἐπιδεικνύμενον. Καὶ πάλιν περὶ τοῦ αὐτοῦ διαλεγόμενός φησι· «Θυμὸς καὶ ὀργή, θλῖψις καὶ στενοχωρία ἐπὶ πᾶσαν ψυχὴν ἀνθρώπου κατεργαζομένου τὸ κακόν, Ἰουδαίου τε πρῶτον καὶ Ἕλληνος».

Πάλιν ἐνταῦθα Ἕλληνα καλεῖ τὸν ἀπηλλαγμένον τῆς παρατηρήσεως τῆς Ἰουδαϊκῆς. Εἰ τοίνυν μήτε νόμου ἤκουσε, μήτε μετὰ Ἰουδαίων ἀνεστράφη, πῶς ἔσται αὐτῷ θυμός, καὶ ὀργή, καὶ θλῖψις ἐργαζομένῳ τὸ κακόν; Ἐπειδὴ συνειδὸς εἶχεν ἔνδον ἐνηχοῦν αὐτῷ, καὶ διδάσκον καὶ παιδεῦον ἅπαντα. Πόθεν δῆλον τοῦτο; Ἀφ' ὧν ἑτέρους ἁμαρτάνοντας ἐκόλασεν, ἀφ' ὧν νόμους ἔθηκεν, ἀφ' ὧν τὰ δικαστήρια ἐκάθισε. Τοῦτο γὰρ δηλῶν ὁ Παῦλος ἔλεγε περὶ

30. Ρωμ. 2, 12.
31. Αὐτόθι 10.
32. Ρωμ. 2, 9.

«Ὅσοι ἡμάρτησαν χωρὶς νόμον, χωρὶς νόμον καὶ θὰ καταδικασθοῦν· καὶ ὅσοι ἡμάρτησαν, ἐνῷ εἶχε δοθῇ εἰς αὐτοὺς ὁ γραπτὸς νόμος, βάσει τοῦ νόμου τούτου θὰ κριθοῦν»[30].

Τί σημαίνει «θὰ καταδικασθοῦν εἰς ἀπώλειαν χωρὶς νόμον»; Δὲν θὰ κατηγορῇ ὁ νόμος, ἀλλὰ ὁ λογισμὸς καὶ ἡ συνείδησίς των. Ἐὰν δὲν εἶχον νόμον, τὸν νόμον τῆς συνειδήσεως, δὲν ἔπρεπε νὰ καταδικασθοῦν εἰς ἀπώλειαν, ὅταν θὰ ἡμάρτανον. Διότι πῶς θὰ ἦτο δίκαιον νὰ τιμωρηθοῦν, ἀφοῦ δὲν θὰ εἶχον νόμον; Ἀλλὰ ὅταν λέγῃ ἀνόμως, δὲν ἐννοεῖ ὅτι δὲν εἶχαν νόμον, ἀλλὰ ὅτι δὲν εἶχαν γραπτὸν νόμον, ὅμως εἶχαν τὸν νόμον τῆς ἀνθρωπίνης φύσεως. Καὶ πάλιν· «Δόξα καὶ τιμὴ καὶ εἰρήνη θὰ δοθῇ εἰς καθένα ποὺ ἐργάζεται τὸ ἀγαθόν, εἰς τὸν Ἰουδαῖον πρῶτα καὶ εἰς τὸν ἐθνικόν»[31].

5. Αὐτὰ δὲ τὰ ἔλεγεν ὁμιλῶν διὰ τοὺς ἀνθρώπους ποὺ ἔζησαν εἰς τοὺς πρὸ τῆς παρουσίας τοῦ Χριστοῦ χρόνους. Καὶ Ἕλληνα ἐδῶ δὲν ἐννοεῖ τὸν εἰδωλολάτρην, ἀλλὰ ἐκεῖνον ποὺ προσκυνεῖ μόνον τὸν Θεὸν καὶ δὲν εἶναι προσκολλημένος εἰς τὰς Ἰουδαϊκὰς παρατηρήσεις ἀναγκαστικῶς, δηλαδὴ εἰς τὴν τήρησιν τῆς ἀργίας τοῦ Σαββάτου, τῆς περιτομῆς, τῶν διαφόρων καθαρισμῶν, ἀλλ' ἐπιδεικνύει φιλοσοφίαν καὶ κάθε εἶδος εὐσεβείας. Καὶ πάλιν ὁμιλῶν διὰ τὸ ἴδιον θέμα λέγει· «Θυμὸς καὶ ὀργή, θλῖψις καὶ στενοχωρία θὰ ἐπιπέσῃ εἰς κάθε ἄνθρωπον, ποὺ ἐργάζεται τὸ κακόν, τόσον εἰς τὸν Ἰουδαῖον κατὰ πρῶτον λόγον ὅσον καὶ εἰς τὸν Ἕλληνα»[32].

Ἐδῶ πάλιν Ἕλληνα ὀνομάζει ἐκεῖνον ποὺ εἶναι ἀπηλλαγμένος ἀπὸ τὰς ἰουδαϊκὰς ἀντιλήψεις. Ἂν λοιπὸν οὔτε νόμον ἤκουσε, μήτε συναναστράφη μὲ τοὺς Ἰουδαίους, πῶς θὰ εἶναι εἰς αὐτὸν θυμὸς καὶ ὀργὴ καὶ θλῖψις καὶ θὰ κάμῃ τὸ κακόν; Ἐπειδὴ μέσα του εἶχε τὴν συνείδησιν ποὺ τοῦ ἐφώναζε, ποὺ τὸν ἐδίδασκε καὶ τὸν διεφώτιζεν εἰς ὅλα. Ἀπὸ ποῦ φαίνεται τοῦτο; Ἀπὸ τὸ ὅτι ἐτιμώρησεν ἄλλους ποὺ ἡμάρτανον, ἀπὸ τὸ ὅτι ἔθεσε νόμους, ἀπὸ τὸ ὅτι ἵδρυσε τὰ δικαστήρια. Αὐτὸ θέλων νὰ φανερώσῃ ὁ Παῦλος ἔλεγε δι'

τῶν ἐν κακίᾳ ζώντων· «Οἵ τινες τὸ δικαίωμα τοῦ Θεοῦ ἐπιγνόντες, ὅτι οἱ τὰ τοιαῦτα πράσσοντες ἄξιοι θανάτου εἰσίν, οὐ μόνον αὐτὰ ποιοῦσιν, ἀλλὰ καὶ συνδοκοῦσι τοῖς πράσσουσι».

Καὶ πόθεν ᾔδεισαν, φησίν, ὅτι θέλημα Θεοῦ ἐστι τοὺς ἐν πονηρίᾳ ζῶντας θανάτῳ κολάζεσθαι; Πόθεν; Ἐξ ὧν ἑτέροις ἐδίκαζον ἁμαρτάνουσιν. Εἰ γὰρ μὴ νομίζεις κακὸν εἶναι τὸν φόνον, ἐπειδὰν λάβῃς ἀνδροφόνον, ὑπὸ τῇ σῇ ψήφῳ μὴ κολάσῃς· εἰ μὴ νομίζεις κακὸν εἶναι τὸ μοιχεύειν, ἐπειδὰν ἐμπέσῃ μοιχός, ἄφες αὐτὸν τῆς τιμωρίας. Εἰ δὲ ἐν τοῖς ἑτέρων ἁμαρτήμασι καὶ νόμους γράφεις, καὶ τιμωρίας ὁρίζεις, καὶ ἀκριβὴς εἶ δικαστής, ποίαν ἂν σχοίης ἀπολογίαν ἐν οἷς αὐτὸς ἁμαρτάνεις, λέγων ἀγνοεῖν τὰ πρακτέα; Ἐμοίχευσας καὶ σὺ κἀκεῖνος. Τίνος οὖν ἕνεκεν ἐκεῖνον μὲν κολάζεις, σαυτὸν δὲ συγγνώμης ἀξιοῖς; Εἰ γὰρ μὴ ᾔδεις κακὸν εἶναι τὴν μοιχείαν, οὐδὲ ἕτερον τιμωρεῖσθαι ἔδει· εἰ δὲ ἕτερον μὲν κολάζεις, σὺ δὲ νομίζεις διαφεύγειν τὴν κόλασιν, πῶς ἂν ἔχοι λόγον τῶν αὐτῶν ἁμαρτημάτων μὴ τὰς αὐτὰς διδόναι δίκας;

Τοῦτο γοῦν αὐτὸν ἐγκαλῶν ὁ Παῦλος ἔλεγε· «Λογίζῃ δὲ τοῦτο, ὦ ἄνθρωπε, ὁ κρίνων τοὺς τὰ τοιαῦτα πράσσοντας καὶ ποιῶν αὐτά, ὅτι σὺ ἐκφεύξῃ τὸ κρίμα τοῦ Θεοῦ;» Οὐκ ἔστι τοῦτο, οὐκ ἔστιν· ἀπὸ γὰρ τῆς ψήφου, φησίν, ἧς ἤνεγκας καθ' ἑτέρου, ἀπὸ ταύτης σοι κρινεῖ ὁ Θεὸς τότε. Οὐ γὰρ δήπου σὺ μὲν δίκαιος, ὁ δὲ Θεὸς ἄδικος. Εἰ γὰρ σὺ οὐ περιορᾷς ἕτερον ἀδικούμενον, πῶς ὁ Θεὸς περιόψεται; Εἰ σὺ διορθεῖς τὰ ἑτέρων ἁμαρτήματα, πῶς ὁ Θεὸς οὐ διορθώσεταί σε; Εἰ δὲ οὐ παρὰ πόδας ἐπάγει σοι τὴν τιμωρίαν, μὴ θάρρει διὰ τοῦτο, ἀλλὰ φοβοῦ μειζόνως.

---

33. Ρωμ. 1, 32.
34. Ρωμ. 2, 3.

ἐκείνους ποὺ ζοῦν εἰς τὴν κακίαν· «Αὐτοὶ ἂν καὶ ἐγνώρισαν καλῶς ἐκεῖνο ποὺ ὁ Θεὸς ἐπρόσταξεν ὡς δίκαιον, ὅτι δηλαδὴ ὅσοι πράττουν αὐτά, ἀλλὰ καὶ ἐπιδοκιμάζουν ἐκείνους ποὺ τὰ πράττουν, εἶναι ἄξιοι θανάτου»[33].

Καὶ ἀπὸ ποῦ ἐγνώριζεν, λέγει, ὅτι εἶναι θέλημα Θεοῦ ὅσοι ζοῦν εἰς τὴν πονηρίαν νὰ τιμωροῦνται διὰ θανάτου; Ἀπὸ ποῦ; Ἀπὸ τὸ ὅτι ἐτιμωροῦσαν ἄλλους ποὺ ἡμάρτανον. Διότι ἐὰν δὲν νομίζῃς ὅτι εἶναι κακὴ πρᾶξις ὁ φόνος, ὅταν συλλάβῃς κάποιον ποὺ ἔκαμε φόνον, μὴ τὸν τιμωρήσῃς· ἐὰν δὲν θεωρῇς τὴν μοιχείαν ὡς κακὴν πρᾶξιν, ὅταν κάποιος πέσῃ εἰς αὐτήν, ἀπάλλαξέ τον ἀπὸ τὴν τιμωρίαν. Ἐὰν δὲ συντάσσῃς νόμους δι' ἁμαρτήματα ἄλλων καὶ ὁρίζῃς τιμωρίας, καὶ εἶσαι δίκαιος δικαστής, ποίαν δικαιολογίαν θὰ προβάλλῃς διὰ τὰ ἰδικά σου ἁμαρτήματα, λέγων ὅτι ἀγνοεῖς τὰ πρακτέα; Ἐμοίχευσες καὶ σὺ καὶ ἐκεῖνος. Διὰ ποῖον λόγον ἐκεῖνον μὲν κολάζεις, διὰ τὸν ἑαυτόν σου δὲ ἔχεις τὴν ἀξίωσιν νὰ συγχωρηθῇς; Διότι ἐὰν δὲν ἐγνώριζες ὅτι εἶναι κακὴ πρᾶξις ἡ μοιχεία τότε οὔτε τὸν ἄλλον ἔπρεπε νὰ τιμωρῇς· ἐὰν δὲ ἄλλον τιμωρῇς, σὺ δὲ ποὺ διέπραξες τὸ ἴδιον ἁμάρτημα, νομίζεις ὅτι πρέπει νὰ ἀποφύγῃς τὴν τιμωρίαν, τότε πῶς θὰ δικαιολογηθῇ τὸ φαινόμενον διὰ τὰ ἴδια ἁμαρτήματα νὰ μὴ ἐπιβάλλῃς τὰς ἰδίας τιμωρίας;

Τοῦτο ἐπικρίνων καὶ ὁ Παῦλος ἔλεγε· «Φαντάζεσαι δὲ τοῦτο, ἄνθρωπε, σὺ ποὺ κρίνεις μὲν ἐκείνους ποὺ κάμουν τέτοια ἄτοπα ἔργα, καὶ ὅμως πράττεις καὶ σὺ αὐτά, ὅτι σὺ θὰ ἀποφύγῃς τὴν καταδίκην τοῦ Θεοῦ;»[34]. Δὲν εἶναι δυνατὸν τοῦτο, δὲν εἶναι· διότι ἀπὸ τὴν ἀπόφασιν ποὺ ἔλαβες διὰ τὸν ἄλλον ἀπὸ αὐτὴν θὰ σὲ κρίνῃ ὁ Θεὸς τότε· διότι δὲν εἶναι δυνατὸν σὺ μὲν νὰ εἶσαι δίκαιος, ὁ δὲ Θεὸς ἄδικος. Διότι ἐὰν σὺ δὲν παραβλέπῃς ἄλλον, ὅταν ἀδικῆται, πῶς θὰ τὸν παραβλέψῃ ὁ Θεός; Ἐὰν σὺ τιμωρῇς τὰ ἁμαρτήματα τῶν ἄλλων, πῶς ὁ Θεὸς δὲν θὰ τιμωρήσῃ σέ, ὅταν ἁμαρτάνῃς; Ἐὰν δὲ δὲν σὲ τιμωρῇ εὐθὺς ἀμέσως, μὴ παίρνεις θάρρος ἀπὸ αὐτό, ἀλλὰ περισσότερον νὰ φοβᾶσαι.

Οὕτω καὶ Παῦλος ἐκέλευσε λέγων· «Ἢ τοῦ πλούτου τῆς χρηστότητος αὐτοῦ, καὶ τῆς ἀνοχῆς, καὶ τῆς μακροθυμίας καταφρονεῖς, ἀγνοῶν ὅτι τὸ χρηστὸν τοῦ Θεοῦ εἰς μετάνοιάν σε ἄγει;». Διὰ γὰρ τοῦτο ἀνέχεται, φησίν, οὐχ ἵνα χείρων γένῃ, ἀλλ᾽ ἵνα μετανοήσῃς· εἰ δὲ μὴ βούλει, κολάσεως μείζονος ἐφόδιον ἡ μακροθυμία σοι γίνεται ἀμετανοήτῳ μένοντι. Καὶ τοῦτο γοῦν αὐτὸ δηλῶν ἔλεγε· «Κατὰ δὲ τὴν σκληρότητά σου καὶ ἀμετανόητον καρδίαν, θησαυρίζεις σεαυτῷ ὀργὴν ἐν ἡμέρᾳ ὀργῆς, καὶ ἀποκαλύψεως, καὶ δικαιοκρισίας τοῦ Θεοῦ, ὃς ἀποδώσει ἑκάστῳ κατὰ τὰ ἔργα αὐτοῦ».

Ἐπεὶ οὖν ἑκάστῳ κατὰ τὰ ἔργα ἀποδίδωσι, καὶ νόμον διὰ τοῦτο φυσικὸν ἡμῖν ἐνέθηκε, καὶ γραπτὸν ὕστερον ἔδωκεν, ἵνα εὐθύνας ἀπαιτήσῃ τῶν ἁμαρτημάτων, ἵνα κατορθοῦντας στεφανώσῃ· μετὰ πολλῆς οὖν τῆς σπουδῆς, καὶ ὥσπερ εἰς δικαστήριον ἀπαντήσεσθαι μέλλοντες φοβερόν, τὰ καθ᾽ ἑαυτοὺς οἰκονομήσωμεν, εἰδότες ὡς οὐδεμιᾶς ἀπολαύσομεν συγγνώμης, εἰ μετὰ φυσικὸν καὶ γραπτὸν νόμον, καὶ διδασκαλίαν τοσαύτην, καὶ συνεχῆ παραίνεσιν, τῆς ἡμετέρας ἀμελήσαιμεν σωτηρίας.

6. Βούλομαι οὖν πάλιν περὶ τῶν ὅρκων ὑμῖν διαλεχθῆναι, αἰσχύνομαι δέ. Ἐμοὶ μὲν γὰρ οὐκ ἔστιν ἐπαχθές, καὶ ἐν ἡμέρᾳ καὶ ἐν νυκτὶ τὰ αὐτὰ πρὸς ὑμᾶς λέγειν, δέδοικα δὲ μὴ τὰς πολλὰς ταύτας ἡμέρας ὑμῖν παρακολουθήσας, πολλὴν ὑμῶν καταγνῶ ῥᾳθυμίαν περὶ πράγματος οὕτως εὐκόλου διηνεκῶς δεομένων ὑπομνήσεως. Οὐκ αἰσχύνομαι δὲ μόνον, ἀλλὰ καὶ δέδοικα περὶ ὑμῶν· ἡ γὰρ συνεχὴς διδα-

35. Ρωμ. 2, 4.
36. Ρωμ. 2, 5-6.

Τοῦτο καὶ ὁ Παῦλος διέταξε λέγων· «Ἢ καταφρονεῖς τὸν πλοῦτον τῆς ἀγαθότητος καὶ ἀνεκτικότητος καὶ μακροθυμίας ποὺ δείχνει εἰς σέ, χωρὶς νὰ λαμβάνῃς ἐνδιαφέρον νὰ μάθῃς ὅτι τὸ νὰ σὲ εὐεργετῇ ὁ Θεός, ἀντὶ νὰ ἐξαπολύσῃ τὴν ὀργήν του κατὰ σοῦ διὰ τὰς κακὰς πράξεις σου, πρέπει νὰ σὲ παρακινῇ καὶ σὲ ὁδηγῇ εἰς μετάνοιαν;»[35]. Διὰ τοῦτο σὲ ἀνέχεται, λέγει, ὄχι διὰ νὰ γίνῃς χειρότερος, ἀλλὰ διὰ νὰ μετανοήσῃς· ἐὰν δὲ δὲν θέλῃς, τότε ἡ μακροθυμία τοῦ Θεοῦ θὰ σοῦ γίνῃ αἰτία μεγαλυτέρας τιμωρίας, ἀφοῦ μένεις ἀμετανόητος. Καὶ διδάσκων αὐτὸ ἔλεγε· «Σύμφωνα δὲ μὲ τὴν σκληρότητά σου καὶ τὴν ἀμετανόητον καρδίαν σου, μαζεύεις κατὰ τοῦ ἑαυτοῦ σου θησαυροὺς ὀργῆς, ποὺ θὰ ἐξαπολυθοῦν ἐναντίον σου κατὰ τὴν ἡμέραν κατὰ τὴν ὁποίαν θὰ ἐκσπάσῃ ἡ θεία ὀργὴ καὶ θὰ ἀποκαλυφθῇ ἡ δικαία κρίσις τοῦ Θεοῦ, ὁ ὁποῖος θὰ ἀποδώσῃ εἰς τὸν καθένα κατὰ τὰ ἔργα του»[36].

Ἀφοῦ λοιπὸν θὰ ἀποδώσῃ εἰς τὸν καθένα κατὰ τὰ ἔργα του καὶ νόμον φυσικὸν διὰ τοῦτο ἐνέθηκεν ἐντὸς ἡμῶν, καὶ γραπτὸν ἔδωκεν ὕστερα, διὰ νὰ ζητήσῃ εὐθύνας τῶν ἁμαρτημάτων, καὶ νὰ ἀνταμείψῃ ἐκείνους ποὺ θὰ ζήσουν μὲ ἀρετήν· λοιπὸν μὲ πολλὴν προθυμίαν, καὶ ὡσὰν νὰ ἐπρόκειτο νὰ ἐμφανισθῶμεν εἰς φοβερὸν δικαστήριον, ἂς τακτοποιήσωμεν τὸν ἑαυτόν μας, ἔχοντες ὑπ' ὄψιν ὅτι δὲν θὰ τύχωμεν καμμίας δικαιολογίας ἐάν, ὕστερα ἀπὸ τὸν φυσικὸν καὶ γραπτὸν νόμον καὶ τόσην διδασκαλίαν καὶ συνεχῶν συμβουλῶν, ἠθέλαμεν ἀμελήσει διὰ τὴν σωτηρίαν μας.

6. Θέλω δὲ πάλιν νὰ σᾶς ὁμιλήσω διὰ τοὺς ὅρκους, ὅμως ἐντρέπομαι. Εἰς ἐμὲ δὲν εἶναι κοπιαστικὸν καὶ τὴν ἡμέραν καὶ τὴν νύκτα τὰ ἴδια νὰ σᾶς λέγω, φοβοῦμαι ὅμως μήπως ἡ συνεχὴς αὐτὴ διδασκαλία θεωρηθῇ ὡς ἔλεγχος μεγάλης ραθυμίας, ἀφοῦ διὰ τόσον εὔκολον πρᾶγμα ἔχετε ἀνάγκην συνεχοῦς ὑπενθυμίσεως. Δὲν ἐντρέπομαι δὲ μόνον, ἀλλὰ καὶ φοβοῦμαι δι' ἐσᾶς· διότι ἡ συνεχὴς διδασκαλία εἰς ἐκείνους ποὺ προσέχουν εἶναι σωτήριον καὶ ὠφέλιμον

σκαλία τοῖς μὲν προσέχουσι σωτήριον καὶ χρήσιμον, τοῖς δὲ ῥαθυμοῦσι βλαβερὸν καὶ ἐπικίνδυνον. Καὶ γὰρ ὅσωπερ ἂν τις πλεονάκις ἀκούσῃ, τοσούτῳ μᾶλλον ἐπισπᾶται τὴν κόλασιν μὴ ποιῶν τὰ λεγόμενα. Τοῦτο γοῦν καὶ Ἰουδαίοις ὀνειδίζων ἔλεγεν ὁ Θεός· «Ἀπέστειλα τοὺς προφήτας μου ὀρθρίζων, καὶ ἀποστέλλων, καὶ οὐδὲ οὕτως εἰσηκούσατε».

Ἡμεῖς μὲν οὖν ἀπὸ πολλῆς κηδεμονίας τοῦτο ποιοῦμεν, δεδοίκαμεν δὲ μὴ κατὰ τὴν ἡμέραν ἐκείνην τὴν φοβερὰν ἀντικαταστῇ πᾶσιν ὑμῖν ἡ παραίνεσις αὕτη καὶ ἡ συμβουλή. Ὅταν γὰρ καὶ τὸ κατόρθωμα εὔκολον ᾖ, καὶ ὁ συνεχῶς ὑπομιμνήσκων μὴ διαλιμπάνῃ, ποίαν ἕξομεν ἀπολογίαν εἰπεῖν; ἢ τίς ἡμᾶς ἐξαιρήσεται τῆς κολάσεως λόγος; Εἰπὲ γάρ μοι, ἂν ἀργύριόν σοι χρεωστούμενον τύχῃ, οὐκ ἀεὶ συντυγχάνων τῷ ὀφείλοντι ἀναμιμνήσκεις τοῦ δανείσματος; Τοῦτο καὶ σὺ ποίησον, καὶ ἕκαστος νομιζέτω τὸν πλησίον ἀργύριον ὀφείλειν αὐτῷ, τὴν ἐκπλήρωσιν τῆς ἐντολῆς ταύτης, καὶ ἀπαντῶν ὑπὲρ τῆς ἐκτίσεως αὐτὸν ἀναμιμνησκέτω, εἰδὼς ὡς οὐ μικρὸς ἡμῖν ἀπόκειται κίνδυνος τῶν ἀδελφῶν οὐκ ἐπιμελουμένοις.

Διὰ τοῦτο καὶ ἐγὼ τὰ αὐτὰ λέγων οὐ παύσομαι. Δέδοικα γὰρ μήποτε κατ' ἐκείνην ἀκούσω τὴν ἡμέραν· «Πονηρὲ δοῦλε καὶ ὀκνηρέ, ἔδει σε καταβαλεῖν τὸ ἀργύριόν μου ἐπὶ τοὺς τραπεζίτας». Ἰδοὺ γοῦν κατέβαλον οὐχ ἅπαξ, οὐδὲ δίς, ἀλλὰ πολλάκις· ὑμῶν ἐστι λοιπὸν τὸν τόκον ἐπιδείξασθαι· τόκος δὲ ἀκροάσεως, ἡ διὰ τῶν ἔργων ἐπίδειξις· καὶ γὰρ δεσποτικὰ τὰ καταβαλλόμενα. Μὴ τοίνυν παρέργως ὑποδεξώμεθα, ἀλλὰ μετὰ ἀκριβείας κατέχωμεν τὴν παρακαταθήκην, ἵνα μετὰ πολλῆς τῆς ἐργασίας αὐτὴν ἀποδῶμεν κατὰ τὴν ἡμέραν ἐκείνην. Ἐὰν γὰρ μὴ καὶ ἑτέρους εἰς τὸ αὐτὸ ἐναγάγῃς κατόρθωμα, ἀκούσῃ τῆς φωνῆς ἐκείνης ἧς ἤκουσεν ὁ τὸ τάλαντον κατορύξας. Ἀλλὰ μὴ γένοιτο ταύτης,

---

37. Ἱερ. 25, 4.
38. Ματθ. 25, 26-27.

πρᾶγμα, εἰς ἐκείνους ὅμως ποὺ ραθυμοῦν εἶναι βλαβερὸν καὶ ἐπικίνδυνον. Καθ' ὅσον ὅσον περισσότερον θὰ ἀκούσῃ κανεὶς αὐτήν, τόσον περισσότερον θὰ τιμωρηθῇ, ἂν δὲν ἐφαρμόσῃ ὅσα ἀκούει. Διὰ τοῦτο ἐλέγχων ὁ Θεὸς τοὺς Ἰουδαίους ἔλεγεν· «Ἀπέστειλα τοὺς προφήτας μου πολὺ πρωί, καὶ πολλὲς φορὲς οὔτε καὶ ἔτσι ἠκούσατε ὅσα σᾶς εἶπα»[37].

Ἡμεῖς ὅμως ἀπὸ μεγάλον ἐνδιαφέρον κάμνομεν τοῦτο, φοβούμεθα δὲ μήπως κατὰ τὴν ἡμέραν ἐκείνην τὴν φοβερὰν τῆς κρίσεως παρουσιασθῇ ὡς κατήγορος ἡ παραίνεσις αὐτὴ καὶ ἡ συμβουλή. Διότι ὅταν εἶναι τόσον εὔκολον τὸ κατόρθωμα αὐτό, καὶ ἡ ὑπόμνησις αὐτοῦ τόσον συνεχής, πῶς θὰ ἠμπορέσωμεν νὰ ἀπολογηθῶμεν; Ἢ ποία δικαιολογία θὰ μᾶς ἀπαλλάξῃ ἀπὸ τὴν τιμωρίαν; Διότι, εἰπέ μου, ἂν ἕνας σοῦ χρεωστᾷ χρήματα, τὰ ὁποῖα τοῦ ἐδάνεισες, δὲν τὸν ὑπενθυμίζεις συνεχῶς τὸ δάνειον ὅταν τὸν συναντᾷς; Τὸ ἴδιον νὰ κάμῃς καὶ σύ, καὶ κάθε ἕνας νὰ θεωρῇ ὅτι ὁ πλησίον του τοῦ ὀφείλει χρήματα, δηλαδὴ τὴν ἐκπλήρωσιν τῆς ἐντολῆς αὐτῆς, καὶ ὅταν τὸν συναντᾷ νὰ τοῦ ὑπενθυμίζῃ διὰ τὴν πληρωμὴν αὐτήν, διότι πρέπει νὰ γνωρίζῃ ὅτι δὲν μᾶς περιμένει μικρὰ τιμωρία ὅταν δὲν φροντίζωμεν διὰ τοὺς ἀδελφούς μας.

Διὰ τοῦτο καὶ ἐγὼ δὲν θὰ παύσω νὰ λέγω τὰ ἴδια πάντοτε. Διότι φοβοῦμαι μήπως κατ' ἐκείνην τὴν ἡμέραν ἀκούσω· «Πονηρὲ δοῦλε καὶ ὀκνηρέ, ἔπρεπε νὰ καταθέσῃς τὰ χρήματά μου εἰς τοὺς τραπεζίτας»[38]. Ἰδοὺ λοιπὸν κατέθεσα ὄχι μίαν φοράν, οὔτε δύο, ἀλλὰ πολλάκις· εἰς σᾶς ἀνήκει πλέον νὰ δείξετε τοὺς τόκους· τόκος δὲ ἀκροάσεως εἶναι ἡ ἐπίδειξις πράξεων· διότι ὅσα κατεθέσαμεν εἶναι Δεσποτικά. Ἂς μὴ τὰ ὑποδεχθῶμεν λοιπὸν μὲ ἀμέλειαν, ἀλλὰ μὲ μεγάλην ἀκρίβειαν ἂς κατέχωμεν τὴν παρακαταθήκην αὐτήν, ὥστε μὲ πολὺ κέρδος προερχόμενον ἀπὸ τὴν ἐργασίαν μας νὰ ἀποδώσωμεν αὐτὴν κατὰ τὴν ἡμέραν ἐκείνην. Καὶ ἂν δὲν κάμῃς καὶ ἄλλους νὰ κάμουν τὸ ἴδιον, θὰ ἀκούσῃς τὴν φωνὴν ἐκείνην ποὺ ἤκουσε καὶ ἐκεῖνος ποὺ ἔκρυψε μέσα εἰς τὴν γῆν τὸ τάλαντον. Ἀλλὰ εἴθε νὰ μὴ ἀκούσετε αὐτήν,

ἀλλὰ τῆς ἄλλης ὑμᾶς ἀκοῦσαι φωνῆς ἣν πρὸς τὸν ἐργασάμενον ἀφῆκε λέγων ὁ Χριστός· «Εὖ, δοῦλε ἀγαθὲ καὶ πιστέ, ἐπὶ ὀλίγα ἧς πιστός, ἐπὶ πολλῶν σε καταστήσω».

Ταύτης δὲ ἀκουσόμεθα τῆς φωνῆς, ἂν τὴν αὐτὴν ἐκείνῳ σπουδὴν ἐπιδειξώμεθα· τὴν αὐτὴν δὲ ἐπιδειξόμεθα σπουδήν, ἐὰν τοῦτο ὃ λέγω ποιήσωμεν. Ἔτι θερμῆς οὔσης τῆς ἀκροάσεως ἐν ὑμῖν ἐξελθόντες παρακελεύεσθε ἀλλήλοις, καθάπερ ἕκαστος μετὰ προσηγορίας διαλύεσθε, οὕτω μετὰ παραγγελίας ἕκαστος οἴκοδε ἀναχωρείτω, καὶ τῷ πλησίον λεγέτω, σκόπει καὶ μέμνησο ὅπως φυλάξῃς τὴν ἐντολήν, καὶ πάντως περιεσόμεθα. Ὅταν γὰρ φίλοι παραπέμπωσι μετὰ τοιαύτης συμβουλῆς, καὶ οἴκοι γενόμενον ἡ γυνὴ πάλιν τὰ αὐτὰ ἀναμιμνήσκῃ, καὶ μόνους ὄντας ὁ λόγος ὁ ἡμέτερος κατέχῃ, ταχέως ἀποκρουσόμεθα τὴν πονηρὰν συνήθειαν ταύτην.

Οἶδα μὲν ὅτι θαυμάζετε τίνος ἕνεκεν τοσαύτην ὑπὲρ τῆς ἐντολῆς ταύτης ποιοῦμαι σπουδήν· κατορθώσατε δὲ τὸ ἐπιταχθέν, καὶ τότε ἐρῶ. Τέως μὲν γὰρ ἐκεῖνο λέγω, ὅτι νόμος ἐστὶ θεῖος τὸ ἐπίταγμα τοῦτο, καὶ παραβῆναι αὐτὸν οὐκ ἀσφαλές· ἐὰν δὲ ἴδω κατορθωθέν, καὶ ἑτέραν ὑμῖν αἰτίαν ἐρῶ οὐκ ἐλάττονα ταύτης, ἵνα μάθητε ὅτι δικαίως τοσαύτην ὑπὲρ τοῦ νόμου τούτου ποιοῦμαι σπουδήν· ὥρα δὲ λοιπὸν εἰς εὐχὴν καταλῦσαι τὸν λόγον.

Κοινῇ τοίνυν πάντες εἴπωμεν· ὁ Θεὸς ὁ μὴ θέλων τὸν θάνατον τοῦ ἁμαρτωλοῦ, ὡς τὸ ἐπιστρέψαι αὐτὸν καὶ ζῆν, καὶ τοῦτον καὶ τοὺς λοιποὺς νόμους ἅπαντας καταξίωσον ἡμᾶς ἐξανύσαντας, οὕτω παραστῆναι τῷ βήματι τοῦ Χριστοῦ σου, ἵνα παρρησίας πολλῆς ἀπολαύσαντες, τῆς βασιλείας ἐπιτύχωμεν εἰς δόξαν σήν, ὅτι σοὶ πρέπει δόξα, ἅμα τῷ μονογενεῖ σου Παιδὶ καὶ τῷ ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

---

39. Ματθ. 25, 21.

ἀλλὰ τὴν ἄλλην φωνὴν τὴν ὁποίαν ἄφησε πρὸς τὸν ἐργασάμενον ὁ Χριστὸς λέγων· «Εὖγε, δοῦλε, ἀγαθὲ καὶ πιστέ, εἰς ὀλίγα ἤσουν πιστός, εἰς πολλὶ θὰ σὲ ἐγκαταστήσω»[39].

Αὐτὴν δὲ τὴν φωνὴν θὰ ἀκούσωμεν, ἂν ἐπιδείξωμεν τὴν ἰδίαν μὲ ἐκεῖνον σπουδήν· θὰ ἐπιδείξωμεν δὲ τὴν ἰδίαν σπουδήν, ἐὰν κάμωμεν αὐτὸ τὸ ὁποῖον λέγω. Ἐνῷ δηλαδὴ ἀκόμη θὰ ἠχοῦν τὰ λόγια μου εἰς τὰ αὐτιά σας, ὅταν ἐξέλθετε ἐκ τοῦ ἱεροῦ ναοῦ, νὰ προτρέπετε ὁ ἕνας τὸν ἄλλον περὶ αὐτῆς καὶ ὅπως τώρα διαλύεσθε καὶ χαιρετᾷ ὁ ἕνας τὸν ἄλλον, ἔτσι καὶ μετὰ τὴν ἀναχώρησιν διὰ τὰ σπίτια σας νὰ δίδετε παραγγελίαν ὁ ἕνας εἰς τὸν ἄλλον, καὶ νὰ λέγῃ εἰς τὸν πλησίον, πρόσεξε καὶ ἐνθυμήσου νὰ φυλάξῃς τὴν ἐντολήν, καὶ ὁπωσδήποτε θὰ τὸ ἐπιτύχωμεν. Διότι ὅταν οἱ φίλοι προπέμπουν κάποιον μὲ τέτοιαν συμβουλήν, καὶ ὅταν φθάσῃ εἰς τὸ σπίτι ἡ γυναῖκα του πάλιν τὰ ἴδια τοῦ ὑπενθυμίζει, καὶ ὅταν εἴμεθα μόνοι τὰ ἴδια σκεπτώμεθα, σύντομα θὰ ἀποκρούσωμεν τὴν πονηρὰν αὐτὴν συνήθειαν.

Καὶ γνωρίζω μὲν ὅτι ἀπορεῖτε διατί τόσην ἐπιμονὴν ἐπιδεικνύω διὰ τὴν ἐντολὴν αὐτήν· κατορθώσατε ὅμως τοῦτο καὶ τότε θὰ σᾶς τὸ εἰπῶ. Ἕως τότε ὅμως μόνον τοῦτο λέγω, ὅτι τὸ ἐπίταγμα αὐτὸ εἶναι θεῖος νόμος καὶ δὲν συμφέρει νὰ τὸν παραβῇ κανείς· ἂν δὲ διαπιστώσω ὅτι ἐτηρήσατε αὐτὴν τὴν ἐντολήν, θὰ σᾶς εἰπῶ καὶ ἄλλον λόγον ὄχι μικρότερον εἰς σημασίαν, διὰ νὰ μάθετε ὅτι δικαίως τόσον διὰ τὴν ἐντολὴν αὐτὴν ἐπιμένω καὶ ἐνδιαφέρομαι· εἶναι ὅμως τώρα καιρὸς νὰ τελειώσωμεν τὴν ὁμιλίαν μὲ προσευχήν.

Ἂς εἴπουμεν λοιπὸν ἀπὸ κοινοῦ ὅτι: ὁ Θεὸς ὁ ὁποῖος δὲν θέλει τὸν θάνατον τοῦ ἁμαρτωλοῦ, ἀλλὰ τὸ νὰ μετανοήσῃ καὶ νὰ ζῇ ἐνάρετα, ἀξίωσέ μας καὶ τοῦτον καὶ ὅλους τοὺς ἄλλους νόμους νὰ ἐφαρμόσωμεν καὶ ἔτσι νὰ παρασταθῶμεν εἰς τὸ βῆμα τοῦ Χριστοῦ σου ὥστε ἀφοῦ λάβωμεν παρρησίαν πολλὴν νὰ ἐπιτύχωμεν τὴν οὐράνιον βασιλείαν εἰς δόξαν σου, διότι εἰς σὲ πρέπει δόξα, συγχρόνως καὶ εἰς τὸν μονογενῆ σου Υἱὸν καὶ εἰς τὸ ἅγιον Πνεῦμα, τώρα καὶ πάντοτε καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ΟΜΙΛΙΑ ΔΕΚΑΤΗ ΤΡΙΤΗ

ΕΥΧΑΡΙΣΤΙΑ ΠΡΟΣ ΤΟΝ ΘΕΟΝ

περὶ τῆς μεταβολῆς τῶν σκυθρωπῶν καὶ ἀνάμνησις τῶν διὰ τὴν στάσιν διασυρέντων καὶ τιμωρηθέντων· ὁμοίως δὲ πάλιν περὶ τῆς τοῦ ἀνθρώπου δημιουργίας· καὶ ὅτι φυσικὸν νόμον ἐδέξατο· καὶ περὶ τοῦ τελείως κατορθῶσαι τὸ μὴ ὀμνύειν.

1. Ἀπὸ τῆς αὐτῆς ἀρχῆς καὶ τῶν αὐτῶν προοιμίων, ὧν χθὲς καὶ πρὸ ἐκείνης ἠρξάμην, καὶ σήμερον ἄρξομαι· ἐρῶ καὶ νῦν· εὐλογητὸς ὁ Θεός. Οἵαν τὴν παρελθοῦσαν εἴδομεν τετράδα, καὶ οἵαν τὴν παροῦσαν ὁρῶμεν νῦν; Πόσος ἐν ἐκείνῃ ζόφος τότε ἦν; Πόση κατὰ τὴν παροῦσαν γαλήνη νῦν κατὰ τὴν ἡμέραν ταύτην; Τὸ φοβερὸν ἐκεῖνο γέγονεν ἐν τῇ πόλει δικαστήριον, καὶ τὰς καρδίας ἁπάντων διέσεισε, καὶ νυκτὸς οὐδὲν ἄμεινον διακεῖσθαι ἐποίησε τὴν ἡμέραν, οὐ τῆς ἀκτῖνος σβεσθείσης, ἀλλὰ τῆς ἀθυμίας καὶ τοῦ φόβου πηρωσάντων ὑμῶν τοὺς ὀφθαλμούς. Ἵν᾿ οὖν καὶ ἡμεῖς πλείονα καρπωσώμεθα τὴν ἡδονήν, μικρὰ τῶν τότε συμβάντων διηγήσασθαι βούλομαι. Καὶ γὰρ καὶ ὑμῖν καὶ τοῖς γενησομένοις ἅπασι χρησίμην ὁρῶ τὴν τούτων διήγησιν οὖσαν.

Ἐπεὶ καὶ τοῖς ἐκ ναυαγίου διασωθεῖσιν ἡδὺ τῶν κυμάτων μεμνῆσθαι, καὶ τῆς ζάλης, καὶ τῶν ἀνέμων, ἐπειδὰν εἰς λιμένα καταπλεύσωσι· καὶ τοῖς ἀρρωστίᾳ περιπεσοῦσι ποθεινὸν μετὰ τὴν ἀρρωστίαν τοὺς πυρετούς, δι᾿ οὓς παρὰ μικρὸν ἦλθον ἀποθανεῖν, διηγεῖσθαι πρὸς ἑτέρους. Ὅταν γὰρ προέλθῃ τὰ δεινά, ἡδονὴν ἔχει τῶν δεινῶν ἡ διήγησις, τῆς ψυχῆς οὐκ ἔτι δεδοικυίας, ἀλλὰ μείζονα καρπουμένης

ΟΜΙΛΙΑ ΔΕΚΑΤΗ ΤΡΙΤΗ

ΕΥΧΑΡΙΣΤΙΑ ΑΚΟΜΗ ΠΡΟΣ ΤΟΝ ΘΕΟΝ

διὰ τὴν μεταβολὴν τῶν λυπηρῶν· καὶ ὑπενθύμισις ἐκείνων οἱ ὁποῖοι συνελήφθησαν καὶ ἐτιμωρήθησαν ἐξ αἰτίας τῆς στάσεως· ὁμοίως δὲ πάλιν περὶ τῆς δημιουργίας τοῦ ἀνθρώπου· καὶ ὅτι φυσικὸν νόμον ἐδέχθη· καὶ περὶ τοῦ νὰ ἐπιτύχωμεν τελείως νὰ μὴ ὁρκιζώμεθα.

1. Ἀπὸ τὴν ἰδίαν ἀρχὴν καὶ τὰ ἴδια προοίμια, ἀπὸ τὰ ὁποῖα ἤρχισα χθὲς καὶ προχθές, θὰ ἀρχίσω καὶ σήμερα· θὰ εἰπῶ καὶ τώρα· εὐλογητὸς ὁ Θεός. Ποίαν ὄψιν εἶχεν ἡ περασμένη Τετάρτη καὶ ποίαν ἔχει ἡ σημερινή; Πόσον σκότος ὑπῆρχε τότε; πόση γαλήνη τώρα κατὰ τὴν σημερινήν; Τὸ φοβερὸν ἐκεῖνο δικαστήριον ἔγινε κατὰ τὴν ἡμέραν ἐκείνην, καὶ συνετάραξε τὰς καρδίας ὅλων καὶ ἔγινεν ἔτσι ὥστε ἡ ἡμέρα νὰ μὴ διαφέρῃ καθόλου ἀπὸ τὴν νύκτα, ὄχι ἐπειδὴ ἐχάθησαν αἱ ἀκτῖνες τοῦ ἡλίου, ἀλλὰ ἐπειδὴ ἡ λύπη καὶ ὁ φόβος ἐτύφλωσαν τοὺς ὀφθαλμούς σας. Διὰ νὰ ἀπολαύσωμεν καὶ ἡμεῖς μεγάλην εὐχαρίστησιν, θέλω νὰ σᾶς διηγηθῶ ὀλίγα ἀπὸ ἐκεῖνα ποὺ συνέβησαν τότε. Διότι εἰς σᾶς καὶ εἰς τοὺς μεταγενεστέρους ὅλους νομίζω ὅτι ἡ διήγησις αὐτῶν θὰ εἶναι χρησίμη.

Διότι καὶ εἰς ἐκείνους ποὺ διεσώθησαν ἀπὸ ναυάγιον εἶναι εὐχάριστον νὰ ἐνθυμοῦνται τὰ κύματα καὶ τὴν ζάλην καὶ τοὺς ἀνέμους, ὅταν καταπλεύσουν εἰς κάποιο λιμάνι· καὶ εἰς ἐκείνους ποὺ ἔχουν περιπέσει εἰς ἀρρώστειαν, εἶναι ἐπιθυμία μετὰ τὴν ἀρρώστειαν, τοὺς πυρετούς, ἀπὸ τοὺς ὁποίους παρ' ὀλίγον νὰ ἀποθάνουν, νὰ τὰ διηγοῦνται εἰς τοὺς ἄλλους. Διότι ὅταν περάσουν τὰ κακά, προξενεῖ εὐχαρίστησιν ἡ διήγησίς των, ἐπειδὴ ἡ ψυχὴ δὲν φοβεῖται πλέον, ἀλλὰ

τὴν εὐφροσύνην. Ἡ γὰρ τῶν παρελθόντων κακῶν μνήμη ἀεὶ τὴν ἐνεστῶσαν εὐημερίαν ἀκριβέστερον ὁρᾶσθαι ποιεῖ.

Ἐπειδὴ γὰρ τὸ μὲν πλέον τῆς πόλεως ἀπὸ τοῦ φόβου καὶ τῆς ἀπειλῆς ἐκείνης πρὸς τὰς ἐρήμους, καὶ τὰς φάραγγας, καὶ τοὺς λανθάνοντας μετῴκιστο τόπους, τοῦ φόβου πάντοθεν αὐτοὺς συνελαύνοντος, καὶ κεναὶ μὲν ἦσαν γυναικῶν αἱ οἰκίαι, κενὴ δὲ ἀνδρῶν ἡ ἀγορά, μόλις δὲ δύο ἢ τρεῖς βαδίζοντες ἐν τῷ μέσῳ μετ' ἀλλήλων ἐφαίνοντο, καὶ αὐτοὶ οὗτοι καθάπερ ἔμψυχοι νεκροὶ περιιόντες· ἐπήειμεν εἰς τὸ δικαστήριον τὸ τέλος ὀψόμενοι τῶν γινομένων, καὶ ἰδόντες ἐκεῖ τῆς πόλεως τὰ λείψανα συνειλεγμένα, μάλιστα πάντων ἐθαυμάσαμεν ἐκεῖνο ὅτι πλήθους ὄντος περὶ τὰς θύρας, ὡς οὐδενὸς παρόντος, βαθυτάτη ἦν ἡ σιγή, πάντων εἰς ἀλλήλους βλεπόντων, καὶ μήτε ἐρέσθαι τὸν παρεστῶτα, μήτε ἀκοῦσαί τι παρ' ἐκείνου τολμῶντός τινος. Τὸν γὰρ πλησίον ὑπώπτευεν ἕκαστος, διὰ τὸ πολλοὺς ἤδη παρ' ἐλπίδα πᾶσαν ἐκ μέσης ἀναρπασθέντας τῆς ἀγορᾶς, ἔνδον κατέχεσθαι· καὶ πάντες κοινῇ πρὸς τὸν οὐρανὸν ἐβλέπομεν, καὶ τὰς χεῖρας ἀνετείνομεν σιγῇ τὴν ἄνωθεν ἐκδεχόμενοι ῥοπήν, καὶ Θεὸν παρακαλοῦντες παραστῆναί τε τοῖς δικαζομένοις, καὶ μαλάξαι τὰς τῶν δικαζόντων καρδίας, καὶ ποιῆσαι ἥμερον γενέσθαι τὴν ψῆφον.

Καὶ καθάπερ οἱ τοὺς ναυαγοῦντας ἀπὸ τῆς γῆς βλέποντες, προσελθεῖν μὲν καὶ χεῖρα ὀρέξαι καὶ διορθῶσαι τὴν συμφορὰν οὐκ ἔχουσι τοῖς κύμασι διειργόμενοι, ἔξωθεν δὲ ἀπὸ τῶν αἰγιαλῶν τὰς χεῖρας ἀνατείνοντες, καὶ δακρύοντες, τὸν Θεὸν παρακαλοῦσιν παραστῆναι τοῖς κλυδωνιζομένοις· οὕτω καὶ ἐνταῦθα πάντες σιγῇ, καὶ κατὰ διάνοιαν ἐκάλουν τὸν Θεόν, ἀξιοῦντες τοῖς ἐν τῷ δικαστηρίῳ,

ἀπολαμβάνει καὶ μεγαλυτέραν εὐφροσύνην. Διότι ἡ ἀνάμνησις τῶν περασμένων κακῶν συντελεῖ νὰ φαίνεται καθαρωτέρα ἡ σημερινὴ εὐτυχία.

Πράγματι ἐπειδὴ οἱ περισσότεροι κάτοικοι τῆς πόλεως ἐξ αἰτίας τοῦ φόβου καὶ τῆς ἀπειλῆς ἐκείνης πρὸς τὰς ἐρήμους καὶ τὰς φάραγγας καὶ εἰς ἀποκρύφους τόπους εἶχον μεταβῆ διὰ νὰ κατοικήσουν, διότι ἀπὸ παντοῦ τοὺς ἐπίεζεν ὁ φόβος, καὶ τὰ σπίτια ἦσαν ἄδεια ἀπὸ γυναῖκας καὶ ἡ ἀγορὰ κενὴ ἀπὸ ἄνδρας, καὶ μόλις δύο - τρεῖς ἐφαίνοντο νὰ βαδίζουν εἰς τὸ μέσον αὐτῆς καὶ αὐτοὶ ἐκυκλοφοροῦσαν ὡσὰν ἔμψυχοι νεκροί· ἐπήγαμεν εἰς τὸ δικαστήριον διὰ νὰ ἰδοῦμεν τὸ τέλος τῶν γεγονότων, καὶ ὅταν εἴδαμεν ἐκεῖ συγκεντρωμένα τὰ λείψανα τῆς πόλεως, κατ' ἐξοχὴν ἐθαυμάσαμεν ἀπὸ τὸ γεγονὸς ὅτι ἂν καὶ ὑπῆρχε γύρω ἀπὸ τὰς θύρας πολὺ πλῆθος, ἦτο τόσον μεγάλη ἡ σιωπή, ὡσὰν νὰ μὴ ὑπῆρχε κανεὶς παρών, καὶ ἐνῷ ἔβλεπεν ὁ ἕνας τὸν ἄλλον, οὔτε νὰ ἐρωτήσῃ κανεὶς τὸν διπλανόν του, οὔτε νὰ ἀκούσῃ κάτι ἀπὸ ἐκεῖνον δὲν ἐτολμοῦσεν. Διότι κάθε ἕνας ὑπωπτεύετο τὸν πλησίον του, ἐπειδὴ πολλοὶ οἱ ὁποῖοι συνελήφθησαν εἰς τὴν ἀγορὰν χωρὶς νὰ τὸ περιμένουν ἐκρατοῦντο μέσα· καὶ ὅλοι μαζὶ ἐβλέπαμεν πρὸς τὸν οὐρανὸν καὶ σιωπηλοὶ ὑψώναμεν τὰς χεῖρας ἀναμένοντες τὴν βοήθειαν ἀπὸ ἐπάνω, καὶ παρακαλοῦντες τὸν Θεὸν νὰ παρασταθῇ βοηθὸς εἰς τοὺς δικαζομένους, καὶ νὰ ἁπαλύνῃ τὰς καρδίας τῶν δικαστῶν καὶ νὰ κάμῃ νὰ εἶναι ἐπιεικὴς ἡ ἀπόφασίς των.

Καὶ καθὼς ἐκεῖνοι ποὺ βλέπουν τοὺς ναυαγοῦντας ἀπὸ τὴν ξηράν, δὲν ἠμποροῦν νὰ τοὺς πλησιάσουν καὶ νὰ τοὺς δώσουν χεῖρα βοηθείας καὶ νὰ τοὺς ἀπαλλάξουν ἀπὸ τὴν συμφοράν, διότι ἐμποδίζονται ἀπὸ τὰ κύματα, ὅμως ἔξω ἀπὸ τὴν παραλίαν ἀνυψώνουν τὰ χέρια, δακρύζουν καὶ παρακαλοῦν τὸν Θεὸν νὰ προστατέψῃ αὐτοὺς ποὺ κινδυνεύουν ἀπὸ τὴν τρικυμίαν, ἔτσι καὶ ἐδῶ ὅλοι σιωπηλῶς καὶ νοερῶς παρεκάλουν τὸν Θεὸν νὰ δώσῃ χεῖρα βοηθείας εἰς ἐκείνους ποὺ ἐδοκιμάζοντο, καὶ ὡμοίαζον μὲ αὐτοὺς ποὺ τοὺς ἐπῆραν τὰ

καθάπερ ἐν κύμασιν ἀπειλημμένοις, χεῖρα ὀρέξαι, καὶ μὴ συγχωρῆσαι καταποντισθῆναι τὸ σκάφος, μηδὲ εἰς ναυάγιον παντελὲς καταλῦσαι τῶν δικαζόντων τὴν κρίσιν· καὶ ταῦτα μὲν ἦν πρὸ τῶν θυρῶν. Ἐπειδὴ δὲ ἐνδοτέρω τῆς αὐλῆς εἰσέβημεν, πάλιν εἴδομεν ἕτερα φοβερώτερα τούτων, στρατιώτας καθωπλισμένους ξίφεσι καὶ ῥοπάλοις, καὶ πολλὴν τοῖς ἔνδον δικάζουσι τὴν ἡσυχίαν παρέχοντες. Ἐπειδὴ γὰρ οἱ προσήκοντες ἅπαντες ἐκείνοις, καὶ γυναῖκες, καὶ μητέρες, καὶ θυγατέρες, καὶ πατέρες εἱστήκεισαν πρὸ τῶν τοῦ δικαστηρίου θυρῶν, ὥστε, εἴ τινα συμβαίη τὴν ἐπὶ θάνατον ὁδὸν ἀπενεχθῆναι, μηδένα τῇ θέᾳ τῆς συμφορᾶς ἐμπρησθέντα θόρυβόν τινα ποιῆσαι καὶ ταραχήν, πόρρωθεν ἐφόβουν οἱ στρατιῶται πάντων προκαταλαμβάνοντες αὐτῶν τῷ δέει τὴν διάνοιαν.

Τὸ δὲ πάντως ἐλεεινότερον, μήτηρ μία καὶ ἀδελφὴ τῶν ἔνδον κρινομένων τινός, πρὸς αὐτὰ τῶν δικαζόντων ἐκάθηντο τὰ πρόθυρα, κυλινδούμεναι περὶ τὸ ἔδαφος, καὶ κοινὸν οὖσαι θέατρον τοῖς περιεστῶσιν ἅπασι, συγκαλυπτόμεναι τὰς ὄψεις καὶ τοσοῦτον αἰσχυνόμεναι μόνον, ὅσον ἐπέτρεπεν ἡ τῆς συμφορᾶς ἀνάγκη, καὶ οὔτε θεραπαινὶς αὐταῖς παρῆν, οὔτε γείτων, οὔτε φίλη, οὔτε ἄλλη τις τῶν ἐπιτηδείων, ἀλλὰ μόναι μετὰ τῶν εὐτελῶν ἱματίων ἐν μέσῳ τοσούτων ἀπειλημμέναι στρατιωτῶν, χαμαὶ συρόμεναι περὶ τὰς θύρας αὐτάς, τῶν ἔνδον δικαζομένων ἐλεεινότερα ἔπασχον, τῆς τῶν δημίων ἀκούουσαι φωνῆς, τοῦ κτύπου τῶν μαστίγων, τοῦ θρήνου τῶν μαστιζομένων, τῆς φοβερᾶς τῶν δικαζόντων ἀπειλῆς, καὶ καθ' ἕκαστον τῶν παιομένων χαλεπωτέρας ἐκείνων ὑπέμενον ὀδύνας αὗται.

Ἐπειδὴ γὰρ ἐν ταῖς ἑτέρων μαρτυρίας ἐκινδυνεύετο ἡ τῶν ἐγκλημάτων ἀπόδειξις, εἴ ποτέ τινος ᾔσθοντο μαστιζομένου, ὥστε εἰπεῖν τοὺς ὑπευθύνους, καὶ ὀλολύζοντος, εἰς τὸν οὐρανὸν βλέπουσαι τὸν Θεὸν παρεκάλουν δοῦναί τι-

κύματα, καὶ νὰ τείνῃ τὴν χεῖρα καὶ νὰ μὴ ἀφήσῃ νὰ καταποντισθῇ τὸ σκάφος, οὔτε εἰς ναυάγιον ὁλοκληρωτικὸν νὰ τοὺς ὁδηγήσῃ ἡ κρίσις τῶν δικαστῶν· καὶ αὐτὰ μὲν συνέβαιναν πρὸ τῶν θυρῶν τῶν δικαστηρίων. Ὅταν ὅμως εἰσήλθομεν εἰς τὸ ἐσωτερικὸν τῆς αὐλῆς, εἴδομεν πάλιν φοβερώτερα τούτων, ὡπλισμένους στρατιώτας μὲ ξίφη καὶ ρόπαλα, νὰ ἐξασφαλίζουν πολλὴν ἡσυχίαν εἰς ἐκείνους ποὺ ἐδίκαζον μέσα. Ἐπειδὴ οἱ συγγενεῖς ἐκείνων ποὺ ἐδικάζοντο καὶ γυναῖκες καὶ μητέρες καὶ θυγατέρες καὶ πατέρες ἔστεκον πρὸ τῶν θυρῶν τοῦ δικαστηρίου, διὰ νὰ μὴ γίνῃ θόρυβος καὶ ταραχὴ ὅταν θὰ συνέβαινε νὰ καταδικασθῇ κανεὶς εἰς θάνατον καὶ τὸν ἔβλεπαν νὰ ὁδηγῆται πρὸς ἐκτέλεσιν, ἀπὸ μακρυὰ οἱ στρατιῶται ἐπροκαλοῦσαν φόβον καὶ προελάμβανον διὰ τοῦ φόβου κάθε σκέψιν δι' ἐξέγερσιν.

Ἐκεῖνο δὲ ποὺ ἦτο ἐλεεινότερον ὅλων ἦτο τὸ ἑξῆς: κάποιου ἀπὸ αὐτοὺς ποὺ ἐδικάζοντο μέσα ἡ μητέρα καὶ ἡ ἀδελφὴ ἐκάθηντο εἰς τὰ πρόθυρα τῶν δικαστηρίων, ἐκυλίοντο εἰς τὸ ἔδαφος καὶ ἦσαν θέαμα εἰς ὅλους τοὺς παρευρισκομένους, συγκαλύπτουσαι τὰς ὄψεις, καὶ τόσον μόνον ἐντρέποντο, ὅσον τὰς ἐπέτρεπεν ἡ ἀνάγκη τῆς συμφορᾶς, καὶ οὔτε ὑπηρέτρια ὑπῆρχε πλησίον των, οὔτε γείτων, οὔτε φίλη, οὔτε κάποια ἄλλη ἀπὸ τοὺς συγγενεῖς, ἀλλὰ ἦσαν μόναι μὲ ἐνδύματα φτωχικά, εἰς τὸ μέσον τόσων στρατιωτῶν, οἱ ὁποῖοι ἀπειλοῦσαν αὐτάς, καὶ ἐσύροντο κάτω εἰς τὰς θύρας καὶ ὑπέφερον περισσότερα ἀπὸ ἐκείνους ποὺ ἐδικάζοντο μέσα, διότι μὲ τὸ νὰ ἀκούσουν τὴν φωνὴν τῶν δημίων, τὸν κτύπον τῶν μαστιγίων, τὸν θρῆνον τῶν κτυπωμένων, τὴν φοβερὰν ἀπειλὴν τῶν δικαζόντων, περισσότερον ἐβασανίζοντο αὐταὶ ἀπὸ κάθε ἕνα ἀπὸ αὐτοὺς ποὺ ὑπέφεραν.

Διότι ἐπειδὴ ἀπὸ τὰς μαρτυρίας τῶν ἄλλων ἐξηρτᾶτο ἡ ἀπόδειξις τῶν ἐγκλημάτων, ἐὰν ἀντελαμβάνοντο ὅτι κάποιος ἐκτυπᾶτο, διὰ νὰ φανερώσῃ τοὺς ἐνόχους, καὶ ὅτι αὐτὸς ἔκλαιεν ἀπὸ τὰ κτυπήματα, βλέπουσαι εἰς τὸν οὐρανὸν παρεκάλουν τὸν Θεὸν νὰ δώσῃ εἰς ἐκεῖνον δύναμιν καὶ ὑπο-

να ἰσχὺν καὶ ὑπομονὴν ἐκείνῳ, ὥστε μὴ τῶν αὐτοῖς προσηκόντων τὴν σωτηρίαν ἐν ταῖς ἑτέρων ἀσθενείαις προδοθῆναι, τὴν δριμεῖαν ἀπὸ τῶν πληγῶν ὀδύνην μὴ δυναμένων ἐνεγκεῖν· καὶ ταὐτὸν πάλιν οἷον ἐπὶ τῶν χειμαζομένων συνέβαινε.

Καθάπερ γὰρ ἐκεῖνοι, εἴ ποτε κύματος ἴδοιεν ἐμβολὴν πόρρωθεν κορυφουμένην, καὶ κατὰ μικρὸν αὐξομένην, καὶ μέλλουσαν βαπτίζειν τὸ σκάφος, καὶ πρὶν ἢ πλησίον γενέσθαι τοῦ πλοίου προαποτεθνήκασι τῷ δέει· οὕτω δὴ κἀκεῖναι, εἴ ποτε φωνῶν καὶ ὀλολυγμῶν ᾔσθοντο φερομένων, δεδοικυῖαι μὴ πρὸς τὰς βασάνους ἀπαγορεύσαντες οἱ καταμαρτυρεῖν ἀναγκαζόμενοι, κατείπωσί τινος τῶν αὐτοῖς ἐπιτηδείων, μυρίους πρὸ τῶν ὀφθαλμῶν ἑώρων θανάτους. Καὶ ἦν ἰδεῖν ἔνδον βασάνους, ἔξω βασάνους· ἐκείνους μὲν γὰρ οἱ δήμιοι, ταύτας δὲ ἐβασάνιζεν ἡ τῆς φύσεως τυραννίς, καὶ ἡ τῶν σπλάγχνων συμπάθεια· καὶ ἦν ἔνδον θρῆνος, ἔξω θρῆνος· ἔνδον τῶν ὑπευθύνων, ἔξω τῶν αὐτοῖς προσηκόντων. Μᾶλλον δὲ οὐχ οὗτοι μόνον, ἀλλὰ καὶ αὐτοὶ οἱ δικάζοντες ἐθρήνουν κατὰ διάνοιαν, καὶ χαλεπώτερα πάντων ἔπασχον, οὕτω πικρᾷ τραγῳδίᾳ ἀναγκαζόμενοι τότε ὑπηρετεῖν.

2. Ἐγὼ δὲ παρακαθήμενος καὶ ταῦτα βλέπων, ὅτι γυναῖκες καὶ παρθένοι θαλαμευόμεναι νῦν κοινὸν ἐγένοντο θέατρον ἅπασι καὶ αἱ ἐπὶ στρωμνῆς ἁπαλῆς κατακλινόμεναι, τὸ ἔδαφος ἀντὶ στρωμνῆς ἔχουσι, καὶ αἱ τοσαύτης ἀπολαύουσαι θεραπείας θεραπαινίδων, εὐνούχων, τῆς ἄλλης ἁπάσης φαντασίας, νῦν ἁπάντων ἐκείνων ἔρημοι πρὸς τοὺς ἁπάντων σύρονται πόδας, ἕκαστον παρακαλοῦσαι συνεισενεγκεῖν τι τῶν εἰς αὐτὸν ἡκόντων τοῖς κρινομένοις, καὶ κοινὸν παρὰ πάντων ἐλέου ἔρανον γενέσθαι, ἐφθεγξάμην ἐκεῖνο τὸ τοῦ Σολομῶντος, «Ματαιότης ματαιοτήτων, τὰ πάντα ματαιότης». Εἶδον γὰρ τοῦτό τε αὐτό, καὶ ἕτερον λόγιον δι'

1. Ἐκκλ. 1, 2.

μονήν, ὥστε νὰ μὴ διατρέξῃ κίνδυνον ἡ σωτηρία τῶν συγγενῶν των ἐκ τῆς τυχὸν ἀδυναμίας ἐκείνων νὰ ὑποφέρουν τοὺς δριμεῖς πόνους ἐκ τῶν πληγῶν· καὶ συνέβαινεν εἰς αὐτὰς ὅ,τι καὶ εἰς ἐκείνους ποὺ εὑρίσκοντο εἰς τρικυμίαν.

Διότι ὅπως ἐκεῖνοι, ὅταν ἰδοῦν ἀπὸ μακρυὰ νὰ ἔρχεται ἐναντίον τους κῦμα καὶ ὀλίγον κατ' ὀλίγον νὰ μεγαλώνῃ καὶ τὸ ὁποῖον πρόκειται νὰ βυθίσῃ τὸ σκάφος, καὶ προτοῦ ἀκόμα νὰ πλησιάσῃ ἔχουν ἀποθάνει ἀπὸ τὸν φόβον τους, ἔτσι καὶ ἐκεῖναι, ἂν κάποτε ἤκουον φωνὰς καὶ κλάματα αὐτῶν ποὺ ἔφερον, ἐφοβοῦντο μήπως ὑποκύψουν εἰς τὰ κτυπήματα αὐτοὶ ποὺ ἠναγκάζοντο νὰ μαρτυροῦν καὶ καταθέσουν εἰς βάρος τῶν συγγενῶν των, καὶ ἐξ αἰτίας τούτου ἔβλεπον ἀναριθμήτους θανάτους εἰς τὰ μάτια των. Καὶ ἠμποροῦσε νὰ ἰδῇ κανεὶς μέσα βάσανα, ἔξω βάσανα· διότι ἐκείνους μὲν τοὺς ἐβασάνιζον οἱ δήμιοι, αὐτὰς δὲ τὰς ἐβασάνιζεν ἡ συγγένεια τῆς φύσεως καὶ ἡ συμπάθεια ἡ μητρική· καὶ ἦτο μέσα θρῆνος, ἔξω θρῆνος. Μέσα ἀπὸ τοὺς ὑποδίκους, ἔξω ἀπὸ τοὺς συγγενεῖς των. Μᾶλλον δὲ ὄχι μόνον αὐτοί, ἀλλὰ καὶ αὐτοὶ οἱ δικασταὶ ἐθρηνοῦσαν μέσα τους καὶ ὑπέφεραν περισσότερον ἀπὸ ὅλους, διότι ἦσαν ἀναγκασμένοι νὰ ἀναμειχθοῦν εἰς τόσον πικρὰν τραγῳδίαν.

2. Ἐγὼ δὲ καθήμενος ἐκεῖ καὶ βλέπων αὐτά, ὅτι δηλαδὴ γυναῖκες καὶ κορίτσια ποὺ ἔμεναν ἕως τότε εἰς τὰ δωμάτιά των, τώρα νὰ εἶναι κοινὸν θέαμα εἰς ὅλους, καὶ ποὺ ἐκοιμῶντο ἐπάνω εἰς μαλακὰ στρώματα, νὰ ἔχουν ὡς στρῶμα τὸ ἔδαφος, καὶ αὐταὶ ποὺ ἀπελάμβανον τὰς ὑπηρεσίας τόσων ὑπηρετριῶν καὶ εὐνούχων, καὶ κάθε εἴδους πολυτέλειαν καὶ εὐκολίαν, τώρα ἔρημοι ὅλων αὐτῶν νὰ σύρωνται ἐμπρὸς εἰς τὰ πόδια ὅλων, καὶ νὰ παρακαλοῦν κάθε ἕνα νὰ βοηθήσῃ εἰς ὅ,τι ἠμποροῦσε τοὺς δικαζομένους, καὶ νὰ γίνῃ ἀπὸ ὅλους κοινὸς ἔρανος εὐσπλαγχνίας, εἶπα ἐκεῖνο τὸ ρητὸν τοῦ Σολομῶντος «Ματαιότης ματαιοτήτων τὰ πάντα ματαιότης»[1]. Διότι εἶδα μαζὶ μὲ αὐτὸ τὸ ρητὸν καὶ ἕνα ἄλλο νὰ ἐπαληθεύῃ ἀπὸ αὐτὰ ποὺ συνέβαινον ἐκεῖ, αὐτὸ ποὺ λέγει, ὅτι

αὐτῶν τῶν ἔργων ἐκβαῖνον, τὸ λέγον, ὅτι «Πᾶσα δόξα ἀνθρώπου ὡς ἄνθος χόρτου· ἐξηράνθη ὁ χόρτος, καὶ τὸ ἄνθος ἐξέπεσε».

Καὶ γὰρ πλοῦτος τότε, καὶ εὐγένεια, καὶ περιφάνεια, καὶ φίλων προστασία, καὶ πάντα ἠλέγχετο τὰ βιωτικά, τῆς ἁμαρτίας καὶ τῆς παρανομίας τῆς γεγενημένης τὴν συμμαχίαν ἅπασαν τρεψαμένης ταύτην. Καὶ καθάπερ μήτηρ στρουθῶν, τῶν νεοττῶν ἀφαιρεθέντων, ἐλθοῦσα καὶ τὴν καλιὰν εὑροῦσα κενήν, ἐξελέσθαι μὲν οὐ δύναται τοὺς ἁλόντας αὐτῆς νεοττούς, περιιπταμένη δὲ τοῦ θηρατοῦ τὰς χεῖρας, αὐτῷ τούτῳ τὴν ὀδύνην ἐνδείκνυται· οὕτω δὴ καὶ αἱ γυναῖκες ἐποίουν τότε ἐκεῖναι, ἀναρπασθέντων αὐταῖς ἐκ τῆς οἰκίας τῶν παίδων, καὶ ἔνδον ἀπειλημμένων, ὥσπερ ἐν δικτύῳ τινὶ καὶ παγίδι, προσελθεῖν μὲν καὶ ἐξελέσθαι τοὺς ἁλόντας οὐκ ἴσχυον, τῷ δὲ περὶ τὰς θύρας αὐτὰς καλινδεῖσθαι, καὶ θρηνεῖν, καὶ ὀλοφύρεσθαι, καὶ τῶν θηρευσάντων πειρᾶσθαι γενέσθαι ἐγγύς, τὴν ὀδύνην ἐδείκνυον.

Ταῦτα δὴ τότε ὁρῶν, εἰς νοῦν ἐλαβόμην τὸ φοβερὸν ἐκεῖνο δικαστήριον, καὶ πρὸς ἐμαυτὸν εἶπον· εἰ νῦν ἀνθρώπων δικαζόντων, οὐ μήτηρ, οὐκ ἀδελφή, οὐ πατήρ, οὐκ ἄλλος οὐδείς, καίτοι γε ἀνεύθυνοι τῶν τολμηθέντων ὄντες, οὐκ ἰσχύουσιν ἐξελέσθαι τοὺς κρινομένους, τίς ἐν τῷ φοβερῷ τοῦ Χριστοῦ δικαστηρίῳ παραστήσεται κρινομένοις ἡμῖν; Τίς τολμήσει ῥῆξαι φωνήν; Τίς ἐξελέσθαι τοὺς ἀπαγομένους ἐπὶ τὰς ἀφορήτους ἐκείνας κολάσεις; Καίτοι πρῶτοι τῆς πόλεως ἦσαν οἱ τότε δικαζόμενοι, καὶ αὐτὸ τῆς εὐγενείας τὸ κεφάλαιον, ἀλλ' ὅμως ἠγάπων, εἴ τις δῴη πάντα ἀποβαλοῦσιν, εἰ δέοι, καὶ τὴν ἐλευθερίαν αὐτήν, τῆς παρούσης ἀπολαύειν ζωῆς.

Τῆς ἡμέρας δὲ λοιπὸν πρὸς τὸ τέλος ἐπειγομένης, καὶ βαθυτάτης γενομένης ἑσπέρας, καὶ τοῦ τέλους τῆς ψήφου

2. Ἠσ. 40, 6-7.

«κάθε δόξα ἀνθρώπου ὁμοιάζει μὲ τὸ ἄνθος τοῦ χόρτου· ἐξηράνθη ὁ χόρτος καὶ τὸ ἄνθος αὐτοῦ ἐμαράνθη καὶ ἔπεσε κάτω»[2].

Διότι τότε καὶ ὁ πλοῦτος, καὶ ἡ εὐγένεια, καὶ ἡ ἐπισημότης, καὶ ἡ προστασία τῶν φίλων, καὶ ὅλα τὰ προσόντα τὰ βιωτικὰ ἦσαν ἀνώφελα, ἐπειδὴ ἡ ἁμαρτία καὶ ἡ παρανομία ποὺ ἔγινεν, ὅλην τὴν βοήθειαν ποὺ προήρχετο ἀπὸ αὐτὰ τὴν ἀπεμάκρυναν. Καὶ ὅπως ἡ μάνα τῶν σπουργιτῶν, ὅταν τῆς πάρουν τὰ νεογνά, καὶ ἔλθῃ καὶ εὕρῃ τὴν φωλεὰν ἄδειαν, δὲν ἠμπορεῖ μὲν νὰ ἀπελευθερώσῃ τὰ νεογνὰ ἀπὸ αὐτοὺς ποὺ τὰ ἔχουν, πετᾷ ὅμως γύρω ἀπὸ τὰ χέρια τοῦ κυνηγοῦ, καὶ κατ' αὐτὸν τὸν τρόπον ἐπιδεικνύει τὴν ὀδύνην της, ἔτσι λοιπὸν ἔκαμον τότε καὶ αἱ γυναῖκες ἐκεῖναι, ἐπειδὴ δηλαδὴ ἡρπάγησαν τὰ παιδιά των καὶ ἦσαν κλεισμένα ἐντός, ὡσὰν εἰς κάποιον δίκτυον καὶ παγίδα, δὲν ἠμποροῦσαν νὰ πλησιάσουν καὶ νὰ ἀπελευθερώσουν τοὺς συλληφθέντας, μὲ τὸ νὰ κυλίωνται ὅμως ἐμπρὸς εἰς τὰς θύρας καὶ νὰ θρηνοῦν καὶ νὰ ὀλοφύρωνται, καὶ νὰ προσπαθοῦν νὰ πλησιάσουν αὐτοὺς ποὺ τοὺς συνέλαβον, ἐδείκνυον τὴν μεγάλην λύπην των.

Αὐτὰ βλέπων λοιπὸν τότε, ἔβαλα εἰς τὸν νοῦν μου τὸ φοβερὸν ἐκεῖνο δικαστήριον, καὶ εἶπα εἰς τὸν ἑαυτόν μου· ἀφοῦ τώρα ποὺ δικάζουν ἄνθρωποι, οὔτε ἡ μητέρα, οὔτε ἡ ἀδελφή, οὔτε ὁ πατέρας, οὔτε κανεὶς ἄλλος, ἂν καὶ εἶναι βέβαια ἀνεύθυνοι δι' ὅσα συνέβησαν, δὲν ἠμπόρεσαν νὰ ἀπαλλάξουν τοὺς δικαζομένους, ποῖος κατὰ τὸ φοβερὸν δικαστήριον τοῦ Χριστοῦ θὰ μᾶς παρασταθῇ ὡς βοηθὸς ὅταν θὰ κρινώμεθα; Ποῖος θὰ τολμήσῃ νὰ βγάλῃ φωνήν; Ποῖος θὰ λυτρώσῃ ἐκείνους ποὺ θὰ ὁδηγοῦνται εἰς τὰς ἀνυποφόρους ἐκείνας κολάσεις; Ἂν καὶ ἦσαν οἱ δικαζόμενοι τότε οἱ πρῶτοι τῆς πόλεως, καὶ τὸ ἄνθος τῆς εὐγενείας, ὅμως ἐπροτιμοῦσαν νὰ χάσουν ὅλα ὅσα εἶχαν, ἐὰν ἦτο δυνατὸν καὶ αὐτὴν τὴν ἐλευθερίαν, διὰ νὰ κερδίσουν τὴν ζωήν των.

Ὅταν λοιπὸν ἔφθασεν ἡ ἡμέρα πρὸς τὸ τέλος της καὶ ἔγινε βαθυτάτη ἑσπέρα, καὶ ἀνεμένετο ἡ ἀπόφασις, ὅλοι

προσδοκωμένου, ἐν μείζονι πάντες ἦσαν ἀγωνίᾳ, καὶ τὸν Θεὸν ἠξίουν μέλλησίν τινα καὶ ἀναβολὴν γενέσθαι, καὶ τῇ ψυχῇ τῶν δικαζόντων ἐμβαλεῖν εἰς τὴν τοῦ βασιλέως γνώμην ἀνενεγκεῖν τῶν ἐξητασμένων τὴν γνῶσιν· ἔσεσθαι γάρ τι ἴσως χρηστὸν ἀπὸ τῆς ὑπερθέσεως ταύτης. Καὶ κοιναὶ παρὰ τοῦ δήμου λιταὶ πρὸς τὸν φιλάνθρωπον Θεὸν ἀνεπέμποντο, τὰ λείψανα σῶσαι τῆς πόλεως, καὶ μὴ περιιδεῖν τέλεον ἐκ βάθρων ἀνασπωμένην αὐτήν. Καὶ οὐκ ἦν ἰδεῖν οὐδένα ἀδακρυτὶ ταῦτα βοῶντα. Ἀλλ' ὅμως οὐδὲν τούτων τοὺς δικάζοντας ἔνδον ἀκούοντας ἔκαμπτε τότε, ἀλλ' ἓν μόνον ἐσκόπουν, ὅπως ἀκριβὴς γένηται ἡ τῶν τολμηθέντων ἐξέτασις· καὶ τέλος ἁλύσεις αὐτοῖς περιθέντες, καὶ σιδήρῳ δήσαντες, ἐπὶ τὸ δεσμωτήριον ἔπεμπον διὰ μέσης τῆς ἀγορᾶς, ἀνθρώπους ἱπποτρόφους, ἀγωνοθέτας, ἑτέρας μυρίας λαμπροτέρας ἔχοντας ἀριθμεῖν λειτουργίας, καὶ τὰς οὐσίας ἐδήμευον, καὶ σήμαντρα ἐν ταῖς θύραις ἁπάντων ἦν ἰδεῖν. Καὶ αἱ γυναῖκες αἱ τούτων τῆς πατρῴας ἐκβαλλόμενοι οἰκίας, ἑκάστη ἐκεῖνο τὸ τῆς γυναικὸς τοῦ Ἰὼβ διὰ τῶν ἔργων ἐπλήρουν· οἰκίαν γὰρ ἐξ οἰκίας καὶ τόπον ἐκ τόπου περιήρχοντο καταγωγίου δεόμεναι. Καὶ γὰρ οὐδὲ τοῦτο αὐταῖς εὔκολον ἦν, ἑκάστου δεδοικότος καὶ τρέμοντος τῶν προσηκόντων τινὰ τῶν ὑπευθύνων ποδέξασθαι καὶ θεραπεῦσαι.

Ἀλλ' ὅμως τοσούτων γενομένων, ἔστεργον πᾶσι τούτοις οἱ παθόντες, ἐπειδὴ τῆς παρούσης οὐκ ἐξέπεσαν ζωῆς· καὶ οὔτε ζημία χρημάτων, οὔτε ἀτιμία, οὔτε ἡ τοσαύτη πομπή, οὔτε ἄλλο τι τῶν τοιούτων οὐδὲν αὐτοὺς ἔδακνε. Τὸ γὰρ τῆς συμφορᾶς μέγεθος, καὶ τό, μείζονα προσδοκήσαντας τούτων, ταῦτα ὑπομεῖναι, φιλοσοφεῖν παρεσκεύαζε τὴν ψυχήν. Καὶ τότε ἐμάνθανον πῶς εὔκολον ἡμῖν ἡ ἀρετή, ῥάδι-

3. Πρβλ. Ἰὼβ 2, 9.

εὑρίσκοντο εἰς πολὺ μεγάλην ἀγωνίαν καὶ ἐπαρακαλοῦσαν τὸν Θεὸν νὰ ἐπιφέρῃ κάποιαν ἀργοπορίαν καὶ ἀναβολήν, καὶ εἰς τὴν ψυχὴν τῶν δικαστῶν νὰ βάλῃ τὴν σκέψιν, νὰ ὑποβάλουν εἰς τὴν κρίσιν τοῦ βασιλέως τὸ πόρισμα τῶν ἀνακρίσεων· διότι ἴσως νὰ προέλθῃ κάτι καλὸν ἀπὸ τὴν ἀναβολὴν αὐτήν. Καὶ ἀνεπέμποντο πρὸς τὸν Θεὸν τὸν φιλάνθρωπον κοιναὶ παρακλήσεις, νὰ σώσῃ τὰ λείψανα τῆς πόλεως, καὶ νὰ μὴ ἐπιτρέψῃ νὰ ἰδοῦν τὴν τελειωτικὴν καταστροφὴν αὐτῆς. Καὶ δὲν ἠμποροῦσες νὰ ἰδῇς κανέναν ποὺ νὰ λέγῃ αὐτὰ χωρὶς δάκρυα. Ὅμως τίποτε ἀπὸ αὐτὰ δὲν ἔκαμπτε τότε τοὺς δικαστὰς ποὺ ἐδίκαζον μέσα καὶ ἤκουον αὐτά, ἀλλὰ αὐτοὶ εἰς ἕνα μόνον ἐπρόσεχον, πῶς νὰ γίνῃ λεπτομερὴς καὶ ἀκριβὴς ἡ ἐξέτασις τῶν τολμηθέντων· καὶ τέλος ἀφοῦ τοὺς ἔβαλαν τὰς ἁλυσίδας καὶ τοὺς ἔδεσαν μὲ τὰ σιδηρᾶ δεσμά, τοὺς ἔστελλον εἰς τὸ δεσμωτήριον διὰ μέσου τῆς ἀγορᾶς, ἀνθρώπους οἱ ὁποῖοι ἔτρεφον ἵππους, ἀγωνοθέτας, καὶ ἄλλας ἀναριθμήτους λειτουργίας ἔχοντας ἐπιτελέσει, καὶ ἐδήμευον τὰς περιουσίας, καὶ ἠμποροῦσες νὰ ἰδῇς εἰς τὰ σπίτια ὅλων σημεῖα δηλωτικὰ τούτων. Καὶ αἱ γυναῖκες αὐτῶν ὅταν ἐξεδιώκοντο ἀπὸ τὰ πατρικά των σπίτια, ἡ κάθε μία ἀπὸ αὐτὰς ἔκαμνε τὸ ἔργον τῆς γυναικὸς τοῦ Ἰώβ[3]. διότι ἀπὸ οἰκίαν εἰς οἰκίαν καὶ ἀπὸ τόπον εἰς τόπον ἐγύριζαν, ἐπειδὴ εἶχον ἀνάγκην ἑνὸς τόπου διὰ νὰ παραμείνουν. Ὅμως καὶ τοῦτο δὲν ἦτο εὔκολον εἰς αὐτάς, διότι κάθε ἕνας ἐφοβεῖτο καὶ ἔτρεμε νὰ ὑποδεχθῇ καὶ περιποιηθῇ συγγενεῖς ἐκείνων ποὺ ἦσαν ὑπεύθυνοι διὰ τὰ γεγονότα.

Καὶ ὅμως ἂν καὶ συνέβησαν τόσα, ὑπέμενον εἰς ὅλα αὐτὰ οἱ παθόντες, ἐπειδὴ ἔσωσαν τὴν παροῦσαν ζωήν των· καὶ οὔτε ἡ χρηματικὴ ζημία, οὔτε ἡ μείωσις ποὺ ὑπέστησαν, οὔτε ἡ τόση διαπόμπευσις, οὔτε τίποτε ἄλλο ἀπὸ αὐτὰ τοὺς ἐνοχλοῦσε καθόλου. Διότι τὸ μέγεθος τῆς συμφορᾶς καὶ ὅτι ἀνέμενον νὰ τοὺς συμβοῦν ἀκόμα μεγαλύτερα κακὰ ἀπὸ αὐτά, ἔκαμε τὴν ψυχήν τους νὰ φιλοσοφῇ καὶ νὰ ὑπομένουν αὐτά. Καὶ τότε ἐμάνθανον πόσον εὔκολος καὶ εὐκολοκατόρ-

όν τε καὶ εὐκατόρθωτον, καὶ ὅτι παρὰ τὴν ἡμετέραν ὀλιγωρίαν μόνον ἐπίπονος εἶναι δοκεῖ. Οὗτοι γὰρ οἱ πρὸ τούτου χρημάτων ὀλίγων ζημίαν οὐκ ἐνεγκόντες πρᾴως, ἐπειδὴ φόβῳ κατεσχέθησαν μείζονι, πάντα τὰ ὄντα ἀποβαλόντες, ὡς θησαυρὸν εὑρηκότες διέκειντο, ὅτι τὴν ψυχὴν οὐκ ἀπέβαλον.

Ὥστε εἰ καὶ τῆς μελλούσης γεέννης εἶχεν ἡμᾶς αἴσθησις, καὶ τὰς ἀφορήτους ἐκείνας ἐνενοοῦμεν κολάσεις, εἰ καὶ τὴν οὐσίαν, καὶ τὴν ψυχήν, καὶ τὸ σῶμα ἐπεδώκαμεν ὑπὲρ τῶν τοῦ Θεοῦ νόμων, οὐκ ἂν ἠλγήσαμεν, εἰδότες ὅτι μείζονα κερδανοῦμεν τὴν τῶν μελλόντων δεινῶν ἀπαλλαγήν. Τάχα ἱκανῶς ὑμῶν κατεμάλαξε τὴν καρδίαν ἡ τραγῳδία τῶν εἰρημένων, ἀλλὰ μὴ δυσχεράνητε. Καὶ γὰρ ἐπειδὴ μέλλω λεπτοτέρων κατατολμᾶν νοημάτων, καὶ ἀπαλωτέρας δέομαι διανοίας, ἐπίτηδες τοῦτο ἐποίησα, ὥστε τῷ φόβῳ τοῦ διηγήματος τὴν διάνοιαν ὑμῶν πᾶσαν ἀποτινάξασθαι ῥαθυμίαν, καὶ τῶν βιωτικῶν ἀπαναστᾶσαν ἁπάντων, μετὰ πολλῆς τῆς εὐκολίας πρὸς τὸ βάθος τῆς ψυχῆς παραπέμψαι τῶν λεγομένων τὴν δύναμιν· ἱκανῶς μὲν οὖν καὶ πρῴην ὑμῖν ὁ λόγος ἀπέδειξεν, ὅτι φυσικὸς ἡμῖν ἔγκειται νόμος τῶν καλῶν καὶ τῶν οὐ τοιούτων.

3. Ἵνα δὲ ἐκ περιουσίας ἡμῖν ἡ ἀπόδειξις γένηται, τῇ αὐτῇ καὶ σήμερον ἐπαγωνιούμεθα πάλιν ὑποθέσει τῶν λόγων. Ὅτι ἐξ ἀρχῆς τὸν ἄνθρωπον πλάττων ὁ Θεὸς ἀμφοτέρων αὐτὸν ἐπιστημονικὸν ἐποίησε, δηλοῦσι πάντες ἄνθρωποι· τοὺς γοῦν ὑπευθύνους ἡμῖν αἰσχυνόμεθα ἁμαρτάνοντες ἅπαντες καὶ πολλάκις δεσπότης πρὸς πόρνην γυναῖκα βαδίζων, εἶτα τῶν ἐπιεικεστέρων τινὰ οἰκετῶν ἰδών, ἐρυθριάσας ἀνεχώρησε τῆς ἀτόπου ταύτης ὁδοῦ. Πάλιν λοιδορούμενοι παρ' ἑτέρων τὰ τῆς πονηρίας ὀνόματα, ὕβριν τὸ

θωτος εἶναι ἡ ἀρετὴ εἰς ἡμᾶς, καὶ ὅτι φαίνεται δύσκολος ἐξ αἰτίας τῆς ἰδικῆς μας ὀλιγωρίας. Διότι αὐτοὶ οἱ ἴδιοι οἱ ὁποῖοι προηγουμένως δὲν ὑπέφερον μὲ ἡσυχίαν ὀλίγην χρηματικὴν ζημίαν, ἐπειδὴ τώρα κατελήφθησαν ἀπὸ μεγάλον φόβον, ἂν καὶ ἔχασαν ὅλα ὅσα εἶχαν, ᾐσθάνοντο ὡς νὰ εὗρον θησαυρόν, ἐπειδὴ δὲν ἔχασαν τὴν ζωήν των.

Ὥστε ἐὰν εἴχομεν ἀντιληφθῇ καλῶς τὴν γέενναν τῆς μελλούσης κρίσεως, καὶ τὰς ἀφορήτους ἐκείνας κολάσεις ἐσκεπτόμεθα, ἀκόμα καὶ τὴν περιουσίαν καὶ τὴν ψυχὴν καὶ τὸ σῶμα ἂν θὰ ἐδίδαμεν χάριν τῆς τηρήσεως τῶν νόμων τοῦ Θεοῦ, δὲν θὰ ἐστενοχωρούμεθα ἐπειδὴ θὰ ἐγνωρίζαμεν ὅτι θὰ ἐκερδίζαμεν περισσότερα, δηλαδὴ τὴν ἀπαλλαγὴν ἀπὸ τὰ μέλλοντα κακά. Ἴσως ἀρκετὰ νὰ συνεκίνησαν τὴν καρδίαν σας τὰ τραγικὰ γεγονότα ποὺ ἠκούσατε, ὅμως μὴ στενοχωρῆσθε. Διότι ἐπειδὴ πρόκειται νὰ ἀσχοληθῇ τώρα μὲ ὑψηλότερα νοήματα, καὶ πρέπει νὰ εἶναι ἡ διάνοιά σας ἀπαλωτέρα, τὸ ἔκαμα αὐτὸ ἐπίτηδες, ὥστε ἀπὸ τὸν φόβον ποὺ προέρχεται ἐξ ὅσων ἠκούσατε, ἀφοῦ ἀποτινάξῃ ἡ διάνοιά σας ὅλην τὴν ραθυμίαν καὶ ἀπομακρυνθῇ ἀπὸ ὅλα τὰ βιωτικά, μὲ μεγάλην εὐκολίαν νὰ στείλῃ εἰς τὸ βάθος τῆς ψυχῆς σας τὴν δύναμιν τῶν λόγων ποὺ θὰ εἰπῶ· ἀρκετὰ μὲν καὶ προηγουμένως ὁ λόγος ἀπέδειξεν ὅτι ὑπάρχει ἐντὸς ἡμῶν φυσικὸς νόμος διὰ νὰ γνωρίζωμεν τὰ καλὰ καὶ τὰ κακά.

3. Διὰ νὰ γίνῃ δὲ ἡ ἀπόδειξις τούτου εἰς ἡμᾶς καλυτέρα, μὲ τὴν ἰδίαν ὑπόθεσιν θὰ ἀσχοληθῶμεν καὶ σήμερον. Τὸ ὅτι ὅταν ἐδημιούργησεν ὁ Θεὸς τὸν ἄνθρωπον ἐξ ἀρχῆς τὸν ἔκαμε νὰ γνωρίζῃ καὶ τὰ δύο, τὸ ὁμολογοῦν ὅλοι οἱ ἄνθρωποι· διότι ὅταν ἁμαρτάνωμεν ὅλοι ἐντρεπόμεθα τοὺς κατωτέρους ἀπὸ ἡμᾶς, καὶ πολλάκις κάποιος κύριος ποὺ ἐπήγαινεν εἰς τὸν οἶκον πόρνης, καὶ εἶδε κάποιον ἀπὸ τοὺς δούλους του, ἀφοῦ ἐκοκκίνησεν, ἔφυγεν ἀπὸ τὸν κακὸν τοῦτον δρόμον. Πάλιν ὅταν λοιδορούμεθα ἀπὸ ἄλλους, οἱ ὁποῖοι χρησιμοποιοῦν εἰς βάρος μας ἐκφράσεις τῆς πονηρίας καὶ τῆς κακίας, θεωροῦμεν ὅτι τοῦτο εἶναι ὕβρις ἐναντίον μας·

πρᾶγμα εἶναί φαμεν· κἂν κακῶς πάθωμεν, εἰς δικαστήριον ἕλκομεν τοὺς ποιήσαντας. Οὕτως ἴσμεν τί μὲν κακία, τί δὲ ἀρετή. Τοῦτο γοῦν αὐτὸ καὶ ὁ Χριστὸς ἐμφαίνων καὶ δεικνύς, ὅτι οὐδὲν ξένον, οὐδὲ ὑπερβαῖνον ἡμῶν τὴν φύσιν νομοθετεῖ, ἀλλ' ὃ πάλαι προλαβὼν ἐγκατέθηκεν ἡμῶν τῷ συνειδότι, μετὰ τοὺς πολλοὺς ἐκείνους μακαρισμοὺς οὕτως ἔλεγεν· «Ἃ θέλετε ἵνα ποιῶσιν ὑμῖν οἱ ἄνθρωποι, ταῦτα καὶ ὑμεῖς ποιεῖτε αὐτοῖς».

Οὐ χρεία πολλῶν λόγων, φησίν, οὐδὲ μακροτέρων νόμων, οὐδὲ διδασκαλίας ποικίλης· τὸ θέλημά σου γενέσθω νόμος. Θέλεις εὐεργετεῖσθαι; Εὐεργέτησον ἕτερον. Θέλεις ἐλεεῖσθαι; Ἐλέησον τὸν πλησίον. Θέλεις ἐπαινεῖσθαι; Ἐπαίνεσον ἕτερον. Θέλεις ἀγαπᾶσθαι; Φίλησον. Θέλεις τῶν πρωτείων ἀπολαύειν; Παραχώρησον ἑτέρῳ πρότερον τούτων. Σὺ γενοῦ δικαστής, σὺ γενοῦ νομοθέτης τῆς σαυτοῦ ζωῆς. Καὶ πάλιν· «Ὃ μισεῖς, ἄλλῳ μὴ ποιήσῃς». Διὰ μὲν τούτου τῆς κακίας εἰσάγει τὴν ἀπαλλαγήν, διὰ δὲ τοῦ προτέρου τῆς ἀρετῆς τὴν ἐργασίαν. «Ὃ μισεῖς, ἄλλῳ μὴ ποιήσῃς». Μισεῖς ὑβρίζεσθαι; Μὴ ὑβρίσῃς ἕτερον. Μισεῖς βασκαίνεσθαι; Μηδὲ σὺ φθονήσῃς ἑτέρῳ. Μισεῖς ἀπατᾶσθαι; Μηδὲ σὺ ἀπατήσῃς ἄλλον. Καὶ ἐπὶ πάντων δὲ ἁπλῶς, ἂν τὰ δύο ῥήματα ταῦτα κατέχωμεν, οὐ δεησόμεθα διδασκαλίας ἑτέρας.

Τῆς γὰρ ἀρετῆς τὴν μὲν γνῶσιν ἐνέθηκεν ἡμῶν τῇ φύσει, τὴν δὲ πρᾶξιν, καὶ τὴν διόρθωσιν ἐπέτρεψεν ἡμῶν τῇ προαιρέσει. Τάχα ἀσαφὲς τὸ λεγόμενον· οὐκοῦν πειράσομαι σαφέστερον αὐτὸ ποιῆσαι πάλιν. Εἰς τὸ εἰδέναι ὅτι καλὸν τὸ σωφρονεῖν οὐ δεόμεθα λόγων, οὐδὲ διδασκαλίας· ἔχομεν γὰρ ἐν τῇ φύσει τὴν γνῶσιν αὐτοῦ, καὶ οὐ χρεία

4. Ματθ. 7, 12.
5. Τωβ. 4, 16.

καὶ ἂν πάθωμεν κάποιο κακόν, σύρομεν εἰς τὸ δικαστήριον αὐτοὺς ποὺ μᾶς τὸ ἔκαμαν. Ἀπὸ αὐτὸ λοιπὸν φαίνεται ὅτι γνωρίζομεν τί εἶναι κακία καὶ τί ἀρετή. Αὐτὸ λοιπὸν φανερώνων καὶ ὁ Χριστὸς καὶ ἀποδεικνύων ὅτι, ἀπὸ ὅσα νομοθετεῖ τίποτε δὲν εἶναι ξένον, οὔτε ὑπερβαίνει τὴν ἀνθρωπίνην φύσιν, ἀλλὰ εἶναι ἐκεῖνα ποὺ ἀπὸ παλαιὰ ἔθεσεν ἐντός μας, μετὰ τοὺς πολλοὺς ἐκείνους μακαρισμοὺς ἔλεγε τὰ ἑξῆς· «ἐκεῖνα ποὺ θέλετε νὰ κάμουν εἰς σᾶς οἱ ἄνθρωποι αὐτὰ νὰ κάμετε καὶ σεῖς εἰς αὐτούς»[4].

Δὲν εἶναι ἀνάγκη πολλῶν λόγων, λέγει, οὔτε μεγάλων λόγων, οὔτε ποικίλης διδασκαλίας· τὸ θέλημά σου ἂς γίνῃ νόμος. Θέλεις νὰ εὐεργετῆσαι; Εὐεργέτησε ἄλλον. Θέλεις νὰ σὲ ἐλεοῦν; Ἐλέησε τὸν πλησίον σου. Θέλεις νὰ σὲ ἐπαινοῦν; Νὰ ἐπαινῇς ἄλλον. Θέλεις νὰ σὲ ἀγαποῦν; Ἀγάπησε. Θέλεις νὰ ἀπολαύσῃς τὰ πρωτεῖα; Παραχώρησε εἰς τὸν ἄλλον προηγουμένως αὐτά. Σὺ νὰ γίνῃς δικαστής, σὺ νὰ γίνῃς νομοθέτης τῆς ζωῆς σου. Καὶ πάλιν λέγει· «Ἐκεῖνο ποὺ μισεῖς μὴ τὸ κάμῃς εἰς ἄλλον»[5]. Καὶ μὲ αὐτὸ ποὺ λέγει διδάσκει τὴν ἀπαλλαγὴν ἀπὸ τὴν κακίαν, δι' ἐκείνου δὲ ποὺ προηγουμένως εἶπε τὴν ἐργασίαν τῆς ἀρετῆς. «Αὐτὸ ποὺ μισεῖς μὴ τὸ κάμῃς εἰς ἄλλον». Μισεῖς ὅταν ὑβρίζεσαι; Μὴ ὑβρίζῃς ἄλλον. Μισεῖς ὅταν σὲ φθονοῦν. Οὔτε νὰ φθονήσῃς ἄλλον. Μισεῖς νὰ σὲ ἐξαπατοῦν; Μήτε σὺ νὰ ἐξαπατήσῃς ἄλλον. Καὶ γενικῶς δι' ὅλα τὰ ζητήματα, ἂν ἔχωμεν ὑπ' ὄψιν τὰ δύο αὐτὰ χωρία, δὲν θὰ χρειασθῶμεν ἄλλην διδασκαλίαν.

Διότι τῆς μὲν ἀρετῆς τὴν γνῶσιν ἔθεσεν ἐντὸς ἡμῶν, τὴν δὲ πρᾶξιν, καὶ τὴν συμμόρφωσίν μας πρὸς αὐτήν, ἀφῆκεν εἰς τὴν ἐλευθέραν μας θέλησιν. Ἴσως εἶναι ἀσαφὲς αὐτὸ ποὺ εἶπα· λοιπὸν θὰ προσπαθήσω νὰ κάμω τοῦτο σαφέστερον. Εἰς τὸ νὰ γνωρίζωμεν ὅτι εἶναι καλὸν πρᾶγμα ἡ σωφροσύνη δὲν ἔχομεν ἀνάγκην λόγων, οὔτε διδασκαλίας· διότι τὴν γνῶσιν αὐτῆς τὴν ἔχομεν ἀπὸ τὴν φύσιν μας, καὶ δὲν χρειάζεται νὰ κοπιάσωμεν καὶ νὰ ἀναζητήσωμεν διὰ νὰ

πόνων οὐδὲ καμάτων, ὥστε περιελθεῖν καὶ ζητῆσαι εἰ καλὸν ἡ σωφροσύνη καὶ χρήσιμον, ἀλλὰ κοινῇ γνώμῃ πάντες ὁμολογοῦμεν τοῦτο, καὶ οὐδεὶς ἀμφιβάλλει περὶ τῆς ἀρετῆς. Οὕτω καὶ τὴν μοιχείαν κακὸν εἶναι νομίζομεν, καὶ οὐδὲ ἐνταῦθα πόνων ἡμῖν δεῖ καὶ μαθήσεως, ὥστε γνῶναι τὴν τῆς ἁμαρτίας ταύτης κακίαν· ἀλλὰ πάντες ἐν ταῖς τοιαύταις ψήφοις ἐσμὲν αὐτοδίδακτοι, καὶ τὴν ἀρετήν, κἂν μὴ μετίωμεν αὐτήν, ἐπαινοῦμεν, ὥσπερ οὖν τὴν κακίαν, κἂν ἐργαζώμεθα, μισοῦμεν.

Καὶ τοῦτο Θεοῦ κατόρθωμα γέγονε μέγιστον, ὥστε τὸ συνειδὸς ἡμῶν, καὶ τὴν προαίρεσιν τέως καὶ πρὸ τῆς πράξεως οἰκειῶσαι μὲν τῇ ἀρετῇ, ἐκπολεμῶσαι δὲ τῇ πονηρίᾳ. Ὥσπερ οὖν ἔφην, ἡ μὲν γνῶσις ἑκατέρων τούτων ἔγκειται τῷ συνειδότι πάντων ἀνθρώπων, καὶ οὐ δεόμεθα διδασκάλου τινὸς πρὸς τὸ ταῦτα μαθεῖν· ἡ δὲ διόρθωσις λοιπὸν προαιρέσει, καὶ σπουδῇ, καὶ πόνοις ἐγκεχείρισται. Τί δή ποτε; Ὅτι εἰς τὸ πᾶν τῆς φύσεως ἐποίησεν, ἀστεφάνωτοι, καὶ χωρὶς βραβείων ἀπήλθομεν ἄν· καὶ ὥσπερ τὰ ἄλογα τῶν πλεονεκτημάτων ὧν ἔχει κατὰ φύσιν, οὐκ ἂν λάβοι μισθόν, οὐδὲν ἔπαινον, οὕτως οὐδὲ ἡμεῖς ἀπολαύσαιμεν ἄν τινος τούτων. Τὰ γὰρ τῆς φύσεως πλεονεκτήματα οὐ τῶν ἐχόντων, ἀλλὰ τοῦ δεδωκότος ἐστὶν ἔπαινος καὶ ἐγκώμιον. Τῇ μὲν οὖν φύσει τὸ πᾶν οὐκ ἐπέτρεψε διὰ τοῦτο· πάλιν τὴν προαίρεσιν ὁλόκληρον ἀναδέξασθαι τὸ φορτίον οὐκ εἴασε, καὶ τὸ τῆς γνώσεως, καὶ τὸ τῆς διορθώσεως, ἵνα μὴ πρὸς τὸν πόνον ἀπαγορεύσῃ τῆς ἀρετῆς· ἀλλ' ὑπαγορεύει μὲν αὐτῇ τὸ συνειδὸς τὰ πρακτέα, πρὸς δὲ τὴν ἐργασίαν αὐτὴ τοὺς παρ' ἑαυτῆς εἰσφέρει πόνους.

Καὶ ὅτι μὲν καλὸν τὸ σωφρονεῖν μηδὲν καμόντες ἐπιστάμεθα· τῆς φύσεως γὰρ ἡ γνῶσις· σωφροσύνην δὲ οὐκ

μάθωμεν ἐὰν εἶναι καλὸν πρᾶγμα ἡ σωφροσύνη καὶ χρήσιμον, ἀλλὰ ἀπὸ κοινοῦ ὅλοι ὁμολογοῦμεν τοῦτο καὶ οὐδεὶς ἀμφιβάλλει περὶ τῆς ἀρετῆς. Ἔτσι θεωροῦμεν ὅλοι ὅτι ἡ μοιχεία εἶναι κακὸν πρᾶγμα, καὶ οὔτε χρειάζεται κόπος καὶ διδασκαλία διὰ νὰ μάθωμεν ὅτι αὐτὴ εἶναι κακία· ἀλλὰ ὅλοι εἰς τὰς κρίσεις μας περὶ αὐτῶν τῶν ζητημάτων εἴμεθα αὐτοδίδακτοι, καὶ τὴν ἀρετήν, καὶ ἂν ἀκόμη δὲν τὴν ἀσκοῦμεν, ὅμως τὴν ἐπαινοῦμεν, ὅπως καὶ τὴν κακίαν, καὶ ἂν ἀκόμη τὴν ἐργαζώμεθα, τὴν μισοῦμεν.

Καὶ τοῦτο εἶναι μέγιστον ἔργον τῆς σοφίας τοῦ Θεοῦ, ὥστε ἡ συνείδησις ἡμῶν καὶ ἡ ἐλευθερία τῆς βουλήσεως ἀπὸ τὴν ἀρχὴν καὶ πρὸ τῆς πράξεως νὰ διάκεινται φιλικῶς μὲν πρὸς τὴν ἀρετήν, ἐχθρικῶς δὲ πρὸς τὴν κακίαν. Καθὼς λοιπὸν εἶπα, ἡ μὲν γνῶσις τῆς ἀρετῆς καὶ τῆς κακίας ἔγκειται εἰς τὴν συνείδησιν ὅλων τῶν ἀνθρώπων, καὶ δὲν ἔχομεν τὴν ἀνάγκην κάποιου διδασκάλου, διὰ νὰ μᾶς διδάξῃ τοῦτο· ἡ διόρθωσις ὅμως ἐξαρτᾶται ἀπὸ τὴν ἐλευθέραν βούλησιν, ἀπὸ τὴν προθυμίαν καὶ τοὺς κόπους. Διατί λοιπὸν συμβαίνει τοῦτο; Διότι ἐὰν ἔκαμνεν ὁ Θεὸς τὸ πᾶν νὰ ἐξαρτᾶται ἀπὸ τὴν φύσιν μας, χωρὶς στεφάνους καὶ χωρὶς βραβεῖα θὰ ἀπερχώμεθα ἀπὸ τὸν κόσμον αὐτόν· καὶ ὅπως τὰ ἄλογα ζῶα διὰ τὰ πλεονεκτήματα ποὺ ἔχουν τὰ φυσικά, δὲν πρόκειται νὰ λάβουν μισθὸν οὔτε ἔπαινον, ἔτσι καὶ ἡμεῖς τίποτε δὲν θὰ ἠθέλομεν ἀπολαύσει ἀπὸ αὐτά. Διότι τὰ φυσικὰ πλεονεκτήματα, ὄχι ἐκείνων ποὺ τὰ ἔχουν, ἀλλὰ ἐκείνου ποὺ τοὺς τὰ ἔδωκεν εἶναι ἔπαινος καὶ ἐγκώμιον. Διὰ τοῦτο δὲν ἐπέτρεψεν εἰς τὴν φύσιν νὰ ὀφείλεται τὸ πᾶν εἰς αὐτήν· πάλιν ὅμως δὲν ἐπέτρεψεν ὁλόκληρον τὸ φορτίον νὰ τὸ ἀναλάβῃ ἡ προαίρεσις διὰ νὰ μὴ ἀποκάμῃ ἀπὸ τοὺς κόπους τῆς ἀρετῆς· ἀλλὰ ὑποδεικνύει εἰς αὐτὴν ἡ συνείδησις τί πρέπει νὰ πράξῃ, διὰ δὲ τὴν ἐργασίαν τῶν ὑποδεικνυομένων μόνη της αὐτὴ ἀναλαμβάνει τοὺς κόπους.

Καὶ ὅτι μὲν εἶναι καλὸν πρᾶγμα ἡ σωφροσύνη τὸ γνωρίζομεν χωρὶς νὰ καταβάλωμεν καμμίαν προσπάθειαν· διότι

ἂν δυνηθείημεν κατορθῶσαι μὴ καμόντες, μηδὲ τὴν ἐπιθυμίαν χαλινώσαντες, καὶ πολὺν ὑποστάντες πόνον. Τοῦτο γὰρ οὐκ ἔτι ἐκ φύσεως ἡμῖν πρόσεστι, καθάπερ ἡ γνῶσις, ἀλλὰ δεῖται προθυμίας καὶ σπουδῆς. Οὐ ταύτῃ δὲ μόνον ἐπεκούφισεν ἡμῖν τὸ βάρος, ἀλλὰ καὶ ἑτέρῳ τρόπῳ πάλιν, καὶ αὐτῶν τῶν κατορθωμάτων ἔνια φυσικὰ ἀφεὶς εἶναι ἐν ἡμῖν. Καὶ γὰρ τὸ συναγανακτεῖν τοῖς ὑβριζομένοις φυσικὸν ἅπαντες ἔχομεν, (εὐθέως οὖν τοῖς ἐπηρεάζουσιν ἐχθροὶ γινόμεθα, κἂν μηδὲν ὦμεν αὐτοὶ πεπονθότες) καὶ τὸ συνήδεσθαι τοῖς ἀντιλήψεως καὶ βοηθείας ἀπολαύουσι, καὶ τὸ κατακλᾶσθαι ἐπὶ ταῖς ἑτέρων συμφοραῖς καὶ τῇ φιλοστοργίᾳ τῇ πρὸς ἀλλήλους. Κἂν γὰρ πραγμάτων περιστάσεις δοκῶσι μικροψυχίαν τινὰ εἰσάγειν, ἀλλ' ὅμως ἔχομεν κοινὸν πρὸς ἀλλήλους φίλτρον. Καὶ τοῦτό τις σοφὸς αἰνιττόμενος ἔλεγε· Πᾶν ζῶον ἀγαπᾷ τὸ ὅμοιον αὐτῷ, καὶ ἄνθρωπος τὸν πλησίον αὐτοῦ.

4. Πολλοὺς δὲ καὶ ἑτέρους μετὰ τοῦ συνειδότος ἐπέστησεν ἡμῖν διδασκάλους ὁ Θεός. Καὶ γὰρ πατέρας τοῖς υἱοῖς, καὶ δεσπότας τοῖς δούλοις, καὶ ἄνδρας ταῖς γυναιξί, καὶ διδασκάλους τοῖς μαθηταῖς, καὶ νομοθέτας καὶ δικαστὰς τοῖς ἀρχομένοις, καὶ φίλους τοῖς φίλοις. Πολλάκις δὲ καὶ παρ' ἐχθρῶν ἐκερδάναμεν οὐκ ἔλαττον ἢ παρὰ φίλων· ὅταν γὰρ ἡμῖν ὀνειδίσωσι τὰ ἁμαρτήματα, καὶ ἄκοντας εἰς διόρθωσιν αὐτῶν διεγείρουσι. Τοσούτους δὲ ἡμῖν διδασκάλους ἐπέστησεν, ἵνα εὔκολος ἡμῖν ἡ τοῦ λυσιτελοῦντος εὕρεσίς τε καὶ διόρθωσις γένηται, τοῦ πλήθους τῶν πρὸς αὐτὸ συνελαυνόντων ἡμᾶς οὐκ ἀφιέντος ἐκπεσεῖν τῶν συμφερόντων ἡμῖν.

---

6. Σοφ. Σειρ. 13, 15.

ἡ γνῶσις αὐτὴ εἶναι ἔμφυτος· τὴν σωφροσύνην ὅμως δὲν θὰ ἠμπορέσωμεν νὰ ἐπιτύχωμεν, ἐὰν δὲν κοπιάσωμεν, οὔτε ἂν δὲν χαλιναγωγήσωμεν τὴν κακὴν ἐπιθυμίαν καὶ ὑποστῶμεν πολὺν κόπον. Διότι αὐτὸ δὲν ὑπάρχει εἰς ἡμᾶς ἐκ φύσεως, ὅπως ἡ γνῶσις, ἀλλὰ χρειάζεται προθυμίαν καὶ προσπάθειαν. Καὶ δὲν μᾶς ἔκαμε μόνον δι' αὐτοῦ τοῦ τρόπου ἐλαφρότερον τὸ βάρος, ἀλλὰ καὶ μὲ κάποιον ἄλλον τρόπον, μὲ τὸ νὰ ἀφήσῃ νὰ μᾶς εἶναι μερικὰ ἀπὸ τὰ κατορθώματα φυσικά. Καθ' ὅσον καὶ τὸ νὰ ἀγανακτοῦμεν μαζὶ μὲ ἐκείνους ποὺ ὑβρίζονται τὸ ἔχομεν ὅλοι ἐκ φύσεως, (διότι ἀμέσως γινόμεθα ἐχθροὶ μὲ ἐκείνους ποὺ βλάπτουν τοὺς ἄλλους, ἀκόμα καὶ ἂν δὲν ἔχωμεν πάθει ἡμεῖς τίποτε ἀπὸ αὐτοὺς) καὶ τὸ νὰ αἰσθανώμεθα εὐχαρίστησιν μαζὶ μὲ ἐκείνους ποὺ ἀπολαμβάνουν βοήθειαν καὶ ὑποστήριξιν, καὶ τὸ νὰ στενοχωρούμεθα διὰ τὰς συμφορὰς τῶν ἄλλων, καὶ τὸ νὰ συγκινούμεθα διὰ τὴν πρὸς ἀλλήλους ἀγάπην. Διότι καὶ ἂν αἱ περιστάσεις τῶν πραγμάτων φαίνεται ὅτι μᾶς κάμουν νὰ εἴμεθα μικρόψυχοι, ὅμως ἔχομεν κοινὴν μεταξύ μας ἀγάπην. Καὶ τοῦτο ἐννοῶν κάποιος σοφὸς ἔλεγε· «Κάθε ζῶον ἀγαπᾷ τὸ ὅμοιόν του, καὶ ὁ ἄνθρωπος τὸν πλησίον του»[6].

4. Καὶ ἄλλους πολλούς, ἐκτὸς τῆς συνειδήσεως, ἔβαλεν εἰς ἡμᾶς διδασκάλους ὁ Θεός. Καθ' ὅσον εἶναι διδάσκαλοι οἱ πατέρες εἰς τὰ παιδιά των, οἱ κύριοι εἰς τοὺς ὑπηρέτας των, οἱ ἄνδρες εἰς τὰς γυναῖκας, οἱ διδάσκαλοι εἰς τοὺς μαθητάς, οἱ νομοθέται καὶ οἱ δικασταὶ εἰς τοὺς ἀρχομένους καὶ οἱ φίλοι εἰς τοὺς φίλους. Πολλάκις δὲ ἔχομεν ὠφεληθῆ ἀπὸ τοὺς ἐχθροὺς περισσότερα παρὰ ἀπὸ τοὺς φίλους· διότι ὅταν αὐτοὶ μᾶς ἐμπαίζουν διὰ τὰ ἁμαρτήματά μας, χωρὶς νὰ τὸ θέλωμεν μᾶς διεγείρουν πρὸς διόρθωσίν των. Μᾶς ἔδωσε τόσους διδασκάλους διὰ νὰ γίνεται μὲ εὐκολίαν ἡ εὕρεσις ἐκείνου ποὺ μᾶς ὠφελεῖ καὶ ἡ διόρθωσις ἐκείνου ποὺ μᾶς βλάπτει, ἐπειδή, ἕνεκα τοῦ πλήθους τῶν παραγόντων τούτων ποὺ μᾶς καθοδηγοῦν, δὲν μᾶς ἐπιτρέπει νὰ ἐκπέσωμεν ἀπὸ ἐκεῖνα ποὺ μᾶς συμφέρουν.

Κἂν γὰρ τῶν γεγεννηκότων καταφρονήσωμεν, τοὺς ἄρχοντας δεδοικότες, ἐπιεικέστεροι πάντως ἐσόμεθα· κἂν ἐκείνους διαπτύσωμεν ἁμαρτάνοντες, τὴν τοῦ συνειδότος οὐδέποτε δυνησόμεθα διαφυγεῖν ἐπιτίμησιν· κἂν ταύτην ἀτιμάσωμεν καὶ διακρουσώμεθα, τὴν παρὰ τῶν πολλῶν ὑπόληψιν δεδοικότες ἀμείνους ἐσόμεθα· κἂν πρὸς ταύτην ἀναισχυντήσωμεν, ὁ τῶν νόμων ἐγκείμενος φόβος καὶ ἄκοντας ἡμᾶς σωφρονίσαι δυνήσεται, καὶ νέους μὲν ὄντας διδάσκαλοι καὶ πατέρες, αὐξηθέντας δὲ οἱ νομοθέται καὶ ἄρχοντες παραλαβόντες ῥυθμίζουσιν· οἵ τε οἰκέται, ἅτε ῥαθυμότερον διακείμενοι μετὰ τῶν εἰρημένων καὶ τὴν παρὰ τῶν δεσποτῶν ἀνάγκην εἰς σωφροσύνην ἔχουσι, καὶ αἱ γυναῖκες τοὺς ἄνδρας· καὶ πολλὰ πανταχόθεν ἡμῶν τῷ γένει τὰ τειχία πρὸς τὸ μὴ ῥαδίως εἰς κακίαν ἐξολισθῆσαι καὶ καταπεσεῖν.

Πρὸς δὲ τούτοις ἅπασι, καὶ νόσοι καὶ περιστάσεις πραγμάτων ἡμᾶς παιδεύουσι. Καὶ γὰρ πενία κατέχει, καὶ ζημία σωφρονίζει, καὶ κίνδυνος καταστέλλει, καὶ πολλὰ ἕτερα τοιαῦτα. Οὐ φοβεῖ σε πατήρ; οὐδὲ διδάσκαλος; οὐκ ἄρχων; οὐ νομοθέτης; οὐ δικαστής; Οὐκ ἐντρέπει σε φίλος; Οὐ δάκνει σε ἐχθρός; Οὐ σωφρονίζει δεσπότης; Οὐ διδάσκει ἀνήρ; Οὐ διορθοῦταί σε τὸ συνειδός; Ἀλλ' ἀρρωστία πολλάκις ἐπελθοῦσα σωματικὴ τὸ πᾶν κατώρθωσε, καὶ ζημία δὲ τὸν θρασύτερον ἐποίησεν ἐπιεικέστερον· καὶ τὸ δὴ μεῖζον, ὅτι οὐχ ἡμῖν μόνον, ἀλλὰ καὶ ἑτέροις συμπίπτοντα τὰ δεινὰ μεγάλα ἡμᾶς ὠφελεῖν εἴωθε· καὶ αὐτοὶ μὲν μηδέν τι παθόντες, ἑτέρους δὲ κολαζομένους ἰδόντες οὐκ ἔλατ-

Διότι ἀκόμη καὶ ἂν περιφρονήσωμεν τοὺς γονεῖς μας, θὰ γίνωμεν φρονιμότεροι ὁπωσδήποτε ἐπειδὴ φοβούμεθα τοὺς ἄρχοντας· καὶ ἂν περιφρονήσωμεν καὶ ἐκείνους ἁμαρτάνοντες, ὅμως τὴν ἐπιτίμησιν τῆς συνειδήσεως οὐδέποτε θὰ ἠμπορέσωμεν νὰ διαφύγωμεν· καὶ ἂν καὶ αὐτὴν ἀτιμάσωμεν καὶ ἀποκρούσωμεν, θὰ γίνωμεν καλύτεροι, φοβούμενοι τὴν ἐντύπωσιν ποὺ θὰ σχηματίσουν οἱ πολλοί· καὶ ἂν φανῶμεν ἀναίσχυντοι ἀπέναντι αὐτῆς, θὰ ἠμπορέσῃ νὰ μᾶς σωφρονίσῃ παρὰ τὴν θέλησίν μας ὁ φόβος ποὺ προέρχεται ἀπὸ τοὺς νόμους, καὶ ἐνῷ εἴμεθα ἀκόμη νέοι οἱ πατέρες καὶ οἱ διδάσκαλοι μᾶς παιδαγωγοῦν, ὅταν δὲ μεγαλώσωμεν οἱ ἄρχοντες καὶ οἱ νομοθέται μᾶς παραλαμβάνουν καὶ ρυθμίζουν τὸν βίον μας· καὶ οἱ ὑπηρέται, ἐπειδὴ εἶναι ραθυμότεροι ἀπὸ ἡμᾶς, ἐκτὸς τῶν ὅσων ἐλέχθησαν ἔχουν τὴν ἀνάγκην καὶ τῆς ἐπιβολῆς τῶν κυρίων των διὰ νὰ σωφρονισθοῦν, καὶ αἱ γυναῖκες τῶν ἀνδρῶν· καὶ πολλὰ ἀπὸ παντοῦ ὑπάρχουν εἰς τὸ γένος μας προστατευτικὰ μέσα, ὥστε νὰ μὴ ὀλισθαίνῃ κανεὶς εὔκολα εἰς τὴν κακίαν καὶ καταπέσῃ εἰς αὐτήν.

Σὺν τοῖς ἄλλοις καὶ αἱ ἀσθένειαι καὶ αἱ περιστάσεις αἱ δύσκολοι μᾶς διδάσκουν. Καθ' ὅσον καὶ ἡ πενία μᾶς συγκρατεῖ καὶ ἡ ζημία μᾶς σωφρονίζει καὶ ὁ κίνδυνος μᾶς κάμει νὰ εἴμεθα συνεσταλμένοι καὶ πολλὰ ἄλλα τέτοια. Δὲν σοῦ προκαλεῖ φόβον ὁ πατέρας; οὔτε ὁ διδάσκαλος; οὔτε ὁ ἄρχων; οὔτε ὁ νομοθέτης; οὔτε ὁ δικαστής; Δὲν σὲ κάμει νὰ ἐντρέπεσαι ὁ φίλος; Δὲν σοῦ σταματᾷ τὴν κακίαν ὁ ἐχθρός; Δὲν σὲ σωφρονίζει ὁ κύριος σου; Δὲν σὲ διδάσκει ὁ συνάνθρωπός σου; Δὲν σὲ διορθώνει ἡ συνείδησίς σου; Ὅμως ὅταν ἐπέλθῃ πολλάκις ἀρρώστεια σωματικὴ ἐπιτυγχάνει τὸ πᾶν καὶ ἡ ζημία τὸν πλέον σκληρὸν τὸν κάμει ἐπιεικέστερον· καὶ τὸ σπουδαιότερον εἶναι ὅτι ὄχι μόνον ὅταν συμβαίνουν αὐτὰ εἰς ἡμᾶς, ἀλλὰ καὶ ὅταν συμβαίνουν τὰ κακὰ αὐτὰ εἰς τοὺς ἄλλους, ἡμεῖς ἀποκομίζομεν μεγάλην ὠφέλειαν· καὶ ἡμεῖς οἱ ἴδιοι χωρὶς νὰ πάθωμεν τίποτε, μόνον δὲ ποὺ εἴδαμεν ἄλλους νὰ τιμωροῦνται, ἐσωφρονίσθημεν ὄχι

τον ἐκείνων ἐσωφρονίσθησαν. Τοῦτο καὶ ἐπὶ τῶν κατορθωμάτων συμβαῖνον ἴδοι τις ἄν· ὥσπερ γὰρ κολαζομένων τῶν κακῶν ἕτεροι βελτίους γίνονται· οὕτω τῶν ἀγαθῶν κατορθούντων, πολλοὶ εἰς τὸν ἴσον ἐνάγονται ζῆλον· ὃ δὴ καὶ ἐπὶ τῆς τῶν ὅρκων συνέβη φυγῆς.

Πολλοὶ γὰρ ἑτέρους ἰδόντες τὴν πονηρὰν ἀποθεμένους τῶν ὅρκων συνήθειαν, ἐμιμήσαντο τὴν σπουδήν, περιεγένοντο τῆς ἁμαρτίας· διὸ καὶ ἡμεῖς προθυμότερον τῆς αὐτῆς ἁπτόμεθα παραινέσεως. Μὴ γάρ μοι λεγέτω τις, ὅτι πολλοὶ κατώρθωσαν· οὐ τοῦτό ἐστι τὸ ζητούμενον· ἀλλ' ἵνα πάντες. Ἕως δ' ἂν μὴ τοῦτο ἴδω, οὐ δύναμαι ἀναπνεῦσαι. Ὁ ποιμὴν ἐκεῖνος ἑκατὸν πρόβατα εἶχε, καὶ ἑνὸς πλανηθέντος, οὐκ ἐλάμβανε αἴσθησιν τῆς σωτηρίας τῶν ἐνενήκοντα ἐννέα, ἕως ἂν τὸ ἀπολωλὸς εὗρε, καὶ τῇ ποίμνῃ πάλιν ἀπέδωκεν. Οὐχ ὁρᾷς καὶ ἐπὶ τοῦ σώματος τοῦτο γινόμενον; Ἐὰν γὰρ τὸν ὄνυχα μόνον προσπταίσαντες ἀναστρέψωμεν, ὅλον τῷ μέλει συναλγεῖ τὸ σῶμα.

Μὴ τοίνυν τοῦτο εἴπῃς, ὡς ὀλίγοι τινὲς ὑπελείφθησαν οἱ μὴ κατορθώσαντες, ἀλλ' ἐκεῖνο σκόπει ὅτι οὗτοι οἱ ὀλίγοι μὴ διορθωθέντες πολλοὺς διαφθείρουσιν ἑτέρους. Καὶ γὰρ εἷς ἦν ὁ πεπορνευκὼς παρὰ Κορινθίοις, καὶ ὅμως οὕτως ἔστενεν ὁ Παῦλος ὡς ὅλης τῆς πόλεως ἀπολωλυίας. Καὶ μάλα εἰκότως· ᾔδει γὰρ ὅτι μὴ σωφρονισθέντος ἐκείνου ταχέως τὸ νόσημα βαδίζον ὁδῷ καὶ τοὺς ἄλλους ἐπιδραμεῖται πάντας. Εἶδον πρώην ἐν τῷ δικαστηρίῳ δεδεμένους καὶ ἀπαγομένους διὰ μέσης τῆς ἀγορᾶς τοὺς περιφανεῖς ἐκείνους ἄνδρας, καί τινων θαυμαζόντων διὰ τὴν ὑπερβολὴν τῆς ὕβρεως, 'οὐδὲν χρὴ θαυμάζειν' ἕτεροι ἔλεγον· ἔνθα γὰρ

7. Πρβλ. Ματθ. 18, 12-13.
8. Πρβλ. Α' Κορ. 5.

ὀλιγώτερον ἀπὸ ἐκείνους. Τοῦτο ἠμπορεῖ νὰ παρατηρήσῃ κανεὶς καὶ εἰς τὰ διάφορα κατορθώματα· διότι ὅπως ὅταν τιμωροῦνται οἱ κακοί, ἄλλοι γίνονται καλύτεροι, ἔτσι καὶ ὅταν οἱ καλοὶ κατορθώνουν νὰ κάμουν κάτι καλόν, πολλοὶ ὁδηγοῦνται εἰς τὸν ἴδιον μὲ ἐκείνους ζῆλον, ὅπως ἀκριβῶς συνέβη καὶ μὲ τὴν ἐντολὴν τῆς ἀποφυγῆς τῶν ὅρκων.

Πολλοὶ δηλαδὴ ἐπειδὴ εἶδον ἄλλους νὰ ἔχουν κόψει τὴν κακὴν συνήθειαν τῶν ὅρκων, ἐμιμήθησαν τὴν προσπάθειαν ἐκείνων, καὶ ἐνίκησαν τὴν ἁμαρτίαν· διὰ τοῦτο καὶ ἡμεῖς μὲ μεγαλυτέραν προθυμίαν ἐπανερχόμεθα πάλιν εἰς τὴν ἰδίαν προτροπήν. Ἂς μὴ μοῦ εἰπῇ κανεὶς ὅτι πολλοὶ κατώρθωσαν νὰ μὴ ὁρκίζωνται, δὲν εἶναι αὐτὸ ἐκεῖνο ποὺ ἐπιζητοῦμεν, ἀλλὰ ἐπιζητοῦμεν νὰ τὸ κατορθώσουν ὅλοι. Καὶ ἕως ὅτου δὲν ἴδω νὰ συμβαίνῃ τοῦτο δὲν ἠμπορῶ νὰ ἐφησυχάσω. Ὁ ποιμὴν ἐκεῖνος εἶχεν ἑκατὸν πρόβατα, καὶ ἐπειδὴ ἐχάθη τὸ ἕνα δὲν ἔμενεν εὐχαριστημένος ποὺ εἶχε τὰ ἐνενήκοντα ἐννέα, ἕως ὅτου εὗρε τὸ ἀπολωλὸς καὶ τὸ ὡδήγησε πάλιν εἰς τὴν ποίμνην του[7]. Δὲν παρατηρεῖς ὅτι τὸ ἴδιον συμβαίνει καὶ εἰς τὸ σῶμα; Διότι ἐὰν γυρίσῃ πίσω τὸ νύχι μας, ὅταν σκοντάψωμεν κάπου, ὁλόκληρον τὸ σῶμα συμπάσχει μὲ τὸ μέλος ποὺ πάσχει.

Μὴ μοῦ εἰπῇς ὅτι εἶναι ὀλίγοι αὐτοὶ ποὺ δὲν τὸ κατώρθωσαν, ἀλλὰ τοῦτο νὰ σκέφτεσαι ὅτι οἱ ὀλίγοι αὐτοὶ ποὺ δὲν ἔχουν διορθωθῆ, βλάπτουν πολλοὺς ἄλλους. Καθ' ὅσον ἕνας ἦτο ὁ Κορίνθιος ποὺ ἐπόρνευσε, καὶ ὅμως ὁ Παῦλος ἀνεστέναζε κατὰ τοιοῦτον τρόπον, ὡσὰν ἡ πόλις ὁλόκληρος νὰ εἶχε χαθῆ[8]· καὶ πολὺ ὀρθῶς· διότι ἐγνώριζεν ὅτι ἂν δὲν ἐσωφρονίζετο ἐκεῖνος γρήγορα θὰ ἐπροχωροῦσε τὸ νόσημα καὶ θὰ κατελάμβανεν ὅλους. Εἶδα προηγουμένως εἰς τὸ δικαστήριον δεμένους τοὺς ἐπισήμους ἐκείνους ἄνδρας καὶ νὰ ὁδηγοῦνται διὰ μέσου τῆς ἀγορᾶς, καὶ μερικοὺς νὰ ἀποροῦν διὰ τὴν τόσην περιφρόνησιν ποὺ ἐγίνετο εἰς αὐτούς, καὶ ἄλλους ποὺ ἔλεγον πρὸς αὐτοὺς 'δὲν πρέπει νὰ ἀπορῆτε'· διότι ὅπου ὑπάρχει ἔγκλημα καθοσιώσεως, εἰς τίποτε δὲν ὠφελεῖ τὸ

ἂν ᾖ καθοσίωσις, ἀξίωμα οὐδὲν ὠφελεῖ. Οὐκοῦν πολλῷ μᾶλλον ἔνθα ἂν ἀσέβεια ᾖ, ἀξίωμα οὐδὲν ὠφελεῖ.

5. Ταῦτα οὖν ἐννοοῦντες διαναστήσωμεν ἑαυτούς· ἐὰν γὰρ μὴ τὴν παρ' ὑμῶν σπουδὴν ὑμεῖς εἰσενέγκητε, περιττὰ τὰ παρ' ἡμῶν ἅπαντα. Τί δήποτε; Ὅτι οὐχ ὥσπερ αἱ λοιπαὶ τέχναι, οὕτω καὶ ἡ διδασκαλική ἐστι δύναμις. Ὁ μὲν γὰρ ἀργυροκόπος οἷον ἂν χαλκεύσῃ τὸ σκεῦος καὶ ἀπόθηται, τοιοῦτον ἐλθὼν τῇ ἐπιούσῃ πάλιν εὑρήσει· καὶ ὁ χαλκοτύπος, καὶ ὁ λιθοξόος, καὶ τῶν δημιουργῶν ἕκαστος οἷον ἂν ἀφῇ τὸ οἰκεῖον ἔργον, τοιοῦτον ἀπολήψεται πάλιν· ἐπὶ δὲ ἡμῶν οὐχ οὕτως, ἀλλὰ τοὐναντίον ἅπαν· οὐ γὰρ ἄψυχα σκεύη, ἀλλὰ ψυχὰς χαλκεύομεν λογικάς. Διὰ τοῦτο οὐ τοιούτους ὑμᾶς εὑρίσκομεν οἵους καταλιμπάνομεν, ἀλλ' ἐπειδὰν λαβόντες μετὰ πολλοῦ καμάτου διαπλάσωμεν, διορθώσωμεν, θερμοτέρους ἐργαζώμεθα, ἐξελθόντας ὑμᾶς ἡ τῶν πραγμάτων περίστασις πανταχόθεν περιστοιχιζομένη διαστρέφει πάλιν, καὶ πλείονα παρέχει τὴν δυσκολίαν ἡμῖν. Διὰ τοῦτο δέομαι καὶ ἀντιβολῶ χεῖρα ὀρέξαι, καὶ ὅσην ἐνταῦθα ποιοῦμαι τὴν σπουδὴν πρὸς τὴν διόρθωσιν τὴν ὑμετέραν, τοσαύτην ἀπελθόντες ἐντεῦθεν ἐπιδείκνυσθε περὶ τὴν σωτηρίαν τὴν ὑμετέραν φροντίδα.

Εἴθε μὲν γὰρ δυνατὸν ἦν ὑπὲρ ὑμῶν ἐμὲ κατορθοῦν, καὶ τὰ ἔπαθλα ὑμᾶς λαμβάνειν τῶν κατορθωμάτων, καὶ οὐκ ἂν τοσοῦτον ἠνώχλησα. Ἀλλὰ τί πάθω; Τοῦτο ἀμήχανον· ἑκάστῳ γὰρ κατὰ τὰ ἔργα αὐτοῦ ἀποδώσει. Ὥσπερ οὖν μήτηρ ὁρῶσα τὸ παιδίον πυρέττον, παρεστῶσα ἀρχομένῳ καὶ καιομένῳ, θρηνοῦσα πολλάκις εἶπε πρὸς τὸ νοσοῦν παιδίον, εἴθε μοι δυνατὸν ἦν, τέκνον, τὸν πυρετὸν ἀναδέξασθαι τὸν

ἀξίωμα. Λοιπὸν πολὺ περισσότερον ὅπου ὑπάρχει ἀσέβεια, δὲν ὠφελεῖ καθόλου τὸ ἀξίωμα.

5. Αὐτὰ ἔχοντες ὑπ' ὄψιν ἂς ξεσηκώσωμεν τοὺς ἑαυτούς μας· διότι ἂν δὲν συνεισφέρετε καὶ σεῖς τὴν προσπάθειάν σας μὲ προθυμίαν εἶναι περιττὰ ὅλα ὅσα κάμνομεν ἡμεῖς. Διατί; Διότι ἡ δύναμις τῆς διδασκαλίας δὲν εἶναι ὅπως καὶ αἱ ἄλλαι τέχναι. Διότι ὁ μὲν ἀργυροκόπος ὅπως θὰ κατασκευάσῃ καὶ θὰ τοποθετήσῃ τὸ σκεῦος, ἔτσι θὰ τὸ εὕρῃ πάλιν τὴν ἑπομένην ὅταν θὰ ἔλθῃ· καὶ αὐτὸς ποὺ κατεργάζεται τὸν χαλκὸν καὶ ὁ λιθοξόος, καὶ κάθε ἕνας ἀπὸ τοὺς τεχνίτας, ὅπως θὰ ἀφήσῃ τὸ ἔργον, τέτοιον πάλιν θὰ τὸ παραλάβῃ· εἰς ἡμᾶς ὅμως δὲν συμβαίνει τὸ ἴδιον, ἀλλὰ ἐντελῶς τὸ ἀντίθετον· διότι δὲν κατασκευάζομεν ἄψυχα σκεύη, ἀλλὰ λογικὰς ψυχάς. Διὰ τοῦτο δὲν σᾶς εὑρίσκομεν εἰς τὴν κατάστασιν ποὺ σᾶς ἀφήνομεν, ἀλλὰ ἀφοῦ σᾶς παραλάβωμεν καὶ σᾶς διαπλάσωμεν μὲ πολὺν κόπον, σᾶς διορθώνομεν, σᾶς κάμνομεν θερμοτέρους, ὅταν δὲ φύγετε ἀπὸ ἐδῶ αἱ διάφοροι περιστάσεις, αἱ ὁποῖαι ἀπὸ παντοῦ σᾶς περιστοιχίζουν, σᾶς διαστρέφουν πάλιν καὶ μᾶς παρέχουν μεγαλυτέραν δυσκολίαν. Διὰ τοῦτο σᾶς ἱκετεύω καὶ σᾶς παρακαλῶ νὰ μᾶς δώσετε χεῖρα βοηθείας, καὶ ὅσην προσπάθειαν καταβάλλω ἐδῶ ἐγὼ πρὸς διόρθωσίν σας τόσην καὶ σεῖς νὰ ἐπιδεικνύετε προθυμίαν καὶ φροντίδα διὰ τὴν σωτηρίαν σας, ὅταν ἀπομακρυνθῆτε ἀπὸ ἐδῶ.

Εἴθε νὰ ἦτο δυνατὸν ἐγὼ διὰ λογαριασμόν σας νὰ εἰργαζόμουν τὰ ἔργα τῆς ἀρετῆς καὶ νὰ ἀπολαμβάνατε σεῖς τὰ βραβεῖα τῶν κατορθωμάτων, τότε δὲν θὰ σᾶς ἐνοχλοῦσα τόσον. Ὅμως τί νὰ κάμω; Τοῦτο εἶναι ἀδύνατον· διότι ὁ Θεὸς θὰ ἀποδώσῃ εἰς τὸν καθένα κατὰ τὰ ἔργα του. Ὅπως ἀκριβῶς ἡ μητέρα ἡ ὁποία βλέπει τὸ παιδί της νὰ ἔχῃ πυρετὸν καὶ νὰ πνίγεται καὶ νὰ καίεται ἀπὸ τὴν ζέστην, κάθεται κοντά του καὶ μὲ κλάματα λέγει πρὸς τὸ ἄρρωστον παιδί της, εἴθε νὰ μοῦ ἦτο δυνατόν, παιδί μου, νὰ πάρω ἐγὼ ἐπάνω μου τὸν ἰδικόν σου πυρετὸν καὶ τὴν ἰδικήν σου φλόγα ποὺ

σόν, καὶ ἐπ᾽ ἐμαυτὴν ἑλκύσαι τὴν φλόγα· οὕτω δὴ καὶ ἐγὼ λέγω νῦν, εἴθε δυνατὸν ἦν ἐμὲ πονήσαντα ὑπὲρ ὑμῶν κατορθῶσαι πάντων· ἀλλ᾽ οὐκ ἔστι τοῦτο, οὐκ ἔστιν, ἀλλὰ τῶν αὐτῷ πραττομένων ἕκαστον ἀνάγκη δοῦναι τὰς εὐθύνας, καὶ οὐκ ἂν ἴδοι τις ἕτερον ὑπὲρ ἑτέρου κολαζόμενον.

Διὰ τοῦτο ὀδυνῶμαι καὶ θρηνῶ, ὅτι κατὰ τὴν ἡμέραν ὑμῖν ἐκείνην ἐγκαλουμένοις οὐ δυνήσομαι παραστῆναι· μάλιστα μὲν γὰρ οὐδὲ παρρησία μοι πρὸς τὸν Θεόν ἐστι τοσαύτη. Εἰ δὲ καὶ παρρησίαν εἶχον, οὐκ εἰμὶ Μωσέως ἁγιώτερος, οὐδὲ Σαμουὴλ δικαιότερος, οὓς ἐπὶ τοσοῦτον ἀρετῆς ἥκοντας οὐκ ἔφη δύνασθαί τι τοὺς Ἰουδαίους ὠφελήσειν, διὰ τὸ πολλῇ ῥαθυμίᾳ αὐτοὺς ἐκείνους ἐκδοθῆναι.

Ἐπεὶ οὖν ἀπὸ τῶν οἰκείων ἔργων κολαζόμεθα καὶ σωζόμεθα, σπουδάσωμεν, παρακαλῶ, μετὰ τῶν ἄλλων ἁπάντων καὶ ταύτην ἐκπληρῶσαι τὴν ἐντολήν, ἵνα μετὰ χρηστῆς ἐλπίδος ἐντεῦθεν ἀπελθόντες, τύχωμεν τῶν ἐπηγγελμένων ἀγαθῶν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, δι᾽ οὗ καὶ μεθ᾽ οὗ τῷ Πατρὶ ἡ δόξα ἅμα τῷ ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων· Ἀμήν.

---

9. Πρβλ. Ἰερ. 15, 1.

ἔχεις, ἔτσι ἀκριβῶς λέγω καὶ ἐγὼ τώρα, εἴθε νὰ ἦτο δυνατὸν νὰ κοπιάσω ἐγὼ καὶ νὰ ἐπιτύχω δι' ἐσᾶς ἔργα ἀρετῆς· ὅμως τοῦτο δὲν εἶναι δυνατόν, δὲν εἶναι, ἀλλὰ κάθε ἕνας εἶναι ὑπεύθυνος διὰ τὰς πράξεις του καὶ δὲν εἶναι δυνατὸν νὰ ἰδῇ κάποιος νὰ τιμωρῆται ἄλλος χάριν ἄλλου.

Διὰ τοῦτο θλίβομαι καὶ θρηνῶ, διότι κατὰ τὴν ἡμέραν ἐκείνην ποὺ θὰ εὑρίσκεσθε εἰς τὸ δικαστήριον ὡς κατηγορούμενοι δὲν θὰ ἠμπορέσω νὰ σᾶς βοηθήσω, ἀφοῦ μάλιστα δὲν ἔχω τόσην παρρησίαν πρὸς τὸν Θεόν. Ἀκόμη δὲ καὶ παρρησίαν ἂν εἶχον, δὲν εἶμαι ἁγιώτερος ἀπὸ τὸν Μωυσῆν, οὔτε δικαιότερος ἀπὸ τὸν Σαμουήλ, οἱ ὁποῖοι, ἂν καὶ ἔφθασαν εἰς τόσον μεγάλο ὕψος ἀρετῆς, δὲν ἠμπόρεσαν, εἶπεν ὁ Θεός, νὰ ὠφελήσουν κατά τι τοὺς Ἰουδαίους, ἐπειδὴ εἰς μεγάλην ἀμέλειαν ἐκεῖνοι παρέδωκαν τὸν ἑαυτόν τους[9].

Ἐπειδὴ λοιπὸν ἀπὸ τὰ ἔργα μας τιμωρούμεθα καὶ σωζόμεθα, ἂς προσπαθήσωμεν, παρακαλῶ, μαζὶ μὲ ὅλας τὰς ἄλλας ἐντολὰς νὰ τηρήσωμεν καὶ αὐτὴν τὴν ἐντολήν, ὥστε, ἀφοῦ ἀπέλθωμεν ἐκ τοῦ κόσμου τούτου μὲ καλὰς ἐλπίδας, νὰ ἀπολαύσωμεν τὰ ἀγαθὰ ποὺ μᾶς ἔχει ὑποσχεθῆ ὁ Θεός, διὰ τῆς χάριτος καὶ φιλανθρωπίας τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, διὰ τοῦ ὁποίου καὶ μετὰ τοῦ ὁποίου εἰς τὸν Πατέρα καὶ εἰς τὸ ἅγιον Πνεῦμα ἂς εἶναι ἡ δόξα, τώρα καὶ πάντοτε καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ΟΜΙΛΙΑ ΔΕΚΑΤΗ ΤΕΤΑΡΤΗ

ΤΟΥ ΔΗΜΟΥ ΠΑΝΤΟΣ ΑΦΕΘΕΝΤΟΣ ΤΗΣ ΑΓΩΝΙΑΣ *καὶ θαρσήσαντος, τινὲς πάλιν τὴν πόλιν ἐτάραξαν φοβερὰς πλάττοντες φήμας, καὶ ἠλέγχθησαν· εἰς τοῦτό τε οὖν ὁμιλίαι εἴρηται, καὶ εἰς τὴν περὶ τῶν ὅρκων παραίνεσιν, διὸ καὶ ἡ κατὰ τὸν Ἰωνάθαν καὶ τὸν Σαοὺλ ἱστορία καὶ τὸν Ἰεφθάε παρήχθη, καὶ ἐδείχθη πόσαι ἐξ ἑνὸς ὅρκου γίνονται ἐπιορκίαι.*

1. *Οὐχ ὡς ἔτυχε τὴν πόλιν ἡμῖν ὁ διάβολος χθὲς ἐθορύβησεν, ἀλλὰ καὶ ὁ Θεὸς ἡμᾶς οὐχ ὡς ἔτυχε παρεκάλεσε πάλιν, ὥστε καὶ ἡμῶν ἕκαστον εὐκαίρως εἰπεῖν ἐκεῖνο τὸ προφητικόν. «Κατὰ τὸ πλῆθος τῶν ὀδυνῶν μου ἐν τῇ καρδίᾳ μου αἱ παρακλήσεις σου εὔφραναν τὴν ψυχήν μου». Οὐ τῷ παρακαλέσαι δὲ μόνον, ἀλλὰ καὶ τῷ συγχωρῆσαι θορυβηθῆναι, τὴν κηδεμονίαν ὁ Θεὸς ἡμῖν ἐπεδείξατο τὴν αὐτοῦ. Ὅπερ γὰρ λέγων οὐδέποτε ἐπαυσάμην, τοῦτο καὶ τήμερον ἐρῶ, ὅτι οὐχ ἡ ἀπαλλαγὴ τῶν δεινῶν, ἀλλὰ καὶ ἡ συγχώρησις τούτων ἀπὸ τῆς εὐνοίας γίνεται τοῦ Θεοῦ. Ὅταν γὰρ ἴδῃ πρὸς ῥᾳθυμίαν ἡμᾶς ἐκκλίνοντας, καὶ τῆς πρὸς αὐτὸν οἰκειώσεως ἀποπηδῶντας, καὶ τῶν πνευματικῶν οὐδένα ποιουμένους λόγον, ἐγκαταλιμπάνει μικρόν, ἵνα ταύτῃ σωφρονισθέντες σπουδαιότερον πρὸς αὐτὸν ἐπανέλθωμεν.*

Καὶ τί θαυμάζεις, εἰ ἐφ' ἡμῶν τῶν ῥαθύμων τοῦτο ποιεῖ, ὅπου γε καὶ Παῦλος καὶ ἐπ' αὐτοῦ, καὶ τῶν αὐτοῦ μαθητῶν ταύτην ἔλεγεν αἰτίαν εἶναι τῶν πειρασμῶν. Κορινθίοις γὰρ ἐπιστέλλων τὴν δευτέραν ἐπιστολὴν οὕτω πώς

1. Ψαλμ. 3, 19.

ΟΜΙΛΙΑ ΔΕΚΑΤΗ ΤΕΤΑΡΤΗ

ΟΤΑΝ ΟΛΟΣ Ο ΛΑΟΣ ΑΠΗΛΛΑΓΗ από τὴν ἀγωνίαν καὶ ἀνεθάρρησε, μερικοὶ πάλιν ἐτάραξαν τὴν πόλιν ἐπινοοῦντες φοβερὰς φήμας, αἱ ὁποῖαι ἀπεδείχθησαν ψευδεῖς· ἐξ αἰτίας τούτου ἐλέχθη ἡ ὁμιλία αὐτὴ καὶ διὰ τὴν περὶ τῶν ὅρκων συμβουλήν, διὰ τοῦτο ἐχρησιμοποιήθη καὶ ἡ ἱστορία τοῦ Ἰωνάθαν καὶ τοῦ Σαοὺλ καὶ τοῦ Ἰεφθάε, καὶ ἐδείχθη πόσαι ἐπιορκίαι προέρχονται ἀπὸ ἕνα ὅρκον μόνον.

1. Δὲν ἀνησύχησεν ὀλίγον τὴν πόλιν μας χθὲς ὁ διάβολος ἀλλὰ καὶ ὁ Θεὸς ὄχι ὀλίγον μᾶς παρηγόρησε πάλιν, ὥστε κάθε ἕνας ἀπὸ ἡμᾶς εἶναι εὐκαιρία νὰ εἰπῇ ἐκεῖνον τὸν προφητικὸν λόγον· «Ἀνάλογοι πρὸς τὰς θλίψεις μου ἦσαν καὶ αἱ παρηγορίαι μου, αἱ ὁποῖαι ἐγέμισαν μὲ εὐφροσύνην τὴν ψυχήν μου»[1]. Καὶ ἀπέδειξεν ὁ Θεὸς δι' ἡμᾶς τὴν φροντίδα του ὄχι μόνον μὲ τὸ ὅτι μᾶς παρηγόρησεν, ἀλλὰ καὶ μὲ τὸ ὅτι ἐπέτρεψε νὰ γίνῃ αὐτὴ ἡ ἀνησυχία. Διότι ἐκεῖνο ποὺ δὲν ἔπαυσα ποτὲ νὰ λέγω, αὐτὸ θὰ εἰπῶ καὶ σήμερον, ὅτι δηλαδὴ ὄχι ἡ ἀπαλλαγὴ ἀπὸ τὰ κακά, ἀλλὰ καὶ αὐτὰ τὰ ἴδια προέρχονται ἀπὸ τὴν ἀγάπην τοῦ Θεοῦ. Διότι ὅταν μᾶς ἰδῇ νὰ στρεφώμεθα πρὸς τὴν ἀμέλειαν καὶ νὰ ἀπομακρυνώμεθα ἀπὸ τὴν πρὸς αὐτὸν ἀφοσίωσιν καὶ νὰ μὴ φροντίζωμεν καθόλου διὰ τὰ πνευματικά, δι' ὀλίγον χρονικὸν διάστημα μᾶς ἐγκαταλείπει, ὥστε ἀφοῦ σωφρονισθῶμεν ἐξ αἰτίας αὐτῆς τῆς ἐγκαταλείψεως, νὰ ἐπανέλθωμεν πρὸς αὐτὸν μὲ μεγαλύτερον ζῆλον.

Καὶ διατί ἀπορεῖς ἂν τοῦτο τὸ κάμῃ δι' ἡμᾶς τοὺς ραθύμους, ἀφοῦ καὶ ὁ Παῦλος αὐτὸ θεωρεῖ ὡς αἰτίαν τῶν πειρασμῶν, καὶ τῶν ἰδικῶν του καὶ τῶν μαθητῶν του. Διότι στέλλων τὴν δευτέραν πρὸς Κορινθίους ἐπιστολὴν λέγει τὰ ἐ-

φησιν· «Οὐ θέλω δὲ ὑμᾶς ἀγνοεῖν, ἀδελφοί, περὶ τῆς θλίψεως τῆς γενομένης ἡμῖν ἐν τῇ Ἀσίᾳ, ὅτι καθ' ὑπερβολὴν ἐβαρήθημεν ὑπὲρ δύναμιν, ὥστε ἐξαπορηθῆναι ἡμᾶς καὶ τοῦ ζῆν· ἀλλ' αὐτοὶ ἐν ἑαυτοῖς τὸ ἀπόκριμα τοῦ θανάτου ἐσχήκαμεν»· ὃ δὲ λέγει τοιοῦτόν ἐστιν· οὕτω μεγάλοι, φησίν, ἡμῖν ἐπαιωρήθησαν κίνδυνοι, ὡς ἀπαγορεῦσαι τοῦ ζῆν, καὶ μηκέτι λοιπὸν ἐλπίσαι χρηστήν τινα ἔσεσθαι μεταβολήν, ἀλλ' ἢ θάνατον ἀναμένειν πάντως· τοῦτο γάρ ἐστι τό, «Αὐτοὶ ἐν ἑαυτοῖς τὸ ἀπόκριμα τοῦ θανάτου ἐσχήκαμεν»· ἀλλ' ὅμως μετὰ τὴν τοσαύτην ἀπόγνωσιν ἔλυσεν ὁ Θεὸς τὸν χειμῶνα, καὶ τὸ νέφος παρήνεγκε, καὶ ἐξ αὐτῶν τοῦ θανάτου τῶν πυλῶν ἡμᾶς ἥρπασεν. Εἶτα δεικνὺς ὅτι καὶ τὸ συγχωρῆσαι μέχρι τοσούτου κατενεχθῆναι κηδεμονίας ἦν πολλῆς τὸ γινόμενον, ἀπὸ τῶν πειρασμῶν διηγεῖται τὸ κέρδος· τοῦτο δὲ ἦν τὸ συνεχῶς πρὸς αὐτὸν βλέπειν, ἀλλὰ μὴ μεγαλοφρονεῖν μηδὲ ἐπαίρεσθαι. Διὰ τοῦτο εἰπὼν ὅτι, «Αὐτοὶ ἐν ἑαυτοῖς τὸ ἀπόκριμα τοῦ θανάτου ἐσχήκαμεν», καὶ τὴν αἰτίαν ἐπήγαγε. Τίς δέ ἐστιν ἡ αἰτία αὕτη; «Ἵνα μὴ πεποιθότες ὦμεν ἐφ' ἑαυτοῖς», φησίν, «ἀλλ' ἐπὶ τῷ Θεῷ τῷ ζωοποιοῦντι τοὺς νεκρούς». Νυστάζοντας γὰρ ἡμᾶς καὶ καταπίπτοντας ἀφυπνίζειν εἴωθε τῶν πειρασμῶν ἡ φύσις, καὶ διεγείρειν, καὶ εὐλαβεστέρους ποιεῖν.

Ὅταν οὖν ἴδῃς, ἀγαπητέ, πειρασμὸν νῦν μὲν σβεσθέντα, νῦν δὲ ἐγερθέντα πάλιν, μὴ καταπέσῃς, μηδὲ ἀπαγορεύσῃς, ἀλλὰ χρηστὰς ἔχε τὰς ἐλπίδας, ἐκεῖνο πρὸς ἑαυτὸν λογιζόμενος, ὅτι οὐχὶ μισῶν, οὐδὲ ἀποστρεφόμενος ἡμᾶς ὁ Θεὸς παραδίδωσι ταῖς χερσὶ τῶν ἐχθρῶν, ἀλλὰ σπουδαιοτέρους καὶ οἰκειοτέρους αὐτῷ κατασκευάσαι βουλόμενος. Μὴ τοίνυν ἀπαγορεύσωμεν, μηδὲ τὴν ἐπὶ τὸ βέλτιον ἀπογνῶμεν μεταβολήν, ἀλλὰ ταχίστην προσδοκῶμεν ἔσεσθαι γαλήνην, καὶ τὸ τέλος ἁπάντων τῶν κατεχόντων ἡμᾶς θορύβων ῥίψαν-

2. Β' Κορ. 1, 8-9.
3. Αὐτόθι.

ξῆς: «Δὲν θέλω νὰ ἀγνοῆτε, ἀδελφοί, τὴν θλῖψιν ποὺ μᾶς εὗρεν εἰς τὴν Ἀσίαν, διότι ἦτο τόσον ὑπερβολικὴ καὶ ἀνωτέρα τῶν δυνάμεών μας, ὥστε νὰ ἀπελπισθῶμεν καὶ δι' αὐτὴν τὴν ζωήν μας καὶ νὰ θεωροῦμεν βέβαιον τὸν θάνατον»[2]· αὐτὸ δὲ ποὺ λέγει σημαίνει τὸ ἑξῆς· τόσον μεγάλοι κίνδυνοι, λέγει, ἐπεκρέμαντο ὑπεράνω μας, ὥστε νὰ ἔχωμεν ἀπελπισθῆ διὰ τὴν ζωήν, καὶ δὲν ἐπεριμέναμεν πλέον καμμίαν εὐχάριστον μεταβολήν, παρὰ μόνον τὸν θάνατον, διότι αὐτὸ σημαίνει τό· «Νὰ θεωροῦμεν βέβαιον τὸν θάνατον»· ἀλλ' ὅμως μετὰ τὴν τόσην ἀπελπισίαν, ἔπαυσεν ὁ Θεὸς τὰς θλίψεις, καὶ ἔκαμε νὰ περάσῃ τὸ νέφος τῶν πειρασμῶν, καὶ μᾶς ἥρπαξεν ἀπὸ αὐτὰς τὰς πύλας τοῦ θανάτου. Ἔπειτα φανερώνων ὅτι καὶ τὸ νὰ ἐπιτρέψῃ ὁ Θεὸς νὰ φθάσῃ εἰς τέτοιον σημεῖον θλίψεων προήρχετο ἀπὸ πολλὴν φροντίδα, διηγεῖται τὸ κέρδος ποὺ προέρχεται ἀπὸ τοὺς πειρασμούς· αὐτὸ δὲ ἦτο τὸ νὰ ἀποβλέπουν συνεχῶς πρὸς αὐτόν, ἀλλὰ νὰ μὴ ὑψηλοφρονοῦν καὶ νὰ μὴ ὑπερηφανεύωνται. Διὰ τοῦτο ἀφοῦ εἶπεν ὅτι «θεωροῦμεν τὸν θάνατον βέβαιον» προσέθεσε καὶ τὴν αἰτίαν. Ποία λοιπὸν εἶναι ἡ αἰτία αὐτή; «Διὰ νὰ μὴ ἔχωμεν πεποίθησιν εἰς τὸν ἑαυτόν μας» λέγει «ἀλλὰ εἰς τὸν Θεόν, ὁ ὁποῖος ἀνασταίνει τοὺς νεκρούς»[3]. Διότι ὅταν ἡμεῖς νυστάζωμεν καὶ καταπίπτει τὸ φρόνημά μας, μᾶς ἀφυπνίζουν οἱ πειρασμοὶ καὶ μᾶς διεγείρουν καὶ μᾶς κάμουν πιὸ εὐσεβεῖς.

Ὅταν λοιπὸν ἴδῃς, ἀγαπητέ, πειρασμὸν ἄλλοτε νὰ σβήνῃ καὶ ἄλλοτε νὰ ἀνάβῃ, μὴ χάσῃς τὸ θάρρος σου, οὔτε νὰ ἀπελπισθῇς, ἀλλὰ νὰ αἰσιοδοξῇς, σκεπτόμενος ὅτι ὄχι ἀπὸ μῖσος, οὔτε ἐπειδὴ μᾶς ἀποστρέφεται ὁ Θεὸς μᾶς παραδίδει εἰς τὰ χέρια τῶν ἐχθρῶν, ἀλλὰ ἐπειδὴ θέλει νὰ μᾶς κάμῃ σπουδαιοτέρους καὶ πιὸ οἰκείους μὲ αὐτόν. Ἂς μὴ ἀποκάμωμεν λοιπὸν καὶ ἂς μὴ ἀπελπισθῶμεν διὰ τὴν πρὸς τὸ καλύτερον μεταβολήν μας, ἀλλὰ ἂς ἀναμένωμεν ὅτι σύντομα θὰ γίνῃ γαλήνη, καὶ ἀφοῦ ἀναθέσωμεν εἰς τὸν Θεὸν τὴν κατάπαυσιν ὅλων τῶν ἀνησυχιῶν ποὺ μᾶς κατέχουν, ἂς ἀσχολη-

τες ἐπὶ τὸν Θεόν, αὐτοὶ τῶν συνήθων ἁπτώμεθα πάλιν, καὶ τὴν εἰωθυῖαν διδασκαλίαν εἰς μέσον ἀγάγωμεν.

Πάλιν γὰρ ὑμῖν περὶ τῆς αὐτῆς ὑποθέσεως διαλεχθῆναι βούλομαι, ὥστε πρόρριζον ἀπὸ τῆς διανοίας ὑμῶν ἀνασπάσαι τὴν πονηρὰν τῶν ὅρκων συνήθειαν. Διόπερ ἀνάγκη πάλιν ἐπὶ τὴν αὐτὴν καταφυγεῖν ἱκετηρίαν. Καὶ γὰρ παρεκάλεσα πρῴην ὑμᾶς τὴν κεφαλὴν Ἰωάννου λαβόντας ἀποτετμημένην, καὶ θερμοῦ τοῦ αἵματος ἔτι ἀποστάζουσαν οὕτως ἀπελθεῖν οἴκαδε ἕκαστον, καὶ νομίζειν πρὸ τῶν ὀφθαλμῶν ὁρᾶν αὐτὴν φωνὴν ἀφιεῖσαν καὶ λέγουσαν, μισήσατέ μου τὸν σφαγέα τὸν ὅρκον. Ὅπερ ἔλεγχος οὐκ ἐποίησε, τοῦτο ὅρκος ἐποίησεν· ὅπερ θυμὸς τυραννικὸς οὐκ ἴσχυσε, τοῦτο ἐπιορκίας ἀνάγκη παρεσκεύασε. Καὶ ὅτε μὲν ἠλέγχετο δημοσίᾳ πάντων ἀκουόντων, ἤνεγκε γενναίως τὴν ἐπιτίμησιν ὁ τύραννος, ὅτε δὲ εἰς ὅρκων ἀνάγκην ἑαυτὸν ἐνέβαλε, τότε τὴν μακαρίαν ἐκείνην ἀπέτεμε κεφαλήν.

Τὸ αὐτὸ δὴ τοῦτο καὶ νῦν παρακαλῶ, καὶ παρακαλῶν οὐ παύομαι, ὥστε ὅπου περ ἂν ἀπίωμεν, ταύτην βαστάζοντας τὴν κεφαλὴν ἀπιέναι, καὶ πᾶσιν αὐτὴν ἐπιδεικνύναι βοῶσαν, καὶ τῶν ὅρκων κατηγοροῦσαν. Κἂν γὰρ σφόδρα ὦμεν ῥάθυμοι καὶ ὀλίγωροι, τοὺς ὀφθαλμοὺς τῆς κεφαλῆς ἐκείνης ὁρῶντες φοβερὸν εἰς ἡμᾶς βλέποντας, ἀπειλοῦντας ὀμνύουσι, χαλινοῦ παντὸς εὐτονώτερον τῷ φόβῳ τούτῳ σωφρονισθέντες, ἄγχειν καὶ ἀποστρέφειν δυνησόμεθα ῥᾳδίως τὴν γλῶτταν ἀπὸ τῆς ἐπὶ τοὺς ὅρκους ὁρμῆς. Οὐδὲ γὰρ τοῦτο μόνον τὸ δεινὸν ἔχει ὁ ὅρκος, ὅτι καὶ παραβαινόμενος καὶ φυλαττόμενος κολάζει τοὺς ἁλισκομένους, ὅπερ ἐν οὐδενὶ τῶν ἄλλων ἁμαρτημάτων συμβαῖνον ἴδοι τις ἄν· ἀλλὰ καὶ ἕτερον οὐκ ἔλαττον τούτου κακόν. Τί δὲ τοῦτό ἐστι; Τὸ μηδὲ βουλομένοις μηδὲ σπουδάζουσι δυνατὸν εἶναι εὐορκῆ-

θῶμεν μὲ τὰ συνηθισμένα ἔργα μας καὶ ἂς ἀρχίσωμεν τὴν συνηθισμένην διδασκαλίαν μας.

Διότι πάλιν ἐπιθυμῶ νὰ σᾶς ὁμιλήσω περὶ τοῦ ἰδίου θέματος ὥστε νὰ ἐκριζώσω ἀπὸ τὴν διάνοιάν σας τὴν κακὴν συνήθειαν τῶν ὅρκων. Διὰ τοῦτο εἶναι ἀνάγκη νὰ καταφύγω πάλιν εἰς τὴν ἰδίαν παράκλησιν. Καθ' ὅσον σᾶς παρεκάλεσα προηγουμένως νὰ φαντασθῆτε τὴν κεφαλὴν τοῦ Ἰωάννου κομμένην καὶ νὰ στάζῃ ἀκόμα ζεστὸν αἷμα, μὲ αὐτὴν τὴν εἰκόνα εἰς τὸν νοῦν νὰ ὑπάγῃ κάθε ἕνας εἰς τὸ σπίτι του καὶ νὰ νομίζῃ ὅτι τὴν βλέπει ἐμπρός του καὶ νὰ τοῦ λέγῃ, μισήσατέ μου τὸν σφαγέα μου τὸν ὅρκον. Ἐκεῖνο ποὺ δὲν ἔκαμεν ὁ ἔλεγχος τὸ ἔκαμεν ὁ ὅρκος· ἐκεῖνο ποὺ δὲν ἐπέτυχεν ὁ θυμὸς τοῦ τυράννου, τοῦτο τὸ ἐπραγματοποίησεν ἡ ἀνάγκη τῆς τηρήσεως τοῦ ὅρκου. Καὶ ὅταν μὲν εἰς ἐπήκοον ὅλων ἠλέγχετο δημοσίᾳ, ἔφερε τὸν ἔλεγχον μὲ γενναιότητα ὁ τύραννος, ὅταν δὲ ἐδεσμεύθη διὰ τοῦ ὅρκου, τότε ἀπέκοψε τὴν μακαρίαν ἐκείνην κεφαλήν.

Τὸ ἴδιον καὶ τώρα παρακαλῶ καὶ δὲν θὰ παύσω νὰ παρακαλῶ, ὥστε ὁπουδήποτε καὶ ἂν πηγαίνωμεν, νὰ πηγαίνωμεν κρατοῦντες τὴν κεφαλὴν αὐτὴν καὶ νὰ τὴν ἐπιδεικνύωμεν εἰς ὅλους καὶ νὰ τὴν ἀκούουν ποὺ φωνάζει καὶ κατηγορεῖ τοὺς ὅρκους. Διότι καὶ ἂν ἀκόμη εἴμεθα πάρα πολὺ ἀδιάφοροι καὶ ἀμελεῖς, ὅταν θὰ βλέπωμεν τοὺς ὀφθαλμοὺς τῆς κεφαλῆς ἐκείνης νὰ μᾶς κοιτάζουν μὲ βλέμμα φοβερόν, καὶ νὰ μᾶς ἀπειλοῦν, ὅταν ὁρκιζώμεθα, θὰ σωφρονισθῶμεν περισσότερον ἀπὸ κάθε χαλινὸν μὲ τὸν φόβον αὐτὸν καὶ θὰ ἠμπορέσωμεν νὰ δαγκώνωμεν καὶ νὰ ἀποστρέφωμεν τὴν γλῶσσαν μας ἀπὸ τὴν ὁρμὴν ποὺ ἔχει πρὸς τοὺς ὅρκους. Διότι δὲν ἔχει μόνον τοῦτο τὸ κακὸν ὁ ὅρκος, ὅτι δηλαδὴ καὶ ὅταν παραβαίνεται καὶ ὅταν τηρῆται τιμωρεῖ ἐκείνους ποὺ ἐκυριεύθησαν ἀπὸ αὐτόν, πρᾶγμα ποὺ δὲν συμβαίνει εἰς κανένα ἄλλο ἁμάρτημα, ἀλλὰ ἔχει καὶ ἄλλο κακὸν ὄχι μικρότερον ἀπὸ αὐτό. Ποῖον δὲ εἶναι τοῦτο; Τὸ ὅτι δὲν ἠμποροῦμεν πολλάκις, ἂν καὶ καταβάλλομεν προσπαθείας, νὰ

σαι πολλάκις. Πρῶτον μὲν γὰρ ὁ διηνεκῶς ὀμνύς, καὶ ἑκὼν καὶ ἄκων, καὶ ἀγνοῶν καὶ εἰδώς, καὶ σπουδάζων καὶ παίζων, καὶ ὑπὸ θυμοῦ πολλάκις ἐκφερόμενος καὶ ὑπὸ ἑτέρων πολλῶν, ἐπιορκήσει πάντως. Καὶ πρὸς ταῦτα οὐδεὶς ἀντερεῖ οὕτως ἐστὶν ὡμολογημένον καὶ δῆλον, ὅτι τὸν πολύορκον ἀνάγκη καὶ ἐπίορκον εἶναι.

Δεύτερον, ὅτι κἂν μὴ συναρπασθείς, μηδὲ ἄκων, μηδὲ ἀγνοῶν τοῦτο πάθῃ, ὑπ' αὐτῆς τοῦ πράγματος τῆς φύσεως, καὶ εἰδώς, καὶ ἑκών, ἀναγκασθήσεται ἐπιορκῆσαι πάντως. Πολλάκις γοῦν ἐπὶ τῆς οἰκίας ἀριστοποιουμένων ἡμῶν, καὶ τῶν οἰκετῶν τινος διαμαρτόντος, ὤμοσε μαστιγώσειν ἡ γυνή· εἶτα ἀντώμοσεν ὁ ἀνήρ, τὰ ἐναντία ἐπιφιλονεικῶν, καὶ οὐκ ἐκτρέπων. Ἐνταῦθα κἂν ὅ,τι ἂν ποιήσωσιν, ἀνάγκη πάντως ἐπιορκίαν συστῆναι· οὐδὲ γὰρ βουλομένοις αὐτοῖς οὐδὲ σπουδάζουσι φυλάξαι δυνατὸν τὸν ὅρκον λοιπόν· ἀλλ' ὅπερ ἂν γένηται, θάτερος αὐτῶν ἐπιορκίᾳ ἁλώσεται· μᾶλλον δὲ ἀμφότεροι πάντως· καὶ πῶς, ἐγὼ λέγω· τοῦτο γάρ ἐστι τὸ παράδοξον.

Ὁ ὀμόσας μαστιγώσειν τὸν οἰκέτην, ἢ τὴν θεραπαινίδα, εἶτα κωλυθείς, αὐτός τε ἐπιώρκησε μὴ ποιήσας ὅπερ ὤμοσε, καὶ τῷ κωλύσαντι πάλιν καὶ διακόψαντι τὴν εὐορκίαν τὸ ἔγκλημα τῆς ἐπιορκίας περιέστησεν. Οὐ γὰρ οἱ ἐπιορκοῦντες μόνον, ἀλλὰ καὶ οἱ ἑτέροις τὴν ἀνάγκην ταύτην ἐφιστῶντες, ὑπεύθυνοι τῶν αὐτῶν ἐγκλημάτων εἰσίν. Οὐκ ἐν οἰκίαις δὲ μόνον, ἀλλὰ καὶ ἐν ταῖς ἀγοραῖς ἴδοι τις ἂν τοῦτο γινόμενον, καὶ ἐν ταῖς μάχαις μάλιστα ὅταν πρὸς ἀλλήλους

τηρήσωμεν τὸν ὅρκον μας. Διότι πρῶτον μὲν ἐκεῖνος ποὺ συνεχῶς ὁρκίζεται καὶ μὲ τὴν θέλησίν του καὶ χωρὶς τὴν θέλησίν του, καὶ ἐν γνώσει καὶ ἐν ἀγνοίᾳ, καὶ εἰς τὰ σοβαρὰ καὶ εἰς τὰ ἀστεῖα καὶ ἀναγκαζόμενος πολλάκις ἀπὸ τὸν θυμόν του καὶ ἀπὸ πολλοὺς ἄλλους λόγους, ὁπωσδήποτε θὰ παραβῇ τὸν ὅρκον του. Καὶ εἰς αὐτὰ οὐδεὶς ἔχει ἀντίρρησιν, διότι εἶναι τόσον φανερὸν καὶ ἀπὸ ὅλους παραδεκτόν, ὅτι αὐτὸς ποὺ κάμνει πολλοὺς ὅρκους, κατ' ἀνάγκην θὰ παραβαίνῃ καὶ τοὺς ὅρκους.

Δεύτερον, διότι καὶ ἂν ἀκόμη δὲν πάθῃ τοῦτο ἐκ συναρπαγῆς, οὔτε ἐξ ἀγνοίας, οὔτε χωρὶς τὴν θέλησίν του, ἀπὸ αὐτὴν τὴν φύσιν τοῦ πράγματος καὶ ἐν γνώσει καὶ ἑκουσίως θὰ ἀναγκασθῇ ὁπωσδήποτε νὰ ἐπιορκήσῃ. Πολλάκις λοιπὸν ἐνῷ γευματίζομεν εἰς τὴν οἰκίαν μας, ἂν κάποιος ἀπὸ τοὺς ὑπηρέτας διαπράξῃ κάποιον σφάλμα, ὁρκίζεται ἡ γυναῖκα ὅτι θὰ τὸν μαστιγώσῃ· ἔπειτα ὁρκίζεται τὸ ἀντίθετον ὁ ἄνδρας καὶ φιλονεικεῖ μαζί της ἐπειδὴ ἔχει ἀντίθετον γνώμην καὶ δὲν τῆς ἐπιτρέπει νὰ τὸν δείρῃ. Ἐδῶ ὅ,τι καὶ ἂν κάμουν, κατ' ἀνάγκην θὰ γίνῃ παράβασις ὅρκου· διότι οὔτε ἂν θελήσουν, οὔτε ἂν ἐπιδιώξουν εἶναι δυνατὸν νὰ τηρήσουν τὸν ὅρκον των· ἀλλὰ ὅ,τι καὶ ἂν συμβῇ ὁ ἕνας ἐκ τῶν δύο θὰ παραβῇ τὸν ὅρκον του· μᾶλλον δὲ ὁπωσδήποτε καὶ οἱ δύο· καὶ πῶς, ἐγὼ θὰ σᾶς εἰπῶ, διότι αὐτὸ εἶναι τὸ παράδοξον.

Ἐκεῖνος ποὺ ὡρκίσθη νὰ μαστιγώσῃ τὸν ὑπηρέτην ἢ τὴν ὑπηρέτριαν καὶ ἔπειτα ἠμποδίσθη, αὐτὸς καὶ ἐπιώρκησεν, ἀφοῦ δὲν ἔκαμεν ἐκεῖνο ποὺ ὡρκίσθη νὰ κάμῃ, καὶ εἰς ἐκεῖνον πάλιν ποὺ τὸν ἠμπόδισε καὶ δὲν τὸν ἄφησε νὰ τηρήσῃ τὸν ὅρκον του ἔγινεν αἰτία νὰ πέσῃ εἰς τὸ ἔγκλημα τῆς παραβάσεως τοῦ ὅρκου. Διότι ὄχι μόνον οἱ ἐπιορκοῦντες, ἀλλὰ ἐκεῖνοι ποὺ φέρουν τοὺς ἄλλους εἰς τὴν ἀνάγκην νὰ παραβοῦν τὸν ὅρκον εἶναι ὑπεύθυνοι διὰ τὸ ἴδιον ἔγκλημα. Καὶ ὄχι μόνον εἰς τὰ σπίτια, ἀλλὰ καὶ εἰς τὰς ἀγορὰς εἶναι δυνατὸν νὰ παρατηρήσῃ κανεὶς τοῦτο, καὶ εἰς τὰς διαφόρους διαμάχας ὅταν ἐπιδεικνύουν τὶς γροθιὲς καὶ ὁρκίζωνται τὰ ἀντί-

πυκτεύοντες ἀντομνύωσιν, ὁ μὲν τυπτήσειν, ὁ δὲ μὴ τυπτήσεσθαι· ὁ μὲν ἀφαιρήσειν τὸ ἱμάτιον, ὁ δὲ οὐκ ἐπιτρέψειν· ὁ μὲν ἀπαιτήσειν τὸ ἀργύριον, ὁ δὲ οὐκ ἀποδώσειν· καὶ πολλὰ δὲ ἕτερα ἐναντία τοιαῦτα φιλονεικοῦντες ὀμνύουσι.

Καὶ ἐν ἐργαστηρίοις δὲ καὶ διδασκαλείοις ἴδοι τις ἂν τοῦτο συμβαῖνον. Πολλάκις γοῦν τεχνίτης διωμόσατο τῷ μαθητῇ μὴ πρότερον αὐτὸν ἀφήσειν φαγεῖν καὶ πιεῖν, ἕως ἂν τὸ δοθὲν ἔργον ἅπαν ἀνύσῃ. Τοῦτο δὲ καὶ παιδαγωγὸς πολλάκις πρὸς νέον, καὶ πρὸς θεράπαιναν ἐποίησε δέσποινα, καὶ ἀνάγκη τῆς ἑσπέρας καταλαβούσης, καὶ τοῦ ἔργου μὴ πληρωθέντος, ἢ λιμῷ διαφθαρῆναι τοὺς οὐκ ἀνύσαντας, ἢ ἐπιορκῆσαι τοὺς ὀμόσαντας πάντως. Ὁ γὰρ πονηρὸς δαίμων ἐκεῖνος, ὁ τοῖς ἀγαθοῖς ἐφεδρεύων ἀεὶ τοῖς ἡμετέροις, παρεστὼς καὶ ἀκούων τῆς ἀνάγκης τῶν ὅρκων, εἰς ῥαθυμίαν τοὺς ὑπευθύνους ἐμβάλλει, ἢ ἑτέραν δυσκολίαν ἐργάζεται ὥστε μὴ πληρωθέντος τοῦ ἔργου, καὶ πληγάς, καὶ ὕβρεις, καὶ ἐπιορκίας, καὶ μυρία ἕτερα γενέσθαι δεινά. Καθάπερ γὰρ παῖδες σχοινίαν μακρὸν καὶ διεφθαρμένον ἕλκοντες ἀπεναντίας ἀλλήλων μετὰ πολλῆς τῆς ῥύμης, ὕπτιοι πάντες πίπτουσι τοῦ σχοινίου μέσου διαρραγέντος, καὶ οἱ μὲν τὰς κεφαλάς, οἱ δὲ ἕτερόν τι τοῦ σώματος τιτρώσκονται μέρος· οὕτω δὴ καὶ οἱ ἀντομνύοντες ἀλλήλοις ἀπεναντίας, τοῦ ὅρκου διαρραγέντος ὑπὸ τῆς τῶν πραγμάτων ἀνάγκης, εἰς τὸ τῆς ἐπιορκίας ἀμφότεροι καταπίπτουσι βάραθρον, οἱ μὲν αὐτῷ τῷ ἐπιορκεῖν, οἱ δὲ τῷ τὴν αἰτίαν τῆς ἐπιορκίας παρασχεῖν ἑτέροις.

2. *Καὶ ἵνα μὴ τοῦτο ἀπὸ τῶν ἐν ταῖς ἀδικίαις καὶ τῶν ἐν ταῖς ἀγοραῖς καθ᾽ ἑκάστην ἡμέραν γινομένων μόνον, ἀλλὰ καὶ ἀπ᾽ αὐτῶν τῶν Γραφῶν γένηται δῆλον, ἱστορίαν ὑμῖν παλαιάν τινα διηγήσομαι τοῖς εἰρημένοις συμβαίνουσαν.*

θετα, ὅτι ὁ μὲν θὰ κτυπήσῃ, ὁ δὲ ἄλλος δὲν θὰ κτυπηθῇ· ὅτι ὁ μὲν ἕνας θὰ ἀφαιρέσῃ τὸ ἱμάτιον τοῦ ἄλλου, ὁ δὲ ἄλλος δὲν θὰ τοῦ τὸ ἐπιτρέψῃ, ὁ μὲν ἕνας ὅτι θὰ ζητήσῃ τὰ χρήματα, ὁ δὲ ἄλλος ὅτι δὲν θὰ τὰ ἀποδώσῃ καὶ πολλὰ ἄλλα τέτοια ἀντίθετα ὁρκίζονται κατὰ τὰς φιλονεικίας.

Καὶ εἰς τὰ ἐργαστήρια καὶ εἰς τὰ διδασκαλεῖα ἠμπορεῖ νὰ ἰδῇ κανεὶς νὰ συμβαίνῃ τοῦτο. Πολλάκις λοιπὸν ὁ τεχνίτης ὡρκίσθη ὅτι δὲν θὰ ἐπιτρέψῃ εἰς τὸν μαθητευόμενον νὰ φάγῃ καὶ νὰ πίῃ ἂν δὲν τελειώσῃ ὅλην τὴν ἐργασίαν ποὺ τοῦ ἐδόθη. Τὸ ἴδιον πολλάκις κάμνει καὶ ὁ παιδαγωγὸς διὰ τὸν νέον καὶ ἡ κυρία διὰ τὴν ὑπηρέτριαν, καὶ ὅταν νυκτώσῃ καὶ δὲν τελειώνῃ ἡ ἐργασία, ἢ θὰ ὑποφέρουν ἀπὸ τὴν πεῖναν, ὅσοι δὲν ἐτελείωσαν τὴν ἐργασίαν των, ἢ θὰ παραβοῦν τὸν ὅρκον των ὅσοι ὡρκίσθησαν. Διότι ὁ πονηρὸς ἐκεῖνος δαίμων, ὁ ὁποῖος παραμονεύει πάντοτε τὰ καλά μας ἔργα καὶ στέκεται πλησίον μας καὶ ἀκούει τὴν ἀνάγκην ποὺ δημιουργοῦν οἱ ὅρκοι αὐτοί, ἐμβάλλει εἰς ἀμέλειαν τοὺς ὑπευθύνους ἢ δημιουργεῖ ἄλλην δυσκολίαν, ὥστε νὰ μὴ τελειώσῃ τὸ ἔργον καὶ νὰ ἐπισυμβοῦν τιμωρίαι, ὕβρεις, ἐπιορκίαι καὶ ἀναρίθμητα ἄλλα κακά. Διότι ὅπως τὰ παιδιὰ ποὺ τραβοῦν μὲ μεγάλην δύναμιν ἀπὸ ἀντίθετον κατεύθυνσιν σχοινὶ μακρὺ καὶ κατεστραμμένον, πέφτουν ὅλα ἀνάσκελα, ὅταν σπάσῃ τὸ σχοινὶ καὶ ἄλλα μὲν τὰ κεφάλια, ἄλλα δὲ κάποιο ἄλλο μέλος τοῦ σώματος πληγώνουν, ἔτσι λοιπὸν καὶ ἐκεῖνοι ποὺ κάμουν μεταξύ των ὅρκους ἀντιθέτου περιεχομένου, ὅταν σπάσῃ ὁ ὅρκος ἀπὸ τὴν ἀνάγκην τῶν πραγμάτων, καὶ οἱ δύο πέφτουν εἰς τὸ βάραθρον τῆς ἐπιορκίας, ἄλλοι μὲν διότι ἔχουν ἐπιορκήσει, ἄλλοι δὲ διότι παρέσχον τὴν αἰτίαν τῆς ἐπιορκίας εἰς αὐτούς.

2. Καὶ διὰ νὰ μὴ ἀποδειχθῇ τοῦτο μόνον ἀπὸ ὅσα συμβαίνουν καθημερινῶς εἰς τὰς οἰκίας καὶ εἰς τὰς ἀγοράς, ἀλλὰ διὰ νὰ γίνῃ φανερὸν καὶ ἀπὸ αὐτὰς τὰς Γραφάς, θὰ σᾶς διηγηθῶ κάποιαν παλαιὰν ἱστορίαν, ἡ ὁποία εἶναι σύμφωνος πρὸς ὅσα εἴπομεν. Ὅταν κάποτε ἐπετέθησαν ἐχθροὶ ἐναν-

Ἐπελθόντων ποτὲ τῶν πολεμίων τοῖς Ἰουδαίοις, καὶ τοῦ Ἰωνάθαν (υἱὸς δὲ οὗτος ἦν τοῦ Σαοὺλ) τοὺς μὲν κατακόψαντος, τοῦ δὲ εἰς φυγὴν ἐμβαλόντος, βουλόμενος, ὁ Σαοὺλ ὁ τούτου πατὴρ μειζόνως κατὰ τῶν ὑπολειφθέντων τὸ στρατόπεδον διεγεῖραι, καὶ ποιῆσαι μὴ πρότερον ἀποστῆναι, ἕως ἂν πάντας χειρώσηται, τοὐναντίον ἤπερ ἠθέλησεν ἔπραξεν, ὀμόσας ἕως ἑσπέρας μηδένα φαγεῖν ἄρτον, ἕως ἐκδικήσεως τῶν ἐχθρῶν αὐτοῦ. Ἆρα τί τούτου γένοιτ᾽ ἂν ἀνοητότερον; Πεπονηκότας γὰρ καὶ κατακοπέντας στρατιώτας ὀφείλων διαναπαῦσαι καὶ νεαρωτέρους ἐπαφῆναι τοῖς πολεμίοις, τῶν πολεμίων αὐτῶν χαλεπώτερον κατειργάσατο διὰ τῆς ἀνάγκης τοῦ ὅρκου, λιμῷ παραδοὺς αὐτοὺς χαλεπωτάτῳ.

Σφαλερὸν μὲν οὖν τὸ καὶ περὶ ἑαυτοῦ τινα ὀμνύναι· πολλὰ γὰρ ὑπὸ τῆς τῶν πραγμάτων περιστάσεως βιαζόμεθα· τὸ δὲ καὶ τὴν ἑτέρων γνώμην τῇ τῶν οἰκείων ὅρκων ἀνάγκῃ καταδῆσαι πολλῷ σφαλερώτερον, καὶ μάλιστα ὅταν μὴ περὶ ἑνός, καὶ δύο, καὶ τριῶν, ἀλλὰ περὶ πλήθους ἀπείρου τις ὀμνύῃ, ὅπερ ὁ Σαοὺλ τότε ἐποίησεν ἀπερισκέπτως, καὶ οὔτε ὅτι εἰκὸς ἦν ἐν οὕτω ἀπείρῳ δήμῳ ἕνα γοῦν τινα παραβῆναι τὸν ὅρκον ἐνεννόησεν, οὔτε ὅτι στρατιῶται καὶ στρατιῶται πολεμοῦντες πολὺ φιλοσοφίας ἀφεστήκασι, καὶ γαστρὸς κρατεῖν οὐκ ἐπίστανται, καὶ μάλιστα ὅταν πολὺς ὁ κάματος ᾖ. Ἀλλὰ ταῦτα πάντα παριδὼν ἐκεῖνος, ὡς περὶ ἑνὸς οἰκέτου μόνον ὀμνύς, ὃν εὐκόλως ἠδύνατο κατασχεῖν, οὕτω περὶ παντὸς ἐλογίσατο τοῦ στρατοπέδου.

Διά τοι τοῦτο τοσαύτην ἤνοιξε τῷ διαβόλῳ θύραν, ὡς μὴ μόνον δύο, καὶ τρεῖς, καὶ τέτταρας, ἀλλὰ πολλῷ πλείους ἀπὸ τοῦ ὅρκου τούτου ἐν βραχεῖ καιρῷ πλέξαι ἐπιορκίας. Ὥσπερ γὰρ ὅταν μηδ᾽ ὅλως ὀμόσωμεν ἅπασαν αὐτῷ τὴν

4. Προβλ. Α´ Βασ. 14, 24.

τίον τῶν Ἰουδαίων, καὶ ὁ Ἰωνάθαν (αὐτὸς ἦτο υἱὸς τοῦ Σαοὺλ) ἄλλους μὲν κατέσφαξεν, ἄλλους δὲ τοὺς ἔτρεψεν εἰς φυγήν, θέλων ὁ Σαούλ, ὁ πατέρας αὐτοῦ, νὰ παρακινήσῃ τοὺς στρατιώτας νὰ ἐπιτεθοῦν μὲ μεγαλυτέραν ὁρμὴν κατ' ἐκείνων ποὺ ἔμειναν εἰς τὸ πεδίον, καὶ νὰ τοὺς κάμῃ νὰ μὴ παύσουν τὴν μάχην ἕως ὅτου πιάσουν ὅλους αἰχμαλώτους, ἔκαμε τὸ ἀντίθετον ἀπὸ ἐκεῖνο ποὺ ἐπιθυμοῦσε μὲ τὸ νὰ ὁρκισθῇ ὅτι κανεὶς δὲν θὰ φάγῃ ἄρτον ἕως τὸ βράδυ, μέχρις ὅτου ἐκδικηθῇ τοὺς ἐχθρούς του[4]. Τί ἠμποροῦσε νὰ γίνῃ πιὸ ἀνόητον ἀπὸ αὐτό; Διότι κουρασμένους καὶ καταπονημένους στρατιώτας ἐνῷ ὤφειλε νὰ τοὺς ξεκουράσῃ καὶ ἀνανεωμένους νὰ τοὺς ἀφήσῃ νὰ ἐπιτεθοῦν ἐναντίον τῶν ἐχθρῶν, τοὺς ἔκαμεν, ἐπειδὴ τοὺς ἔδεσε μὲ τὸν ὅρκον, νὰ εὑρίσκωνται εἰς χειροτέραν κατάστασιν ἀπὸ τοὺς ἐχθρούς, ἐπειδὴ τοὺς παρέδωσεν εἰς φοβερὰν πεῖναν.

Εἶναι λοιπὸν ἐπικίνδυνον τὸ νὰ ὁρκισθῇ κανεὶς διὰ πράγματα ποὺ ἀφοροῦν τὸν ἑαυτόν του· διότι ἀναγκαζόμεθα νὰ κάμωμεν πολλὰ ἀπὸ τὰς περιστάσεις· καὶ τὸ νὰ περιορίσῃ ὅμως τὴν θέλησιν τοῦ ἄλλου μὲ τὸν ἰδικόν του ὅρκον εἶναι πολὺ ἐπικίνδυνον καὶ μάλιστα ὅταν δὲν πρόκειται περὶ ἑνός, δύο καὶ τριῶν, ἀλλὰ νὰ ὁρκισθῇ κανεὶς περὶ πλήθους ἀπείρου, ὅπως ἔκαμε τότε ὁ Σαοὺλ μὲ ἀπερισκεψίαν, καὶ δὲν ἐσκέφθη ὅτι ἦτο φυσικὸν εἰς τόσον μεγάλο πλῆθος θὰ ὑπῆρχε κάποιος ποὺ θὰ παρέβαινε τὸν ὅρκον, οὔτε ὅτι ὅταν πολεμοῦν στρατιῶται ἐναντίον στρατιωτῶν δὲν σκέπτονται φιλοσοφικῶς, καὶ δὲν ἠμποροῦν νὰ εἶναι κύριοι τῆς κοιλίας, καὶ μάλιστα ὅταν ὁ κάματος εἶναι πολὺ μεγάλος. Ἀλλὰ ὅλα αὐτὰ τὰ παρέβλεψεν ἐκεῖνος καὶ ὡρκίσθη ὡσὰν νὰ ἐπρόκειτο περὶ ἑνὸς ὑπηρέτου μόνον, τὸν ὁποῖον ἠμποροῦσεν εὔκολα νὰ συγκρατήσῃ, ἔτσι ἐσκέφθη καὶ δι' ὅλον τὸ στρατόπεδον.

Διὰ τοῦτο λοιπὸν ἤνοιξεν εἰς τὸν διάβολον τόσον μεγάλην πόρταν, ὥστε ὄχι μόνον δύο καὶ τρεῖς καὶ τέσσαρας, ἀλλὰ πολὺ περισσοτέρας, ἐξ αἰτίας τοῦ ὅρκου τούτου, εἰς σύντομον χρόνον, νὰ κάμῃ ἐπιορκίας. Διότι ὅπως ὅταν καθό-

εἴσοδον ἀποφράττομεν· οὕτως ἐὰν ἕνα ὅρκον προώμεθα μόνον, πολλὴν αὐτῷ παρέχομεν ἐξουσίαν συνθεῖναι μυρίας ἐπιορκίας. Καὶ καθάπερ οἱ τὰς σειρὰς πλέκοντες, ἂν μὲν ἔχωσι τὸν κατέχοντα αὐτοῖς τὴν ἀρχήν, μετὰ ἀκριβείας ἅπασαν ἐργάζονται τὴν πλοκήν, ἂν δὲ μηδεὶς ὁ τοῦτο ποιῶν ᾖ, οὐδ' ἐπιχειρῆσαι δύναιντ' ἂν τὴν ἀρχήν, τὸν αὐτὸν δὲ τρόπον καὶ ὁ διάβολος τὰς σειρὰς τῶν ἁμαρτημάτων ἡμῶν πλέκων, ἂν μὴ λάβῃ τὴν ἀρχὴν ἀπὸ τῆς γλώττης τῆς ἡμετέρας, οὐδὲ ἐπιχειρῆσαι δύναιτ' ἄν· ἂν δὲ ἀρχὴν ποιησώμεθα μόνον, ὥσπερ χειρὶ τῇ γλώττῃ τὸν ὅρκον ἡμῶν κατεχόντων, μετὰ πολλῆς λοιπὸν τῆς ἀδείας τὴν πονηρὰν αὐτοῦ τέχνην ἐπιδείκνυται, ἐξ ἑνὸς ὅρκου μυρίας συντιθεὶς καὶ πλέκων ἐπιορκίας· ὃ δὴ καὶ νῦν ἐπὶ τοῦ Σαοὺλ ἐποίησεν οὗτος.

Ὅρα γοῦν εὐθέως οἵα γίνεται τῷ ὅρκῳ παγίς. Δρυμῶνα παρήει τὸ στρατόπεδον μελισσῶνα ἔχοντα, καὶ ὁ μελισσὼν κατὰ πρόσωπον τοῦ λαοῦ, καὶ εἰσῆλθεν ὁ λαὸς εἰς τὸν μελισσῶνα, καὶ διεπορεύετο λαλῶν. Εἶδες οἷον τὸ βάραθρον; Τράπεζα ἐσχεδιασμένη, ἵνα καὶ τὸ εὔκολον τῆς ἐπιχειρήσεως, καὶ τὸ ἡδὺ τῆς τροφῆς, καὶ ἡ τοῦ λήσεσθαι ἐλπὶς εἰς τὴν παράβασιν αὐτοὺς προκαλέσηται τῶν ὅρκων. Ὅ τε γὰρ λιμός, ὅ τε κάματος καὶ ὁ καιρὸς («Πᾶσα γὰρ ἡ γῆ» φησίν, «ἠρίστα»), τότε ὤθουν ἐπὶ τὴν παρανομίαν. Καὶ ἡ τῶν κηρίων δὲ ὄψις ἔξωθεν αὐτοὺς προεκαλεῖτο ἐκλύουσα τὴν εὐτονίαν· τό τε γὰρ ἡδὺ καὶ εὐπαράσκευον τῆς τραπέζης, καὶ τὸ δυσφώρατον τῆς κλοπῆς, ἱκανὰ πᾶσαν ἦν δελεάσαι τὴν φιλοσοφίαν. Εἰ γὰρ κρέα ἦν, ἅπερ ἕψειν καὶ ὀπτᾷν ἔδει, οὐκ ἂν οὕτως αὐτῶν ἐγοήτευσε τὴν ψυχήν, ἐν τῷ μαγειρεύειν αὐτά, καὶ πρὸς τροφὴν παρασκευάζειν μελλόντων καὶ βραδυνόντων καὶ παραδοκούντων ἁλώσεσθαι.

---

5. Α' Βασ. 14, 25.

λου δὲν ὁρκισθῶμεν τελείως φράσσομεν τὴν εἴσοδον εἰς τὸν διάβολον, ἔτσι καὶ ἂν ἕνα ὅρκον μόνον κάμωμεν, παρέχομεν εἰς αὐτὸν πολλὴν ἐξουσίαν νὰ συνθέσῃ ἀναριθμήτους ἐπιορκίας. Καὶ ὅπως ἐκεῖνοι ποὺ πλέκουν τὰ σχοινιά, ἂν ἔχουν κάποιον ποὺ τοὺς κρατεῖ τὴν ἀρχὴν μὲ μεγάλην τελειότητα κάνουν ὅλον τὸ πλέξιμον, ἂν δὲ δὲν ἔχουν κάποιον, οὔτε κἂν νὰ ἀρχίσουν ἠμποροῦν, κατὰ τὸν ἴδιον τρόπον καὶ ὁ διάβολος ποὺ πλέκει τὰ σχοινιὰ ὅλων τῶν ἁμαρτημάτων μας, ἂν δὲν λάβῃ τὴν ἀρχὴν ἀπὸ τὴν γλῶσσαν μας, οὔτε νὰ ἐπιχειρήσῃ τοῦτο ἠμπορεῖ· ἂν δὲ κάμωμεν μόνον τὴν ἀρχήν, μὲ πολλὴν πλέον εὐκολίαν ἐπιδεικνύει τὴν πονηράν του τέχνην, ἀπὸ ἕνα καὶ μόνον ὅρκον συνθέτων καὶ πλέκων ἀναριθμήτους ἐπιορκίας, πρᾶγμα ποὺ ἔκαμε καὶ τώρα αὐτὸς ἐπὶ τοῦ Σαούλ.

Πρόσεξε λοιπὸν εἰς ποίαν παγίδα εὐθὺς ἔπεσεν οὗτος διὰ τοῦ ὅρκου. Διήρχετο τὸ στράτευμα διὰ μέσου δάσους ποὺ εἶχε μελισσῶνα, καὶ ὁ μελισσῶν ἦτο ἐμπρός των καὶ εἰσῆλθεν ὁ στρατὸς εἰς τὸν μελισσῶνα καὶ ἐπορεύετο διὰ μέσου αὐτοῦ συζητῶν. Εἶδες ποῖον ἦτο τὸ βάραθρον; Τραπέζι στρωμένο, ὥστε καὶ ἡ εὐκολία νὰ ἐπιχειρήσουν νὰ φᾶνε, καὶ τὸ εὐχάριστον τῆς τροφῆς καὶ ἡ ἐλπὶς ὅτι κανεὶς δὲν θὰ τοὺς ἰδῇ νὰ τοὺς προκαλέσῃ εἰς τὴν παράβασιν τῶν ὅρκων. Διότι καὶ ἡ πεῖνα, καὶ ἡ κούρασις καὶ ὁ καιρὸς («Διότι ὅλη ἡ γῆ», λέγει, «ἔτρωγε»)[5] τότε τοὺς ἔσπρωχναν πρὸς τὴν παρανομίαν. Καὶ ἡ ὄψις τῶν κηρηθρῶν τοὺς προεκάλει ἀπὸ ἔξω καὶ τοὺς παρέλυε τὴν δύναμιν· διότι καὶ τὸ γλυκὺ καὶ ἡ εὐκολία τῆς παρασκευῆς τοῦ τραπεζιοῦ καὶ ἡ δυσκολία νὰ φανερωθῇ ἡ κλοπή, ἦσαν ἱκανὰ νὰ ἐξουδετερώσουν κάθε ἀντίστασίν των. Διότι ἐὰν ἦσαν κρέατα, ποὺ ἔπρεπε νὰ μαγειρευθοῦν καὶ νὰ ψηθοῦν, δὲν θὰ ἐγοήτευον τόσον, διότι κατὰ τὸν χρόνον τοῦ μαγειρεύματος καὶ τῆς προετοιμασίας των διὰ φαγητόν, λόγῳ τῆς χρονοτριβῆς, ἦτο ἑπόμενον νὰ συλληφθοῦν.

Νυνὶ δὲ οὐδὲν τοιοῦτον ἦν, ἀλλὰ μέλι μόνον, ἔνθα πραγματείας μὲν οὐδεμιᾶς ἔδει τοιαύτης, ἤρκει δὲ ἄκρῳ τῷ δακτύλῳ βάψαντα μετασχεῖν τῆς τραπέζης καὶ λαθεῖν. Ἀλλ᾿ ὅμως ἐκεῖνοι κατεῖχον τῆς ἐπιθυμίας, καὶ οὐκ εἶπον πρὸς ἑαυτούς· τί δὲ ἡμῖν μέλει; Μὴ γὰρ δὴ ἡμῶν τις ὠμόσατο τοῦτο; Ἐκεῖνος δώσει δίκην τῶν ἀπερισκέπτων ὅρκων. Τίνος γὰρ ἕνεκεν ὤμνυ; Ἀλλ᾿ οὐδὲν τούτων ἐνενόησαν, ἀλλὰ μετὰ πολλῆς τῆς εὐλαβείας παρῄεσαν, καὶ τοσούτων ὄντων δελεαζόντων αὐτούς, ἐφιλοσόφουν, «Καὶ διεπορεύετο ὁ λαὸς λαλῶν». Τί ἐστι, λαλῶν; Τὴν ὀδύνην διὰ τῶν ῥημάτων παραμυθούμενοι διελέγοντο πρὸς ἀλλήλους.

3. Τί οὖν ἐπειδὴ ὁ λαὸς ἐφιλοσόφησεν ἅπας, ἆρα οὐδὲν ἐγένετο πλέον; Ἆρα ἐφυλάχθη ὁ ὅρκος; Οὐδὲ οὕτω μὲν οὖν, ἀλλὰ παρεβάθη. Πῶς, καὶ τίνι τρόπῳ; Αὐτίκα ἀκούσεσθε, ἵνα καὶ τὴν τοῦ διαβόλου τέχνην καταμάθητε πᾶσαν. «Ὁ γὰρ Ἰωνάθαν οὐκ ἀκούσας ἐν τῷ ὁρκίζειν τὸν πατέρα αὐτοῦ, ἐξέτεινε τὸ ἄκρον τοῦ σκήπτρου αὐτοῦ τοῦ ἐν τῇ χειρὶ αὐτοῦ, καὶ ἐβάπτισεν εἰς τὸ κήριον τοῦ μέλιτος, καὶ ἐπέστρεψε τὴν χεῖρα αὐτοῦ ἐν τῷ σώματι αὐτοῦ, καὶ ἀνέβλεψαν οἱ ὀφθαλμοὶ αὐτοῦ». Ὅρα τίνα πρὸς τὴν ἐπιορκίαν ὤθησεν, οὐχ ἕνα τῶν στρατιωτῶν, ἀλλ᾿ αὐτὸν τὸν υἱὸν τοῦ ὀμωμοκότος· οὐ γὰρ ἐπιορκίαν ἐργάσασθαι ἐβούλετο μόνον, ἀλλὰ καὶ παιδοκτονίαν συνετίθει καὶ κατεσκεύαζε πόρρωθεν, καὶ τὴν φύσιν αὐτὴν καθ᾿ ἑαυτῆς σχίσαι ἠπείγετο, καὶ ὅπερ ἐπὶ τοῦ Ἰεφθάε ποτὲ ἐποίησε, τοῦτο καὶ μετὰ ταῦτα ποιήσειν ἤλπισε. Καὶ γὰρ ἐκεῖνος ὑποσχόμενος τῷ Θεῷ τὸν πρῶτον ἀπαντήσοντα αὐτῷ μετὰ τὴν ἀπὸ τοῦ πολέμου νίκην κατασφάξειν, εἰς παιδοκτονίαν ἐνέπεσε· τὸ θυγάτριον γὰρ πρῶτον ἀπαντῆσαν αὐτῷ κατέθυσε, καὶ ὁ Θεὸς οὐκ ἐκώλυσε.

---

6. Α′ Βασ. 14, 26.
7. Αὐτόθι 27.
8. Κριτ. 11, 39.

Τώρα ὅμως δὲν ὑπῆρχε τίποτε ἀπὸ αὐτά, ἀλλὰ μόνον μέλι, ποὺ δὲν ἔχει καμμίαν δυσκολίαν ὡς πρὸς τὴν προετοιμασίαν διὰ φαγητόν, ἦτο δὲ ἀρκετὸν τὸ ἄκρον τοῦ δακτύλου νὰ βουτήξουν καὶ νὰ λάβουν μέρος εἰς τὸ τραπέζι καὶ νὰ μὴ γίνουν ἀντιληπτοί. Ὅμως ἐκεῖνοι συγκρατοῦσαν τὴν ἐπιθυμίαν των, καὶ δὲν εἶπαν εἰς τοὺς ἑαυτούς των· τί μᾶς μέλλει; Μήπως κάποιος ἀπὸ ἡμᾶς ὡρκίσθη; Ἐκεῖνος ἂς τιμωρηθῇ διὰ τοὺς ἀπερισκέπτους ὅρκους. Διὰ ποῖον λόγον ὡρκίσθη; Ὅμως τίποτε ἀπὸ αὐτὰ δὲν ἐσκέφθησαν καὶ ἐπροχωροῦσαν μὲ πολλὴν εὐλάβειαν πρὸς τὸν ὅρκον, καὶ ἐνῷ ἦσαν τόσα τὰ δελεαστικὰ μέσα, ἐφιλοσόφουν, «Καὶ ἐβάδιζεν ὁ λαὸς συζητῶν»[6]. Τί σημαίνει συζητῶν; Συζητοῦσαν μεταξύ των διὰ νὰ ἐξουδετερώσουν διὰ τῶν λόγων τὴν θλῖψιν ποὺ τοὺς ἐπροκαλοῦσεν ἡ πεῖνα.

3. Τί λοιπὸν ἐπειδὴ ὅλος ὁ λαὸς συνεκρατήθη δὲν συνέβη τίποτε πλέον; Καὶ ἐπομένως ἐτηρήθη ὁ ὅρκος; Οὔτε ἔτσι διετηρήθη, ἀλλὰ κατεπατήθη. Πῶς καὶ μὲ ποῖον τρόπον; Ἀμέσως θὰ ἀκούσετε διὰ νὰ κατανοήσετε τὴν τέχνην τοῦ διαβόλου. «Διότι ὁ Ἰωνάθαν ἐπειδὴ δὲν ἔμαθεν ὅτι ὁ πατέρας του ὡρκίσθη, ἥπλωσε τὸ ἄκρον τοῦ σκήπτρου του ποὺ ἐκρατοῦσεν εἰς τὸ χέρι του καὶ τὸ ἐβύθισεν εἰς τὴν κηρήθραν τοῦ μέλιτος, καὶ ἔφερε μὲ τὸ χέρι του μέλι εἰς τὸ στόμα του καὶ ἀνέβλεψαν τὰ μάτια του»[7]. Βλέπε ποῖον ὤθησε πρὸς τὴν ἐπιορκίαν, ὄχι ἕνα ἀπὸ τοὺς στρατιώτας, ἀλλὰ αὐτὸν τὸν υἱὸν ἐκείνου ποὺ ὡρκίσθη· διότι δὲν ἤθελε νὰ ρίψῃ εἰς ἐπιορκίαν μόνον ἀλλὰ καὶ παιδοκτονίαν ἐσχεδίαζεν ἀπὸ καιρὸν καὶ ἐβιάζετο νὰ διαρρήξῃ τοὺς φυσικοὺς δεσμοὺς μεταξὺ πατρὸς καὶ υἱοῦ, καὶ ἐκεῖνο ποὺ ἔκαμε κάποτε ἐπὶ τοῦ Ἰεφθάε, τὸ ἴδιον ἤλπισε νὰ κάμῃ πάλιν. Διότι καὶ ἐκεῖνος ἐπειδὴ ὑπεσχέθη εἰς τὸν Θεὸν ὅτι τὸν πρῶτον ποὺ θὰ συναντήσῃ μετὰ τὴν νίκην τοῦ πολέμου θὰ τὸν κατασφάξῃ, ἔπεσεν εἰς παιδοκτονίαν· διότι τὴν θυγατέρα του ποὺ πρώτη τὸν προηπάντησε τὴν κατέσφαξε καὶ ὁ Θεὸς δὲν τὸν ἠμπόδισε νὰ τὴν θυσιάσῃ»[8].

Καὶ οἶδα μὲν ὅτι πολλοὶ τῶν ἀπίστων ὠμότητα ἐγκαλοῦσιν ἡμῖν καὶ ἀπανθρωπίαν διὰ τὴν θυσίαν ταύτην, ἐγὼ δὲ πολλῆς κηδεμονίας καὶ φιλανθρωπίας δεῖγμα τὴν συγχώρησιν τὴν ἐπὶ τῇ θυσίᾳ ταύτῃ γινομένην εἴποιμι ἂν εἶναι, καὶ ὅτι τοῦ γένους ἡμῶν κηδόμενος οὐκ ἐκώλυσεν ἐκείνην τὴν σφαγήν. Εἰ γὰρ μετὰ τὴν εὐχὴν ἐκείνην καὶ τὴν ὑπόσχεσιν τὴν θυσίαν ἐκώλυσε, πολλοὶ καὶ μετὰ τὸν Ἰεφθάε προσδοκῶντες μὴ δέχεσθαι τὸν Θεόν, πολλὰς ἂν τοιαύτας ηὔξαντο εὐχάς, καὶ ὁδῷ προβαίνοντες εἰς παιδοκτονίαν ἐξέβησαν ἄν· νυνὶ δὲ ἀφεὶς αὐτὴν πληρωθῆναι ἔργῳ, τοὺς μετὰ ταῦτα πάντας ἐκώλυσε. Καὶ ὅτι τοῦτό ἐστιν ἀληθές, μετὰ τὸ σφαγῆναι τὸ θυγάτριον τοῦ Ἰεφθάε, ὥστε ἀείμνηστον εἶναι τὴν συμφοράν, καὶ μὴ λήθῃ παραδοθῆναι τὸ πάθος, ἐγένετο νόμος παρὰ τοῖς Ἰουδαίοις συνερχομένας τὰς παρθένους κατὰ τὸν καιρὸν ἐκεῖνον ἡμέρας τεσσαράκοντα πενθεῖν τὴν γεγενημένην σφαγήν, ἵνα τῷ θρήνῳ τῆς θυσίας τὴν μνήμην ἀνανεούμενοι, τοὺς μετὰ ταῦτα σωφρονεστέρους ποιῶσιν ἅπαντας, καὶ μάθωσιν ὡς οὐ κατὰ γνώμην Θεοῦ ἐγένετο τοῦτο· οὐδὲ γὰρ ἂν θρηνεῖν καὶ ὀδύρεσθαι τὰς παρθένους ἀφῆκε.

Καὶ ὅτι οὐ στοχασμὸς τὸ λεγόμενον, τὸ τέλος ἔδειξε. Μετὰ γὰρ τὴν θυσίαν ἐκείνην οὐδεὶς τοιαύτην εὐχὴν ηὔξατο τῷ Θεῷ· διὰ τοῦτο ταύτην μὲν οὐκ ἐκώλυσεν, ἣν δὲ αὐτὸς ἐπέταξε διεκώλυσε, τὴν ἐπὶ τοῦ Ἰσαάκ, δι' ἀμφοτέρων δεικνὺς ὡς οὐ χαίρει ταῖς τοιαύταις θυσίαις. Ἀλλ' ὁ πονηρὸς δαίμων ἐφιλονείκει καὶ νῦν ταύτην τραγῳδίαν ἐργάσασθαι· διὰ τοῦτο τὸν Ἰωνάθαν ἐπὶ τὴν παράβασιν ὤθησεν. Εἰ μὲν γάρ τις τῶν στρατιωτῶν παρέβη τὸν νόμον, οὐδὲν αὐτῷ μέγα ἐδόκει εἶναι κακὸν τὸ γινόμενον, νυνὶ δὲ ἀκόρεστος ὢν τῶν ἀνθρωπίνων κακῶν καὶ οὐδέποτε ἐκ τῶν

Καὶ γνωρίζω μὲν ὅτι πολλοὶ ἀπὸ τοὺς ἀπίστους μᾶς κατηγοροῦν διὰ σκληρότητα καὶ ἀπανθρωπίαν διὰ τὴν θυσίαν αὐτήν, ἐγὼ ὅμως θὰ εἰπῶ ὅτι εἶναι ἀπόδειξις πολλῆς φροντίδος καὶ φιλανθρωπίας τὸ ὅτι ἐπετράπη νὰ γίνῃ ἡ θυσία ἐκείνη, καὶ ὅτι ἐπειδὴ ἐφρόντιζε διὰ τὸ γένος μας δὲν ἠμπόδισεν ἐκείνην τὴν σφαγήν. Διότι ἂν μετὰ τὴν προσευχὴν ἐκείνην καὶ τὴν ὑπόσχεσιν ἠμπόδιζε τὴν θυσίαν, πολλοὶ καὶ μετὰ τὸν Ἰεφθάε, ἐπειδὴ θὰ ἤλπιζον ὅτι ὁ Θεὸς δὲν θὰ δεχθῇ νὰ κάμουν τοιαύτην θυσίαν, πολλὰς τοιαύτας προσευχὰς θὰ ἔκαμον πρὸς τὸν Θεὸν καὶ προχωροῦντες κατόπιν θὰ ἔφθαναν εἰς παιδοκτονίαν· τώρα ὅμως ποὺ ἄφησαν αὐτὴν νὰ πραγματοποιηθῇ, ὅλους τοὺς μετὰ ταῦτα τοὺς ἠμπόδισεν. Καὶ ὅτι τοῦτο εἶναι ἀληθὲς φαίνεται ἐκ τοῦ ὅτι μετὰ τὴν σφαγὴν τῆς θυγατρός του Ἰεφθάε, διὰ νὰ ἐνθυμοῦνται πάντοτε τὴν συμφοράν, ἔγινε νόμος εἰς τοὺς Ἰουδαίους νὰ συγκεντρώνωνται τὰ κορίτσια κατὰ τὴν ἐπέτειον τοῦ γεγονότος ἐκείνου καὶ νὰ πενθοῦν διὰ τὴν σφαγὴν ποὺ ἔγινε τεσσαράκοντα ἡμέρας, ὥστε μὲ τὸν θρῆνον νὰ ἀνανεώνουν τὴν ἐνθύμησιν τῆς θυσίας, καὶ νὰ κάμουν σωφρονεστέρους τοὺς μεταγενεστέρους, καὶ νὰ μάθουν ὅτι αὐτὴ δὲν ἦτο σύμφωνος πρὸς τὸ θέλημα τοῦ Θεοῦ· διότι ἄλλως δὲν θὰ ἐπέτρεπε νὰ θρηνοῦν καὶ νὰ ὀδύρωνται τὰ κορίτσια.

Καὶ ὅτι δὲν εἶναι ἁπλῆ σκέψις τοῦτο, τὸ ἀπέδειξε τὸ τέλος. Διότι μετὰ τὴν θυσίαν ἐκείνην κανεὶς δὲν ἔκαμε τοιαύτην ὑπόσχεσιν εἰς τὸν Θεόν· διὰ τοῦτο αὐτὴν μὲν δὲν τὴν ἠμπόδισεν, ἐκείνην δὲ τὴν ὁποίαν αὐτὸς διέταξε, δηλαδὴ τοῦ Ἰσαάκ, τὴν ἠμπόδισεν, δεικνύων διὰ τῶν δύο τούτων ὅτι δὲν εὐχαριστεῖται μὲ αὐτὰς τὰς θυσίας. Ἀλλ' ὁ πονηρὸς δαίμων ἐπεδίωκε καὶ τώρα νὰ κάμῃ τοιαύτην τραγῳδίαν· διὰ τοῦτο ὤθησε τὸν Ἰωνάθαν εἰς τὴν παράβασιν. Διότι ἐὰν παρέβαινε τὸν νόμον κάποιος ἀπὸ τοὺς στρατιώτας δὲν θὰ τοῦ ἐφαίνετο ὅτι ἦτο μεγάλο κακόν, τώρα ὅμως ἐπειδὴ εἶναι ἀχόρταγος ἀπὸ τὰ ἀνθρώπινα κακὰ καὶ οὐδέποτε χορταίνει

ἡμετέρων ἐμπιπλάμενος συμφορῶν, οὐδὲν νεανικὸν ἡγεῖτο ποιεῖν, εἰ φόνον ἐργάσοιτο ψιλόν· ἀλλ' εἰ μὴ καὶ παιδοκτονίᾳ τὴν δεξιὰν τοῦ βασιλέως μολύνειεν, οὐδὲν μέγα πεποιηκέναι ἐνόμιζε. Καὶ τί λέγω παιδοκτονίαν; Ἐνενόησε γὰρ ὁ μιαρὸς ἐκεῖνος καὶ τούτου πάλιν ἐναγέστερον φόνον εὑρεῖν. Εἰ μὲν γὰρ εἰδὼς ἥμαρτε καὶ ἐσφάγη, παιδοκτονία μόνον τὸ γινόμενον ἦν· νυνὶ δὲ ἐξ ἀγνοίας ἁμαρτών, (οὐδὲ γὰρ ἤκουσε τῶν ὅρκων) εἶτα ἀναιρεθείς, διπλοῦν ἂν ἐποίησε τῷ πατρὶ ἄλγος· καὶ γὰρ παῖδα οὐδὲν ἁμαρτόντα καταθύειν ἔμελλεν. Ἀλλ' ἐπὶ τὰ ἐχόμενα τῆς ἱστορίας πορευτέον λοιπόν.

Ἐπειδὴ γὰρ ἔφαγεν, «Ἀνέβλεψαν οἱ ὀφθαλμοὶ αὐτοῦ», φησί. Πολλὴν καὶ ἐνταῦθα τοῦ βασιλέως κατηγορεῖ τὴν ἄνοιαν, δεικνὺς ὅτι σχεδὸν ὁ λιμὸς ἐπήρωσε τοὺς στρατιώτας ἅπαντας, καὶ πολλὴν τῶν ὀφθαλμῶν αὐτῶν κατέχεε τὴν ἀχλύν. Εἶτα ἰδών τις, φησί, τῶν στρατιωτῶν λέγει, «Ὁρκίσας ὥρκισεν ὁ πατήρ σου τὸν λαὸν ὃς φάγεται ἄρτον σήμερον· καὶ ἐξελύθη ὁ λαός. Καὶ εἶπεν Ἰωνάθαν· ἀπήλλαχεν ὁ πατήρ μου τὴν γῆν». Τί ἐστιν, Ἀπήλλαχεν; Ἀπώλεσε, διέφθειρεν ἅπαντας. Παραβαθέντος τοίνυν τοῦ ὅρκου πάντες ἐσίγων, καὶ οὐδεὶς τὸν ὑπεύθυνον εἰς μέσον ἀγαγεῖν ἐτόλμα· οὐ μικρὸν δὲ καὶ τοῦτο ἔγκλημα λοιπὸν ἐγίνετο· οὐ γὰρ οἱ ἐπιορκοῦντες μόνον, ἀλλὰ καὶ οἱ συνειδότες μέν, περιστέλλοντες δέ, κοινωνοῦσι τῶν ἐγκλημάτων.

4. Πλὴν ἀλλ' ἴδωμεν τὰ ἑξῆς. «Καὶ εἶπε Σαούλ· καταβῶμεν ὀπίσω τῶν ἀλλοφύλων καὶ διαρπάσωμεν αὐτούς. Καὶ εἶπεν ὁ ἱερεύς· προσέλθωμεν ἐνταῦθα πρὸς τὸν Θεόν». Τὸ γὰρ παλαιὸν ὁ Θεὸς ἐστρατήγει τῶν πολέμων, καὶ χωρὶς τῆς ἐκείνου γνώμης οὐδέποτε ἐτόλμων ἅπτεσθαι μάχης, καὶ

9. Α' Βασ. 14, 28-29.
10. Α' Βασ. 14, 36.

ἀπὸ τὰς ἰδικάς μας συμφοράς, ἐνόμιζεν ὅτι τίποτε τὸ νέον δὲν θὰ ἔκαμνεν, ἐὰν ἔκαμνεν ἁπλοῦν φόνον μόνον, καὶ δὲν ἐμόλυνε τὴν δεξιὰν τοῦ βασιλέως διὰ τῆς παιδοκτονίας. Καὶ διατί νὰ ἀναφέρω τὴν παιδοκτονίαν; Διότι ὁ μιαρὸς ἐκεῖνος ἐσκέφθη νὰ εὕρῃ μισητότερον φόνον ἀπὸ αὐτήν. Διότι ἐὰν μὲν ἐγνώριζε καὶ ἡμάρτανε καὶ ἐσφάζετο, αὐτὸ ποὺ θὰ ἐγίνετο θὰ ἦτο μόνον παιδοκτονία· τώρα ὅμως ἐπειδὴ ἡμάρτησεν ἐξ ἀγνοίας (διότι δὲν ἤκουσε τοὺς ὅρκους) καὶ θὰ ἐσφάζετο, θὰ ἐπροξενοῦσε διπλῆν λύπην εἰς τὸν πατέρα του· καθ' ὅσον τὸ παιδί του χωρὶς νὰ πέσῃ εἰς παράπτωμα ἐπρόκειτο νὰ θυσιάσῃ. Ἀλλὰ ἂς ἔλθωμεν εἰς τὴν συνέχειαν τῆς ἱστορίας.

Ἐπειδὴ δηλαδὴ ἔφαγεν «ἀνέβλεψαν τὰ μάτια του» λέγει. Καὶ ἐδῶ κατηγορεῖ πολὺ τὴν ἀνοησίαν τοῦ βασιλέως, δεικνύων διὰ τούτου ὅτι ἡ πεῖνα ἐτύφλωσε σχεδὸν ὅλους τοὺς στρατιώτας καὶ ἔρριψεν εἰς τὰ μάτια των ἐμπρὸς σκοτάδι. Ἔπειτα, λέγει, ὅταν τὸν εἶδε κάποιος ἀπὸ τοὺς στρατιώτας τοῦ εἶπε· «Ὁ πατέρας σου ὥρκισε τὸν λαὸν νὰ εἶναι ἐπικατάρατος ὁ ἄνθρωπος ποὺ θὰ φάγῃ τροφὴν σήμερον· καὶ ὁ λαὸς παρέλυσε. Καὶ εἶπεν ὁ Ἰωνάθαν· κατέστρεψεν ὁ πατέρας μου τὸν κόσμον»[9]. Τί σημαίνει «ἀπήλλαχεν»; Ἀπώλεσε, κατέστρεψεν ὅλους. Ἀφοῦ κατεπατήθη ὁ ὅρκος ὅλοι ἐσιωποῦσαν καὶ οὐδεὶς ἐτολμοῦσε νὰ φέρῃ εἰς τὸ μέσον τὸν παραβάτην· καὶ δὲν ἐγίνετο δὲ τώρα καὶ μικρὸν ἔγκλημα· διότι ὄχι μόνον αὐτοὶ ποὺ παραβαίνουν τὸν ὅρκον, ἀλλὰ καὶ αὐτοὶ ποὺ τοὺς γνωρίζουν καὶ τοὺς ἀποκρύπτουν, εἶναι συμμέτοχοι εἰς τὰ ἐγκλήματά των.

4. Ἂς ἴδωμεν ὅμως καὶ τὴν συνέχειαν. «Καὶ εἶπεν ὁ Σαούλ· ἂς κατεβῶμεν ὀπίσω ἀπὸ τοὺς ἀλλοφύλους καὶ ἂς τοὺς διαρπάσωμεν. Καὶ εἶπεν ὁ ἱερεύς· ἂς προσέλθωμεν ἐδῶ πρὸς τὸν Θεόν»[10]. Διότι τὸν παλαιὸν καιρὸν ὁ Θεὸς ἦτο στρατηγὸς εἰς τοὺς πολέμους, καὶ χωρὶς τὴν γνώμην ἐκείνου οὐδέποτε ἐτολμοῦσαν νὰ ἀρχίσουν μάχην, καὶ ὁ πόλεμος

ὁ πόλεμος αὐτοῖς εὐσεβείας ὑπόθεσις ἐγίνετο. Οὔτε γὰρ ἐξ ἀσθενείας σώματος, ἀλλ' ἀπὸ ἁμαρτιῶν ἡττῶντο, εἴ ποτε καὶ ἡττήθησαν, οὔτε ἀπὸ δυνάμεως καὶ ἀνδρείας, ἀλλ' ἀπὸ εὐνοίας τῆς ἄνωθεν ἐκράτουν, ὁπότε καὶ ἐκράτουν. Καὶ ἡ νίκη καὶ ἡ ἧττα γυμνάσιον αὐτοῖς καὶ διδασκάλιον ἀρετῆς ἦν, οὐκ αὐτοῖς δὲ μόνον, ἀλλὰ καὶ τοῖς πολεμοῦσιν αὐτοῖς· καὶ γὰρ καὶ ἐκείνοις τοῦτο κατάδηλον ἦν, οὐ τῇ φύσει τῶν ὅπλων ὁ πρὸς Ἰουδαίους ἐκρίνετο πόλεμος, ἀλλὰ τῷ βίῳ τῶν πολεμούντων καὶ τοῖς κατορθώμασι.

Τοῦτο γοῦν συνιδόντες οἱ Μαδιηναῖοι, καὶ γνόντες ὡς ἀκαταμάχητόν ἐστι τὸ ἔθνος ἐκεῖνο, καὶ μηχανήμασι μὲν καὶ ὅπλοις ἀμήχανον αὐτὸ καταγωνίσασθαι, ἁμαρτίᾳ δὲ μόνον δυνατὸν αὐτὸ ἑλεῖν, παρθένους καλλωπίσαντες εὐμόρφους, καὶ στήσαντες ἐπὶ τῆς παρατάξεως, εἰς ἀσέλγειαν ἐξεκαλοῦντο τοὺς στρατιώτας, διὰ τῆς πορνείας ἀποστῆσαι τοῦ Θεοῦ τὴν συμμαχίαν σπουδάζοντες, ὅπερ δὴ καὶ συνέβη. Ἐπειδὴ γὰρ ἐνέπεσον εἰς τὴν ἁμαρτίαν, εὐχείρωτοι πᾶσιν ἐγίνοντο, καὶ οὓς ὅπλα, καὶ ἵπποι, καὶ στρατιῶται, καὶ τοσαῦτα μηχανήματα ἑλεῖν οὐκ ἴσχυσε, τούτους ἁμαρτίας φύσις δεδεμένους τοῖς πολεμίοις παρέδωκε· καὶ ἀσπίδες μέν, καὶ δόρατα, καὶ βέλη πάντα ἠλέγχετο, ὄψεως δὲ εὐμορφία καὶ ψυχῆς ἀκολασίᾳ τοὺς γενναίους ἐχειρώσατο τούτους. Διὰ τοῦτο παραινεῖ τις λέγων· «Μὴ καταμάνθανε κάλλος ἀλλότριον, καὶ μὴ ὑπάντα γυναικὶ ἑταιριζομένῃ». «Μέλι γὰρ ἀποστάζει ἀπὸ χειλέων γυναικὸς πόρνης, ὃ πρὸς καιρὸν λιπαίνει σὸν φάρυγγα, ὕστερον δὲ πικρότερον χολῆς εὑρήσεις, καὶ ἠκονημένον μᾶλλον μαχαίρας διστόμου».

Πόρνη γὰρ φιλεῖν οὐκ ἐπίσταται, ἀλλ' ἐπιβουλεύει μόνον· ἰὸν αὐτῆς ἔχει τὸ φίλημα, καὶ φάρμακον δηλητήριον τὸ

11. Σοφ. Σειρ. 9, 8.
12. Παροιμ. 5, 3-4.

ἐγίνετο εἰς αὐτοὺς ὑπόθεσις δι' εὐσέβειαν. Διότι δὲν ἐνικῶντο ἀπὸ σωματικὴν ἀδυναμίαν ἄν ποτε ἐνικήθησαν, ἀλλὰ ἐξ αἰτίας τῶν ἁμαρτιῶν των, οὔτε πάλιν ἐνικοῦσαν μὲ τὴν ἰδικήν των δύναμιν καὶ ἀνδρείαν, ἀλλὰ ἐνικοῦσαν ἐξ αἰτίας τῆς ἄνωθεν εὐνοίας. Καὶ ἡ νίκη καὶ ἡ ἧττα ἦτο εἰς αὐτοὺς γύμνασμα ἀρετῆς καὶ διδασκαλίας, καὶ ὄχι μόνον εἰς αὐτούς, ἀλλὰ καὶ εἰς τοὺς ἀντιπάλους των. Διότι καὶ εἰς ἐκείνους ἦτο τοῦτο ὁλοφάνερον, ὅτι δηλαδὴ δὲν ἐκρίνετο ὁ πόλεμος πρὸς τοὺς Ἰουδαίους διὰ τῆς δυνάμεως τῶν ὅπλων, ἀλλὰ διὰ τοῦ βίου τῶν πολεμούντων καὶ τῶν κατορθωμάτων τῆς ἀρετῆς των.

Αὐτὸ λοιπὸν ἐννοήσαντες κάποτε οἱ Μαδιηναῖοι, καὶ ἀντιληφθέντες ὅτι τὸ ἔθνος αὐτὸ εἶναι ἀκαταμάχητον καὶ ὅτι εἶναι ἀδύνατον νὰ τὸ νικήσουν διὰ διαφόρων μηχανημάτων καὶ ὅπλων, καὶ ὅτι μόνον διὰ τῆς ἁμαρτίας ἠμποροῦν νὰ τὸ κυριεύσουν, ἀφοῦ ἐστόλισαν ὄμορφα κορίτσια καὶ τὰ ἔστησαν εἰς τὴν παράταξίν των, ἐπροκαλοῦσαν τοὺς στρατιώτας εἰς ἀσέλγειαν, προσπαθοῦντες διὰ τῆς πορνείας νὰ τοὺς κάμουν νὰ χάσουν τὴν συμμαχίαν τοῦ Θεοῦ, ὅπως καὶ τὸ ἐπέτυχον. Διότι ἐπειδὴ ἔπεσαν εἰς τὴν ἁμαρτίαν εὐκολονίκητοι ἐγίνοντο εἰς ὅλους, καὶ αὐτοὺς ποὺ ὅπλα καὶ ἵπποι καὶ στρατιῶται καὶ τόσα μηχανήματα δὲν ἠμπόρεσαν νὰ νικήσουν, αὐτοὺς ἡ φύσις τῆς ἁμαρτίας τοὺς παρέδωκε δεμένους εἰς τοὺς ἐχθρούς· καὶ αἱ ἀσπίδες καὶ τὰ δόρατα καὶ τὰ βέλη ἀπεδείχθησαν ἀνίσχυρα, ἡ ὡραιότης τοῦ προσώπου καὶ ἡ ἀκολασία τῆς ψυχῆς ὑπεδούλωσε τοὺς γενναίους αὐτούς. Διὰ τοῦτο κάποιος σοφὸς συμβουλεύει καὶ λέγει· «Μὴ προσέχῃς ξένην ὀμορφιὰν καὶ μὴ συναντᾷς πόρνην γυναῖκα»[11]. «Διότι μέλι στάζει ἀπὸ τὰ χείλη πόρνης γυναικός, τὸ ὁποῖον πρὸς στιγμὴν εὐφραίνει τὸν φάρυγγά σου, ὕστερα ὅμως θὰ τὸ εὕρῃς νὰ εἶναι πικρότερον καὶ ἀπὸ τὴν χολήν, καὶ πιὸ κοφτερὸν ἀπὸ μάχαιραν δίστομον»[12].

Διότι ἡ πόρνη δὲν γνωρίζει νὰ ἀγαπᾷ, ἀλλὰ μόνον κακὰ σκέπτεται· τὸ φίλημά της ἔχει δηλητήριον καὶ φαρμάκι

στόμα. Εἰ δὲ οὐ φαίνεται εὐθέως, διὰ τοῦτο μᾶλλον ἀποφεύγειν αὐτὴν δεῖ, ὅτι περιέστειλε τὸν ὄλεθρον, καὶ τὸν θάνατον ἐγκεκρυμμένον ἔχει, καὶ οὐδὲ ἀφίησιν ἐκ προοιμίων γενέσθαι κατάδηλον. Ὥστε εἴ τις ἡδονὴν διώκει, καὶ εὐθυμίας γέμοντα βίον, τὰς τῶν πορνευομένων γυναικῶν φευγέτω συνουσίας· πολέμων γὰρ μυρίων καὶ θορύβων τὰς τῶν ἐραστῶν πληροῦσι ψυχάς, μάχας αὐτοῖς καὶ φιλονεικίας κινοῦσαι διηνεκεῖς διὰ ῥημάτων, διὰ πραγμάτων ἁπάντων. Καὶ καθάπερ οἱ τῶν ἐχθρῶν πολεμιώτατοι, οὕτω δὴ καὶ αὗται πάντα ποιοῦσι καὶ πραγματεύονται, ὥστε καὶ αἰσχύνῃ καὶ πενίᾳ καὶ τοῖς ἐσχάτοις αὐτοὺς περιβαλεῖν κακοῖς.

Καὶ ὃν τρόπον οἱ θηραταὶ τὰ δίκτυα ἀναπετάσαντες, τὰ ἄγρια τῶν ζώων ἐμβάλλειν ἐπιχειροῦσιν, ὥστε αὐτὰ κατασφάξαι· οὕτω δὴ καὶ αὗται, ἐπειδὰν τὰ πτερὰ τῆς ἀσελγείας πάντοθεν ἀναπετάσωσι, δι' ὀφθαλμῶν, καὶ σχημάτων, καὶ ῥημάτων, εἶτα τοὺς ἑαυτῶν ἐραστὰς ἐμβάλωσι, καὶ καταδήσωσιν, οὐ πρότερον ἀφίστανται, ἕως ἂν αὐτῶν καὶ αὐτὸ τὸ αἷμα ἐκπίωσιν, ἐπεμβαίνουσαι μετὰ ταῦτα, καὶ κωμῳδοῦσαι αὐτῶν τὴν ἄνοιαν, καὶ πολὺν αὐτῶν καταχέουσαι γέλωτα. Οὐδὲ γὰρ ἐλεεῖσθαι λοιπὸν ὁ τοιοῦτος ἄξιος, ἀλλὰ γελᾶσθαι, καὶ σκώπτεσθαι, ὅταν γυναικός, καὶ γυναικὸς πόρνης ἀλογώτερος φαίνηται. Διὰ τοῦτο παραινεῖ πάλιν ὁ σοφὸς ἐκεῖνος λέγων· «Πίνε ὕδατα ἀπὸ σῶν ἀγγείων καὶ ἀπὸ σῶν φρεάτων πηγῆς»· καὶ πάλιν· «Ἔλαφος φιλίας, καὶ πῶλος σῶν χαρίτων ὁμιλείτω σοι»· περὶ γυναικὸς τῆς νόμῳ γάμου συνοικούσης ταῦτα λέγων. Τί καταλιμπάνεις τὴν βοηθόν, καὶ πρὸς τὴν ἐπίβουλον τρέχεις; Τί τὴν κοινωνὸν ἀποστρέφῃ τοῦ βίου, καὶ τὴν ἀνατρέπουσάν σου τὴν ζωὴν θεραπεύεις; Αὕτη σου μέλος ἐστὶ καὶ σῶμα, ἐκείνη δὲ ξίφος ἐστὶν ἠκονημένον. Διό, ἀγαπητοί, φεύγετε τὴν πορ-

13. Παροιμ. 5, 15-19.

δηλητηριῶδες τὸ στόμα της. Καὶ ἂν δὲν φαίνεται ἀμέσως, διὰ τοῦτο μᾶλλον πρέπει νὰ τὴν ἀποφεύγῃς, διότι περιώρισε τὴν καταστροφὴν καὶ τὸν θάνατον ἔχει ἀποκρύψει καὶ δὲν τὸν ἀφήνει νὰ φανερωθῇ ἀπὸ τὴν ἀρχήν. Ὥστε ἐὰν κάποιος ἐπιδιώκῃ τὴν ἡδονήν, καὶ τὴν ζωὴν ποὺ εἶναι γεμάτη ἀπὸ εὐχαρίστησιν, ἂς ἀποφεύγῃ τὰς συναναστροφὰς μὲ πόρνας γυναῖκας· διότι γεμίζουν τὰς ψυχὰς τῶν ἐραστῶν μὲ ἀνησυχίας καὶ θορύβους, καὶ ὑποκινοῦν διὰ τῶν λόγων συνεχεῖς διαμάχας καὶ προστριβὰς δι' ὅλων τῶν πραγμάτων. Καὶ ὅπως οἱ πλέον σκληροὶ ἀπὸ τοὺς ἐχθρούς, ἔτσι καὶ αὐταὶ καταγίνονται μὲ ὅλα καὶ τὰ κάμουν ὅλα, ὥστε νὰ ἐπιφέρουν εἰς αὐτοὺς καὶ τὴν αἰσχύνην καὶ τὴν πτωχείαν καὶ ὅλα τὰ ἔσχατα κακά.

Καὶ ὅπως οἱ κυνηγοὶ οἱ ὁποῖοι ἁπλώνουν τὰ δίκτυα καὶ ἐπιχειροῦν νὰ συλλάβουν τὰ ἄγρια ζῶα, διὰ νὰ τὰ σφάξουν, ἔτσι λοιπὸν καὶ αὐταί, ἀφοῦ ἁπλώσουν παντοῦ τὰς πτέρυγας τῆς ἀσελγείας διὰ τῶν ὀφθαλμῶν καὶ τῶν κινήσεων καὶ τῶν λόγων, καὶ βάλουν μέσα εἰς αὐτὰ τοὺς ἐραστάς των καὶ τοὺς δέσουν, δὲν τοὺς ἀφήνουν νὰ ἀπομακρυνθοῦν ἕως ὅτου τοὺς πίουν καὶ τὸ αἷμα, καὶ ἐπεμβαίνουν μετὰ καὶ διακωμωδοῦν τὴν ἀνοησίαν των καὶ προκαλοῦν εἰς βάρος των πολὺν γέλωτα. Διότι οὔτε διὰ λύπησιν δὲν εἶναι ἄξιος ὁ τοιοῦτος, ἀλλὰ νὰ περιγελᾶται καὶ νὰ ἐμπαίζεται, ἀφοῦ ἀπεδείχθη ἀνοητότερος καὶ ἀπὸ πόρνην γυναῖκα. Διὰ τοῦτο παραινεῖ πάλιν ὁ σοφὸς ἐκεῖνος καὶ λέγει· «Πίνε νερὰ ἀπὸ τὴν δεξαμενήν σου καὶ ἀπὸ τὸ πηγάδι σου»· καὶ πάλιν· «ἔλαφος ἀγαπημένη καὶ ζαρκάδι χαριτωμένο, ἂς σχετίζεται μαζί σου»[13]· καὶ λέγει αὐτὰ διὰ τὴν γυναῖκα ποὺ νομίμως συνοικεῖ μὲ κάποιον. Διατί ἐγκαταλείπεις τὴν βοηθὸν καὶ τρέχεις πρὸς αὐτὴν ποὺ σοῦ ἐπιβουλεύεται; Διατί ἀποστρέφεσαι τὴν σύντροφον τοῦ βίου σου καὶ ὑπηρετεῖς αὐτὴν ποὺ σοῦ καταστρέφει τὴν ζωήν; Αὐτὴ εἶναι μέλος καὶ σῶμα ἰδικόν σου, ἐκείνη δὲ ξίφος ἠκονισμένον. Διὰ τοῦτο, ἀγαπητοί, ἀποφεύγετε τὴν

νείαν, καὶ διὰ τὰ παρόντα κακά, καὶ διὰ τὴν μέλλουσαν κόλασιν.

Τάχα δοκοῦμεν τῆς ὑποθέσεως ἐκπεπτωκέναι, ἀλλ' οὐκ ἔστι τοῦτο ἐκπεσεῖν· οὐ γὰρ ἁπλῶς ὑμῖν ἱστορίας ἀναγνῶναι βουλόμεθα, ἀλλ' ὥστε ἕκαστον τῶν ἐνοχλούντων ὑμῖν διορθώσασθαι παθῶν· διὰ τοῦτο καὶ συνεχεῖς ποιούμεθα τὰς ἐκτροπάς, παντοδαπὸν κατασκευάζοντες ὑμῖν τὸν λόγον, ἐπειδὴ καὶ παντοδαπὰ νοσήματα ἐν δήμῳ τοσούτῳ εἶναι εἰκός, καὶ οὐχ ἓν ἕλκος θεραπεύειν πρόκειται μόνον, ἀλλὰ πολλὰ καὶ διάφορα, διὰ τοῦτο καὶ ποικίλον εἶναι χρὴ τῆς διδασκαλίας τὸ φάρμακον.

Ἐπανίωμεν τοίνυν ὅθεν ἐξέβημεν ταῦτα εἰπεῖν. «Καὶ εἶπεν ὁ ἱερεύς· προσέλθωμεν πρὸς τὸν Θεόν· καὶ ἐπηρώτησε Σαοὺλ τὸν Θεόν· εἰ καταβῶ ὀπίσω τῶν ἀλλοφύλων, καὶ εἰ παραδώσεις αὐτοὺς εἰς τὰς χεῖράς μου· καὶ οὐκ ἀπεκρίθη αὐτῷ ἐν τῇ ἡμέρᾳ ἐκείνῃ ὁ Κύριος». Ὅρα πρᾳότητα καὶ ἐπιείκειαν τοῦ φιλανθρώπου Θεοῦ· οὐ γὰρ σκηπτὸν ἀφῆκεν, οὐδὲ τὴν γῆν ἔσεισεν, ἀλλ' ὃ φίλοι πρὸς φίλους ποιοῦσιν, ἐπειδὰν ὑβρισθῶσι, τοῦτο πρὸς τὸν δοῦλον ὁ Δεσπότης ἐποίησε· παρεσιώπησε μόνον, διὰ τῆς σιγῆς φθεγγόμενος, καὶ πᾶσαν ἐνδεικνύμενος αὐτῷ τὴν ὀργήν. Συνεῖδε τοῦτο ὁ Σαούλ, «Καὶ εἶπε», φησί· «Προσαγάγετε τὰς φυλὰς τοῦ λαοῦ, καὶ γνῶτε καὶ ἴδετε ἐν τίνι γέγονεν ἡ ἁμαρτία αὕτη σήμερον, ὅτι ζῇ Κύριος ὁ σώσας τὸν Ἰσραήλ, ὅτι ἐὰν ἀποκριθῇ κατὰ Ἰωνάθαν τοῦ υἱοῦ μου, θανάτῳ ἀποθανεῖται». Εἶδες προπέτειαν; Ἰδὼν τὸν πρότερον ὅρκον παραβαθέντα, οὐδὲ οὕτω σωφρονίζεται, ἀλλὰ καὶ δεύτερον προστίθησι πάλιν. Καὶ σκόπει διαβόλου κακουργίαν. Ἐπειδὴ γὰρ συνεῖδεν ὅτι πολλάκις ὁ παῖς φωραθεὶς καὶ εἰς μέσον ἐνεχθείς, ἀπὸ τῆς ὄψεως αὐτῆς εὐθέως τὸν πατέρα πραῧναι δύναται καὶ

14. Α' Βασ. 14, 36-37.
15. Α' Βασ. 14, 38-39.

πορνείαν, καὶ διὰ τὰ κακὰ ποὺ προκαλεῖ εἰς τὴν παροῦσαν ζωὴν καὶ διὰ τὴν μέλλουσαν τιμωρίαν ποὺ ἐπιφέρει.

Ἴσως θεωρηθῇ ὅτι ἔχομεν ἐκτραπεῖ ἀπὸ τὸ θέμα μας, ὅμως αὐτὰ δὲν εἶναι ἐκτὸς τοῦ θέματός μας· διότι δὲν ἐπιθυμοῦμεν ἁπλῶς νὰ σᾶς ἀναγνώσωμεν ἱστορίας, ἀλλὰ κάθε ἕνα ἀπὸ σᾶς νὰ τὸν διορθώσωμεν ἀπὸ τὰ διάφορα πάθη ποὺ τὸν ἐνοχλοῦν· διὰ τοῦτο καὶ συνεχῶς κάμνομεν τὰς διαφόρους παρεκβάσεις, καὶ ἀναφέρομεν διάφορα θέματα, ἐπειδή, ὅπως εἶναι φυσικόν, εἰς τόσον λαὸν ὑπάρχουν διάφορα νοσήματα, καὶ δὲν πρέπει νὰ θεραπεύωμεν μόνον μίαν πληγὴν τῆς ψυχῆς, ἀλλὰ πολλὰς καὶ διαφόρους, διὰ τοῦτο καὶ τὸ φάρμακον τῆς διδασκαλίας πρέπει νὰ εἶναι ποικίλον.

Ἂς ἐπανέλθωμεν λοιπὸν ἐκεῖ ἀπὸ ὅπου ἔχομεν παρεκκλίνει διὰ νὰ εἴπουμεν αὐτά. «Καὶ εἶπεν ὁ ἱερεύς· ἂς προσέλθωμεν πρὸς τὸν Θεόν· καὶ ἠρώτησεν ὁ Σαοὺλ τὸν Θεόν· ἐὰν ἐπιτεθῶ ἐκ τῶν νώτων ἐναντίον τῶν ἀλλοφύλων θὰ τοὺς παραδώσῃς εἰς τὰ χέρια μου; Καὶ δὲν ἀπεκρίθη πρὸς αὐτὸν ὁ Κύριος κατ' ἐκείνην τὴν ἡμέραν»[14]. Βλέπε τὴν πραότητα καὶ τὴν ἐπιείκειαν τοῦ φιλανθρώπου Θεοῦ· διότι οὔτε κεραυνὸν ἄφησεν, οὔτε ἔσεισε τὴν γῆν, ἀλλὰ αὐτὸ ποὺ κάμουν οἱ φίλοι εἰς τοὺς φίλους, ὅταν ὑβρισθοῦν, τοῦτο πρὸς τὸν δοῦλον ὁ Δεσπότης ἔκαμε· ἐσιώπησε μόνον, καὶ ὁμιλήσας διὰ τῆς σιωπῆς ἔδειξεν εἰς αὐτὸν ὅλην τὴν ὀργήν του. Ἀντελήφθη τοῦτο ὁ Σαούλ, «Καὶ εἶπε», λέγει, «φέρετε πλησίον μου τὰς φυλὰς τοῦ λαοῦ καὶ ἐξετάσατε νὰ μάθετε ἀπὸ ποῖον ἔγινεν ἡ ἁμαρτία αὐτὴ σήμερον, διότι ζῇ ὁ Κύριος ὁ σωτὴρ τοῦ Ἰσραήλ, ὅτι καὶ ὁ Ἰωνάθαν ἀκόμη ἂν ἀποδειχθῇ ὅτι εἶναι, θὰ θανατωθῇ»[15]. Εἶδες αὐθάδειαν; Ἂν καὶ εἶδεν ὅτι ὁ πρῶτος ὅρκος δὲν ἐτηρήθη, οὔτε ἔτσι σωφρονίζεται, ἀλλὰ καὶ δεύτερον πάλιν προσθέτει. Καὶ πρόσεξε τὴν κακουργίαν τοῦ διαβόλου. Διότι ἐπειδὴ ἐγνώριζεν ὅτι ἂν συνελαμβάνετο ὁ υἱός του πολλὰς φορὰς ἐπ' αὐτοφόρῳ καὶ ὡδηγεῖτο εἰς τὸ μέσον ὡς ὑπόδικος, ἡ ὄψις του θὰ ἠμποροῦσε νὰ μαλακώσῃ καὶ νὰ καθησυχάσῃ τὸν θυμὸν τοῦ βασιλέως, διὰ

μαλάξαι τὸν τοῦ βασιλέως θυμόν, δευτέρων πάλιν ὅρκων ἀνάγκῃ προκατέλαβεν αὐτοῦ τὴν γνώμην, διπλῷ τινι δεσμῷ κατέχων αὐτόν, καὶ οὐκ ἀφιεὶς τῆς οἰκείας γενέσθαι γνώμης κύριον, ἀλλὰ πανταχόθεν αὐτὸν ὠθῶν εἰς τὴν παράνομον ἐκείνην σφαγήν. Καὶ οὔπω τοῦ ἡμαρτηκότος φανέντος τὴν κρίσιν πεποίηται, καὶ τὸν ἁλόντα οὐκ εἰδὼς ἀπεφήνατο, καὶ ὁ πατὴρ ἐγένετο δήμιος, καὶ πρὸ τῆς ἐξετάσεως τὴν καταδικάζουσαν ψῆφον ἐξήνεγκε. Τί τούτου γένοιτ' ἂν ἀλογώτερον;

5. Ταῦτα τοίνυν εἰπόντος τοῦ Σαούλ, μᾶλλον ἔδεισεν ὁ δῆμος, καὶ πάντες ἦσαν ἐν τρόμῳ καὶ φόβῳ πολλῷ· ὁ δὲ διάβολος ἔχαιρε πάντας ἐν ἀγωνίᾳ καταστήσας. Οὐ γὰρ ἦν ὁ ἀποκρινόμενος, φησίν, ἐκ παντὸς τοῦ λαοῦ. Καὶ εἶπε Σαούλ, ὑμεῖς ἔσεσθε εἰς δουλείαν, καὶ ἐγὼ καὶ Ἰωνάθαν ὁ υἱός μου εἰς δουλείαν. Ὃ δὲ λέγει τοιοῦτόν ἐστιν· οὐδὲν ἕτερον σπουδάζετε, φησίν, ἀλλ' ἢ τοῖς πολεμίοις ὑμᾶς παραδοῦναι, καὶ δούλους ἀντ' ἐλευθέρων ποιῆσαι, τὸν Θεὸν καθ' ὑμῶν παροξύναντες, τῷ μὴ διδόναι τὸν ὑπεύθυνον. Ὅρα δὲ καὶ ἄλλην ἀπὸ τοῦ ὅρκου γινομένην ἐναντίωσιν. Δέον γάρ, εἴπερ ἐβούλετο τὸν αἴτιον εὑρεῖν, μηδὲν ἀπειλῆσαι τοιοῦτο, μηδὲ ὅρκῳ καταδῆσαι τὴν τιμωρίαν, ἵν' ἀδεέστεροι γενόμενοι προχειρότερον εἰς μέσον ἀγάγωσι τὸν ὑπεύθυνον· ὁ δὲ ὑπὸ θυμοῦ, καὶ μανίας πολλῆς, καὶ τῆς προτέρας ἀλογίας, πάλιν τοὐναντίον ἤπερ βούλεται ποιεῖ.

Τί δεῖ τὰ πολλὰ λέγειν; Κλήρῳ τὸ πρᾶγμα ἐπέτρεψε, καὶ κατακληροῦνται Σαοὺλ καὶ Ἰωνάθαν. Καὶ εἶπε Σαούλ· «Βάλετε κλῆρον ἀνὰ μέσον ἐμοῦ καὶ Ἰωνάθαν· καὶ βάλλουσι κλῆρον, καὶ κατακληροῦται Ἰωνάθαν. Καὶ εἶπε Σαοὺλ πρὸς Ἰωνάθαν, ἀπάγγειλόν μοι τί ἐποίησας· καὶ ἀπήγγειλεν αὐτῷ Ἰωνάθαν λέγων, γευσάμενος ἐγευσάμην ἐν ἄκρῳ τῷ σκήπτρῳ ἐν τῇ χειρί μου μικρὸν ἐκ τοῦ μέλιτος· καὶ ἰδοὺ ἐγὼ ἀποθνήσκω». Τίνα οὐκ ἂν ἐπέκαμψε, τίνα οὐκ ἂν εἰς

16. Α' Βασ. 14, 42-43.

τοῦτο ἐδέσμευσε τὴν θέλησίν του διὰ δευτέρου ὅρκου, κρατῶν αὐτῶν διὰ διπλῶν δεσμῶν καὶ δὲν ἐπιτρέπει εἰς αὐτὸν νὰ εἶναι κύριος τῆς ἀποφάσεώς του, ἀλλὰ ἀπὸ παντοῦ τὸν ὠθεῖ εἰς τὴν παράνομον ἐκείνην σφαγήν. Καὶ πρὶν ἀκόμη ἀποδειχθῇ ποῖος ἡμάρτησεν, ἔχει ἀποφασίσει διὰ τὴν τιμωρίαν, καὶ χωρὶς νὰ γνωρίζῃ τὸν παραβάτην ἔβγαλε τὴν καταδικαστικὴν ἀπόφασιν, καὶ ὁ πατέρας ἔγινε δήμιος. Τί ἠμπορεῖ νὰ γίνῃ ἀνοητότερον τούτου;

5. Αὐτὰ λοιπὸν ἀφοῦ εἶπεν ὁ Σαούλ, περισσότερον ἐφοβήθη ὁ λαός, καὶ ὅλους τοὺς κατεῖχε μεγάλος φόβος καὶ τρόμος· ὁ διάβολος δὲ ἔχαιρε, διότι ὅλους τοὺς ἔβαλεν εἰς ἀγωνίαν. Διότι δὲν ὑπῆρχε, λέγει, κανεὶς ἀπὸ τὸν λαὸν ποὺ νὰ ἀπαντοῦσε. Καὶ εἶπεν ὁ Σαούλ· σεῖς θὰ γίνεται δοῦλοι, καὶ ἐγὼ καὶ ὁ Ἰωνάθαν ὁ υἱός μου ἐπίσης. Αὐτὸ δὲ ποὺ λέγει σημαίνει τὸ ἑξῆς· τίποτε ἄλλο δὲν κάμετε, λέγει, παρὰ νὰ παραδίδετε τοὺς ἑαυτούς σας εἰς τοὺς ἐχθροὺς καὶ νὰ κάμετε τοὺς ἑαυτούς σας δούλους, ἀντὶ ἐλευθέρους, παροργίζοντες ἐναντίον σας τὸν Θεὸν μὲ τὸ νὰ μὴ καταγγέλλετε τὸν ἔνοχον. Βλέπε ὅτι ἔγινε καὶ ἄλλο ἐμπόδιον ἀπὸ τὸν ὅρκον. Διότι ἐνῷ ἔπρεπε, ἀφοῦ ἤθελε νὰ ἀνακαλύψῃ τὸν αἴτιον, νὰ μὴ κάμῃ καμμίαν τέτοιαν ἀπειλήν, οὔτε δι' ὅρκου νὰ δεσμευθῇ ὅτι θὰ τιμωρήσῃ, ὥστε νὰ μὴ φοβηθοῦν καὶ εὐκολώτερον νὰ φέρουν εἰς τὸ μέσον τὸν ὑπεύθυνον, αὐτὸς ὅμως ἐξ αἰτίας τοῦ θυμοῦ του καὶ τῆς πολλῆς μανίας καὶ τῆς προηγουμένης ἀπερισκεψίας, πάλιν κάμει τὸ ἀντίθετον ἀπὸ ἐκεῖνο ποὺ ἤθελε.

Διατί νὰ πολυλογῶ; Ἔκαμαν κλῆρον διὰ τὸ ζήτημα αὐτὸ καὶ ὁ κλῆρος ἔπεσεν εἰς τὸν Σαοὺλ καὶ τὸν Ἰωνάθαν. Καὶ εἶπεν ὁ Σαούλ· «Βάλετε κλῆρον μεταξὺ ἐμοῦ καὶ τοῦ Ἰωνάθαν· καὶ βάζουν καὶ ἔπεσεν ὁ κλῆρος εἰς τὸν Ἰωνάθαν. Καὶ εἶπεν ὁ Σαοὺλ πρὸς τὸν Ἰωνάθαν, εἰπέ μου τί ἔκαμες· καὶ ἀπήντησεν εἰς αὐτὸν ὁ Ἰωνάθαν λέγων· ἔφαγα ὀλίγον μέλι καὶ ἐπῆρα μὲ τὸ ἄκρον τῆς ράβδου μου ποὺ ἐκρατοῦσα· καὶ ἰδοὺ ἐγὼ τώρα πρόκειται νὰ ἀποθάνω»[16]. Ποῖον δὲν θὰ

οἶκτον ἤνεγκε ταῦτα τὰ ῥήματα; Ἐννόησον ὅσον χειμῶνα λοιπὸν ὁ Σαοὺλ ὑπέμεινε τῶν σπλάγχνων αὐτῷ διακοπτομένων, καὶ ἑκατέρωθεν βαθυτάτου κρημνοῦ φαινομένου· ἀλλ' ὅμως οὐδὲ οὕτως ἐσωφρονίζετο, ἀλλὰ τί φησι; «Τάδε ποιήσαι μοι ὁ Θεός, καὶ τάδε προσθείη, ὅτι θανάτῳ ἀποθανῇ σήμερον».

Ἰδοὺ τρίτος ὅρκος πάλιν, καὶ οὐδὲ ἁπλῶς τρίτος, ἀλλὰ μετὰ πολλῆς τῆς τοῦ καιροῦ στενοχωρίας· οὐ γὰρ εἶπεν ἁπλῶς, ὅτι ἀποθανῇ, ἀλλὰ σήμερον. Ἤπειγε γάρ, ἤπειγεν ὁ διάβολος συνωθῶν καὶ συνελαύνων αὐτὸν εἰς τὴν παράνομον ταύτην σφαγήν. Διόπερ οὐκ ἀφίησιν οὐδὲ προθεσμίαν δοῦναι τῷ ψήφῳ, ἵνα μηδεμία ἀπὸ τῆς μελλήσεως διόρθωσις γένηται τοῦ κακοῦ. «Καὶ εἶπεν ὁ λαὸς πρὸς Σαούλ· Τάδε ποιῆσαι ἡμῖν ὁ Θεός, καὶ τάδε προσθείη, εἰ θανάτῳ θανατωθήσεται ὁ ποιήσας τὴν σωτηρίαν τὴν μεγάλην τῷ Ἰσραήλ. Ζῇ Κύριος, εἰ πεσεῖται τῆς τριχὸς τῆς κεφαλῆς αὐτοῦ ἐπὶ τὴν γῆν, ὅτι ἔλεον Θεοῦ ἐποίησεν ἐν τῇ ἡμέρᾳ ταύτῃ». Ἰδοὺ καὶ ὁ δῆμος δεύτερον ὤμοσε, καὶ ἀντώμοσε τῷ βασιλεῖ. Νῦν ἀναμνήσθητέ μοι τοῦ καλωδίου τοῦ παρὰ τῶν παίδων ἑλκομένου, καὶ διαρρηγνυμένου, καὶ τοὺς ἕλκοντας ῥίπτοντος ὑπτίους. Ὤμοσεν ὁ Σαούλ, οὐχ ἅπαξ, οὐδὲ δίς, ἀλλὰ καὶ πολλάκις· ἀντώμοσεν ὁ λαός, καὶ ἀντέτεινεν. Ἀνάγκη λοιπὸν διαρραγῆναι πάντως τὸν ὅρκον· πάντας γὰρ εὐορκῆσαι τούτους ἀδύνατον.

Καὶ μή μοι τὴν ἔκβασιν τοῦ πράγματος εἴπῃς ἀλλ' ἐννόησον ὅσα ἐτίκτετο κακά, καὶ πῶς τὴν τοῦ Ἀβεσσαλὼμ τραγῳδίαν καὶ τυραννίδα ἐντεῦθεν κατεσκεύαζεν ὁ διάβολος. Εἰ γὰρ ἐθέλησεν ὁ βασιλεὺς ἀντιθεῖναι καὶ ἐπεξελθεῖν τῷ ὅρκῳ, πᾶς ὁ δῆμος ἂν ἀντέστη, καὶ τυραννὶς ἂν ἐγένετο χαλεπωτάτη· πάλιν εἰ ἐθέλησεν ὁ παῖς τῆς οἰκείας φειδόμενος σωτηρίας δοῦναι ἑαυτὸν τῷ στρατοπέδῳ, πατροκτόνος

17. Α' Βασ. 14, 44.
18. Α' Βασ. 14, 45.

ἐλύγιζαν, εἰς ποῖον δὲν θὰ ἐπροξενοῦσαν τὰ λόγια αὐτὰ οἶκτον; Μάθε λοιπὸν πόσην ταραχὴν ᾐσθάνθη ὁ Σαούλ, διότι τὰ σπλάγχνα του διεσχίζοντο καὶ εὑρίσκετο εἰς τὸ μέσον δύο βαθυτάτων κρημνῶν· καὶ ὅμως οὔτε τότε ἐσωφρονίζετο, ἀλλὰ τί λέγει; «Τοῦτο νὰ μὴ κάμῃ ὁ Θεός, καὶ αὐτὸ νὰ μοῦ προσθέσῃ, διότι θὰ θανατωθῇς σήμερον»[17].

Ἰδοὺ τρίτος ὅρκος πάλιν, καὶ ὄχι μόνον ἁπλῶς τρίτος, ἀλλὰ καὶ μὲ μικρὰν προθεσμίαν· διότι δὲν εἶπεν ἁπλῶς, ὅτι θὰ ἀποθάνῃ, ἀλλὰ θὰ θανατωθῇ σήμερον. Διότι ἐβιάζετο ὑπὸ τοῦ διαβόλου καὶ ὠθεῖτο εἰς τὴν παράνομον αὐτὴν σφαγήν. Διὰ τοῦτο δὲν τὸν ἀφήνει νὰ δώσῃ οὔτε προθεσμίαν εἰς τὴν ἀπόφασίν του, διὰ νὰ μὴ γίνῃ ἀπὸ τὴν ἀργοπορίαν καμμία διόρθωσις τοῦ κακοῦ. «Καὶ εἶπεν ὁ λαὸς πρὸς τὸν Σαούλ· αὐτὰ νὰ μᾶς κάμῃ ὁ Θεὸς καὶ αὐτὰ νὰ μᾶς προσθέσῃ, ἐὰν θὰ θανατωθῇ ἐκεῖνος ποὺ ἔσωσε τὸν Ἰσραήλ. Ἐφ' ὅσον ζῇ ὁ Κύριος οὔτε τρίχα δὲν θὰ πέσῃ ἀπὸ τὴν κεφαλήν του, διότι μὲ αὐτὸν μᾶς ἐλέησεν ὁ Θεὸς κατὰ τὴν ἡμέραν ἐκείνην τῆς νίκης»[18]. Ἰδοὺ καὶ ὁ λαὸς ὡρκίσθη διὰ δευτέραν φορὰν καὶ ἔκαμε ὅρκον ἀντίθετον πρὸς τὸν ὅρκον τοῦ βασιλέως. Τώρα νὰ ἐνθυμηθῆτε τὸ σχοινὶ τὸ ὁποῖον σύρεται ἀπὸ τὰ παιδιὰ καὶ κόπτεται καὶ ἐκείνους ποὺ τὸ τραβοῦν τοὺς ρίχνει ἀνάσκελα. Ὡρκίσθη ὁ Σαούλ, ὄχι μίαν φοράν, οὔτε δύο, ἀλλὰ πολλὰς φοράς· ὡρκίσθη ὁ λαὸς ἀντίθετον ὅρκον μὲ αὐτὸν καὶ ἀντέταξε τὸν ὅρκον του εἰς τὸν ὅρκον τοῦ βασιλέως. Ἐξ ἅπαντος λοιπὸν ὁ ὅρκος θὰ καταπατηθῇ, διότι εἶναι ἀδύνατον ὅλοι νὰ τηρήσουν τὸν ὅρκον τους.

Καὶ μὴ μοῦ ἀναφέρῃς τὴν ἔκβασιν τοῦ θέματος, ἀλλὰ μάθε πόσα κακὰ ἠμποροῦσαν νὰ γίνουν ἀπὸ αὐτὸ καὶ ὅτι ὁ διάβολος κατεσκεύαζεν ἀπὸ ἐδῶ τὴν τραγωδίαν τοῦ Ἀβεσσαλὼμ καὶ τὴν τυραννίαν. Διότι ἂν ἤθελεν ὁ βασιλεὺς νὰ ἀντισταθῇ καὶ νὰ τηρήσῃ τὸν ὅρκον του καὶ ἀνθίστατο καὶ ὁλόκληρος ὁ λαός, θὰ ἐγίνετο ἀπολυταρχία χειρίστης μορφῆς· ἐὰν πάλιν ὁ υἱός, χάριν τῆς σωτηρίας του, ἐπήγαινε μὲ τὸ μέρος τοῦ στρατοπέδου, θὰ ἐγίνετο ἀμέσως πατροκτόνος.

ἂν εὐθέως ἐγένετο. Ὁρᾷς καὶ τυραννίδα, καὶ παιδοκτονίαν, καὶ πατροκτονίαν, καὶ πόλεμον ἐμφύλιον, καὶ μάχην, καὶ σφαγάς, καὶ αἵματα, καὶ μυρίους νεκροὺς ἀφ' ἑνὸς ὅρκου γενομένους; Εἰ γὰρ συνέβη γενέσθαι πόλεμον, καὶ ὁ Σαοὺλ ἂν ἐσφάγη, καὶ Ἰωνάθαν, ἴσως καὶ πολλοὶ τῶν στρατιωτῶν κατεκόπησαν ἄν, καὶ οὐδενὶ οὕτω τὰ τῆς εὐορκίας προσεχώρησεν. Ὥστε μὴ τοῦτο ἴδῃς ὅτι οὐ γέγονεν, ἀλλ' ἐκεῖνο σκόπει, ὅτι ἡ τοῦ πράγματος φύσις ταῦτα ἠνάγκαζε γενέσθαι· ὁ δὲ λαὸς ἐκράτησε.

Φέρε τοίνυν ἀριθμήσωμεν τὰς γεγενημένας ἐπιορκίας. Παρεβάθη πρότερος ὁ ὅρκος τοῦ Σαοὺλ ὑπὸ τοῦ παιδός, δεύτερος καὶ τρίτος πάλιν ὁ αὐτοῦ Σαοὺλ ὁ περὶ τῆς σφαγῆς τοῦ παιδός· καὶ ἔδοξεν ὁ λαὸς εὐορκεῖν· ἀλλ' ἐάν τις ἀκριβῶς ἐξετάσῃ τὸ πρᾶγμα, καὶ οὗτοι πάλιν τοῖς τῆς ἐπιορκίας ἐγκλήμασιν ὑπεύθυνοι πάντες ἐγένοντο. Τὸν γὰρ πατέρα αὐτοῦ τοῦ Ἰωνάθαν ἐπιορκῆσαι ἠνάγκασαν, οὐκ ἐκδόντες τῷ πατρὶ τὸν υἱόν. Ὁρᾷς εἷς ὅρκος ὅσους ἀνθρώπους ὑπέβαλεν ἐπιορκίᾳ, καὶ ἑκόντας, καὶ ἄκοντας; ὅσα κακὰ εἰργάσατο; ὅσας σφαγὰς ἐποίησεν;

6. Ἐγὼ μὲν οὖν ὑπεσχόμην ἀρχόμενος τοῦ λόγου δείξειν ἐν ταῖς ἀντωμοσίαις πάντως ἐπιορκίαν γινομένην, ἡ δὲ ἱστορία προϊοῦσα πολλῷ πλέον ἤπερ παρεσκευαζόμην, ἀπέδειξεν. Οὐ γὰρ ἕνα καὶ δύο καὶ τρεῖς ἀνθρώπους, ἀλλὰ δῆμον, οὐχ ἕνα καὶ δύο καὶ τρεῖς ὅρκους, ἀλλὰ πολλῷ πλέον παραβαθέντας ὑπέφηνεν. Ἐνῆν καὶ ἑτέραν ἱστορίαν εἰπεῖν καὶ δεῖξαι, καὶ ἐξ ἐκείνης χαλεπωτέραν ταύτης καὶ μείζονα συμφορὰν ἐργασάμενον ὅρκον ἕνα. Καὶ γὰρ πόλεων, καὶ γυναικῶν, καὶ παιδίων αἰχμαλωσίαν, καὶ πυρπόλησιν, καὶ βαρβάρων ἔφοδον, καὶ ἁγίων μολυσμόν, καὶ μυρία ἕτερα χαλεπώτερα τοὺς Ἰουδαίους ἅπαντας εἷς ὅρκος διέθηκεν.

Βλέπεις λοιπὸν ὅτι ἀπὸ ἕνα ὅρκον ἠμποροῦν νὰ συμβοῦν καὶ τυραννία, καὶ παιδοκτονία καὶ πατροκτονία καὶ ἐμφύλιος πόλεμος καὶ μάχη καὶ σφαγαὶ καὶ αἵματα καὶ ἀναρίθμητοι νεκροί; Διότι ἐὰν συνέβαινε νὰ γίνῃ πόλεμος καὶ ὁ Σαοὺλ θὰ ἐθανατώνετο καὶ ὁ Ἰωνάθαν, ἴσως καὶ πολλοὶ ἀπὸ τοὺς στρατιώτας νὰ κατεκόπτοντο καὶ πάλιν δὲν θὰ εἶχε τηρηθῇ ὁ ὅρκος. Ὥστε μὴ βλέπῃς ὅτι δὲν ἔγινεν ἔτσι, ἀλλὰ νὰ σκέπτεσαι ἐκεῖνο, πόσα κακὰ ἠμποροῦσαν νὰ γίνουν ἀπὸ ἐκεῖνο· ὅμως ἐπεκράτησεν ἡ θέλησις τοῦ λαοῦ.

Ἐμπρὸς λοιπὸν ἂς ἀπαριθμήσωμεν τὰς ἐπιορκίας ποὺ ἔγιναν. Δὲν ἐτηρήθη πρῶτον ὁ ὅρκος τοῦ Σαοὺλ ὑπὸ τοῦ παιδιοῦ του, δεύτερος καὶ τρίτος πάλιν ὅρκος τοῦ Σαοὺλ περὶ σφαγῆς τοῦ παιδιοῦ του κατεπατήθη ὑπὸ τοῦ ἰδίου· καὶ ἐφάνη ὅτι ὁ λαὸς ἐτήρησε τὸν ὅρκον του· ἀλλὰ ἂν ἐξετάσῃ κανεὶς ἐπακριβῶς τὸ θέμα, θὰ ἀντιληφθῇ ὅτι καὶ αὐτοὶ ἔγιναν ἔνοχοι εἰς ἐγκλήματα τῆς ἐπιορκίας. Διότι ἠνάγκασαν τὸν πατέρα τοῦ Ἰωνάθαν νὰ ἐπιορκήσῃ, μὲ τὸ νὰ μὴ παραδώσουν τὸν υἱὸν εἰς τὸν Πατέρα. Βλέπεις πῶς ἕνας ὅρκος τόσους ἀνθρώπους, εἴτε μὲ τὴν θέλησίν των εἴτε χωρὶς τὴν θέλησίν των τοὺς ἔκαμε νὰ εἶναι ἐπίορκοι; Βλέπεις πόσα κακὰ ἐδημιούργησε; Πόσας σφαγὰς ἠμποροῦσε νὰ κάμῃ;

6. Ἐγὼ λοιπὸν σᾶς ὑπεσχέθην ὅταν ἤρχισα τὴν ὁμιλίαν νὰ σᾶς ἀποδείξω ὅτι ἀπὸ τοὺς ἀντιθέτου περιεχομένου ὅρκους ὁπωσδήποτε θὰ προέλθῃ ἐπιορκία, ἡ ἱστορία δὲ κατὰ τὴν ἐξέτασίν της, ἀπέδειξε περισσότερα ἀπὸ ὅσα προητοίμασα. Διότι ὄχι μόνον ἕνα καὶ δύο καὶ τρεῖς ἀνθρώπους, ἀλλὰ λαὸν ὁλόκληρον, καὶ ὄχι ἕνα καὶ δύο καὶ τρεῖς ὅρκους, ἀλλὰ πολὺ περισσοτέρους ἀπέδειξεν ὅτι κατεπατήθησαν. Ἠμποροῦσα καὶ ἄλλην ἱστορίαν νὰ εἰπῶ καὶ νὰ φανερώσω καὶ ἀπὸ ἐκείνην ὅτι ἕνας ὅρκος ἔκαμε μεγαλυτέραν καὶ χειροτέραν ἀπὸ αὐτὴν συμφοράν. Καθ' ὅσον ἕνας ὅρκος ἐπέφερεν εἰς ὅλους τοὺς Ἰουδαίους πόλεων καὶ γυναικῶν καὶ παιδιῶν αἰχμαλωσίαν καὶ πυρπόλησιν καὶ ἐπίθεσιν βαρβάρων καὶ μολυσμὸν ἁγίων καὶ ἀναρίθμητα ἄλλα κακά.

Ἀλλ' ὁρῶ πρὸς μῆκος τὸν λόγον ἐκτεινόμενον· διὰ τοῦτο ἐνταῦθα τῆς ἱστορίας ταύτης τὴν διήγησιν καταλύσας, μετὰ τῆς Ἰωάννου κεφαλῆς καὶ τὴν τοῦ Ἰωνάθαν σφαγήν, καὶ τὴν πανωλεθρίαν τοῦ δήμου παντός, τὴν οὐ γενομένην μέν, συμβᾶσαν δὲ ὅμως ἀπὸ τῆς ἀνάγκης τῶν ὅρκων, πρὸς ἀλλήλους λέγειν παρακαλῶ, καὶ ἐν οἰκίᾳ, καὶ ἐν ἀγορᾷ, καὶ πρὸς γυναῖκας, καὶ πρὸς φίλους, καὶ πρὸς γείτονας, καὶ πρὸς πάντας ἀνθρώπους ἁπλῶς ὑπὲρ τοῦ πράγματος τούτου ποιεῖσθαι σπουδήν, καὶ μὴ νομίζειν ἀρκοῦσαν ἡμῖν ἀπολογίαν εἶναι, εἰ συνήθειαν προβαλοίμεθα.

Ὅτι γὰρ σκῆψις ταῦτα, καὶ πρόφασις, καὶ οὐ συνηθείας, ἀλλὰ ῥᾳθυμίας ἐστὶν ἡ παρανομία, ἀπὸ τῶν ἤδη συμβάντων ὑμᾶς πεῖσαι πειράσομαι. Ἀπέκλεισε τὰ βαλανεῖα τῆς πόλεως ὁ βασιλεύς, καὶ μηδένα λούσασθαι ἐκέλευσε, καὶ οὐδεὶς ἐτόλμησε παραβῆναι τὸν νόμον, οὐδὲ αἰτιάσασθαι τὸ γεγενημένον, οὐδὲ συνήθειαν προβαλέσθαι· ἀλλὰ καὶ ἐν ἀρρωστίᾳ ὄντες πολλάκις, καὶ ἄνδρες, καὶ γυναῖκες, καὶ παῖδες, καὶ γέροντες, καὶ ὠδίνων ἄρτι παυσάμεναι πολλαὶ γυναῖκες, καὶ ἀναγκαίως ἅπαντες τὸ φάρμακον τοῦτο ἐπιζητοῦντες, φέρουσι καὶ ἑκόντες καὶ ἄκοντες τὸ ἐπίταγμα, καὶ οὔτε ἀσθένειαν σώματος προβάλλονται, οὔτε συνηθείας τυραννίδα, οὔτε τὸ ἑτέρων ἁμαρτανόντων αὐτοὶ κολάζεσθαι, οὔτε ἄλλο τῶν τοιούτων οὐδέν, ἀλλὰ στέργουσι τὴν τιμωρίαν ταύτην, διὰ τὸ μείζονα προσδοκῆσαι κακά, καὶ καθ' ἑκάστην εὔχονται τὴν ἡμέραν μέχρι τούτου στῆναι τὴν βασιλικὴν ὀργήν.

Ὁρᾷς ὅτι ἔνθα φόβος, εὐκόλως λύεται συνήθεια, κἂν σφόδρα χρονία τις ᾖ καὶ ἀναγκαία; Καίτοι τὸ μὴ λούσασθαι χαλεπόν. Κἂν γὰρ πολλάκις φιλοσοφῶμεν, ἡ τοῦ σώματος φύσις ἐλέγχεται οὐδὲν ἀπὸ τῆς κατὰ τὴν ψυχὴν φιλοσο-

Ἀλλὰ βλέπω ὅτι ἐπεκτείνεται πολὺ ἡ ὁμιλία· διὰ τοῦτο ἀφοῦ σταματήσω ἐδῶ τὴν διήγησιν τῆς ἱστορίας αὐτῆς νὰ ὁμιλῆτε μεταξύ σας, παρακαλῶ, καὶ διὰ τὴν ἀπεκαφάλισιν τοῦ Ἰωάννου καὶ διὰ τὴν σφαγὴν τοῦ Ἰωνάθαν καὶ διὰ τὴν πανωλεθρίαν τοῦ λαοῦ ὅλου, ἡ ὁποία δὲν συνέβη μέν, ἠμποροῦσεν ὅμως νὰ συμβῇ ἐξ αἰτίας τῆς ἀνάγκης τηρήσεως τοῦ ὅρκου, καὶ εἰς τὴν οἰκίαν σας, καὶ εἰς τὴν ἀγοράν, καὶ πρὸς τοὺς φίλους, καὶ πρὸς τοὺς γείτονας καὶ πρὸς ὅλους τοὺς ἀνθρώπους, διὰ τὸ ζήτημα αὐτὸ νὰ καταβάλλετε προσπάθειαν καὶ νὰ μὴ θεωρῆτε ἀρκετὴν τὴν δικαιολογίαν, ἐὰν προβάλωμεν ὡς τοιαύτην τὴν συνήθειαν.

Ὅτι δὲ αὐτὰ εἶναι προφάσεις καὶ προσχήματα καὶ ὅτι δὲν εἶναι ἀποτέλεσμα συνηθείας, ἀλλὰ ραθυμίας, ἡ παρανομία αὐτή, θὰ προσπαθήσω νὰ σᾶς ἀποδείξω ἀπὸ τὰ γεγονότα ποὺ συνέβησαν. Ἔκλεισε τὰ λουτρὰ τῆς πόλεως ὁ βασιλεὺς καὶ διέταξε νὰ μὴ λούεται κανείς, καὶ κανεὶς δὲν ἐτόλμησε νὰ παραβῇ τὸν ὅρκον, οὔτε νὰ σχολιάσῃ αὐτὴν τὴν ἀπόφασιν, οὔτε νὰ προβάλλῃ ὡς δικαιολογίαν τὴν συνήθειαν· ἀλλὰ καὶ ἐν ἀσθενείᾳ εὑρισκόμενοι μερικοί, καὶ ἄνδρες καὶ γυναῖκες καὶ παιδιὰ καὶ γέροντες, καὶ γυναῖκες τὰς ὁποίας οἱ πόνοι τοῦ τοκετοῦ πρὸ ὀλίγου τὰς ἄφησαν καὶ οἱ ὁποῖοι ἔχουν ἀνάγκην ἀπὸ τὸ φάρμακον τοῦτο, ὑποφέρουν ἐν τούτοις καὶ ἑκουσίως καὶ ἀκουσίως τὴν διαταγήν, καὶ δὲν προβάλλουν ὡς δικαιολογίαν οὔτε τὴν ἀσθένειαν τοῦ σώματος, οὔτε τὴν δύναμιν τῆς συνηθείας, οὔτε τὸ ὅτι ἄλλοι ἔσφαλλαν καὶ αὐτοὶ τιμωροῦνται, ἀλλὰ δέχονται τὴν τιμωρίαν αὐτήν, ἐπειδὴ ἀνέμεναν μεγαλύτερα κακά, καὶ καθημερινῶς εὔχονται μέχρις αὐτοῦ τοῦ σημείου νὰ φθάσῃ ἡ ὀργὴ τοῦ βασιλέως.

Βλέπεις λοιπὸν ὅπου ὑπάρχει φόβος, εὔκολα καταργεῖται ἡ συνήθεια, ἀκόμα καὶ ἂν εἶναι πολὺ μακροχρόνιος καὶ ἀναγκαία; Διότι τὸ νὰ μὴ κάμῃ κανεὶς λουτρὸν εἶναι δύσκολον. Διότι καὶ ἂν πολλὰς φορὰς φιλοσοφῶμεν, τὸ σῶμα καθόλου δὲν ὠφελεῖται εἰς τὴν ὑγείαν του ἀπὸ τὰς φιλοσοφι-

φίας εἰς τὴν οἰκείαν ὑγίειαν ὠφελουμένη· τὸ δὲ μὴ ὀμνύειν σφόδρα ῥάδιον, καὶ οὐδεμίαν οἴσει βλάβην, οὐ τοῖς σώμασιν, οὐ ταῖς ψυχαῖς, ἀλλὰ καὶ πολὺ τὸ κέρδος, μεγάλην τὴν ἀσφάλειαν, πολλὴν τὴν εὐπορίαν. Πῶς οὖν οὐκ ἄτοπον, βασιλέως μὲν ἐπιτάττοντος καὶ τὰ χαλεπώτατα φέρειν, Θεοῦ δὲ νομοθετοῦντος οὐδὲν χαλεπόν, οὐδὲ δύσκολον, ἀλλὰ ῥάδιον σφόδρα καὶ εὔκολον, καταφρονεῖν καὶ καταγελᾶν, καὶ συνήθειαν προβάλλεσθαι;

Μή, παρακαλῶ, μὴ μέχρι τοσούτου τῆς ἑαυτῶν καταφρονῶμεν σωτηρίας, ἀλλὰ φοβηθῶμεν τὸν Θεόν, ὡς φοβούμεθα ἄνθρωπον. Οἶδα ὅτι ἐφρίξατε τοῦτο ἀκούοντες, ἀλλὰ φρίκης ἄξιον τὸ μηδὲ τοσαύτην ἀπονέμειν τῷ Θεῷ τιμήν, ἀλλὰ τοὺς βασιλικοὺς νόμους μετὰ ἀκριβείας φυλάττοντας, τοὺς θείους καὶ ἐκ τῶν οὐρανῶν καταβάντας καταπατεῖν, καὶ πάρεργον εἶναι νομίζειν τὴν περὶ ταῦτα σπουδήν. Ποία γὰρ ἡμῖν ἀπολογία λοιπὸν ἔσεται; τίς δὲ συγγνώμη, ὅταν μετὰ τοσαύτην παραίνεσιν τοῖς αὐτοῖς ἐπιμένωμεν; Καὶ γὰρ ἀρξαμένης τῆς συμφορᾶς ταύτης τῆς τὴν πόλιν κατεχούσης ἠρξάμην τῆς παραινέσεως ταύτης, καὶ ἡ μὲν μέλλει λύεσθαι λοιπόν, ἡμεῖς δὲ οὐδέπω μίαν ἐντολὴν κατωρθώσαμεν· πῶς οὖν αἰτήσομεν ἀπαλλαγὴν τῶν κατεχόντων ἡμᾶς δεινῶν μίαν ἐντολὴν ἀνύσαι μὴ δυνηθέντες; πῶς δὲ προσδοκήσομεν τὴν χρηστὴν μεταβολήν; πῶς δὲ εὐξόμεθα; ποίᾳ γλώττῃ τὸν Θεὸν καλέσομεν; Ἂν μὲν γὰρ ἀνύσωμεν τὸν νόμον, πολλὴν καρπωσόμεθα τὴν ἡδονήν, τοῦ βασιλέως τῇ πόλει καταλλαγέντος· ἂν δὲ μείνωμεν ἐπὶ τῆς παρανομίας, αἰσχύνη καὶ ὄνειδος ἡμῖν ἔσται πάντοθεν, ὅτι, τοῦ Θεοῦ λύσαντος τὸν κίνδυνον, ἡμεῖς ἐπὶ τῆς αὐτῆς ἐμείναμεν ῥαθυμίας.

κὰς σκέψεις τῆς ψυχῆς· τὸ νὰ μὴ ὁρκιζώμεθα ὅμως εἶναι πολὺ εὔκολον καὶ οὐδεμίαν βλάβην θὰ φέρῃ οὔτε εἰς τὰ σώματα, οὔτε εἰς τὰς ψυχάς, ἀλλὰ ἀντιθέτως πολὺ κέρδος, μεγάλην ἀσφάλειαν καὶ πολλὴν εὐπορίαν. Πῶς λοιπὸν δὲν εἶναι παράλογον, ὅταν ὁ βασιλεὺς διατάσσῃ νὰ ὑποφέρωμεν καὶ τὰς πλέον βαρείας διαταγάς, ὁ δὲ Θεὸς ὅταν νομοθετῇ καὶ δὲν ζητεῖ τίποτε τὸ δυσκολοκατόρθωτον, ἀλλὰ πολὺ εὔκολον, νὰ περιφρονοῦμεν καὶ νὰ περιγελοῦμεν τὰς ἐντολάς του, καὶ νὰ προβάλλωμεν ὡς δικαιολογίαν τὴν συνήθειαν;

Μή, σᾶς παρακαλῶ, μὴ ἐπιδεικνύωμεν τόσην μεγάλην ἀμέλειαν διὰ τὴν σωτηρίαν μας, ἀλλὰ νὰ φοβούμεθα τὸν Θεὸν ὅπως φοβούμεθα τὸν ἄνθρωπον. Γνωρίζω ὅτι ἐφρίξατε ὅταν ἀκούσατε τοῦτο, ὅμως φρίκης ἄξιον εἶναι τὸ νὰ μὴ ἀπονέμωμεν οὔτε τόσην τιμήν, ἀλλὰ νὰ τηροῦμεν τοὺς βασιλικοὺς νόμους μὲ μεγάλην ἀκρίβειαν, τοὺς δὲ θεϊκοὺς ποὺ ἐκ τοῦ οὐρανοῦ ἐδόθησαν νὰ τοὺς περιφρονοῦμεν, καὶ νὰ θεωροῦμεν κάθε ἐνασχόλησιν μὲ αὐτὰ ὡς περιττήν. Ποία λοιπὸν ἀπολογία θὰ ὑπάρθῃ δι' ἡμᾶς; Ποία συγγνώμη, ὅταν ὕστερα ἀπὸ τόσας συμβουλὰς ἐπιμένωμεν εἰς τὰ ἴδια; Διότι ἤρχισα τὴν παραίνεσιν αὐτὴν περὶ τῆς ἀποφυγῆς τῶν ὅρκων, ὅταν ἤρχισεν ἡ συμφορὰ ποὺ κατέχει τὴν πόλιν, καὶ ἐνῷ ἡ συμφορὰ πρόκειται νὰ τελειώσῃ, ἡμεῖς δὲ δὲν κατωρθώσαμεν μίαν ἐντολὴν νὰ φυλάξωμεν· πῶς λοιπὸν θὰ παρακαλέσωμεν τὸν Θεὸν νὰ μᾶς ἀπαλλάξῃ ἀπὸ τὰ δεινὰ ποὺ μᾶς κατέχουν, ἀφοῦ δὲν ἠμπορέσαμεν νὰ τηρήσωμεν μίαν ἐντολήν; Πῶς θὰ ἐλπίσωμεν εἰς τὴν καλὴν μεταβολήν; Πῶς θὰ προσευχηθῶμεν; Μὲ ποίαν γλῶσσαν θὰ παρακαλέσωμεν τὸν Θεόν; Διότι ἂν μὲν διαφυλάξωμεν τὸν νόμον θὰ αἰσθανθοῦμε μεγάλην εὐχαρίστησιν ἀπὸ τὴν συμφιλίωσιν τοῦ βασιλέως μὲ τὴν πόλιν· ἂν δὲ ἐπιμείνωμεν εἰς τὴν παρανομίαν, ἐντροπὴ καὶ περιφρόνησις θὰ μᾶς περιβάλλῃ ἀπὸ παντοῦ, διότι, ἐνῷ ὁ Θεὸς μᾶς ἀπήλλαξεν ἀπὸ τὸν κίνδυνον, ἡμεῖς ἐμείναμεν εἰς τὴν ἰδίαν ραθυμίαν.

Εἴθε μοι δυνατὸν ἦν τὰς ψυχὰς ἀποδῦσαι τῶν πολυόρκων, καὶ ὄψεσιν ὑποβαλεῖν αὐτῶν τὰ τραύματα, καὶ τοὺς μώλωπας, οὓς ἀπὸ τῶν ὅρκων καθ' ἑκάστην λαμβάνουσι τὴν ἡμέραν· καὶ οὐκ ἂν ἐδεήθημεν παραινέσεως ἢ συμβουλῆς, τῆς τῶν τραυμάτων ὄψεως ἀρκούσης λόγου παντὸς δυνατώτερον καὶ τοὺς σφόδρα ἐπικειμένους τῇ πονηρᾷ ταύτῃ συνηθείᾳ τῆς πονηρίας ἀπαγαγεῖν. Πλὴν ἀλλ' εἰ καὶ μὴ ταῖς ὄψεσι δυνατόν, τῷ λογισμῷ δυνατὸν αὐτῶν ὑποβαλεῖν τῆς ψυχῆς τὸ αἶσχος, καὶ δεῖξαι σεσηπυῖαν αὐτὴν καὶ διεφθαρμένην. «Ὥσπερ γάρ», φησίν, «οἰκέτης ἐταζόμενος ἐνδελεχῶς ἀπὸ μώλωπος οὐ καθαρισθήσεται, οὕτως ὁ ὀμνύων καὶ ὀνομάζων τὸν Θεὸν διαπαντός, ἀπὸ ἁμαρτίας οὐ καθαρισθήσεται». Ἀμήχανον γάρ, ἀμήχανον στόμα μεμελετηκὸς ὀμνύναι, μὴ συνεχῶς ἐπιορκεῖν.

Διὸ δὴ παρακαλῶ πάντας τὴν ὀλέθριον ταύτην καὶ πονηρὰν συνήθειαν ἀποθεμένους τῆς ψυχῆς ἕτερον στέφανον ἀναδήσασθαι. Καὶ ὥσπερ πανταχοῦ περὶ τῆς πόλεως ᾄδουσι τῆς ἡμετέρας, ὅτι πρώτη τῶν κατὰ τὴν οἰκουμένην ἁπασῶν τὸ Χριστιανῶν ὄνομα ἐνεδύσατο, οὕτω δότε πᾶσι λέγειν, ὅτι μόνη τῶν κατὰ τὴν οἰκουμένην ἁπασῶν Ἀντιόχεια τοὺς ὅρκους τῶν οἰκείων ὅρων ἀπήλασε. Μᾶλλον δέ, ἂν τοῦτο γένηται, οὐκ αὐτὴ στεφανωθήσεται μόνη, ἀλλὰ καὶ ἑτέρας εἰς τὸν αὐτὸν ἀνάξει ζῆλον· καὶ καθάπερ τὸ ὄνομα τῶν Χριστιανῶν ὥσπερ ἔκ τινος πηγῆς ἐντεῦθεν ἀρξάμενον πᾶσαν τὴν οἰκουμένην ἐπέκλυσεν, οὕτω δὴ καὶ τὸ κατόρθωμα τοῦτο τὴν ῥίζαν καὶ τὴν ἀφορμὴν ἐντεῦθεν λαβόν, πάντας τοὺς τὴν γῆν οἰκοῦντας ἀνθρώπους μαθητὰς ὑμετέρους ἐργάσεται, ὥστε διπλοῦν ὑμῖν καὶ τριπλοῦν γενέσθαι τὸν μισθόν, καὶ ὑπὲρ τῶν οἰκείων κατορθωμάτων, καὶ ὑπὲρ τῆς τῶν ἄλλων δι-

---

19. Σοφ. Σειρ. 23, 10.

Εἴθε νὰ μοῦ ἦτο δυνατὸν νὰ ξεσκεπάσω τὰς ψυχὰς αὐτῶν ποὺ κάμουν πολλοὺς ὅρκους καὶ διὰ τῶν ἰδίων ὀφθαλμῶν νὰ ἰδοῦν τὰ τραύματα καὶ τὰς πληγάς, ποὺ παίρνουν ἀπὸ τοὺς ὅρκους ποὺ κάνουν καθημερινῶς· καὶ δὲν θὰ ἐχρειαζόμεθα συμβουλὴν ἢ παραίνεσιν, διότι τὸ θέαμα τῶν τραυμάτων θὰ ἦτο δυνατώτερον ἀπὸ κάθε λόγον, ὥστε καὶ τοὺς πλέον ἐπιρρεπεῖς εἰς τὴν πονηρὰν αὐτὴν συνήθειαν ἀπὸ τὴν κακίαν αὐτὴν νὰ τοὺς ἀπομακρύνῃ. Ὅμως καὶ ἂν δὲν εἶναι δυνατὸν ἐμπρὸς εἰς τὰ μάτια, ὅμως εἶναι δυνατὸν εἰς τὴν σκέψιν αὐτῶν νὰ παρουσιάσωμεν τῆς ψυχῆς των τὴν ἀσχημίαν καὶ νὰ δείξωμεν ὅτι αὐτὴ εὑρίσκεται εἰς σῆψιν καὶ διαφθοράν. «Διότι ὅπως ὁ ὑπηρέτης», λέγει, «ποὺ καθημερινῶς δέρνεται, δὲν θὰ καθαρισθῇ τὸ σῶμα του ἀπὸ τὰς πληγάς, ἔτσι καὶ ὅποιος ὁρκίζεται καὶ ἀναφέρει συνεχῶς τὸ ὄνομα τοῦ Θεοῦ ἀπὸ τὴν ἁμαρτίαν δὲν θὰ καθαρισθῇ»[19]. Διότι εἶναι ἀδύνατον, στόμα ποὺ ἔχει μάθει νὰ ὁρκίζεται, νὰ μὴ ἐπιορκῇ συνεχῶς.

Διὰ τοῦτο λοιπὸν σᾶς παρακαλῶ ὅλους ἀφοῦ ἀπομακρύνετε τὴν πονηρὰν αὐτὴν συνήθειαν ἀπὸ τὴν ψυχήν σας, νὰ φορέσετε ἄλλο στεφάνι νίκης. Καὶ ὅπως παντοῦ λέγεται διὰ τὴν πόλιν μας ὅτι πρώτη αὐτὴ εἰς ὁλόκληρον τὴν οἰκουμένην ἐστολίσθη μὲ τὸ ὄνομα τῶν χριστιανῶν, ἔτσι καὶ σεῖς νὰ κάμετε ὅλους νὰ λέγουν ὅτι ἀπὸ ὅλας τὰς πόλεις τῆς οἰκουμένης μόνη ἡ Ἀντιόχεια ἐπέταξεν ἔξω ἀπὸ τὰ ὅριά της τοὺς ὅρκους. Μᾶλλον δέ, ἂν γίνῃ τοῦτο, δὲν θὰ στεφανωθῇ μόνον αὐτή, ἀλλὰ καὶ ἄλλας πόλεις θὰ φέρῃ εἰς τὸν ζῆλον αὐτόν· καὶ ὅπως τὸ ὄνομα τῶν χριστιανῶν ἐπήγασεν ἀπὸ ἐδῶ ὡσὰν ἀπὸ κάποιαν πηγὴν καὶ ἐπλημμύρισεν ὅλην τὴν οἰκουμένην, ἔτσι λοιπὸν καὶ τὸ κατώρθωμα αὐτὸ ἀφοῦ πάρῃ ἀπὸ ἐδῶ τὴν ρίζαν καὶ τὴν ἀφορμήν, ὅλους τοὺς ἀνθρώπους ποὺ κατοικοῦν εἰς τὴν γῆν θὰ τοὺς κάμῃ μαθητάς σας, ὥστε διπλοῦς καὶ τριπλοῦς νὰ γίνῃ ὁ μισθός σας, καὶ διὰ τὰ ἰδικά σας πνευματικὰ κατορθώματα καὶ διότι ἐγίνατε

δασκαλίας. Τοῦτο διαδήματος ὑμῖν παντὸς ἔσται λαμπρότερον, τοῦτο μητρόπολιν ὑμῖν ποιήσει τὴν πόλιν, οὐκ ἐν τῇ γῇ, ἀλλὰ καὶ ἐπὶ τῶν οὐρανῶν, τοῦτο κατ' ἐκείνην ἡμῶν προστήσεται τὴν ἡμέραν, καὶ τὸν τῆς δικαιοσύνης ἡμῖν οἴσει στέφανον· οὗ γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μεθ' οὗ τῷ Πατρὶ ἡ δόξα, ἅμα τῷ ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

διδάσκαλοι εἰς τοὺς ἄλλους. Τοῦτο θὰ εἶναι λαμπρότερον ἀπὸ κάθε διάδημα βασιλικόν, τοῦτο θὰ κάμῃ τὴν πόλιν μητρόπολιν, ὄχι μόνον εἰς τὴν γῆν, ἀλλὰ καὶ εἰς τοὺς οὐρανούς, τοῦτο θὰ μᾶς παρασταθῇ βοηθὸς κατὰ τὴν ἡμέραν τῆς κρίσεως καὶ θὰ μᾶς φέρῃ τὸν στέφανον τῆς δικαιοσύνης, τὸ ὁποῖον εἴθε ὅλοι ἡμεῖς νὰ ἐπιτύχωμεν διὰ τῆς χάριτος καὶ φιλανθρωπίας τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μετὰ τοῦ ὁποίου εἰς τὸν Πατέρα καὶ εἰς τὸ ἅγιον Πνεῦμα συγχρόνως ἀνήκει ἡ δόξα, τώρα καὶ πάντοτε καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ΟΜΙΛΙΑ ΔΕΚΑΤΗ ΠΕΜΠΤΗ

ΕΤΙ ΕΙΣ ΤΗΝ ΣΥΜΦΟΡΑΝ ΤΗΣ ΠΟΛΕΩΣ ΑΝΤΙΟΧΕΙΑΣ

καὶ ὅτι χρήσιμον πανταχοῦ φόβος, καὶ ὅτι πένθος γέλωτος λυσιτελέστερον, καὶ εἰς τὴν ῥῆσιν τὴν λέγουσαν, «Ἐπίγνωθι ὅτι ἐν μέσῳ παγίδων διαβαίνεις», καὶ ὅτι τοῦ φονεύειν τὸ ὁρκίζειν χεῖρον.

1. Ἔδει καὶ τήμερον καὶ τῷ προτέρῳ Σαββάτῳ τὸν περὶ νηστείας κινῆσαι λόγον, καὶ μηδεὶς ἄκαιρον εἶναι νομιζέτω τὸ λεχθέν. Ἐν μὲν γὰρ ταῖς ἡμέραις τῆς νηστείας οὐδὲν δεῖ συμβουλῆς καὶ παραινέσεως εἰς τοῦτο, αὐτῆς τῶν ἡμερῶν τῆς παρουσίας καὶ τοὺς σφόδρα ἀναπεπτωκότας διεγειρούσης πρὸς τὸν τῆς νηστείας ἀγῶνα. Ἐπειδὴ δὲ πολλοὶ τῶν ἀνθρώπων εἰσιέναι τε εἰς νηστείαν μέλλοντες, καθάπερ πολιορκίᾳ τινὶ μακρᾷ παραδίδοσθαι μελλούσης τῆς γαστρός, ἀδηφαγίαν καὶ μέθην προλαβόντες ἀποτίθενται, ἐξιόντες τε πάλιν, ὥσπερ ἔκ τινος μακροῦ λιμοῦ καὶ χαλεποῦ δεσμωτηρίου τῆς νηστείας ἀπαλλαγέντες, μετὰ πολλῆς τῆς ἀπειροκαλίας ἐπὶ τὰς τραπέζας τρέχουσι, καθάπερ σπουδάζοντες τὴν ἐκ τῆς νηστείας γενομένην αὐτοῖς ὠφέλειαν τῇ τῆς ἀδηφαγίας ἀμετρίᾳ καταλῦσαι πάλιν, ἀναγκαῖον ἦν καὶ τότε καὶ νῦν τοὺς περὶ ἐγκρατείας κινῆσαι λόγους.

Ἀλλ' ὅμως οὔτε πρῴην εἰρήκαμέν τι τοιοῦτον, οὔτε νῦν ἐροῦμεν. Ὁ γὰρ τῆς ἐπικειμένης συμφορᾶς φόβος ἀντὶ πάσης παραινέσεως καὶ συμβουλῆς ἀρκεῖ τὰς ἁπάντων σωφρονίσαι ψυχάς. Τίς γὰρ οὕτως ἄθλιος καὶ ταλαίπωρος, ὡς ἐν τοσούτῳ χειμῶνι μεθύειν; Τίς οὕτως ἀναίσθητος, ὡς τῆς πό-

1. Σοφ. Σειρ. 9, 13.

ΟΜΙΛΙΑ ΔΕΚΑΤΗ ΠΕΜΠΤΗ

ΑΚΟΜΗ ΕΙΣ ΤΗΝ ΣΥΜΦΟΡΑΝ ΤΗΣ ΠΟΛΕΩΣ Ἀντιοχείας, καὶ ὅτι εἶναι χρήσιμον πρᾶγμα ὁ φόβος παντοῦ, καὶ ὅτι τὸ πένθος εἶναι ὠφελιμώτερον ἀπὸ τὸν γέλωτα, καὶ εἰς τὸ ρητὸν ποὺ λέγει «μάθε καλῶς ὅτι περιπατεῖς μέσα εἰς παγίδας»[1] καὶ ὅτι ὁ ὅρκος εἶναι χειρότερον κακὸν ἀπὸ τὸν φόβον.

1. Ἔπρεπε καὶ σήμερον καὶ τὸ περασμένον Σάββατον νὰ σᾶς ὁμιλήσω περὶ νηστείας, καὶ ἂς μὴ νομίζῃ κανεὶς ὅτι θὰ ἦτο ἄκαιρος ἡ ὁμιλία. Διότι κατὰ τὰς ἡμέρας τῆς νηστείας δὲν χρειάζεται οὐδεμία συμβουλὴ καὶ προτροπὴ δι' αὐτήν, διότι ἡ παρουσία τῶν ἡμερῶν αὐτῶν καὶ τοὺς πλέον ἀμελεῖς διεγείρει πρὸς τὸν ἀγῶνα τῆς νηστείας. Καὶ ἐπειδὴ πολλοὶ ἀπὸ τοὺς ἀνθρώπους ὅταν πρόκειται νὰ εἰσέλθουν εἰς περίοδον νηστείας, ὡσὰν νὰ πρόκειται νὰ πολιορκηθῇ τὸ στομάχι των ἐπὶ μακρὸν χρόνον, προλαμβάνουν καὶ τὸ γεμίζουν μὲ τὴν πολυφαγίαν καὶ τὴν μέθην, καὶ ὅταν πάλιν ἐξέρχωνται ἀπὸ τὴν περίοδον αὐτῆς, ὡσὰν νὰ ἔχουν ἀπαλλαγῇ ἀπὸ κάποιαν μακροχρόνιον πεῖναν καὶ φοβερὰν φυλακὴν μὲ πολλὴν ἀταξίαν τρέχουν εἰς τὰ τραπέζια τοῦ φαγητοῦ, ὡς νὰ ἐπιδιώκουν τὴν ὠφέλειαν ἐκ τῆς νηστείας νὰ τὴν χάσουν ἀπὸ τὴν ὑπερβολικὴν πολυφαγίαν, διὰ τοῦτο ἦτο ἀνάγκη καὶ τότε καὶ τώρα νὰ θέσωμεν εἰς ἐνέργειαν τοὺς περὶ ἐγκρατείας λόγους.

Ὅμως οὔτε προηγουμένως οὔτε τώρα θὰ εἴπουμεν κάτι τέτοιο. Διότι ὁ φόβος ἐκ τῆς ἐπικειμένης συμφορᾶς ἀντὶ ἄλλης συμβουλῆς καὶ προτροπῆς ἀρκεῖ νὰ σωφρονίσῃ τὰς ψυχὰς ὅλων. Διότι ποῖος εἶναι τόσον ἄθλιος καὶ ταλαίπωρος ὥστε νὰ μεθᾷ ἐνῷ εὑρισκόμεθα εἰς τόσην ταραχήν; Ποῖος εἶναι τόσον ἀναίσθητος ἐνῷ ταράσσεται τόσον ἡ πό-

λεως οὕτω σαλευομένης, καὶ ναυαγίας τοιαύτης ἀπειλουμένης, μὴ νήφειν, καὶ ἐγρηγορέναι, καὶ πάσης συμβουλῆς καὶ παραινέσεως ἀκριβέστερον ἀπὸ τῆς ἀγωνίας διορθοῦσθαι ταύτης; Οὐ γὰρ τοσοῦτον ἐργάσασθαι δυνήσεται λόγος, ὅσον ἐργάζεται φόβος· καὶ τοῦτο αὐτὸ ἀπὸ τῶν συμβεβηκότων νῦν δυνατὸν ἀποδεῖξαι.

Πόσους γοῦν ἀνηλώσαμεν λόγους, πολλοὺς τῶν ῥαθύμων παραινοῦντες, καὶ συμβουλεύοντες τὰ θέατρα ἀφεῖναι, καὶ τὰς ἐκεῖθεν ἀκολασίας; Καὶ οὐκ ἠνέσχετο, ἀλλ' ἀεὶ κατὰ τὴν ἡμέραν ταύτην ἐπὶ τὰς παρανόμους τῶν ὀρχουμένων συνέτρεχον θεωρίας, καὶ σύλλογον διαβολικὸν ἀντικαθίστασαν τῷ πληρώματι τῆς ἐκκλησίας τοῦ Θεοῦ, καὶ ταῖς ἐνταῦθα ψαλμῳδίαις ἀντήχουν αἱ ἐκεῖθεν κραυγαὶ μετὰ πολλῆς φερόμεναι τῆς σφοδρότητος· ἀλλ' ἰδοὺ νῦν σιγώντων ἡμῶν, καὶ οὐδὲν περὶ τούτου λεγόντων, αὐτόματοι τὴν ὀρχήστραν ἔφραξαν, καὶ ὁ ἱππόδρομος ἄβατος γέγονε· καὶ πρὸ τούτου μὲν πολλοὶ τῶν ἡμετέρων πρὸς ἐκείνους ἔτρεχον, νυνὶ δὲ πάντες ἐκεῖθεν εἰς τὴν ἐκκλησίαν κατέφυγον, καὶ τὸν ἡμέτερον ἅπαντες ἀνυμνοῦσι Θεόν. Ὁρᾷς πόσον ἀπὸ τοῦ φόβου τὸ κέρδος ἐγένετο; Εἰ μὴ καλὸν ἦν ὁ φόβος, οὐκ ἂν πατέρες παιδαγωγοὺς τοῖς παισὶν ἐπέστησαν, οὐκ ἂν οἱ νομοθέται ταῖς πόλεσιν ἄρχοντας.

Τί γεέννης χαλεπώτερον; ἀλλ' οὐδὲν τοῦ ταύτης χρησιμώτερον φόβου· ὁ γὰρ τῆς γεέννης φόβος τὸν τῆς βασιλείας ἡμῖν κομίζει στέφανον. Ἔνθα φόβος ἐστίν, οὐκ ἔστι φθόνος· ἔνθα φόβος ἐστί, χρημάτων ἔρως οὐκ ἐνοχλεῖ· ἔνθα φόβος ἐστίν, ἔσβεσται θυμός, ἐπιθυμία κατέσταλται πονηρά, ἅπαν ἀλόγιστον ἐξώρισται πάθος· καὶ καθάπερ ἐν οἰκίᾳ στρατιώτου διηνεκῶς ὡπλισμένου, οὐ λῃστής, οὐ τοιχωρύχος, οὐκ ἄλλος τις τῶν τὰ τοιαῦτα κακουργούντων τολμήσει φανῆναι πλησίον, οὕτω καὶ φόβου τὰς ἡμετέρας κατέχοντος ψυχάς, οὐδὲν τῶν

λις καὶ ἀπειλεῖται τόσον μεγάλο ναυάγιον, νὰ μὴ εἶναι νηφάλιος καὶ ἐν ἐγρηγόρσει καὶ περισσότερον ἀπὸ κάθε συμβουλὴν καὶ παραίνεσιν νὰ μὴ διορθώνεται μὲ τὴν ἀγωνίαν αὐτήν; Δὲν θὰ ἠμπορέσῃ ὁ λόγος νὰ φέρῃ τοιαῦτα ἀποτελέσματα, ποὺ φέρει ὁ φόβος· καὶ τοῦτο θὰ τὸ ἀποδείξωμεν τώρα ἀπὸ τὰ γεγονότα ποὺ ἔχουν συμβῆ.

Πόσους λοιπὸν λόγους εἴπομεν, συμβουλεύοντες πολλοὺς ἀπὸ τοὺς ραθύμους, καὶ συμβουλεύοντες νὰ ἀφήσουν τὰ θέατρα καὶ τὰς ἐξ αὐτῶν προερχομένας ἀκολασίας; Καὶ ὅμως δὲν τὸ ἠνέχοντο, ἀλλὰ πάντοτε κατὰ τὴν ἡμέραν αὐτὴν συνέτρεχον εἰς τὰ ἐφάμαρτα θεάματα καὶ μὲ τὴν συγκέντρωσίν των τὴν διαβολικὴν ἀντικαθίστων τὴν ἐκκλησίαν τοῦ Θεοῦ, καὶ εἰς τὰς ψαλμῳδίας τῆς ἐκκλησίας ἀντηχοῦσαν αἱ φωναὶ ποὺ προήρχοντο ἀπὸ ἐκεῖ μὲ μεγάλην δύναμιν· ἀλλ' ὅμως τώρα ἐνῷ ἡμεῖς σιωπῶμεν καὶ δὲν λέγομεν τίποτε περὶ τούτου, μόνοι των ἔκλεισαν τὴν ὀρχήστραν καὶ ὁ ἱππόδρομος ἔγινεν ἄβατος· καὶ πρὶν ἀπὸ αὐτὸ πολλοὶ ἀπὸ τοὺς ἰδικούς μας ἔτρεχον πρὸς ἐκείνους, τώρα ὅμως ὅλοι ἀπὸ ἐκεῖ κατέφυγον εἰς τὴν ἐκκλησίαν καὶ ἀνυμνοῦν ὅλοι τὸν Θεόν μας. Βλέπεις πόσον μεγάλο κέρδος προῆλθεν ἀπὸ τὸν φόβον; Ἐὰν δὲν ἦτο καλὸν πρᾶγμα ὁ φόβος, δὲν θὰ ἔβαζαν οἱ πατέρες παιδαγωγοὺς διὰ τὰ παιδιά, οὔτε οἱ νομοθέται ἄρχοντας εἰς τὰς πόλεις.

Τί ὑπάρχει χειρότερον ἀπὸ τὴν γέενναν τῆς κολάσεως; Καὶ ὅμως τίποτε δὲν εἶναι ὠφελιμώτερον ἀπὸ τὸν φόβον αὐτῆς, διότι ὁ φόβος τῆς γεέννης μᾶς φέρει τὸν στέφανον τῆς βασιλείας τοῦ Θεοῦ. Ὅπου ὑπάρχει φόβος, δὲν ὑπάρχει φθόνος· ὅπου ὑπάρχει φόβος, δὲν ἐνοχλεῖ ὁ ἔρωτας τῶν χρημάτων· ὅπου ὑπάρχει φόβος ἔχει σβήσει ὁ θυμός, ἡ πονηρὰ ἐπιθυμία ἔχει κατασταλῆ, κάθε παράλογον πάθος ἔχει ἐξορισθῆ· καὶ ὅπως εἰς τὸ σπίτι στρατιώτου ποὺ εἶναι συνεχῶς ὡπλισμένος, οὔτε λῃστής, οὔτε διαρρήκτης, οὔτε κανεὶς ἄλλος ἀπὸ ἐκείνους ποὺ κάμουν τέτοια κακουργήματα θὰ τολμήσῃ νὰ πλησιάσῃ, ἔτσι καὶ ὅταν ὁ φόβος κατέχῃ τὰς ψυ-

ἀνελευθέρων παθῶν ἐπεισέρχεται ῥαδίως ἡμῖν· ἀλλὰ πάντα δραπετεύει καὶ φυγαδεύεται τῇ τυραννίδι τοῦ φόβου πάντοθεν ἐξελαυνόμενα.

Καὶ οὐ τοῦτο μόνον ἐστὶν ὃ καρπούμεθα ἀπὸ τοῦ φόβου, ἀλλὰ καὶ ἕτερον πολλῷ τούτου μεῖζον. Οὐ γὰρ δὴ τὰ πονηρὰ ἡμῶν ἀπελαύνει πάθη μόνον, ἀλλὰ καὶ πᾶσαν εἰσάγει μετὰ πολλῆς εὐκολίας τὴν ἀρετήν. Ἔνθα φόβος ἐστίν, ἐκεῖ καὶ ἐλεημοσύνης σπουδή, καὶ εὐχῆς ἐπίτασις, καὶ δάκρυα θερμὰ καὶ ἐπάλληλα, καὶ στεναγμοὶ πολλὴν ἔχοντες τὴν κατάνυξιν. Οὐδὲν γὰρ οὕτω κατεσθίει μὲν ἁμαρτήματα, ἀρετὴν δὲ αὔξεσθαι ποιεῖ καὶ θάλλειν, ὡς διηνεκὴς φόβου φύσις· διὰ τοῦτο τὸν μὴ συζῶντα φόβῳ, ἀδύνατον κατορθοῦσθαι· ὥσπερ οὖν τὸν ἐν φόβῳ ζῶντα ἀδύνατον διαμαρτεῖν. Μὴ τοίνυν ἀλγῶμεν, ἀγαπητοί, μηδὲ καταπίπτωμεν ἐπὶ τῇ παρούσῃ θλίψει, ἀλλὰ θαυμάσωμεν τὸ εὐμήχανον τῆς τοῦ Θεοῦ σοφίας. Δι' ὧν γὰρ προσεδόκησεν ὁ διάβολος τὴν πόλιν ἡμῶν καταβαλεῖν, διὰ τούτων αὐτὴν ὁ Θεὸς ἀνέστησέν τε καὶ ἀνώρθωσεν· ὁ μὲν γὰρ διάβολος ἐνέπνευσέ τισι παρανόμοις ἀνθρώποις, καὶ εἰς τοὺς τῶν βασιλέων ὕβρισαν ἀνδριάντας, ἵνα καὶ αὐτὸ τῆς πόλεως ἀφανισθῇ τὸ ἔδαφος· ὁ δὲ Θεὸς αὐτῷ δὴ τούτῳ τῷ γεγενημένῳ πρὸς σωφρονισμὸν ἡμῶν πλείονα ἀπεχρήσατο, τῷ φόβῳ τῆς προσδοκωμένης ἀπειλῆς πᾶσαν ἐκβαλὼν ῥᾳθυμίαν· καὶ γέγονε τοὐναντίον, ἤπερ ὁ δαίμων ἠθέλησε, δι' ὧν αὐτὸς κατεσκεύασεν.

Ἡ γὰρ πόλις ἡμῖν καθ' ἑκάστην ἐκκαθαίρεται τὴν ἡμέραν, καὶ στενωποί, καὶ ἄμφοδα, καὶ ἀγοραὶ τῶν πορνικῶν καὶ διακεκλασμένων ἀπηλλάγησαν ᾀσμάτων καὶ ὅπουπερ ἂν τις ἴδῃ, λιταί, καὶ εὐφημίαι, καὶ δάκρυα ἀντὶ γέλωτος ἀτάκτου, καὶ ῥήματα φιλοσοφίαν ἔχοντα ἀντὶ ῥημάτων αἰσχρῶν,

χάς μας, κανένα ἀπὸ τὰ ἀνελεύθερα πάθη δὲν μπαίνει εὔκολα ἐντὸς ἡμῶν· ἀλλὰ ὅλα δραπετεύουν καὶ φεύγουν ἐκδιωκόμενα ἀπὸ παντοῦ ἀπὸ τὴν δύναμιν τοῦ φόβου.

Καὶ δὲν εἶναι μόνον αὐτὸ τὸ καλὸν ποὺ κερδίζομεν ἀπὸ τὸν φόβον, ἀλλὰ καὶ ἄλλο πολὺ μεγαλύτερον ἀπὸ αὐτό. Διότι δὲν ἀπομακρύνει μόνον τὰ πονηρά μας πάθη, ἀλλὰ καὶ κάθε ἀρετὴν εἰσάγει εἰς τὴν ψυχήν μας μὲ μεγάλην εὐκολίαν. Ὅπου ὑπάρχει φόβος, ἐκεῖ καὶ ἐλεημοσύνης προθυμία, καὶ ἐπίτασις προσευχῆς, καὶ δάκρυα θερμὰ καὶ συνεχῆ, καὶ στεναγμοὶ ποὺ ἔχουν πολλὴν κατάνυξιν. Διότι τίποτε δὲν κατατρώγει τόσον τὰ ἁμαρτήματα καὶ δὲν συντελεῖ νὰ μεγαλώσῃ καὶ νὰ γίνῃ ἀνθοστόλιστος ἡ ἀρετή, ὅσον ὁ διαρκὴς φόβος· διὰ τοῦτο ἐκεῖνος ποὺ δὲν ζῇ μὲ φόβον εἶναι ἀδύνατον νὰ ἐπιτύχῃ ἔργα ἀρετῆς· ὅπως ἀκριβῶς καὶ ἐκεῖνος ποὺ ζῇ μὲ φόβον εἶναι ἀδύνατον νὰ ἁμαρτήσῃ. Ἂς μὴ λυπούμεθα, ἀγαπητοί, οὔτε νὰ ἀπογοητευθῶμεν ἐξ αἰτίας τῆς παρούσης θλίψεως, ἀλλὰ ἀντιθέτως ἂς θαυμάσωμεν τὴν ἐφευρετικότητα τῆς σοφίας τοῦ Θεοῦ. Διότι μὲ ἐκεῖνα τὰ μέσα ποὺ ἤλπισεν ὁ διάβολος νὰ καταβάλῃ τὴν πόλιν μας, διὰ τούτων ὁ Θεὸς τὴν ἀνέστησε καὶ τὴν ἀνώρθωσεν· διότι ὁ μὲν διάβολος ἐνέπνευσε μερικοὺς κακοὺς ἀνθρώπους, καὶ συμπεριεφέρθησαν ὑβριστικῶς πρὸς τοὺς ἀνδριάντας τοῦ βασιλέως, ὥστε ἐκ τοῦ γεγονότος τούτου νὰ ἐξαφανισθῇ τελείως καὶ αὐτὸ τὸ ἔδαφος τῆς πόλεως· ὁ Θεὸς ὅμως, αὐτὸ ἀκριβῶς τὸ γεγονὸς τὸ μετεχειρίσθη πρὸς σωφρονισμόν μας μεγαλύτερον, διότι μὲ τὸν φόβον τῆς ἀπειλῆς ποὺ ἀναμένομεν, ἔδιωξε ὅλην τὴν ἀμέλειάν μας· καὶ συνέβη τὸ ἀντίθετον πρὸς ἐκεῖνο ποὺ ἠθέλησεν ὁ διάβολος, δι' ὅσων ὁ Θεὸς ἔκαμε.

Διότι ἡ πόλις μας καθημερινῶς καθαρίζεται, καὶ στενωποὶ καὶ σταυροδρόμια καὶ ἀγοραὶ ἀπηλλάγησαν ἀπὸ τὰ πορνικὰ καὶ προκλητικὰ τραγούδια, καὶ ὅπου καὶ ἂν στραφῇ κανεὶς θὰ ἴδῃ λιτανείας καὶ εὐλογίας καὶ δάκρυα, ἀντὶ γέλωτος ἀτάκτου, καὶ λόγια γεμᾶτα σωφροσύνην ἀντὶ λόγων

καὶ ἐκκλησία γέγονεν ἡ πόλις ἅπασα, τῶν ἐργαστηρίων ἀποκεκλεισμένων, καὶ πάντων ἐν ταῖς πανδήμοις ταύταις διημερευόντων λιταῖς, καὶ τὸν Θεὸν ἐν τῇ μιᾷ κοινῇ φωνῇ μετὰ πολλῆς καλούντων τῆς προθυμίας. Ποῖος ταῦτα λόγος ἀνύσαι ποτὲ ἴσχυσε; ποία παραίνεσις; τίς συμβουλή, πόσον χρόνου μῆκος;

2. Διὰ ταῦτα εὐχαριστῶμεν, καὶ μὴ ἀποδυσπετῶμεν, μηδὲ δυσχεραίνωμεν· ὅτι γὰρ καλὸν ὁ φόβος, ἐδίδαξε μὲν τὰ εἰρημένα. Ἄκουσον δὲ καὶ Σολομῶντος περὶ αὐτοῦ φιλοσοφοῦντος οὕτως, Σολομῶντος τοῦ πάσῃ συντραφέντος τρυφῇ, καὶ πολλῆς ἀπολαύσαντος ἀδείας. Τί οὖν ἐκεῖνός φησιν; «Ἀγαθὸν πορευθῆναι εἰς οἶκον πένθους, ἢ πορευθῆναι εἰς οἶκον γέλωτος». Τί λέγεις, εἰπέ μοι; Ὅπου θρῆνος, καὶ δάκρυα, καὶ οἰμωγαί, καὶ ὀδύνη, καὶ ἀθυμία τοσαύτη, βέλτιον ἀπελθεῖν μᾶλλον, ἢ ὅπου χορεῖαι, καὶ κύμβαλα, καὶ γέλως, καὶ τρυφή, καὶ ἀδηφαγία, καὶ μέθη; Ναί, φησί. Τίνος ἕνεκεν εἰπέ μοι καὶ διὰ τί; Ὅτι ἐκεῖθεν μὲν παροινία, ἐντεῦθεν δὲ σωφροσύνη τίκτεται· κἂν ἀπέλθῃ τις εἰς εὐπορωτέρου συμπόσιον, οὐκέτι μετὰ τῆς αὐτῆς ἡδονῆς ὄψεται τὴν οἰκίαν, ἀλλ' ἀηδῶς μὲν πρὸς τὴν γυναῖκα ἐπανήξει, ἀηδῶς δὲ τῆς ἑαυτοῦ μεθέξει τραπέζης, καὶ δυσάρεστος καὶ τοῖς οἰκέταις, καὶ τοῖς παιδίοις, καὶ πᾶσιν ἔσται τοῖς κατὰ τὴν οἰκίαν, ἀπὸ τῆς ἑτέρων εὐπορίας ἀκριβέστερον κατιδὼν τὴν ἑαυτοῦ πενίαν. Καὶ οὐ τοῦτο μόνον ἐστὶ τὸ δεινόν, ἀλλ' ὅτι καὶ βασκαίνει πολλάκις τῷ καλέσαντι αὐτὸν πρὸς τὴν εὐωχίαν, καὶ ὅλως οὐδὲν ἀγαθὸν λαβὼν οἴκαδε ἐπανήξει.

Ἐπὶ δὲ τῶν πενθούντων οὐδὲν τοιοῦτόν ἐστιν εἰπεῖν, ἀλλὰ πολλὴ μὲν ἡ φιλοσοφία, πολλὴ δὲ ἡ σωφροσύνη. Ἅμα

---

2. Ἐκκλ. 7, 3.

αἰσχρῶν, καὶ ἡ πόλις ὁλόκληρος ἔγινεν ἐκκλησία, διότι ἔχουν κλεισθῆ τὰ ἐργαστήρια, καὶ ὅλοι εἰς τὰς πανδήμους αὐτὰς λιτανείας περνοῦν ὅλην τὴν ἡμέραν καὶ τὸν Θεὸν μὲ μίαν καὶ κοινὴν φωνὴν καὶ μὲ πολλὴν προθυμίαν τὸν ἐπικαλοῦνται. Ποία ὁμιλία θὰ ἠμποροῦσε νὰ φέρῃ ποτὲ αὐτὰ τὰ ἀποτελέσματα; Ποία προτροπή; Ποία συμβουλή; Πόσον μεγάλο χρονικὸν διάστημα;

2. Δι' αὐτὰ λοιπὸν πρέπει νὰ εὐχαριστοῦμεν τὸν Θεὸν καὶ νὰ μὴ δυσφοροῦμεν, οὔτε νὰ στενοχωρούμεθα· διότι τὸ ὅτι εἶναι καλὸν πρᾶγμα ὁ φόβος, μᾶς τὸ ἐδίδαξαν τὰ ὅσα ἐλέχθησαν. Ἄκουσε ὅμως καὶ τὸν Σολομῶντα, ὁ ὁποῖος ὡς ἑξῆς φιλοσοφεῖ διὰ τὸ ζήτημα τοῦτο, καὶ ὁ ὁποῖος ἀνετράφη μὲ κάθε πολυτέλειαν καὶ ἀπήλαυσε μεγάλην ἄνεσιν. Τί λέγει λοιπὸν ἐκεῖνος; «Εἶναι προτιμότερον νὰ μεταβῇ κανεὶς εἰς οἶκον ποὺ ἔχει πένθος, παρὰ νὰ μεταβῇ εἰς οἶκον ποὺ ἔχει γέλια»[2]. Τί λέγεις, εἰπέ μου, καὶ διατί; Ὅπου εἶναι θρῆνος καὶ δάκρυα καὶ κλαυθμοὶ καὶ ὀδύνη καὶ λύπη πολὺ μεγάλη εἶναι προτιμότερον νὰ μεταβῇ κανείς, παρὰ ὅπου εἶναι χοροὶ καὶ ὄργανα καὶ γέλωτες καὶ τρυφὴ καὶ πολυφαγία καὶ μέθη; Ναί, λέγει. Διὰ ποῖον λόγον, εἰπέ μου, καὶ διατί; Διότι ἀπὸ ἐκεῖ μὲν γεννᾶται ἀσωτεία, ἀπὸ ἐδῶ δὲ σωφροσύνη· καὶ ἂν ὑπάγῃ κανεὶς εἰς συμπόσιον πλουσιωτέρου του, δὲν θὰ ἴδῃ μὲ τὴν ἰδίαν εὐχαρίστησιν, ποὺ ἔβλεπε προηγουμένως, τὴν οἰκίαν του, ἀλλὰ θὰ γυρίσῃ εἰς τὴν οἰκίαν του μὲ δυσάρεστα συναισθήματα, μὲ δυσαρέσκειαν δὲ θὰ καθίσῃ εἰς τὴν ἰδικήν του τράπεζαν, καὶ δυσάρεστος καὶ εἰς τοὺς ὑπηρέτας καὶ εἰς τὰ τέκνα του, καὶ εἰς ὅλους ποὺ εὑρίσκονται εἰς τὴν οἰκίαν θὰ εἶναι, διότι ἐξ αἰτίας τῆς εὐπορίας τῶν ἄλλων ἀντελήφθη καλύτερον τὴν ἰδικήν του πτωχείαν. Καὶ δὲν εἶναι τοῦτο μόνον τὸ κακόν, ἀλλὰ ὅτι καὶ πολλάκις φθονεῖ ἐκεῖνον ποὺ τὸν ἐκάλεσεν εἰς τὸ συμπόσιον, καὶ δίχως νὰ λάβῃ καμμίαν ὠφέλειαν θὰ ἐπανέλθῃ εἰς τὴν οἰκίαν του.

Εἰς τὰς οἰκίας ὅμως ἐκείνων ποὺ πενθοῦν δὲν συμβαίνει τίποτε ἀπὸ αὐτά, ἀλλὰ ἐκεῖ ὑπάρχει πολλὴ φιλοσοφία

γὰρ ἄν τις ἐπιβῇ τῶν προθύρων τῆς οἰκίας τῆς τὸν νεκρὸν ἐχούσης, καὶ τὸν τετελευτηκότα εἶδεν ἄφωνον κείμενον, καὶ τὴν γυναῖκα τὰς τρίχας τίλλουσαν, τὰς παρειὰς καταξαίνουσαν, τοὺς βραχίονας κατατέμνουσαν, καταστέλλεται, σκυθρωπάζει, καὶ τῶν συγκαθημένων ἕκαστος πρὸς τὸν πλησίον οὐδὲν ἕτερον φθέγγεται, ἀλλ' ἤ, ὅτι οὐδέν ἐσμεν, καὶ ἡ κακία ἡμῶν ἄφατος. Τί τούτων φιλοσοφώτερον τῶν ρημάτων γένοιτ' ἄν, ὅταν καὶ τῆς φύσεως τὴν εὐτέλειαν ἐπιγινώσκωμεν, καὶ τὴν πονηρίαν διαβάλλωμεν, καὶ μηδὲν εἶναι τὰ παρόντα νομίζωμεν, ἑτέροις μὲν ρήμασι, γνώμῃ δὲ τῇ αὐτῇ, τὰ τοῦ Σολομῶντος φθεγγόμενοι ἐκεῖνα τὰ θαυμαστὰ καὶ πολλῆς φιλοσοφίας γέμοντα, ὅτι «Ματαιότης ματαιοτήτων, καὶ τὰ πάντα ματαιότης»; Ὁ εἰς οἶκον πενθούντων εἰσελθών, εὐθέως δακρύει τὸν ἀπελθόντα, κἂν ἐχθρὸς ᾖ.

Εἶδες πόσον βελτίων αὕτη ἐκείνης ἡ οἰκία; Ἐκεῖ μὲν γάρ, κἂν φίλος ᾖ, φθονεῖ, ἐνταῦθα δέ, κἂν ἐχθρὸς ᾖ, δακρύει· τοῦτο, ὃ μάλιστα πάντων ὁ Θεὸς ἐπιζητεῖ, τὸ μὴ ἐφήδεσθαι τοῖς λελυπηκόσιν. Οὐ ταῦτα δὲ μόνον ἐστὶν ἐκεῖθεν καρπώσασθαι τὰ καλά, ἀλλὰ καὶ ἕτερα τούτων οὐκ ἐλάττω. Καὶ γὰρ ἀναμιμνήσκεται τῶν ἁμαρτημάτων ἕκαστος τῶν ἑαυτοῦ, καὶ τοῦ δικαστηρίου τοῦ φοβεροῦ, καὶ τῶν εὐθυνῶν ἐκείνων, καὶ τῆς κρίσεως, κἂν ᾖ μυρία κακὰ πεπονθὼς παρ' ἑτέρων, καὶ λύπας κατὰ τὴν οἰκίαν ἔχων, πάντων αὐτῶν λαβὼν τὸ φάρμακον οὕτως ἐπάνεισιν. Ἐννοήσας γάρ, ὅτι μικρὸν ὕστερον καὶ αὐτὸς πείσεται τοῦτο, καὶ πάντες δὲ οἱ μεγάλα φυσῶντες, καὶ ὅτι πρόσκαιρα τὰ παρόντα ἅπαντα, κἂν χρηστὰ ᾖ, κἂν λυπηρά, ἀθυμίαν καὶ βασκανίαν ἅπασαν ἀποθέμενος, καὶ κούφην ποιήσας τὴν ψυχήν, καὶ πτε-

---

3. Ἐκκλ. 1, 2.

καὶ σωφροσύνη. Διότι μόλις κανεὶς διέλθῃ τὰ πρόθυρα τῆς οἰκίας ποὺ ἔχει μέσα νεκρὸν καὶ ἀντικρύσῃ τὸν νεκρὸν νὰ κεῖται ἄφωνος, καὶ τὴν γυναῖκα του νὰ τραβᾷ τὰς τρίχας τῆς κεφαλῆς της, νὰ ξεσχίζῃ τὸ πρόσωπόν της, νὰ κατακόπτῃ τοὺς βραχίονάς της, περιμαζεύεται, σκυθρωπάζει, καὶ τίποτε δὲν λέγει καθένας ἀπὸ τοὺς ἀνθρώπους ποὺ κάθονται ἐκεῖ, παρὰ ὅτι τίποτε δὲν εἴμεθα καὶ ἡ κακία μας δὲν περιγράφεται. Τί ἠμπορεῖ νὰ γίνῃ φιλοσοφώτερον ἀπὸ τὰ λόγια αὐτά, ὅταν καὶ τὴν μικρὰν ἀξίαν τῆς ἀνθρωπίνης φύσεως ἀντιλαμβανώμεθα, καὶ τὴν κακίαν κατηγοροῦμεν καὶ θεωροῦμεν τὰ παρόντα ὡς τίποτε, καὶ μὲ ἄλλα μὲν λόγια, μὲ τὴν αὐτὴν δὲ ἔννοιαν λέγωμεν τὰ θαυμάσια καὶ γεμᾶτα ἀπὸ πολλὴν φιλοσοφίαν λόγια τοῦ Σολομῶντος, ὅτι «Ματαιότης ματαιοτήτων τὰ πάντα ματαιότης»[8]; Αὐτὸς ποὺ θὰ εἰσέλθῃ εἰς οἶκον πενθούντων, ἀμέσως θὰ δακρύσῃ διὰ τὸν ἀποθανόντα, ἀκόμα καὶ ἂν εἶναι ἐχθρός.

Εἶδες πόσον καλυτέρα εἶναι ἡ οἰκία αὐτὴ ἀπὸ τὴν ἄλλην; Διότι ἐκεῖ, ἀκόμα καὶ ἂν εἶναι φίλος, σὲ κάμει νὰ φθονῇς, ἐδῶ ὅμως, καὶ ἐχθρὸς ἂν εἶναι, σὲ κάμει νὰ δακρύσῃς· συμβαίνει τοῦτο τὸ ὁποῖον περισσότερον ἀπὸ ὅλα ἐπιζητεῖ ὁ Θεός, τὸ νὰ μὴ χαίρωμεν διὰ τὰ παθήματα αὐτῶν ποὺ μᾶς ἔχουν λυπήσει. Καὶ δὲν εἶναι μόνον αὐτὰ τὰ καλὰ ποὺ ἠμποροῦμεν νὰ καρπωθῶμεν ἀπὸ ἐκεῖ, ἀλλὰ καὶ ἄλλα, ὄχι μικρότερα εἰς ἀξίαν ἀπὸ αὐτά. Καθ' ὅσον κάθε ἕνας ἐνθυμεῖται καὶ τὰ ἰδικά του ἁμαρτήματα, καὶ τὸ φοβερὸν ἐκεῖνο δικαστήριον, καὶ τὰς εὐθύνας ἐκείνας, καὶ τὴν μέλλουσαν κρίσιν, καὶ ἀκόμα ἔχει πάθει ἀναρίθμητα κακὰ ἀπὸ ἄλλους, καὶ ἂν ἔχῃ λυπητερὰ προβλήματα εἰς τὴν οἰκίαν του, δι' ὅλα αὐτὰ ἀφοῦ λάβῃ τὸ φάρμακον ἐπανέρχεται εἰς τὴν οἰκίαν του. Διότι ἀφοῦ ἀντιληφθῇ ὅτι ὕστερα ἀπὸ ὀλίγον χρόνον καὶ ὁ ἴδιος θὰ πάθῃ τὸ ἴδιον, καὶ ὅλοι ὅσοι ὑπερηφανεύονται πολύ, καὶ ὅτι ὅλα τὰ παρόντα ἀγαθὰ εἶναι πρόσκαιρα, εἴτε εἶναι εὐχάριστα, εἴτε λυπηρά, ἀποβάλλει ὅλην τὴν λύπην καὶ τὸν φθόνον καὶ κάμει ἐλαφρὰν τὴν ψυχήν του καὶ ἀφοῦ

ρωθείς, οὕτως οἴκαδε ἀναστρέψει· καὶ ἐντεῦθεν ἡμερώτερος ἔσται πᾶσι λοιπόν, ἐπιεικέστερος, καὶ προσηνέστερος, καὶ φιλοσοφώτερος, τοῦ φόβου τῶν μελλόντων ἐπεισελθόντος αὐτοῦ τῇ ψυχῇ, καὶ τὰς ἀκάνθας δαπανήσαντος ἁπάσας.

Καὶ ταῦτα πάντα ἐκεῖνος συνιδὼν ἔλεγεν, ὅτι «Ἀγαθὸν πορευθῆναι εἰς οἶκον πένθους, ἢ πορευθῆναι εἰς οἶκον πότου»· ἐκεῖθεν ῥαθυμία, ἐντεῦθεν ἀγωνία γίνεται· ἐκεῖθεν καταφρόνησις, ἐντεῦθεν φόβος, ὁ πρὸς ἅπασαν ἡμᾶς παιδαγωγῶν ἀρετήν. Εἰ μὴ καλὸν ἦν ὁ φόβος, οὐκ ἂν τοὺς πολλοὺς καὶ μακροὺς ἀνήλωσε λόγους ὁ Χριστὸς περὶ τῆς ἐκεῖ κολάσεως καὶ τιμωρίας διαλεγόμενος. Ὁ φόβος οὐδὲν ἕτερόν ἐστιν, ἢ τεῖχος καὶ ἀσφάλεια, καὶ πύργος ἀκαταγώνιστος· καὶ γὰρ πολλῆς ἡμῖν ἀσφαλείας δεῖ, διὰ τὸ πολλὰς εἶναι πανταχοῦ τὰς ἐνέδρας· καθάπερ αὐτὸς οὗτος πάλιν παραινῶν ὁ Σολομὼν ἔλεγεν· «Ἐπίγνωθι, ὅτι ἐν μέσῳ παγίδων διαβαίνεις, καὶ ἐπὶ ἐπάλξεων πόλεων περιπατεῖς». Βαβαὶ πόσων γέμει τοῦτο τὸ ῥῆμα ἀγαθῶν· καὶ οὐκ ἔλαττον ἢ τὸ πρότερον.

Ἐγγράψωμεν τοίνυν ἕκαστος ἐπὶ τῆς διανοίας αὐτὸ τῆς ἡμετέρας, καὶ περιφέρωμεν ἐπὶ τῆς μνήμης ἀεί, καὶ οὐχ ἁμαρτησόμεθα ταχέως. Ἐγγράψωμεν πρότερον αὐτὸ μετὰ ἀκριβείας ἁπάσης μαθόντες· οὐ γὰρ εἶπε, βλέπε ὅτι ἐν μέσῳ παγίδων διαβαίνεις, ἀλλ', «Ἐπίγνωθι». Καὶ τίνος ἕνεκεν εἶπεν, Ἐπίγνωθι; Συνεσκίασται, φησίν, ἡ παγίς· τοῦτο γάρ ἐστιν ἡ παγίς, ὅταν μὴ φανερὸς ὁ ὄλεθρος φαίνηται, μηδὲ δήλη ἡ βλάβη, ἀλλὰ πανταχόθεν περιεσταλμένη παράκέηται· διὰ τοῦτό φησιν, «Ἐπίγνωθι»· πολλῆς σοι δεῖ τῆς κατανοήσεως, καὶ ἀκριβοῦς τῆς ἐρεύνης. Ὥσπερ γὰρ τὰ παιδίᾳ τῇ γῇ τὴν παγίδα, οὕτως ὁ διάβολος τὰς ἁμαρτίας ταῖς βιωτικαῖς περιέστειλεν ἡδοναῖς· ἀλλ' ἐπίγνωθι διερευνώμενος ἀκριβῶς, καὶ ἐὰν ἐμπέσῃ κέρδος, μὴ τὸ κέρδος ἴδῃς μόνον, ἀλλ' ἐρεύνησον ἀκριβῶς, μή που θάνατος καὶ ἁμαρτία εἰς τὸ κέρδος ἔνδον ἐγκέκρυπται· κἂν ἴδῃς, ἀπόφυ-

4. Ἐκκλ. 7, 3. 5. Σοφ. Σειρ. 9, 20.

ἀναπτερωθῇ μὲ τοιαῦτα αἰσθήματα θὰ ἐπιστρέψῃ εἰς τὴν οἰκίαν του· καὶ ὡς ἐκ τούτου θὰ εἶναι ἡμερώτερος εἰς ὅλους, ἐπιεικέστερος, συγκαταβατικώτερος, φιλοσοφικώτερος, διότι ὁ φόβος διὰ τὰ μέλλοντα κακὰ εἰσῆλθεν εἰς τὴν ψυχήν του καὶ ἐξηφάνισεν ὅλα τὰ ἀγκάθια τῆς ἁμαρτίας.

Καὶ ὅλα αὐτὰ γνωρίζων ἐκεῖνος ἔλεγεν ὅτι «εἶναι προτιμότερον νὰ μεταβῇ κανεὶς εἰς οἰκίαν ποὺ ἔχει πένθος, παρὰ εἰς οἰκίαν ποὺ γίνεται συμπόσιον»[4]· ἀπὸ ἐκεῖ προέρχεται ραθυμία, ἀπὸ ἐδῶ φόβος, ὁ ὁποῖος μᾶς παιδαγωγεῖ πρὸς πᾶσαν ἀρετήν. Ἐὰν δὲν ἦτο ὠφέλιμος ὁ φόβος, δὲν θὰ ἔλεγεν ὁ Χριστὸς τοὺς πολλοὺς καὶ μακροὺς λόγους περὶ τῆς ἐκεῖ τιμωρίας καὶ κολάσεως. Δὲν εἶναι τίποτε ἄλλο ὁ φόβος, παρὰ τεῖχος καὶ ἀσφάλεια καὶ πύργος ἀκατάβλητος· διότι μᾶς χρειάζεται μεγάλη ἀσφάλεια, διότι ὑπάρχουν παντοῦ πολλαὶ ἐνέδραι· καθὼς πάλιν ὁ ἴδιος ὁ Σολομὼν συμβουλεύων λέγει· «Μάθε καλὰ ὅτι περιπατεῖς ἐν μέσῳ παγίδων καὶ ἐπὶ ἐπάλξεων πόλεως»[5]. Ἀπὸ πόσα ἀγαθὰ εἶναι γεμᾶτο τὸ ρητὸν τοῦτο καὶ δὲν εἶναι κατώτερον ἀπὸ τὸ προηγούμενον.

Ἂς τὸ χαράξωμεν λοιπὸν κάθε ἕνας εἰς τὴν μνήμην μας καὶ ἂς μὴ τὸ λησμονοῦμεν ποτέ, καὶ δὲν θὰ ἁμαρτήσωμεν εὔκολα. Ἂς τὸ χαράξωμεν ἀφοῦ προηγουμένως μάθωμεν μὲ κάθε λεπτομέρειαν αὐτό· διότι δὲν εἶπε, βλέπε, ὅτι ἐν μέσῳ παγίδων περιπατεῖς, ἀλλὰ μάθε καλά. Καὶ διατί εἶπε, Μάθε καλά; Εἶναι συγκεκαλυμμένη ἡ παγίς, λέγει· διότι τότε εἶναι παγίς, ὅταν δὲν φαίνεται ὁ ὄλεθρος ποὺ προκαλεῖ, καὶ οὔτε εἶναι φανερὴ ἡ βλάβη, ἀλλὰ ἀπὸ παντοῦ εἶναι συγκεκαλυμμένη καὶ εἶναι πλησίον μας· διὰ τοῦτο λέγει, Μάθε καλά· πρέπει νὰ τὸ καταλάβῃς καὶ νὰ τὸ ἐξετάσῃς μὲ ἀκρίβειαν. Διότι ὅπως τὰ παιδιὰ καλύπτουν μὲ χῶμα τὴν παγίδα, ἔτσι καὶ ὁ διάβολος σκεπάζει τὰς ἁμαρτίας μὲ τὰς κοσμικὰς ἡδονάς· ἀλλὰ μάθε καλῶς καὶ ἐρεύνησε μὲ ἀκρίβειαν, καὶ ἐὰν συναντήσῃς κέρδος, μὴ βλέπῃς μόνον τὸ κέρδος, ἀλλὰ ἐρεύνησε λεπτομερέστερον μήπως εἶναι μέσα εἰς τὸ κέρδος κρυμμένος ὁ θάνατος καὶ ἡ ἁμαρτία· καὶ ἂν ἴδῃς

γε. Πάλιν, ὅταν τέρψις καὶ ἡδονὴ παρεμπέσῃ, μὴ τὴν ἡδονὴν ἴδῃς μόνον, ἀλλὰ μή που παρανομία τις ἐν τῷ βάσει τῆς ἡδονῆς συνεσκίασται, μετὰ ἀκριβείας ἐξέτασον, κἂν εὕρῃς, ἀποπήδησον· κἂν συμβουλεύῃ τις, κἂν κολακεύῃ, κἂν θεραπεύῃ, κἂν τιμὰς ἐπαγγέλληται, κἂν ὁτιοῦν ἕτερον, πάντα ἐξετάσωμεν μετὰ ἀκριβείας, καὶ περισκοπῶμεν πάντοθεν μή πού τις βλάβη, μὴ πού τις κίνδυνος ἀπὸ τῆς συμβουλῆς, ἢ τῆς τιμῆς, ἢ τῆς θεραπείας ἡμῖν ἐγγένηται, καὶ μὴ ταχέως καὶ ἀπερισκέπτως ἐπιτρέχωμεν.

Εἰ μὲν γὰρ μία καὶ δύο μόνον ἦσαν αἱ παγίδες, εὔκολος ἦν ἡ φυλακή· νῦν δὲ τὸ πλῆθος αὐτῶν ἐνδείξασθαι βουλόμενος ὁ Σολομών, ἄκουσον πῶς φησιν· «Ἐπίγνωθι ὅτι ἐν μέσῳ παγίδων διαβαίνεις»· οὐκ εἶπεν, ὅτι παρὰ παγίδας διαβαίνεις, ἀλλ' «Ἐν μέσῳ παγίδων». Ἑκατέρωθεν ἡμῖν τὰ βάραθρα, ἑκατέρωθεν οἱ δόλοι. Ἐνέβαλέ τις εἰς ἀγοράν, εἶδεν ἐχθρόν, ἐφλέγμανεν ἀπὸ τῆς ὄψεως μόνης· εἶδε φίλον εὐδοκιμοῦντα, ἐβάσκηνεν· εἶδε πένητα, κατεφρόνησε, καὶ ὑπερεῖδεν· εἶδε πλούσιον, καὶ ἐφθόνησεν· εἶδέ τινα ἐπηρεαζόμενον, ἀπεδυσπέτησεν· εἶδέ τινα ἐπηρεάζοντα, ἐδυσχέρανεν· εἶδε γυναῖκα εὔμορφον, ἑάλω. Εἶδες πόσαι παγίδες, ἀγαπητέ; Διὰ τοῦτό φησιν· «Ἐπίγνωθι ὅτι ἐν μέσῳ παγίδων διαβαίνεις». Καὶ ἐν οἰκίᾳ παγίδες, καὶ ἐπὶ τραπέζης παγίδες, καὶ ἐπὶ συλλόγων παγίδες. Πολλάκις ἀπερισκέπτως τις μεταξὺ φίλων θαρρῶν ἐφθέγξατό τι τῶν οὐκ ὀφειλόντων ἐξενεχθῆναι ῥημάτων, καὶ κίνδυνον ἤνεγκε τοσοῦτον, ὥστε ὁλόκληρον ἀνατρέψαι τὴν οἰκίαν.

3. Πανταχόθεν τοίνυν διερευνώμεθα τὰ πράγματα μετὰ ἀκριβείας. Πολλάκις καὶ γυνὴ γέγονε παγὶς τοῖς μὴ προσέχουσι, πολλάκις παιδία, πολλάκις φίλοι, πολλάκις γείτονες.

---

6. Αὐτόθι.

νὰ ὑπάρχουν αὐτά, νὰ τὸ ἀποφύγῃς. Πάλιν ἐὰν εὑρεθῇς εἰς τέρψιν καὶ ἡδονήν, νὰ μὴ ἰδῇς μόνον τὴν ἡδονήν, ἀλλὰ νὰ προσέξῃς μήπως κάπου εἰς τὸ βάθος τῆς ἡδονῆς εἶναι σκεπασμένη κάποια παρανομία, καὶ ἂν ἀντιληφθῇς κάτι τέτοιο, φύγε γρήγορα μακρυά· καὶ ἂν μᾶς συμβουλεύῃ κάποιος, καὶ ἂν μᾶς κολακεύῃ, καὶ ἂν μᾶς περιποιῆται, καὶ ἂν μᾶς ὑπόσχεται τιμάς, καὶ ἂν ὁ,τιδήποτε ἄλλο, ὅλα νὰ τὰ ἐξετάζωμεν μὲ λεπτομέρειαν καὶ νὰ βλέπωμεν ἀπὸ παντοῦ μήπως κάποιος κίνδυνος ἀπὸ τὴν συμβουλήν, ἢ ἀπὸ τὴν τιμήν, ἢ ἀπὸ τὰς περιποιήσεις μᾶς εὕρῃ καὶ ἂς μὴ ἐπιδιώκωμεν αὐτὰ γρήγορα καὶ μὲ ἀπερισκεψίαν.

Καὶ ἐὰν μὲν ἦσαν μία καὶ δύο αἱ παγίδες, θὰ ἦτο εὔκολος ἡ προφύλαξίς μας· τώρα δὲ θέλων νὰ δείξῃ τὸ πλῆθος αὐτῶν ὁ Σολομῶν, ἄκουσε τί λέγει· «Μάθε καλὰ ὅτι περιπατεῖς ἐν μέσῳ παγίδων»[6]· δὲν εἶπεν ὅτι πλησίον παγίδων διαβαίνεις, ἀλλὰ «ἐν μέσῳ παγίδων». Καὶ ἀπὸ τὰς δύο πλευράς μας εἶναι τὰ βάραθρα, καὶ ἀπὸ τὰς δύο πλευράς μας εἶναι οἱ δόλοι. Ἐπῆγε κανεὶς εἰς τὴν ἀγοράν, εἶδεν ἐχθρόν, ἐσυγχίσθη καὶ μόνον ποὺ τὸν εἶδεν· εἶδε κάποιον φίλον, ποὺ εὑρίσκεται εἰς καλὴν κατάστασιν, τὸν ἐφθόνησεν· εἶδε πτωχὸν τὸν περιεφρόνησε καὶ τὸν παρέβλεψεν· εἶδε πλούσιον καὶ τὸν ἐφθόνησεν· εἶδε κάποιον νὰ ζημιώνεται, ἐστενοχωρήθη· εἶδε ὡραίαν γυναῖκα, ἐνικήθη ἀπὸ τὴν ὀμορφιάν της. Εἶδες, ἀγαπητέ, πόσαι παγίδες ὑπάρχουν; Διὰ τοῦτο λέγει· «Μάθε καλὰ ὅτι περιπατεῖς ἐν μέσῳ παγίδων». Καὶ εἰς τὴν οἰκίαν ὑπάρχουν παγίδες, καὶ εἰς τὴν τράπεζαν τοῦ φαγητοῦ ὑπάρχουν παγίδες, καὶ εἰς τὰς συγκεντρώσεις ὑπάρχουν παγίδες. Πολλάκις ἀπερίσκεπτα κανεὶς μεταξὺ φίλων λέγει κάτι μὲ θάρρος φιλικόν, τὸ ὁποῖον δὲν ἔπρεπε νὰ λεχθῇ, καὶ ἐπέφερε τόσον μεγάλον κίνδυνον, ὥστε νὰ καταστρέψῃ ὁλόκληρον τὴν οἰκίαν.

3. Ἀπὸ παντοῦ λοιπὸν ἂς ἐξετάζωμεν τὰ πράγματα μὲ μεγάλην σχολαστικότητα. Πολλὰς φορὰς καὶ ἡ γυναῖκα γίνεται παγίδα εἰς αὐτοὺς ποὺ δὲν εἶναι προσεκτικοί, πολλάκις

Καὶ τίνος ἕνεκεν τοσαῦται παγίδες, φησίν; Ἵνα μὴ κάτωθεν πετώμεθα, ἀλλὰ τὰ ἄνω ζητῶμεν. Καὶ γὰρ τὰ πετεινὰ ἕως ἂν τὸν ὑψηλὸν ἀέρα τέμνῃ, οὐ ταχέως ἁλίσκεται, οὕτω καὶ σύ, ἕως ἂν πρὸς τὰ ἄνω βλέπῃς, οὔτε ὑπὸ παγίδος, οὔτε ὑφ' ἑτέρας τινὸς ἁλώσῃ ῥᾳδίως ἐπιβουλῆς. Ἰξευτής ἐστιν ὁ διάβολος· γενοῦ τοίνυν τῶν ἐκείνου καλάμων ὑψηλότερος.

Ὁ πρὸς τὸ ὕψος ἀναβὰς οὐκέτι οὐδὲν θαυμάσεται τῶν βιωτικῶν πραγμάτων· ἀλλ' ὥσπερ ἐπειδὰν εἰς τὴν κορυφὴν ἀναδράμωμεν τῶν ὀρῶν, μικρὰ καὶ ἡ πόλις ἡμῖν εἶναι δοκεῖ καὶ τὰ τείχη, καὶ μυρμήκων δίκην ἐπὶ τῆς γῆς οἱ ἄνδρες ἡμῖν βαδίζοντες φαίνονται, οὕτως ἐπειδὰν ἐπὶ τὴν ὑψηλὴν ἔννοιαν τῆς φιλοσοφίας ἀνέλθῃς, οὐδέν σε τῶν ἐπὶ γῆς ἐκπλῆξαι δυνήσεται, ἀλλὰ μικρὰ πάντα φανεῖται, καὶ πλοῦτος, καὶ δόξα, καὶ δυναστεία, καὶ τιμὴ καὶ εἴ τι τοιοῦτον ἕτερον, ὅταν τὰ ἐν οὐρανοῖς βλέπῃς· καθάπερ οὖν καὶ Παύλῳ μικρὰ πάντα ἐφαίνετο, καὶ νεκρῶν ἀχρηστότερα τὰ λαμπρὰ τοῦ παρόντος βίου. Διὰ τοῦτο καὶ ἐβόα λέγων, «Ἐμοὶ κόσμος ἐσταύρωται»· διὰ τοῦτο ἡμῖν παραινεῖ λέγων, «Τὰ ἄνω φρονεῖτε»· Ἄνω; ποῖα λέγεις, εἰπέ μοι; Ὅπου ἥλιος, ὅπου σελήνη; Οὐχί, φησίν. Ἀλλὰ ποῦ; Ὅπου ἄγγελοι, ὅπου ἀρχάγγελοι, ὅπου τὰ Χερουβὶμ καὶ τὰ Σεραφίμ; Οὐχί, φησίν. Ἀλλὰ ποῦ; Ὅπου ὁ Χριστός ἐστιν ἐν δεξιᾷ τοῦ Θεοῦ καθήμενος».

Πειθώμεθα τοίνυν, κἀκεῖνο διηνεκῶς λογιζώμεθα, ὅτι καθάπερ τῷ στρουθίῳ ὄφελος οὐδὲν τῶν πτερῶν ὑπὸ τῆς παγίδος ἁλόντι, ἀλλ' εἰκῇ καὶ μάτην πτερύσσεται, οὕτω καὶ σοὶ τῶν λογισμῶν οὐδὲν ὄφελος, ἐὰν κατὰ κράτος ὑπὸ τῆς

---

7. Ὁ συλλαμβάνων πτηνὰ δι' ἰξοῦ (ἰξόβεργα).
8. Γαλ. 6, 2.
9. Γαλ. 3, 2.
10. Γαλ. 6, 1.

τὰ παιδιά, πολλάκις οἱ φίλοι, πολλάκις οἱ γείτονες. Καὶ διὰ ποῖον λόγον ὑπάρχουν τόσαι πολλαὶ παγίδες; λέγει κάποιος. Ὑπάρχουν διὰ νὰ μὴ φερώμεθα πρὸς τὰ κάτω, ἀλλὰ νὰ ἐπιζητῶμεν τὰ ἄνω. Διότι καὶ τὰ πουλιά, καθ' ὃν χρόνον διασχίζουν τὸν ὑψηλὸν ἀέρα, δὲν συλλαμβάνονται εὔκολα, ἔτσι καὶ σύ, καθ' ὃν χρόνον φέρεσαι πρὸς τὰ ἄνω πνευματικῶς, οὔτε ἀπὸ παγίδα οὔτε ἀπὸ καμμίαν ἄλλην ἐπιβουλὴν εὔκολα θὰ συλληφθῇς. Ἰξευτὴς[7] εἶναι ὁ διάβολος· πήγαινε λοιπὸν ὑψηλότερα ἀπὸ τὰς ἰξοβέργας ἐκείνου.

Αὐτὸς ποὺ θὰ ἀνεβῇ ὑψηλὰ τίποτε ἀπὸ τὰ βιωτικὰ πράγματα δὲν θὰ θαυμάσῃ· ἀλλὰ ὅπως ὅταν ἀνέλθωμεν εἰς τὴν κορυφὴν τῶν βουνῶν, μᾶς φαίνονται καὶ τὰ τείχη καὶ ἡ πόλις μικρά, καὶ σὰν μυρμήγκια μᾶς φαίνονται οἱ ἄνθρωποι ποὺ βαδίζουν ἐπάνω εἰς τὴν γῆν, ἔτσι ἀκριβῶς ὅταν ἀνέλθῃς εἰς τὴν ὑψηλὴν σκέψιν τῆς χριστιανικῆς φιλοσοφίας, τίποτε ἀπὸ τὰ ἐπίγεια δὲν θὰ ἠμπορέσῃ νὰ σὲ προξενήσῃ ἔκπληξιν, ἀλλὰ ὅλα θὰ σοῦ φαίνωνται μικρά, καὶ ὁ πλοῦτος, καὶ ἡ δόξα, καὶ ἡ δυναστεία, καὶ ἡ τιμὴ καὶ κάθε παρόμοιον μὲ αὐτά, ὅταν βλέπῃς τὰ οὐράνια· ὅπως καὶ εἰς τὸν Παῦλον ἐφαίνοντο μικρὰ καὶ ἀχρηστότερα ἀπὸ τοὺς νεκροὺς καὶ τὰ λαμπρὰ τοῦ βίου αὐτοῦ. Διὰ τοῦτο καὶ ἐφώναζε λέγων· «Δι' ἐμὲ ὁ κόσμος ἔχει νεκρωθῇ»[8]· διὰ τοῦτο καὶ μᾶς συνεβούλευε λέγων· «Πρὸς τὰ ἄνω νὰ ἔχετε ἐστραμμένας τὰς σκέψεις σας»[9]· Ἄνω; Ποῖα ἐννοεῖς, εἰπέ μου; Ἐκεῖ ποὺ εἶναι ὁ ἥλιος καὶ ἡ σελήνη; Ὄχι, βέβαια. Ἀλλὰ ποῦ; Ὅπου εἶναι οἱ ἄγγελοι, καὶ οἱ ἀρχάγγελοι καὶ τὰ Χερουβὶμ καὶ τὰ Σεραφίμ; Ὄχι, λέγει. Ἀλλὰ ποῦ· «Ἐκεῖ ποὺ ὑπάρχει ὁ Χριστὸς καθήμενος εἰς τὰ δεξιὰ τοῦ Πατρός»[10].

Ἂς πεισθῶμεν λοιπὸν μὲ ὅσα μᾶς εἶπε καὶ ἂς σκεπτώμεθα ἐκεῖνο συνεχῶς, ὅτι ὅπως τὸ πτηνὸν καθόλου δὲν τὸ ὠφελοῦν τὰ πτερά, ὅταν συλληφθῇ ὑπὸ τῆς παγίδος, ἀλλὰ ματαίως κουνάει αὐτὰ διὰ νὰ φύγῃ, ἔτσι καὶ εἰς ἐσὲ καμμία ὠφέλεια δὲν ὑπάρχει ἀπὸ τὸ λογικόν σου, ἐὰν κυριευθῇς ἐξ ὁλοκλήρου ἀπὸ τὴν πονηρὰν ἐπιθυμίαν, ἀλλὰ ὅσον καὶ ἂν

πονηρᾶς ἐπιθυμίας ἁλῷς, ἀλλ' ὅσα ἂν σκιρτήσῃς, ἑάλως. Διὰ τοῦτο πτερὰ τοῖς στρουθίοις, ἵνα ἐκφύγῃ τὰς παγίδας· διὰ τοῦτο λογισμοὶ τοῖς ἀνθρώποις, ἵνα ἐκφύγωσι τὰ ἁμαρτήματα. Τίνα οὖν ἕξομεν συγγνώμην, τίνα δὲ ἀπολογίαν, ὅταν τῶν ἀλόγων ὦμεν ἀνοητότεροι; Ὁ μὲν γὰρ στρουθὸς ἅπαξ ἁλοὺς ὑπὸ παγίδος, εἶτα διαφυγών, καὶ ἔλαφος δὲ εἰς δίκτυον ἐμπεσοῦσα, καὶ διαδρᾶσα, δυσκόλως ἁλώσονται πάλιν τοῖς αὐτοῖς· ἑκάστῳ γὰρ ἡ πεῖρα διδάσκαλος ἀσφαλείας γίνεται. Ἡμεῖς δὲ πολλάκις τοῖς αὐτοῖς ἁλόντες, τοῖς αὐτοῖς περιπίπτομεν, καὶ οὐδὲ τῶν ἀλόγων τὸ προνοητικὸν καὶ μεμεριμνημένον οἱ λόγῳ τιμηθέντες μιμούμεθα.

Ποσάκις οὖν ἰδόντες γυναῖκα, μυρία ἐπάθομεν δεινὰ οἴκαδε ἀναχωρήσαντες, καὶ τὴν ἐπιθυμίαν δεξάμενοι, καὶ ἐπὶ πολλαῖς ὀδυνηθέντες ἡμέραις, ἀλλ' ὅμως οὐ σωφρονιζόμεθα, ἀλλὰ μόλις τὸ πρότερον θεραπεύσαντες ἕλκος, πάλιν τοῖς αὐτοῖς περιπίπτομεν, καὶ ὑπὸ τῶν αὐτῶν ἁλισκόμεθα, καὶ διὰ βραχεῖαν ἡδονὴν ὄψεως, διηνεκῆ τινα καὶ χρόνιον ὑπομένομεν ὀδύνην. Ἀλλ' ἐὰν μάθωμεν συνεχῶς ταύτην ἐπιλέγειν ἑαυτοῖς τὴν ῥῆσιν, πάντων ἀποστησόμεθα τῶν δεινῶν· παγὶς μεγίστη κάλλος γυναικός· μᾶλλον δὲ οὐχὶ κάλλος γυναικός, ἀλλ' ἡ ἀκόλαστος ὄψις· μὴ γὰρ δὴ τὰ πράγματα διαβάλλωμεν, ἀλλ' ἡμᾶς, καὶ τὴν ἡμετέραν ῥαθυμίαν· μηδὲ λέγωμεν, μὴ ἔστωσαν γυναῖκες, ἀλλὰ μὴ ἔστωσαν μοιχεῖαι· μηδὲ λέγωμεν, μὴ ἔστω κάλλος, ἀλλὰ μὴ ἔστω πορνεία· μηδὲ λέγωμεν, μὴ ἔστω κοιλία, ἀλλὰ μὴ ἔστω ἀδηφαγία· οὐ γὰρ ἡ κοιλία τὴν ἀδηφαγίαν ποιεῖ, ἀλλ' ἡ ἡμετέρα ῥαθυμία.

Μὴ λέγωμεν διὰ τὸ φαγεῖν καὶ πιεῖν πάντα τὰ κακά·

προσπαθήσῃς νὰ ἐλευθερωθῇς ἔχεις συλληφθῆ αἰχμάλωτος. Διὰ τοῦτο ἔχουν πτερὰ τὰ πτηνά, διὰ νὰ ἀποφεύγουν τὰς παγίδας· διὰ τοῦτο ἐδόθη τὸ λογικὸν εἰς τοὺς ἀνθρώπους, διὰ νὰ ἀποφεύγουν τὰ ἁμαρτήματα. Ποίαν λοιπὸν συγγνώμην θὰ ἔχωμεν καὶ ποίαν ἀπολογίαν, ὅταν εἴμεθα περισσότερον ἀνόητοι καὶ ἀπὸ τὰ ἄλογα ζῶα; Διότι τὸ μὲν πτηνόν, ὅταν συλληφθῇ μίαν φορὰν εἰς τὴν παγίδα καὶ ξεφύγῃ, καὶ ἡ ἔλαφος ὅταν ἐμπέσῃ εἰς τὰ δίκτυα καὶ κατορθώσῃ νὰ ἀπαλλαγῇ ἀπὸ αὐτά, δύσκολα θὰ πιασθοῦν πάλιν ἀπὸ τὰ ἴδια μέσα· διότι εἰς τὸ κάθε ἕνα ἡ πεῖρα γίνεται δάσκαλος διὰ νὰ προφυλαχθῇ. Ἡμεῖς ὅμως, ἂν καὶ πολλάκις ἔχομεν ἐμπέσει εἰς τὰ ἴδια ἁμαρτήματα, πάλιν εἰς τὰ ἴδια ξαναπίπτομεν, καὶ οὔτε τῶν ἀλόγων ζώων τὴν προνοητικότητα καὶ προσοχὴν δὲν μιμούμεθα, ἡμεῖς οἱ ὁποῖοι ἔχομεν τιμηθῆ μὲ τὸν λόγον.

Πόσας φορὰς λοιπὸν ἐπειδὴ εἴδομεν γυναῖκα, ἐπάθομεν ἀναρίθμητα κακά, ὅταν ἐφθάσαμεν εἰς τὸ σπίτι, ἀπὸ τὴν ἐπιθυμίαν αὐτὴ βασανιζόμενοι ἐπὶ πολλὰς ἡμέρας, καὶ ὅμως δὲν σωφρονιζόμεθα, ἀλλὰ μόλις θεραπεύσωμεν τὴν προηγουμένην πληγήν, πάλιν εἰς τὰ ἴδια ἐπιστρέφομεν καὶ ἀπὸ τὰ ἴδια κυριευόμεθα, καὶ δι' ὀλιγόχρονον εὐχαρίστησιν τῶν ὀφθαλμῶν, συνεχῶς καὶ ἐπὶ μεγάλο χρονικὸν διάστημα βασανιζόμεθα. Ἀλλ' ἐὰν μάθωμεν συνεχῶς νὰ ἐπαναλαμβάνωμεν τὸ ρητὸν αὐτό, θὰ ἀποφύγωμεν ὅλα τὰ ἁμαρτήματα· διότι εἶναι παγὶς πολὺ μεγάλη ἡ ὡραιότης τῆς γυναικός· μᾶλλον δὲ ὄχι μόνον ἡ ὡραιότης, ἀλλὰ τὸ νὰ τὴν βλέπωμεν μὲ πονηρὰς διαθέσεις· διότι δὲν πρέπει νὰ κατηγορῶμεν τὰ πράγματα, ἀλλὰ ἡμᾶς τοὺς ἰδίους καὶ τὴν ἰδικήν μας ραθυμίαν· οὔτε νὰ λέγωμεν, νὰ μὴ ὑπάρχουν γυναῖκες, ἀλλὰ νὰ λέγωμεν νὰ μὴ ὑπάρχουν μοιχεῖαι· οὔτε νὰ λέγωμεν, νὰ μὴ ὑπάρχῃ ὀμορφιά, ἀλλὰ νὰ λέγωμεν νὰ μὴ ὑπάρχῃ πορνεία· οὔτε νὰ λέγωμεν νὰ μὴ ὑπάρχῃ κοιλία, ἀλλὰ νὰ μὴ ὑπάρχῃ πολυφαγία· διότι δὲν κάμει τὴν πολυφαγίαν ἡ κοιλία, ἀλλὰ ἡ ἰδική μας ραθυμία.

Ἂς μὴ λέγωμεν ὅτι ἀπὸ τὸ φαγητὸν καὶ τὸ ποτὸν

οὐ γὰρ διὰ τοῦτο, ἀλλὰ διὰ τὴν ῥαθυμίαν, καὶ τὴν ἀπληστίαν τὴν ἡμετέραν. Οὐκ ἔφαγε γοῦν, οὐδὲ ἔπιεν ὁ διάβολος, καὶ κατέπεσεν· ἔφαγε καὶ ἔπιεν ὁ Παῦλος, καὶ εἰς τὸν οὐρανὸν ἀνῆλθε.

Πόσων ἀκούω λεγόντων, μὴ ἔστω πενία; Ἐπιστομίζωμεν τοίνυν τοὺς τὰ τοιαῦτα δυσχεραίνοντας· βλασφημία γὰρ τὸ τὰ τοιαῦτα λέγειν ἐστί. Λέγωμεν τοίνυν πρὸς αὐτούς, μὴ ἔστω μικροψυχία· πενία γὰρ μυρία εἰς τὸν βίον ἡμῶν εἰσήγαγεν ἀγαθά, καὶ χωρὶς πενίας ὁ πλοῦτος ἄχρηστος. Μὴ τοίνυν μήτε τοῦτον, μήτε ἐκείνην διαβάλλωμεν. Πενία γὰρ καὶ πλοῦτος ὅπλα ἐστὶ πρὸς ἀρετὴν ἑκάτερα φέροντα, ἂν ἐθέλωμεν. Ὥσπερ οὖν ὁ γενναῖος στρατιώτης, οἷον ἂν ὅπλον λάβῃ, τὴν οἰκείαν ἀρετὴν ἐπιδείκνυται, οὕτως ὁ ἄνανδρος καὶ δειλὸς ὑφ' ἑκατέρων ἐμποδίζεται. Καὶ ἵνα μάθῃς, ὅτι τοῦτό ἐστιν ἀληθές, ἀνεμνήσθητί μοι τοῦ Ἰώβ, ὃς ὁμοῦ καὶ πλούσιος καὶ πένης γέγονε, καὶ ἑκάτερα τὰ ὅπλα μετεχειρίσατο, καὶ ἐν ἑκατέροις ἐκράτησε. Καὶ ὅτε μὲν πλούσιος ἦν, ἔλεγεν, «Ἡ θύρα μου παντὶ ἐλθόντι ἠνέῳκτο»· ὅτε δὲ πένης γέγονεν, ἔλεγεν, «Ὁ Κύριος ἔδωκεν, ὁ Κύριος ἀφείλατο· ὡς τῷ Κυρίῳ ἔδοξεν, οὕτω καὶ ἐγένετο». Ὅτε πλούσιος ἦν, πολλὴν τὴν φιλοξενίαν, ὅτε πένης γέγονε, πολλὴν τὴν ὑπομονὴν ἐπεδείξατο. Καὶ σὺ τοίνυν πλούσιος εἶ; Πολλὴν ἐπιδείκνυσο τὴν ἐλεημοσύνην. Πένης γέγονας; Πολλὴν τὴν καρτερίαν καὶ τὴν ὑπομονήν. Οὔτε γὰρ πλοῦτος κακόν, οὔτε πενία ἁπλῶς· ἀλλὰ παρὰ τὴν προαίρεσιν τῶν χρωμένων ἑκάτερα ταῦτα γίνεται.

4. Παιδεύσωμεν τοίνυν ἑαυτοὺς μὴ τοιαύτας περὶ τῶν πραγμάτων ἔχειν τὰς κρίσεις, μηδὲ τὰ ἔργα τοῦ Θεοῦ, ἀλλὰ τὴν προαίρεσιν τὴν πονηρὰν τῶν ἀνθρώπων διαβάλλειν. Τὸν μικρόψυχον οὐδὲ ὁ πλοῦτος ὠφελῆσαι δύναται· τὸν με-

---

11. Ἰὼβ 31, 32.
12. Ἰὼβ 1, 21.

προέρχονται ὅλα τὰ κακά, διότι δὲν προέρχονται ἀπὸ αὐτά, ἀλλὰ ἐξ αἰτίας τῆς ραθυμίας καὶ τῆς ἀπληστίας τῆς ἰδικῆς μας. Δὲν ἔφαγεν οὔτε ἔπιεν ὁ διάβολος, καὶ ὅμως ἔπεσεν εἰς τὴν ἁμαρτίαν· ἔφαγε καὶ ἔπιεν ὁ Παῦλος καὶ ὅμως ἀνέβη εἰς τὸν οὐρανόν.

Πόσους ἀκούω νὰ λέγουν, ἂς μὴ ὑπάρχῃ ἡ φτώχεια; Ἂς ἀποστομώνωμεν λοιπὸν αὐτοὺς ποὺ λέγουν τέτοια· διότι εἶναι βλασφημία νὰ λέγωνται αὐτά. Ἂς λέγωμεν λοιπὸν πρὸς αὐτούς, ἂς μὴ ὑπάρχῃ μικροψυχία· διότι ἡ πτωχεία ἐπέφερεν εἰς τὴν ζωήν μας ἀναρίθμητα ἀγαθά, καὶ χωρὶς τὴν πτωχείαν ὁ πλοῦτος εἶναι ἄχρηστος. Λοιπὸν οὔτε τὸν πλοῦτον οὔτε τὴν πτωχείαν ἂς μὴ κατηγοροῦμεν. Διότι καὶ ἡ πτωχεία καὶ ὁ πλοῦτος εἶναι ὅπλα ποὺ μᾶς ὁδηγοῦν εἰς τὴν ἀρετήν, ἂν θέλωμεν. Ὅπως λοιπὸν ὁ γενναῖος στρατιώτης, ὁποιονδήποτε ὅπλον καὶ ἂν πάρῃ ἐπιδεικνύει τὴν ἀρετήν του, ἔτσι καὶ ὁ ἄνανδρος καὶ δειλὸς καὶ ἀπὸ τὰ δύο (πλοῦτον καὶ πτωχείαν) ἐμποδίζεται. Καὶ διὰ νὰ μάθῃς ὅτι τοῦτο εἶναι ἀληθές, νὰ ἐνθυμηθῇς τὸν Ἰώβ, ὁ ὁποῖος συγχρόνως καὶ πλούσιος καὶ πτωχὸς ἔγινε, καὶ ἐχρησιμοποίησε καὶ τὰ δύο ὅπλα καὶ μὲ τὰ δύο ἐνίκησε. Καὶ ὅταν ἦτο πλούσιος ἔλεγεν· «Ἡ πόρτα τοῦ σπιτιοῦ μου ἦτο ἀνοικτὴ εἰς κάθε ἕνα ποὺ ἤρχετο»[11]· ὅταν δὲ ἔγινε πτωχὸς ἔλεγεν· «Ὁ Κύριος τὰ ἔδωσεν, ὁ Κύριος τὰ ἀφήρεσεν· ὅπως ἐφάνη καλὸν εἰς τὸν Κύριον ἔτσι καὶ ἔγινεν»[12]. Ὅταν ἦτο πλούσιος ἐδείκνυε πολλὴν φιλοξενίαν, ὅταν ἔγινε πτωχὸς ἐδείκνυε πολλὴν ὑπομονήν. Καὶ σὺ λοιπὸν εἶσαι πλούσιος; Νὰ ἐπιδείξῃς πολλὴν τὴν ἐλεημοσύνην σου. Ἔγινες πτωχός; Νὰ ἐπιδείξῃς μεγάλην καρτερίαν καὶ ὑπομονήν. Διότι οὔτε ὁ πλοῦτος εἶναι κακὸς γενικῶς, οὔτε ἡ πτωχεία· ἀλλὰ γίνονται καλὰ ἢ κακὰ ἀπὸ τὴν προαίρεσιν ἐκείνων ποὺ τὰ μεταχειρίζονται.

4. Ἂς κάμωμεν λοιπὸν τοὺς ἑαυτούς μας νὰ μὴ ἔχουν τοιαύτας ἀντιλήψεις διὰ τὰ πράγματα αὐτά, καὶ ἂς μὴ ἐπικρίνωμεν τὰ ἔργα τοῦ Θεοῦ, ἀλλὰ τὴν πονηρὰν προαίρεσιν τῶν ἀνθρώπων. Τὸν μικρόψυχον δὲν ἠμπορεῖ νὰ τὸν ὠφε-

γαλόψυχον οὐδὲ ἡ πενία καταβλάπτει ποτέ. Ἐπιγνῶμεν τοίνυν τὰς παγίδας, καὶ πόρρωθεν αὐτῶν βαδίζωμεν· ἐπιγνῶμεν τοὺς κρημνούς, καὶ μηδὲ ἐγγὺς γινώμεθα. Τοῦτο ἀσφαλείας ἡμῖν ἔσται μεγίστης ὑπόθεσις, τὸ μὴ τὰ ἁμαρτήματα φεύγειν μόνον, ἀλλὰ καὶ τὰ ἀδιάφορα μὲν εἶναι δοκοῦντα, πρὸς δὲ τὰς ἁμαρτίας ἡμᾶς ὑποσκελίζοντα. Οἷόν τι λέγω· τὸ γελᾶν καὶ ἀστεῖα λέγειν, οὐ δοκεῖ μὲν ὡμολογημένον ἁμάρτημα εἶναι, ἄγει δὲ εἰς ὡμολογημένον ἁμάρτημα· πολλάκις γοῦν ἀπὸ γέλωτος αἰσχρὰ ῥήματα τίκτεται, ἀπὸ ῥημάτων αἰσχρῶν πράξεις αἰσχρότεραι· πολλάκις ἀπὸ ῥημάτων καὶ γέλωτος λοιδορία καὶ ὕβρις, ἀπὸ λοιδορίας καὶ ὕβρεως πληγαὶ καὶ τραύματα, ἀπὸ τραυμάτων καὶ πληγῶν σφαγαὶ καὶ φόνοι.

Ἂν τοίνυν μέλλῃς περὶ σεαυτοῦ καλῶς βουλεύεσθαι, οὐχὶ τὰ αἰσχρὰ ῥήματα μόνον, οὐδὲ τὰ αἰσχρὰ πράγματα, οὐδὲ τὰς πληγάς, καὶ τὰ τραύματα, καὶ τοὺς φόνους, ἀλλὰ καὶ αὐτὸν τὸν ἄκαιρον γέλωτα, καὶ αὐτὰ τὰ ἀστεῖα ἀποφεύξῃ ῥήματα, ἐπειδὴ τῶν μετὰ ταῦτα κακῶν ῥίζα ταῦτα ἐγένετο. Διὰ τοῦτο ὁ Παῦλός φησι· «Μωρολογία καὶ εὐτραπελία μὴ ἐκπορευέσθω ἐκ τοῦ στόματος ὑμῶν». Εἰ γὰρ καὶ αὐτὸ καθ' ἑαυτὸ μικρὸν εἶναι δοκεῖ, ἀλλὰ μεγάλων ἡμῖν κακῶν αἴτιον γίνεται.

Πάλιν τὸ τρυφᾶν οὐ δοκεῖ μὲν ἔγκλημα εἶναι φανερὸν καὶ ὡμολογημένον· μεγάλα δὲ ἡμῖν τίκτει κακά, μέθην, παροινίαν, πλεονεξίαν, ἁρπαγάς. Ὁ γὰρ δαπανηρὸς καὶ πολυτελής, καὶ λειτουργίας τῇ γαστρὶ λειτουργῶν ἀφορήτους, καὶ κλέπτειν ἀναγκάζεται πολλάκις, και τὰ ἑτέρων ἁρπάζειν, καὶ πλεονεκτεῖν, καὶ βιάζεσθαι. Ἂν τοίνυν φεύγῃς τὸ τρυφᾶν, καὶ πλεονεξίας, καὶ ἁρπαγῆς, καὶ μέθης, καὶ μυρίων κακῶν τὴν ὑπόθεσιν ἀνεῖλες, πόρρωθεν τὴν ῥί-

---

13. Ἐφ. 5, 4.

λήσῃ οὔτε ὁ πλοῦτος· τὸν μεγαλόψυχον δὲν ἠμπορεῖ νὰ τὸν νικήσῃ οὔτε ἡ πτωχεία. Ἂς μάθωμεν λοιπὸν καλῶς τὰς παγίδας, καὶ ἂς βαδίζωμεν μακρυὰ ἀπὸ αὐτάς· ἂς μάθωμεν καλῶς τοὺς κρημνούς, καὶ ἂς μὴ τοὺς πλησιάζωμεν. Τοῦτο νὰ γίνῃ εἰς ἡμᾶς μέσον μέγιστον ἀποφυγῆς τῆς ἁμαρτίας, τὸ νὰ μὴ ἀποφεύγωμεν μόνον τὰ ἁμαρτήματα, ἀλλὰ καὶ ἐκεῖνα ποὺ φαίνονται ὅτι εἶναι ἀδιάφορα καὶ μᾶς ρίπτουν εἰς τὴν ἁμαρτίαν. Ἐννοῶ τὸ ἑξῆς μὲ αὐτὰ ποὺ λέγω· τὸ νὰ γελᾷ κανεὶς καὶ νὰ λέγῃ ἀστεῖα δὲν φαίνεται ὅτι εἶναι ἀνεγνωρισμένη ἁμαρτία, ὅμως ὁδηγεῖ εἰς ἁμάρτημα ἀνεγνωρισμένον· διότι πολλάκις ἀπὸ γέλια προέρχονται αἰσχρὰ λόγια, ἀπὸ λόγια αἰσχρὰ αἰσχρότεραι πράξεις· πολλάκις ἀπὸ λόγια καὶ γέλια προέρχεται λόγος ὑβριστικὸς καὶ περιφρονητικός, ἀπὸ ὕβριν καὶ περιφρόνησιν πληγαὶ καὶ τραύματα, καὶ ἀπὸ τὰς πληγὰς καὶ τὰ τραύματα σφαγαὶ καὶ φόνοι.

Ἂν λοιπὸν σκέπτεσαι διὰ τὸν ἑαυτόν σου καλά, ὄχι μόνον τὰ αἰσχρὰ λόγια, οὔτε τὰ αἰσχρὰ πράγματα, οὔτε τὰς πληγὰς καὶ τὰ τραύματα καὶ τοὺς φόνους, ἀλλὰ καὶ αὐτὸν τὸν ἄκαιρον γέλωτα καὶ αὐτὰ τὰ ἀστεῖα λόγια νὰ ἀποφεύγῃς, ἐπειδὴ αὐτὰ εἶναι ἡ ρίζα τῶν κακῶν ποὺ ἐπακολουθοῦν. Διὰ τοῦτο καὶ ὁ Παῦλος λέγει· «Μωρολογία καὶ ἀπρεπῆ ἀστεῖα νὰ μὴ βγαίνουν ἀπὸ τὸ στόμα σας»[13]. Διότι ἂν καὶ αὐτό, αὐτὸ καθ' ἑαυτό, εἶναι μικρὸν παράπτωμα, ὅμως γίνεται αἰτία μεγάλων κακῶν εἰς ἡμᾶς.

Πάλιν τὸ νὰ ζῇ κανεὶς βίον τρυφηλὸν δὲν φαίνεται νὰ εἶναι ἁμάρτημα φανερὸν καὶ ἀνεγνωρισμένον· ὅμως γεννᾷ εἰς ἡμᾶς μεγάλα κακά, τὴν μέθην, τὴν θρασύτητα, τὴν πλεονεξίαν, τὰς ἁρπαγάς. Διότι αὐτὸς ποὺ ζῇ δαπανηρὸν βίον καὶ πολυτελῆ καὶ εἶναι πολὺ κοιλιόδουλος, ἀναγκάζεται πολλάκις καὶ νὰ κλέπτῃ καὶ νὰ ἁρπάζῃ αὐτὰ ποὺ ἀνήκουν εἰς ὅλους, καὶ νὰ εἶναι πλεονέκτης καὶ βιαστής. Ἂν λοιπὸν ἀποφύγῃς τὸν τρυφηλὸν βίον καὶ τῆς πλεονεξίας καὶ τῆς ἁρπαγῆς καὶ τῆς μέθης καὶ ἄλλων πολλῶν κακῶν ἀπεμάκρυνες τὸ στήριγμα, καθ' ὅσον ἔκοψες καὶ ἀπεμάκρυνες τὴν

ζαν ἐκτεμὼν τῆς πονηρίας. Διὰ τοῦτο καὶ ὁ Παῦλος ἔλεγεν, ὅτι «Ἡ σπαταλῶσα χήρα ζῶσα τέθνηκε». Τὸ εἰς τὰ θέατρα ἀναβαίνειν πάλιν, καὶ ἵππων ἁμίλλας θεωρεῖν, καὶ κυβεύειν, οὐ δοκεῖ πλημμέλημα τοῖς πολλοῖς ὡμολογημένον εἶναι, μυρία δὲ εἰς τὸν βίον εἰσάγει κακά. Καὶ γὰρ ἡ ἐν τοῖς θεάτροις διατριβὴ πορνείαν, ἀκολασίαν, καὶ πᾶσαν ἀσέλγειαν ἔτεκε, καὶ ἡ τῆς ἁμίλλης τῶν ἵππων θεωρία μάχας, λοιδορίας, πληγάς, ὕβρεις, ἀπεχθείας διηνεκεῖς ἐπήγαγε· καὶ ἡ περὶ τὸ κυβεύειν σπουδὴ βλασφημίας, ζημίας, ὀργάς, λοιδορίας, καὶ μυρία ἕτερα τούτων δεινότερα πολλάκις εἰργάσατο.

Μὴ τοίνυν τὰ ἁμαρτήματα φεύγωμεν μόνον, ἀλλὰ καὶ τὰ δοκοῦντα μὲν ἀδιάφορα εἶναι, κατὰ μικρὸν δὲ ἡμᾶς εἰς τὰς πλημμελείας ἄγοντα ταύτας. Καὶ γὰρ ὁ παρὰ κρημνὸν βαδίζων, κἂν μὴ καταπέσῃ, τρέχει, καὶ πολλάκις ὑπ' αὐτοῦ τοῦ τρόμου περιτραπεὶς κατέπεσεν· οὕτω καὶ ὁ μὴ πόρρωθεν φεύγων τὰς ἁμαρτίας, ἀλλ' ἐγγὺς αὐτῶν βαδίζων, μετὰ φόβου βιώσεται, καὶ πολλάκις εἰς αὐτὰς ἐμπεσεῖται. Καὶ γὰρ ὁ τὰ ἀλλότρια περιεργαζόμενος κάλλη, κἂν μὴ μοιχεύσῃ, τέως ἐπεθύμησε, καὶ γέγονε κατὰ τὴν ἀπόφασιν τοῦ Χριστοῦ μοιχός· πολλάκις δὲ ὑπ' αὐτῆς τῆς ἐπιθυμίας, καὶ εἰς τὴν διὰ τῆς πείρας ἁμαρτίαν καταφέρεται. Πόρρωθεν τοίνυν ἑαυτοὺς ἀναστείλωμεν τῶν ἁμαρτημάτων.

Βούλει σωφρονεῖν; Μὴ φύγῃς μοιχείαν μόνον, ἀλλὰ καὶ ἀκόλαστον ὄψιν. Βούλει ῥημάτων αἰσχρῶν εἶναι μακράν; Μὴ τὰ αἰσχρὰ ῥήματα φύγῃς μόνον, ἀλλὰ καὶ γέλωτα ἄτακτον, καὶ ἐπιθυμίαν ἅπασαν. Βούλει φόνων εἶναι πόρρω; Φεῦγε λοιδορίας. Βούλει μέθης ἀφίστασθαι; Φεῦγε

---

14. Α' Τιμ. 5, 6.

ρίζαν τῆς πονηρίας. Διὰ τοῦτο καὶ ὁ Παῦλος ἔλεγεν ὅτι «Ἡ χήρα ποὺ σπαταλᾷ καὶ ζῇ βίον τρυφηλὸν ἔχει ἀποθάνει πνευματικῶς»[14]. Τὸ νὰ πηγαίνῃ κανεὶς πάλιν εἰς τὰ θέατρα καὶ νὰ παρακολουθῇ τοὺς συναγωνισμοὺς τῶν ἵππων εἰς τὸν ἱππόδρομον, καὶ τὸ νὰ παίζῃ κύβους, δὲν φαίνεται εἰς τοὺς πολλοὺς ὅτι εἶναι ἀνεγνωρισμένον ἁμάρτημα, ἐν τούτοις ὅμως εἰσάγει εἰς τὴν ζωὴν ἀναρίθμητα κακά. Διότι ἡ συχνὴ παραμονὴ εἰς τὰ θέατρα ἐγέννησε τὴν πορνείαν, τὴν ἀκολασίαν καὶ κάθε ἀσέλγειαν, καὶ τὸ νὰ βλέπῃ κανεὶς τοὺς ἀγῶνας καὶ τὰς διαμάχας τῶν ἵππων, ἐπιφέρει διαπληκτισμούς, πληγάς, ὕβρεις καὶ μίση διαρκῆ· καὶ ἡ ἐνασχόλησις μὲ τοὺς κύβους βλασφημίας, ζημίας, θυμούς, ὕβρεις καὶ πολλὰ ἄλλα χειρότερα ἀπὸ αὐτὰ πολλάκις ἔχει ἐπιφέρει.

Ἂς μὴ ἀποφεύγωμεν λοιπὸν μόνον τὰ ἁμαρτήματα, ἀλλὰ καὶ ἐκεῖνα ποὺ φαίνονται ὅτι εἶναι ἀδιάφορα, ὀλίγον κατ' ὀλίγον μᾶς ὁδηγοῦν εἰς τὰ διάφορα πλημμελήματα. Διότι καὶ ἐκεῖνος ποὺ βαδίζει κοντὰ εἰς τὸν κρημνόν, ἀκόμα καὶ ἂν δὲν πέσῃ μέσα εἰς αὐτόν, τρέμει, καὶ πολλάκις ἀφοῦ ζαλισθῇ ἀπὸ τὸν τρόμον, πέφτει μέσα εἰς αὐτόν, ἔτσι καὶ αὐτὸς ποὺ δὲν φεύγει μακρυὰ ἀπὸ τὰς ἁμαρτίας, ἀλλὰ βαδίζει κοντὰ εἰς αὐτάς, θὰ ζῇ μὲ φόβον καὶ πολλάκις θὰ πέσῃ μέσα εἰς αὐτάς. Διότι καὶ ἐκεῖνος ποὺ περιεργάζεται τὰ ξένα κάλλη, καὶ ἂν δὲν μοιχεύσῃ, ὅμως ἐπεθύμησε, καὶ σύμφωνα μὲ τὴν ἀπόφασιν τοῦ Χριστοῦ ἔγινε μοιχός· πολλάκις δὲ ὠθούμενος ὑπ' αὐτῆς τῆς ἐπιθυμίας ὁδηγεῖται εἰς τὸ νὰ δοκιμάσῃ πλέον τὴν ἁμαρτίαν αὐτὴν ἐμπράκτως. Ἂς ἀπομακρύνωμεν λοιπὸν τοὺς ἑαυτούς μας ἀπὸ τὰ ἁμαρτήματα.

Θέλεις λοιπὸν νὰ εἶσαι σώφρων; Μὴ ἀποφεύγῃς μόνον τὴν μοιχείαν ἀλλὰ καὶ τὴν ἀκόλαστον ὄψιν. Θέλεις νὰ εἶσαι μακρυὰ ἀπὸ αἰσχρολογίας; Μὴ ἀποφεύγῃς μόνον τὰ αἰσχρόλογα, ἀλλὰ καὶ τὰ ἄτακτα γέλια, καὶ κάθε κακὴν ἐπιθυμίαν. Θέλεις νὰ εἶσαι μακρυὰ ἀπὸ φόνους; Νὰ ἀποφεύγῃς τοὺς ἐμπαιγμούς. Θέλεις νὰ ἀπομακρυνθῇς ἀπὸ τὴν μέθην; Ἀπόφευγε τὴν μαλθακὴν ζωήν, τὰ πολυτελῆ συμπόσια, καὶ ἀπὸ

τρυφὰς καὶ τὰς πολυτελεῖς τραπέζας, καὶ πρόῤῥιζον τὴν κακίαν ἀνάσπασον. Μεγάλη παγὶς γλώσσης ἀκολασία καὶ πολλοῦ δεομένη τοῦ χαλινοῦ. Διὰ τοῦτο καὶ τίς φησι· «Παγὶς ἰσχυρὰ ἀνδρὶ τὰ ἴδια χείλη, καὶ ἁλίσκεται ῥήμασιν ἰδίου στόματος».

5. Πρὸ τῶν ἄλλων τοίνυν ἁπάντων μελῶν ταύτην σωφρονίσωμεν, ταύτην χαλινώσωμεν, καὶ λοιδορίας, καὶ ὕβρεις, καὶ αἰσχρολογίας, καὶ κακηγορίας ἀπὸ τοῦ στόματος ἐξελάσωμεν, καὶ τὴν πονηρὰν τῶν ὅρκων συνήθειαν. Πάλιν γὰρ ἡμᾶς ἐπὶ τὴν αὐτὴν παραίνεσιν ὁ λόγος ἤγαγε. Καίτοι γε ἑσπέρας συνεταξάμην ὑμῶν τῇ ἀγάπῃ, ὡς οὐκέτι περὶ τῆς ἐντολῆς ταύτης ἐρῶ, διὰ τὸ πάσας τὰς ἔμπροσθεν ἡμέρας ἀρκούντως περὶ αὐτῆς διειλέχθαι· ἀλλὰ τί πάθω; Ἕως ἂν ἴδω κατορθώσαντας, οὐ στέγω τῆς συμβουλῆς ἀποσχέσθαι· ἐπεὶ καὶ Παῦλος Γαλάταις λέγων, «Τοῦ λοιποῦ κόπους μοι μηδεὶς παρεχέτω»· πάλιν αὐτοῖς φαίνεται συγγενόμενος καὶ διαλεχθείς. Τοιαῦτα τὰ σπλάγχνα τὰ πατρικά, κἂν εἴπωσιν ἀφίστασθαι, οὐκ ἀφίστανται, ἕως ἂν ἴδωσι σωφρονισθέντας αὐτῶν τοὺς παῖδας.

Ἠκούσατε τοῦ προφήτου σήμερον περὶ τῶν ὅρκων ἡμῖν διαλεγομένου; «Ἐπέβλεψα τοῖς ὀφθαλμοῖς μου, καὶ εἶδον», φησί· καὶ ἰδοὺ δρέπανον πετόμενον μήκους πηχῶν εἴκοσι, καὶ πλάτους πηχῶν δέκα, καὶ εἶπε πρός με· τί σὺ βλέπεις; καὶ εἶπον· ὁρῶ δρέπανον πετόμενον μήκους πηχῶν εἴκοσι, καὶ πλάτους δέκα πηχῶν· καὶ εἰσελεύσεται εἰς τὸν οἶκον», φησί, «τοῦ ὀμνύοντος τῷ ὀνόματί μου, καὶ καταλύσει ἐν τῷ μέσῳ, καὶ κατασκάψει τοὺς λίθους καὶ τὰ ξύλα». Τί ποτέ ἐστι τὸ εἰρημένον, καὶ τίνος ἕνεκεν ἐν τάξει δρεπάνης ἡ τοῖς ὀμνύουσιν ἑπομένη τιμωρία φαίνεται, καὶ δρεπάνης πετομένης; Ἵνα τὸ ἄφυκτον τῆς δίκης καὶ τὸ ἀδιεξόδευτον τῆς κολάσεως ἴδῃς. Ξίφος μὲν γὰρ πετόμενον ἴσως τις

---

15. Παροιμ. 6, 2.
16. Γαλ. 6, 17.
17. Ζαχ. 5, 1-4.

τὴν ρίζαν ξερρίζωσε καὶ ἀπομάκρυνε τὴν κακίαν αὐτήν. Παγίδα μεγάλη εἶναι ἡ ἀκολασία τῆς γλώσσης καὶ ἔχει ἀνάγκην ἀπὸ ἰσχυρὸν χαλινόν. Διὰ τοῦτο καὶ κάποιος σοφὸς λέγει· «Γερὴ παγίδα εἰς τὸν ἄνθρωπον εἶναι τὰ χείλη του, καὶ πιάνεται μὲ τὰ λόγια τοῦ στόματός του»[15].

5. Πρὶν λοιπὸν ἀπὸ ὅλα τὰ μέλη μας αὐτὴν ἂς σωφρονίσωμεν, αὐτὴν ἂς χαλιναγωγήσωμεν, καὶ λοιδορίας καὶ ὕβρεις καὶ αἰσρολογίας καὶ κατακρίσεις ἂς ἀπομακρύνωμεν ἀπὸ τὸ στόμα μας, καὶ τὴν κακὴν συνήθειαν τῶν ὅρκων. Διότι πάλιν μᾶς ἔφερεν ὁ λόγος εἰς τὴν ἰδίαν συμβουλήν. Ἂν καὶ ὑπεσχέθην ἀπὸ τὸ ἑσπέρας εἰς τὴν ἀγάπην σας ὅτι δὲν θὰ σᾶς ὁμιλήσω πάλιν διὰ τὴν ἐντολὴν αὐτήν, ἐπειδὴ τὰς προηγουμένας ἡμέρας ἀρκετὰ ὡμιλήσαμεν δι' αὐτήν· ἀλλὰ τί νὰ κάμω; Μέχρι ποὺ νὰ σᾶς ἰδῶ νὰ ἔχετε κατορθώσει τὴν ἐντολὴν αὐτήν, δὲν ἠμπορῶ νὰ ἀπόσχω ἀπὸ τὰς συμβουλάς· διότι καὶ ὁ Παῦλος ἂν καὶ ἔλεγεν εἰς τοὺς Γαλάτας «εἰς τὸ ἑξῆς ἂς μὴ μοῦ παρέχῃ κανεὶς κόπους καὶ ἐνόχλησιν»[16], πάλιν ἦλθεν εἰς ἐπικοινωνίαν μὲ αὐτοὺς καὶ τοὺς ὡμίλησεν. Τέτοια εἶναι τὰ πατρικὰ σπλάγχνα, καὶ ἂν ἀκόμα εἰποῦν ὅτι ἀπομακρύνονται, δὲν τὸ κάμουν ἕως ὅτου ἰδοῦν τὰ παιδιά τους σωφρονισμένα.

Ἠκούσατε σήμερον τὸν προφήτην ποὺ μᾶς ὡμιλοῦσε διὰ τοὺς ὅρκους; «Ἐγύρισα τὰ μάτια μου καὶ εἶδα», λέγει, «καὶ ἰδοὺ δρεπάνι ποὺ ἐπετοῦσε, μήκους εἴκοσι πήχεων, καὶ πλάτους δέκα πήχεων, καὶ εἶπε πρὸς ἐμέ· τί βλέπεις ἐσύ; καὶ εἶπα· βλέπω δρεπάνι ποὺ πετᾷ μήκους εἴκοσι πήχεων καὶ πλάτους δέκα· καὶ θὰ εἰσέλθῃ», λέγει, «εἰς τὸν οἶκον ἐκείνου ποὺ ὁρκίζεται εἰς τὸ ὄνομά μου καὶ θὰ μείνῃ εἰς τὸ μέσον αὐτοῦ καὶ θὰ καταστρέψῃ αὐτὸν καὶ τοὺς λίθους καὶ τὰ ξύλα»[17]. Τί σημαίνει τοῦτο, καὶ διατί παρομοιάζεται μὲ δρεπάνι ἡ τιμωρία ποὺ παρακολουθεῖ ἐκείνους ποὺ ὁρκίζονται καὶ μάλιστα μὲ δρεπάνι ποὺ πετᾷ; Διὰ νὰ μάθῃς τὸ ἀναπόφευκτον τῆς ποινῆς καὶ τὸ ἀδιέξοδον τῆς τιμωρίας. Διότι ἴσως ἠμπορεῖ κανεὶς νὰ ἀποφύγῃ ξίφος ποὺ πετᾷ,

διαδρᾶναι δυνήσεται, δρεπάνην δὲ εἰς τὸν τράχηλον ἐμπεσοῦσαν καὶ ἀντὶ σχοινίου γενομένην, οὐδεὶς ἂν διαφύγοι· ὅταν δὲ καὶ πτερὰ προσῇ, ποία λοιπὸν σωτηρίας ἐλπίς;

Τίνος δὲ ἕνεκεν τοὺς λίθους καὶ τὰ ξύλα καταλύει τοῦ ὀμνύοντος; Ἵνα τοῖς ἄλλοις σωφρονισμὸς τὸ πάθος γένηται. Ἐπειδὴ γὰρ τὸν ὀμνύοντα ἀποθανόντα ἀνάγκη τῇ γῇ κρύπτεσθαι, ἡ οἰκία καταλυθεῖσα καὶ χῶμα γενομένη τοῖς παριοῦσιν ἅπασι καὶ βλέπουσι παραινέσεται διὰ τῆς ὄψεως, μὴ τὰ αὐτὰ τολμᾶν, ἵνα μὴ τὰ αὐτὰ πάθωσι, καὶ κατήγορος ἔσται τοῦ τετελευτηκότος ἁμαρτίας διηνεκής. Οὐχ οὕτω κεντεῖ ξίφος, ὡς ὅρκου φύσις· οὐχ οὕτως ἀναιρεῖ μάχαιρα, ὡς ὅρκου πληγή. Ὁ ὀμόσας, ἂν δοκῇ ζῆν, ἤδη τετελεύτηκε, καὶ τὴν πληγὴν ἐδέξατο· καὶ καθάπερ ὁ τὸ σπαρτίον λαβών, καὶ πρὶν ἢ τὴν πόλιν ἐξελθεῖν, καὶ ἐπὶ τὸ βάραθρον ἐλθεῖν, καὶ δήμιον ἰδεῖν ἐφιστάμενον, τέθνηκεν ἅμα τῷ τὰς θύρας ἐξελθεῖν τοῦ δικαστηρίου, οὕτω καὶ ὁ ὀμόσας.

Ταῦτα λογιζώμεθα, καὶ μὴ ὁρκίζωμεν τοὺς ἀδελφούς. Τί ποιεῖς ἄνθρωπε, ἐπὶ τραπέζης ὁρκίζεις ἱερᾶς, καὶ ἔνθα ὁ Χριστὸς κεῖται τεθυμένος, ἐκεῖ τὸν ἀδελφὸν καταθύσεις τὸν σόν; Καὶ οἱ μὲν λῃσταὶ ἐπὶ τῶν ὁδῶν θύουσι, σὺ δὲ ἔμπροσθεν τῆς μητέρας τὸν υἱὸν καταθύσεις, ἐναγέστερον τοῦ Κάϊν ἐργαζόμενος φόνον; Ἐκεῖνος μὲν γὰρ ἔθυσε τὸν ἀδελφὸν αὐτοῦ ἐπὶ τῆς ἐρημίας, καὶ τὸν παρόντα θάνατον, σὺ δὲ θύεις τὸν ἀδελφὸν ἐν μέσῳ τῆς ἐκκλησίας, καὶ τὸν μέλλοντα θάνατον τὸν ἀθάνατον. Μὴ γὰρ ἐκκλησία διὰ τοῦτο γέγονεν, ἵνα ὀμνύωμεν; Διὰ τοῦτο γέγονεν, ἵνα εὐχώμεθα. Μὴ γὰρ τράπεζα διὰ τοῦτο ἕστηκεν, ἵνα ὁρκίζωμεν; Διὰ τοῦτο ἕστηκεν, ἵνα τὰ ἁμαρτήματα λύωμεν, οὐχ ἵνα δεσμῶμεν. Σὺ δὲ εἰ μηδὲν ἕτερον, αὐτὸ γοῦν τὸ βιβλίον αἰδέσθητι

δρεπάνι ὅμως ποὺ πέφτει εἰς τὸν τράχηλον ὡσὰν σχοινί, κανεὶς δὲν θὰ ἠμπορέσῃ νὰ διαφύγῃ· ὅταν μάλιστα ἔχει καὶ πτερά, ποία ἐλπίδα σωτηρίας ὑπάρχει;

Διὰ ποῖον λόγον καταστρέφει τοὺς λίθους καὶ τὰ ξύλα ἐκείνου ποὺ ὁρκίζεται; Διὰ νὰ γίνῃ εἰς τοὺς ἄλλους τὸ πάθημα αὐτὸ σωφρονισμός. Διότι ἐπειδὴ ὁ ὁρκιζόμενος ὅταν ἀποθάνῃ, κατ' ἀνάγκην θὰ εἶναι θαμμένος εἰς τὴν γῆν, ἡ οἰκία του, ἀφοῦ καταστραφῇ καὶ γίνῃ χῶμα εἰς τοὺς διαβάτας ὅλους καὶ εἰς ὅσους θὰ τὴν βλέπουν θὰ τοὺς συμβουλεύῃ διὰ τῆς ὄψεως νὰ μὴ τολμοῦν νὰ κάμουν τὰ ἴδια διὰ νὰ μὴ πάθουν τὰ αὐτά, καὶ θὰ εἶναι διαρκὴς κατήγορος τῆς ἁμαρτίας τοῦ ἀποθανόντος. Δὲν κεντᾷ τόσον τὸ ξίφος, ὅσον ἡ φύσις τοῦ ὅρκου· δὲν φονεύει τόσον ἡ μάχαιρα, ὅσον ἡ πληγὴ τοῦ ὅρκου. Ἐκεῖνος ποὺ ὡρκίσθη, ἀκόμα καὶ ἂν φαίνεται ὅτι ζῇ, ἤδη ἔχει ἀποθάνει, διότι ἐδέχθη τὴν θανατηφόρον πληγήν· καὶ ὅπως ἐκεῖνος ποὺ ἔβαλεν εἰς τὸν λαιμόν του τὸ σχοινὶ τῆς ἀγχόνης καὶ προτοῦ νὰ βγῇ ἔξω ἀπὸ τὴν πόλιν καὶ νὰ ἔλθῃ εἰς τὸ βάραθρον καὶ νὰ ἰδῇ τὸν δήμιον νὰ πλησιάζῃ ἀπέθανεν ἤδη μόλις ἐξῆλθεν ἀπὸ τὰς θύρας τοῦ δικαστηρίου, ἔτσι ἀκριβῶς καὶ ἐκεῖνος ποὺ ἔχει ὁρκισθῆ.

Αὐτὰ ἂς σκεπτώμεθα καὶ ἂς μὴ ἀναγκάζωμεν τοὺς ἀδελφούς μας νὰ ὁρκίζωνται. Τί κάνεις, ἄνθρωπε, τὸν ὁρκίζεις ἐπὶ τῆς ἱερᾶς τραπέζης, ἐκεῖ ποὺ κεῖται θυσιασμένος ὁ Χριστός, ἐκεῖ θυσιάζεις τὸν ἀδελφόν σου; Καὶ οἱ μὲν λῃσταὶ θυσιάζουν εἰς τοὺς δρόμους, σὺ δὲ ἐμπρὸς εἰς τὴν μητέρα θυσιάζεις τὸν υἱόν, καὶ κάμεις τὸν φόνον πιὸ ἀποτρόπαιον ἀπὸ τὸν φόνον τοῦ Κάϊν; Διότι ἐκεῖνος μὲν ἐθυσίασε τὸν ἀδελφόν του εἰς τὴν ἔρημον μὲ σωματικὸν θάνατον· σὺ δὲ θυσιάζεις τὸν ἀδελφόν σου εἰς τὸ μέσον τῆς ἐκκλησίας καὶ μάλιστα μὲ θάνατον αἰώνιον. Μήπως ἔγινεν ἡ ἐκκλησία διὰ νὰ ὁρκιζώμεθα; Δὲν ἔγινε διὰ τοῦτο, ἀλλὰ διὰ νὰ προσευχώμεθα. Μήπως ἡ τράπεζα εἶναι στημένη διὰ νὰ ὁρκιζώμεθα; εἶναι στημένη διὰ νὰ λύωμεν τὰς ἁμαρτίας καὶ ὄχι νὰ τὰς δένωμεν. Σὺ δὲ ἐὰν ὄχι τίποτε ἄλλο, αὐτὸ τὸ

ὃ προτείνεις εἰς ὅρκον, καὶ τὸ εὐαγγέλιον, ὃ μετὰ χεῖρας λαμβάνων κελεύεις ὀμνύναι, ἀνάπτυξον, καὶ ἀκούσας τί περὶ ὅρκων ὁ Χριστὸς ἐκεῖ διαλέγεται, φρίξον, καὶ ἀπόστηθι.

Τί οὖν ἐκεῖ περὶ ὅρκων φησίν; «Ἐγὼ δὲ λέγω ὑμῖν, μὴ ὀμόσαι ὅλως»· σὺ δὲ τὸν νόμον τὸν κωλύοντα ὀμνύναι, τοῦτον ὅρκον ποιεῖς; Ὢ τῆς ὕβρεως· ὢ τῆς παροινίας. Ταὐτὸν γὰρ ποιεῖς, ὥσπερ ἂν εἴ τις τὸν νομοθέτην τὸν κωλύοντα φονεύειν, αὐτὸν σύμμαχον κελεύοι γενέσθαι πρὸς τὴν σφαγήν. Οὐχ οὕτω στένω, καὶ δακρύω σφαζομένους ἀκούων τινὰς ἐν ταῖς ὁδοῖς, ὡς στένω, καὶ δακρύω, καὶ φρίττω, ἐπειδὰν ἴδω τινὰ πλησίον τῆς τραπέζης ταύτης ἐλθόντα, καὶ τὰς χεῖρας θέντα, καὶ τῶν εὐαγγελίων ἁψάμενον καὶ ὀμνύοντα. Περὶ χρημάτων ἀμφιβάλλεις, εἰπέ μοι, καὶ ψυχὴν ἀναιρεῖς; Τί τοσοῦτον κερδαίνεις, ὅσον ζημιοῖς τὴν ψυχήν σου, καὶ τὸν πλησίον; Εἰ μὲν πιστεύεις, ὅτι ἀληθής ἐστιν ὁ ἀνήρ, μὴ ἐπαγάγῃς τοῦ ὅρκου τὴν ἀνάγκην· εἰ δὲ οἶδας, ὅτι ψεύδεται, μὴ ἀναγκάσῃς ἐπιορκεῖν. Ἀλλ' ἵνα πληροφορηθῶ, φησίν· ὅταν μὲν οὖν μὴ ὁρκίσῃς, τότε ἱκανὴν δέξῃ πληροφορίαν. Νῦν μὲν γὰρ ἀναχωρήσας οἴκαδε κατεσθίῃ διηνεκῶς ὑπὸ τοῦ συνειδότος ταῦτα λογιζόμενος, ἆρα μὴ μάτην ὥρκισα; ἆρα μὴ ἐπιώρκησεν; ἆρα μὴ ἐγὼ τῆς ἁμαρτίας ἐγενόμην αἴτιος; Ἂν δὲ μὴ ὁρθώσῃς, ἀναχωρήσας οἴκαδε πολλὴν δέξῃ παραμυθίαν εὐχαριστῶν τῷ Θεῷ, καὶ λέγων, εὐλογητὸς ὁ Θεός, ὅτι κατέσχον ἐμαυτόν, καὶ οὐχ ὥρκωσα εἰκῇ, οὐδὲ μάτην. Οἰμωζέτω τὸ χρυσίον, ἀπολλύσθω τὸ χρήματα, ὥστε πληροφορίαν ἡμῖν τοῦτο ἐντίθησι μάλιστα, τὸ μὴ παραβῆναι τὸν νόμον, μηδὲ ἕτερον ἀναγκάσαι τοῦτο ποιῆσαι.

---

18. Ματθ. 5, 34.

βιβλίον πού προτείνεις διά ὅρκον νά ἐντραπῇς, καί τό Εὐαγγέλιον, τό ὁποῖον παίρνεις εἰς τά χέρια καί ἀναγκάζεις τόν ἄλλον νά ὁρκισθῇ, ἄνοιξέ το, καί ἀφοῦ μάθῃς τί λέγει ἐκεῖ διά τούς ὅρκους ὁ Χριστός, φρίξε καί ἀπομακρύνσου ἀπό ἐκεῖ.

Τί λέγει λοιπόν ἐκεῖ περί τῶν ὅρκων; «Ἐγώ δέ λέγω εἰς σᾶς νά μή ὁρκισθῆτε καθόλου»[18]· σύ ὅμως τόν νόμον πού ἐμποδίζει τόν ὅρκον τόν μεταχειρίζεσαι διά νά ὁρκίζῃς; Ὢ πόσον μεγάλη ὕβρις! Ὢ πόσον μεγάλη παραφροσύνη! Διότι κάμεις ἀκριβῶς τό ἴδιον ὅπως ἐάν κάποιος πού ζητεῖ ἕνα νομοθέτην, πού μέ τούς νόμους του ἀπαγορεύει τόν φόνον, νά γίνῃ σύμμαχός του εἰς τήν σφαγήν. Δέν ἀναστενάζω τόσον καί δέν δακρύζω ὅταν ἀκούω ὅτι μερικοί σφάζονται εἰς τούς δρόμους, ὅσον ἀναστενάζω καί δακρύζω καί φρίττω, ὅταν ἴδω κάποιον ὁ ὁποῖος πλησιάζει εἰς τήν τράπεζαν αὐτήν καί θέσῃ τά χέρια του καί ἀκουμπήσῃ τά εὐαγγέλια καί ὁρκισθῇ. Ἀμφιβάλλεις διά χρήματα καί φονεύεις τήν ψυχήν; Τί κερδίζεις ἀφοῦ ζημιώνεις τήν ψυχήν σου καί τόν πλησίον; Ἐάν μέν πιστεύῃς ὅτι ὁ ἄνθρωπος εἶναι φιλαλήθης, μή τόν ἀναγκάσῃς νά ὁρκισθῇ· ἐάν πάλιν γνωρίζῃς ὅτι ψεύδεται, μή τόν ἀναγκάσῃς νά ἐπιορκήσῃ. Ἀλλά, λέγει κάποιος, τόν ὁρκίζω διά νά πεισθῶ τελείως· ὅταν ὅμως δέν τόν ὁρκίσῃς, τότε θά πεισθῇς τελείως. Διότι τώρα ἀφοῦ ἀναχωρήσῃς εἰς τήν οἰκίαν σου θά σέ κατατρώγῃ ἡ συνείδησίς του σκεπτόμενος ὅτι, μήπως τόν ὥρκισα μάταια; Μήπως ἔγινεν ἐπίορκος; Μήπως ἔγινα ἐγώ αἴτιος τῆς ἁμαρτίας; Ἄν δέ δέν τόν ὁρκίσῃς, ὅταν θά ἐπιστρέψῃς εἰς τήν οἰκίαν σου θά εἶσαι πολύ ἥσυχος καί θά εὐχαριστῇς τόν Θεόν καί θά λέγῃς, ἄς εἶναι εὐλογητός ὁ Θεός, διότι συνεκράτησα τόν ἑαυτόν μου καί δέν ἐπέβαλα ἄσκοπα ὅρκον καί χωρίς λόγον. Ἄς κλαίῃ ὁ χρυσός, ἄς χαθοῦν τά χρήματα καί ἐκεῖνο πού θά μᾶς δίδῃ πλήρη βεβαιότητα διά τάς μαρτυρίας τῶν ἄλλων εἶναι τό νά μή παραβῶμεν τόν νόμον, οὔτε ἄλλον νά ἀναγκάσωμεν νά τόν παραβῇ.

Ἐννόησαι διὰ τίνα οὐχ ὥρκωσας, καὶ ἀρκέσει σοι τοῦτο εἰς παραμυθίαν καὶ παράκλησιν. Πολλάκις γοῦν μάχης γινομένης ὑβριζόμενοι φέρομεν γενναίως, καὶ πρὸς τὸν ὑβρίζοντα λέγομεν, τί σοι ποιήσω; Ὁ δεῖνά με ἐλοιδόρησεν, ὁ προστάτης ὁ σός, ἐκεῖνός μου κατέχει τὰς χεῖρας· καὶ ἀρκεῖ τοῦτο ἡμῖν εἰς παραμυθίαν. Οὕτω καὶ ἐπειδὰν μέλλῃς τινὰ ὁρκίζειν, ἐπίσχες σαυτὸν καὶ κώλυσον, καὶ εἰπὲ πρὸς τὸν μέλλοντα ὀμνύναι· τί σοι ποιήσω; Ὁ Θεὸς ἐκέλευσε μὴ ὁρκίζειν· ἐκεῖνός με κατέχει νῦν. Ἀρκεῖ τοῦτο καὶ εἰς τιμὴν τοῦ νομοθετήσαντος, καὶ εἰς ἀσφάλειαν σήν, καὶ εἰς φόβον τοῦ μέλλοντος ὀμνύναι. Ὅταν γὰρ ἐκεῖνος ἴδῃ, ὅτι ὁρκῶσαι ἑτέρους οὕτω δεδοίκαμεν, πολλῷ μᾶλλον αὐτὸς ὀμόσαι προπετῶς φοβηθήσεται· ἂν τοῦτο τὸ ῥῆμα φθέγξῃ, μετὰ πολλῆς οἴκαδε ἀναχωρήσεις τῆς πληροφορίας.

Ἄκουσον γοῦν τοῦ Θεοῦ ἐν ταῖς ἐντολαῖς, ἵνα καὶ αὐτὸς ἀκούσῃ σοῦ ἐν ταῖς προσευχαῖς. Τοῦτο τὸ ῥῆμα ἐγγραφήσεται ἄνω, καὶ παραστήσεταί σοι ἐν τῇ ἡμέρᾳ τῆς κρίσεως, καὶ πολλὰς ἁμαρτίας διαλύσεται. Καὶ τοῦτο μὴ ἐπὶ τοῦ ὅρκου μόνον, ἀλλὰ καὶ ἐπὶ πάντων τῶν πραγμάτων λογιζώμεθα, καὶ ὅταν μέλλωμέν τι διὰ Θεὸν ποιεῖν ἀγαθόν, εἶτα φέρῃ ζημίαν τινά, μὴ τὴν ζημίαν τὴν ἐκ τοῦ πράγματος βλέπωμεν μόνον, ἀλλὰ καὶ τὸ κέρδος, ὃ καρπωσόμεθα ἐκ τοῦ διὰ τὸν Θεὸν ποιῆσαι. Οἷόν τι λέγω· ὕβρισέ σέ τις; Φέρε γανναίως· οἴσεις δὲ γενναίως, ἂν μὴ τὴν ὕβριν ἐννοήσῃς μόνον, ἀλλὰ καὶ τὸ ἀξίωμα τοῦ κελεύοντος φέρειν,

Σκέψου πρὸς χάριν ποίου δὲν ἐπέβαλες ὅρκον καὶ θὰ σοῦ εἶναι τοῦτο ἀρκετὸν νὰ σοῦ δώσῃ παρηγορίαν καὶ ἀνακούφισιν. Πολλάκις, ὅταν γίνῃ λογομαχία καὶ ὑβρισθῶμεν, ὑποφέρομεν μὲ γενναιότητα τὰς ὕβρεις καὶ λέγομεν εἰς τὸν ὑβριστήν, τί νὰ σοῦ κάμω; Ὁ τάδε ποὺ εἶναι προστάτης σου μὲ ἐμποδίζει νὰ σὲ δείρω, αὐτὸς μοῦ κρατᾷ τὰ χέρια· καὶ τοῦτο εἶναι ἀρκετὸν διὰ νὰ μᾶς καθησυχάσῃ. Ἔτσι καὶ ὅταν πρόκειται νὰ ὁρκίσῃς, συγκράτησε τὸν ἑαυτόν σου καὶ ἠμπόδισέ τον, καὶ εἰπὲ πρὸς αὐτὸν ποὺ ἐπρόκειτο νὰ ὁρκίσῃς· Τί νὰ σοῦ κάμω; ὁ Θεὸς διέταξε νὰ μὴ ὁρκίζωμεν κανένα· ἐκεῖνος μὲ κρατάει τώρα. Τοῦτο εἶναι ἀρκετὸν καὶ τὸν νομοθέτην νὰ τιμήσῃ, καὶ σὲ νὰ ἀσφαλίσῃ, καὶ ἐκεῖνον ποὺ πρόκειται εἰς τὸ μέλλον νὰ ὁρκισθῇ νὰ τὸν φοβήσῃ. Διότι ὅταν ἐκεῖνος ἰδῇ ὅτι τόσον πολὺ φοβούμεθα νὰ ὁρκίσωμεν ἄλλους, πολὺ περισσότερον ὁ ἴδιος θὰ φοβηθῇ προκειμένου νὰ ὁρκισθῇ ἀπερίσκεπτα· ἂν αὐτὸν τὸν λόγον εἴπῃς θὰ ὑπάγῃς εἰς τὴν οἰκίαν σου μὲ πολλὴν σταθερότητα καὶ ψυχικὴν ἠρεμίαν.

Ἄκουσε λοιπὸν τὸν Θεὸν εἰς τὰς ἐντολάς του, διὰ νὰ σὲ ἀκούσῃ καὶ ἐκεῖνος εἰς τὰς προσευχάς σου. Αὐτὸ τὸ ρητὸν θὰ γραφῇ εἰς τὸν οὐρανόν, καὶ θὰ σοῦ παρασταθῇ κατὰ τὴν ἡμέραν τῆς κρίσεως, καὶ θὰ διαλύσῃ πολλὰς ἁμαρτίας. Καὶ τοῦτο δὲν ἰσχύει μόνον διὰ τὸν ὅρκον, ἀλλὰ καὶ ἐπὶ ὅλων τῶν πραγμάτων πρέπει νὰ σκεπτώμεθα, καὶ ὅταν πρόκειται νὰ κάμωμεν κάτι καλὸν διὰ τὸν Θεόν, τὸ ὁποῖον κατόπιν θὰ μᾶς προξενήσῃ ζημίαν ὑλικήν, νὰ μὴ βλέπωμεν μόνον τὴν ζημίαν, ἀλλὰ καὶ τὸ κέρδος, τὸ ὁποῖον θὰ ἀπολαύσωμεν, ἐπειδὴ ἐκάμαμεν τοῦτο χάριν τοῦ Θεοῦ. Ἐννοῶ τὰ ἑξῆς μὲ ὅσα λέγω· σὲ ὕβρισε κάποιος; Νὰ ὑπομείνῃς τοῦτο μὲ γενναιότητα· θὰ τὸ ὑπομείνῃς δὲ γενναίως, ἂν δὲν ὑπολογίσῃς μόνον τὴν ὕβριν, ἀλλὰ καὶ τὸ ἀξίωμα ἐκείνου ποὺ σὲ διατάσσει νὰ ὑποφέρῃς τοῦτο μὲ πραότητα. Ἔκαμες ἐλεημοσύνην; Μὴ σκέπτεσαι τὴν δαπάνην, ἀλλὰ καὶ τὸ κέρδος ποὺ προέρχεται ἀπὸ τὴν δαπάνην. Ἔπαθες χρηματικὴν ζη-

καὶ οἴσῃ πρᾴως. Ἔδωκας ἐλεημοσύνην; Μὴ τὴν δαπάνην ἐννόει, ἀλλὰ καὶ τὴν πρόσοδον τὴν ἀπὸ τῆς δαπάνης. Ἐζημιώθης χρήματα; Εὐχαρίστησον, καὶ μὴ τὴν ὀδύνην τὴν ἀπὸ τῆς ζημίας ἴδῃς μόνον, ἀλλὰ καὶ τὸ κέρδος τὸ ἀπὸ τῆς εὐχαριστίας.

Ἂν οὕτως ἑαυτοὺς ρυθμίζωμεν, οὐδὲν ἡμᾶς λυπήσει τῶν ἐμπιπτόντων δεινῶν, ἀλλὰ καὶ κερδανοῦμεν ἀπὸ τῶν δοκούντων εἶναι λυπηρῶν, καὶ ζημία πλούτου, καὶ λύπη ἡδονῆς καὶ εὐφροσύνης, καὶ ὕβρις τιμῆς ἡδίων ἔσται καὶ ποθεινοτέρα, καὶ τὰ ἐναντία πάντα εἰς κέρδος ἡμῖν ἀποβήσεται· καὶ ἐνταῦθα πολλῆς ἀπολαυσόμεθα τῆς γαλήνης, κἀκεῖ τῆς βασιλείας τῶν οὐρανῶν ἐπιτευξόμεθα· ἧς γένοιτο πάντας ἡμᾶς ἀξιωθῆναι, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, δι᾿ οὗ καὶ μεθ᾿ οὗ τῷ Πατρί, ἅμα τῷ ἁγίῳ Πνεύματι δόξα, κράτος, τιμή, νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων· Ἀμήν.

μίαν; Εὐχαρίστησε τὸν Θεόν, καὶ μὴ βλέπῃς μόνον τὴν λύπην ποὺ προέρχεται ἀπὸ τὴν χρηματικὴν ζημίαν, ἀλλὰ καὶ τὸ κέρδος ποὺ φέρει ἡ εὐχαριστία ποὺ ἔκαμες πρὸς τὸν Θεὸν διὰ τὴν ζημίαν ποὺ ἔπαθες.

Ἂν ἔτσι τοὺς ἑαυτούς μας κανονίζωμεν, τίποτε ἀπὸ τὰ κακὰ ποὺ μᾶς συμβαίνουν δὲν θὰ μᾶς λυπήσῃ, ἀλλὰ καὶ κέρδος θὰ ἔχωμεν ἀπὸ αὐτὰ ποὺ φαίνονται ὅτι εἶναι λυπηρὰ καὶ ἡ ζημία ἀπὸ τὸν πλοῦτον, καὶ ἡ λύπη ἀπὸ τὴν ἡδονὴν καὶ τὴν εὐφροσύνην, καὶ ἡ ὕβρις ἀπὸ τὴν τιμὴν θὰ εἶναι περισσότερον εὐχάριστα καὶ ἐπιθυμητά, καὶ ὅλα τὰ ἀντίθετα θὰ μᾶς ἀποβοῦν εἰς ὠφέλειαν· καὶ ἐδῶ θὰ ἀπολαύσωμεν πολλὴν γαλήνην καὶ ἐκεῖ θὰ ἐπιτύχωμεν τῆς βασιλείας τοῦ Θεοῦ· τῆς ὁποίας εἴθε ὅλοι νὰ ἀξιωθῶμεν, διὰ τῆς χάριτος καὶ φιλανθρωπίας τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, διὰ τοῦ ὁποίου καὶ μετὰ τοῦ ὁποίου εἰς τὸν Πατέρα συγχρόνως δὲ καὶ εἰς τὸ ἅγιον Πνεῦμα ἂς εἶναι δόξα, κράτος, τιμὴ καὶ τώρα καὶ πάντοτε καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ΟΜΙΛΙΑ ΔΕΚΑΤΗ ΕΚΤΗ

ΦΗΜΙΣΘΕΙΣΗΣ ΕΙΣ ΤΟΝ ΑΡΧΟΝΤΑ ΠΡΑΙΔΑΣ, *καὶ πάντων περὶ φυγῆς βουλευομένων, τοῦ ἄρχοντος εἰσελθόντος εἰς τὴν ἐκκλησίαν καὶ παρακαλέσαντος, ἐλέχθη ἡ παροῦσα ὁμιλία· καὶ περὶ τοῦ μὴ ὀμνύναι· καὶ εἰς τὸ ῥητὸν τοῦ ἀποστόλου, «Παῦλος δέσμιος Ἰησοῦ Χριστοῦ».*

1. Τὸν ἄρχοντα μὲν ἐπήνεσα τῆς κηδεμονίας, ὅτι τεθορυβημένην τὴν πόλιν ἰδών, καὶ πάντας περὶ φυγῆς βουλευομένους, εἰσελθὼν παρεκάλεσέ τε ὑμᾶς, καὶ εἰς χρηστὰς ἤγαγεν ἐλπίδας· ὑπὲρ ὑμῶν δὲ ᾐσχύνθην καὶ ἠρυθρίασα, ὅτι τῆς ἔξωθεν ἐδεήθητε παρακλήσεως μετὰ τοὺς πολλοὺς καὶ μακροὺς λόγους ἐκείνους. Ηὐξάμην διαστῆναί μοι τὴν γῆν καὶ καταδῦναι, ὅτε ἤκουον αὐτοῦ πρὸς ὑμᾶς διαλεγομένου, καὶ νῦν μὲν παρακαλουμένου, νῦν δὲ αἰτιωμένου τὴν ἄκαιρον ταύτην καὶ ἄλογον δειλίαν. Οὐ γὰρ ὑμᾶς παρ᾽ ἐκείνου διδάσκεσθαι ἔδει, ἀλλ᾽ ὑμᾶς τοῖς ἀπίστοις ἅπασι γίνεσθαι διδασκάλους. Οὐδὲ δικάζεσθαι παρὰ τοῖς ἀπίστοις ὁ Παῦλος ἐπέτρεψε· σὺ δὲ διδασκάλων τῶν ἔξωθεν ἐδεήθης μετὰ τὴν τοσαύτην πατέρων παραίνεσιν, καὶ δραπέται καὶ μαστιγίαι τινὲς πόλιν τοσαύτην ἀνεπτέρωσαν, καὶ εἰς φυγὴν ἐνέβαλον.

Ποίοις ὀφθαλμοῖς ἀντιβλέψομεν λοιπὸν τοὺς ἀπίστους, οὕτω ψοφοδεεῖς ὄντες καὶ δειλοί; Ποίᾳ γλώττῃ πρὸς αὐτοὺς διαλεξόμεθα, καὶ πείσομεν θαρρεῖν ὑπὲρ τῶν ἐπιόντων δεινῶν, λαγωοῦ παντὸς δειλότεροι διὰ τῆς ἀγωνίας

---

1. Φιλήμ. 1.
2. Πρβλ. Α' Κορ. 6, 1.

ΟΜΙΛΙΑ ΔΕΚΑΤΗ ΕΚΤΗ

ΟΤΑΝ ΔΙΕΔΟΘΗ ΕΙΣ ΤΟΝ ΑΡΧΟΝΤΑ

ὅτι θὰ γίνουν λεηλασίαι καὶ ἐσκέπτοντο ὅλοι νὰ φύγουν καὶ εἰσῆλθεν εἰς τὴν ἐκκλησίαν καὶ κατὰ παράκλησίν του ἐλέχθη ἡ παροῦσα ὁμιλία· καὶ περὶ τοῦ νὰ μὴ ὁρκιζώμεθα· καὶ εἰς τὸ ρητὸν τοῦ ἀποστόλου Παύλου «Παῦλος δέσμιος καὶ φυλακισμένος διὰ τὸν Ἰησοῦν Χριστόν»[1].

1. Τὸν μὲν ἄρχοντα ἐπήνεσα διὰ τὴν φροντίδα του, διότι ἐπειδὴ εἶδε τὴν πόλιν ἀναστατωμένην καὶ ὅλοι νὰ σκέπτωνται νὰ τὴν ἐγκαταλείψουν, εἰσῆλθεν εἰς τὴν ἐκκλησίαν καὶ σᾶς ἐπαρηγόρησε καὶ σᾶς ἔκαμε νὰ ἐλπίζετε εὐχάριστα πράγματα· ὅμως ᾐσθάνθην ἐντροπὴν καὶ ἐκοκκίνησα δι' ἐσᾶς, διότι ἐχρειάσθητε παρηγορίαν προερχομένην ἀπὸ ἀνθρώπους ἔξω ἀπὸ τὴν ἐκκλησίαν, ὕστερα μάλιστα καὶ ἀπὸ τοὺς πολλοὺς καὶ μεγάλους ἐκείνους λόγους. Ἐπροτιμοῦσα νὰ ἀνοίξῃ ἡ γῆ καὶ νὰ μὲ καταπίῃ, καθ' ὃν χρόνον ἤκουον αὐτὸν νὰ σᾶς ὁμιλῇ, καὶ ἄλλοτε μὲν νὰ σᾶς παρηγορῇ, ἄλλοτε δὲ νὰ σᾶς ἐλέγχῃ διὰ τὴν παράκαιρον καὶ παράλογον αὐτὴν δειλίαν σας. Διότι δὲν ἔπρεπε σεῖς νὰ διδάσκεσθε ἀπὸ ἐκεῖνον, ἀλλὰ σεῖς νὰ γίνετε διδάσκαλοι εἰς ὅλους τοὺς ἀπίστους. Ὁ Παῦλος δὲν ἐπέτρεψεν οὔτε νὰ δικάζωνται ἀπὸ τοὺς ἀπίστους οἱ χριστιανοί[2]· σὺ δὲ ἐχρειάσθης διδασκαλίαν ἀπίστων μετὰ ἀπὸ τόσην παραίνεσιν τῶν πατέρων, καὶ μερικοὶ δραπέται ἀχρεῖοι ἀνεστάτωσαν τόσον τὴν πόλιν καὶ σᾶς ἔκαμαν νὰ σκέπτεσθε περὶ φυγῆς.

Πῶς λοιπὸν θὰ ἀντικρύσωμεν τοὺς ἀπίστους, ἀφοῦ εἴμεθα τόσον φοβητσιάρηδες καὶ δειλοί; Μὲ ποίαν γλῶσσαν θὰ ὁμιλήσωμεν πρὸς αὐτοὺς καὶ θὰ τοὺς πείσωμεν νὰ ἔχουν θάρρος διὰ τὰ ἐπερχόμενα κακά, ἀφοῦ εἴμεθα δειλότεροι ἀπὸ τὸν λαγὸν μὲ τὴν ἀγωνίαν αὐτὴν ποὺ ἐδείξαμεν; Καὶ

γινόμενοι ταύτης; Καὶ τί πάθωμεν, φησίν; Ἄνθρωποι γάρ ἐσμεν. Δι' αὐτὸ μὲν οὖν τοῦτο οὐ χρὴ θορυβεῖσθαι, ἐπειδὴ ἄνθρωποί ἐσμεν, καὶ οὐκ ἄλογα. Ἐκεῖνα ἀπὸ ψόφων καὶ κτύπων ἅπαντα σοβεῖται· οὐ γὰρ ἔχει λογισμὸν τὸν δυνάμενον ἀποκρούσασθαι τὸ δέος· σὺ δὲ λόγῳ καὶ λογισμῷ τετιμημένος, πῶς εἰς τὴν ἐκείνων καταπίπτεις δυσγένειαν; Εἰσῆλθέ τις, ἀπήγγειλεν ἔφοδον στρατιωτῶν; Μὴ θορυβηθῇς, ἀλλ' ἀφεὶς αὐτόν, κλῖνον τὰ γόνατα, τὸν Δεσπότην σου παρακάλεσον, στέναξον πικρόν, καὶ ἀποκρούσεται τὸ δεινόν. Σὺ μὲν στρατιωτῶν ἔφοδον ἀκούσας οὐκ ἀληθῆ, καὶ τῆς ζωῆς ἐκινδύνευσας ἀπορραγῆναι τῆς παρούσης· ὁ δὲ μακάριος Ἰὼβ ἐκεῖνος ἐπαλλήλων ἀγγέλων ἐρχομένων, καὶ τὰ δεινὰ ἀπαγγελλόντων ἀκούων, καὶ προσθέντων τὴν ἀφόρητον τῶν παίδων ἀπώλειαν, οὐκ ἀνῴμωξεν, οὐκ ἐστέναξεν, ἀλλ' ἐπὶ προσευχὴν ἐτρέπετο, καὶ ηὐχαρίστει τῷ Δεσπότῃ. Τοῦτον καὶ σὺ μίμησαι· ὅταν ἐλθών τις ἀπαγγείλῃ ὅτι στρατιῶται τὴν πόλιν ἐκύκλωσαν, καὶ τὰς οὐσίας διαρπάζειν μέλλουσι, πρὸς τὸν Δεσπότην σου κατάφυγε, καὶ εἰπέ· «Ὁ Κύριος ἔδωκεν, ὁ Κύριος ἀφείλατο· ὡς τῷ Κυρίῳ ἔδοξεν, οὕτω καὶ ἐγένετο· εἴη τὸ ὄνομα Κυρίου εὐλογημένον εἰς τοὺς αἰῶνας».

Ἐκεῖνον οὐκ ἐφόβησεν ἡ πεῖρα τῶν πραγμάτων, σὲ καὶ ἡ ἀκοὴ μόνη πτοεῖ; Καὶ τίνος ἂν εἴημεν ἄξιοι λόγου, οἳ καὶ θανάτου κατατολμᾶν κελευσθέντες, καὶ ὑπὸ φήμης ψευδοῦς οὕτω πτοούμενοι; Ὁ θορυβούμενος καὶ τὸν οὐκ ὄντα φόβον συνίστησι καὶ ταραχὴν τὴν μὴ φαινομένην, ὁ δὲ ἐν καταστάσει καὶ γαλήνῃ ψυχῆς ὢν καὶ τὸν ὄντα διαλύει. Οὐχ ὁρᾷς τοὺς κυβερνήτας, ὅτι τῆς θαλάσσης μαινομένης, νεφῶν συντρεχόντων, βροντῶν καταρρηγνυμένων, πάντων τῶν ἐπὶ τοῦ πλοίου θορυβουμένων, ἐπὶ τῶν οἰάκων αὐτοὶ

---

3. Ἰὼβ 1, 21.

τί νὰ κάμωμεν, λέγει; Διότι εἴμεθα ἄνθρωποι. Ἀκριβῶς λοιπὸν δι' αὐτὸ δὲν πρέπει νὰ ἀνησυχῶμεν ἐπειδὴ εἴμεθα ἄνθρωποι καὶ ὄχι ἄλογα ζῶα. Ἐκεῖνα ὅλα φοβοῦνται ἀπὸ κρότους καὶ θορύβους· διότι δὲν ἔχουν λογικὸν ποὺ ἠμπορεῖ νὰ ἀποκρούσῃ τὸν φόβον· σὺ ὅμως ποὺ ἔχεις τιμηθῆ μὲ λόγον καὶ λογικὸν πῶς ὑποπίπτεις εἰς τὸ γένος ἐκείνων; Ἦλθε κάποιος καὶ σᾶς ἀνήγγειλεν ἔφοδον στρατιωτῶν; Μὴ τὰ χάσῃς, ἀλλὰ ἀφοῦ ἀφήσῃς ἐκεῖνον, γονάτισε, παρακάλεσε τὸν Δεσπότην σου, στέναξε πικρὰ καὶ θὰ ἀποκρούσῃς τὸ κακόν. Σὺ δὲ ποὺ ἤκουσες μόνον, ψευδῶς, ὅτι θὰ γίνῃ ἔφοδος στρατιωτῶν, ἐκινδύνευσες νὰ χάσῃς καὶ τὴν ζωήν σου· ὁ δὲ μακάριος ἐκεῖνος Ἰώβ, ὁ ὁποῖος ἐπληροφορεῖτο ἀπὸ ἀλλεπαλλήλους ἐπισκέψεις ἀγγέλων τὰ διάφορα κακὰ ποὺ τοῦ συνέβησαν καὶ ἐπὶ πλέον τοῦ ἀνέφεραν τὸν ἀνυπόφορον χαμὸν τῶν παιδιῶν του, δὲν ἐθρήνησε, δὲν ἀνεστέναξε, ἀλλὰ κατέφυγεν εἰς τὴν προσευχὴν καὶ ηὐχαρίστησε τὸν Θεόν. Αὐτὸν νὰ μιμηθῇς καὶ σύ· ὅταν ἔλθῃ κανεὶς καὶ σοῦ ἀναγγείλῃ ὅτι στρατιῶται ἐκύκλωσαν τὴν πόλιν καὶ πρόκειται νὰ διαρπάξουν τὰς περιουσίας, νὰ καταφύγῃς πρὸς τὸν Δεσπότην σου καὶ νὰ τοῦ εἰπῇς· «Ὁ Κύριος ἔδωκεν, ὁ Κύριος ἀφῄρεσεν· ὅπως ἐφάνη καλὸν εἰς τὸν Κύριον, ἔτσι καὶ ἔγινεν· ἂς εἶναι τὸ ὄνομα Κυρίου εὐλογημένον αἰωνίως»[3].

Ἐκεῖνος δὲν ἐφοβήθη ὅταν ἔμαθε τὰ κακὰ ποὺ τοῦ συνέβησαν, σὲ καὶ μόνον ἡ ἀκοὴ αὐτῶν σὲ φοβίζει; Καὶ πῶς θὰ εἴμεθα ἄξιοι τοῦ ὀνόματός μας ὅταν, ἐνῷ ἔχομεν ἐντολὴν νὰ περιφρονῶμεν καὶ αὐτὸν τὸν θάνατον, ὅμως ἡμεῖς φοβούμεθα τόσον ἀπὸ φήμην ψευδῆ; Ἐκεῖνος ποὺ θορυβεῖται βάζει ἐντός του καὶ φόβον ἀνύπαρκτον καὶ ταραχήν, αὐτὸς ὅμως ποὺ εὑρίσκεται εἰς γαλήνην ψυχικὴν καὶ ἐκεῖνον τὸν φόβον ποὺ ὑπάρχει τὸν διαλύει. Δὲν βλέπεις τοὺς κυβερνήτας τῶν πλοίων ὅτι ἐνῷ μαίνεται ἡ θάλασσα καὶ ὑπάρχουν σύννεφα εἰς τὸν οὐρανόν, καὶ ξεσποῦν βρονταὶ καὶ ὅλοι ὅσοι εὑρίσκονται ἐπάνω εἰς τὸ πλοῖον θορυβοῦνται, αὐτοὶ κάθονται εἰς τὸ τιμόνι, χωρὶς φόβον καὶ ταραχήν,

κάθηνται, χωρὶς θορύβου καὶ ταραχῆς τῇ τέχνῃ τῇ ἑαυτῶν προσέχοντες, καὶ σκοποῦντες, ὅπως τὸν ἐπιόντα διακρούσωνται χειμῶνα; Τούτους καὶ σὺ μίμησαι, καὶ τῆς ἱερᾶς ἀγκύρας ἐπιλαβόμενος, τῆς εἰς τὸν Θεὸν ἐλπίδος, ἄσειστος μένε καὶ ἀπερίτρεπτος. «Πᾶς ὅστις ἀκούει μου τοὺς λόγους τούτους», φησί, «καὶ οὐ ποιεῖ αὐτούς, ὁμοιωθήσεται ἀνδρὶ μωρῷ, ὅστις ᾠκοδόμησεν αὐτοῦ τὴν οἰκίαν ἐπὶ τὴν ἄμμον, καὶ κατέβη ἡ βροχή, καὶ ἦλθον οἱ ποταμοί, καὶ ἔπνευσαν οἱ ἄνεμοι, καὶ προσέρρηξαν τῇ οἰκίᾳ ἐκείνῃ, καὶ κατέπεσε, καὶ ἦν ἡ πτῶσις αὐτῆς μεγάλη».

Ὁρᾷς ὅτι ἀνοίας ἐστὶ τὸ προκαταπίπτειν καὶ περιτρέπεσθαι; Μᾶλλον δὲ ἡμεῖς οὐδὲ κατὰ τὸν μωρὸν ἐκεῖνον ἐγενόμεθα, ἀλλὰ καὶ ἐκείνου ἀθλιώτερον κατεπέσομεν. Ἐκείνου μὲν γὰρ ἡ οἰκία μετὰ ποταμούς, μετὰ τὸ κατενεχθῆναι τὸν ὑετόν, μετὰ τὸ προσπεσεῖν τοὺς ἀνέμους κατέπεσεν· ἡμεῖς δὲ οὐκ ἀνέμων ἐνεχθέντων, οὐ ποταμῶν προσρηξάντων, οὐ πνευμάτων προσβαλόντων, πρὸ τῆς πείρας τῶν δεινῶν ἀπὸ τῆς ἀκοῆς μόνης περιετράπημεν, καὶ πάντα, ἅπερ ἐφιλοσοφοῦμεν, ἐξεχέαμεν. Ποίαν οἴεσθέ μοι τὴν διάνοιαν εἶναι νῦν; πῶς ἐγκαλύπτεσθαι; πῶς καταδύεσθαι; πῶς ἐρυθριᾶν; Εἰ μὴ πολλὴν παρὰ τῶν πατέρων ὑπέστην ἀνάγκην, οὐδ' ἂν ἀνέστην, οὐδ' ἂν διελέχθην ὑπὸ τῆς ἀθυμίας σκοτωθεὶς τῆς ἐπὶ τῇ μικροψυχίᾳ τῇ ὑμετέρα· ἀλλ' οὐδὲ νῦν δεδύνημαι εἰς ἐμαυτὸν ἐπανελθεῖν· οὕτω μοι θυμὸς καὶ ἀθυμία πολιορκεῖ τὴν ψυχήν. Τίς γὰρ οὐκ ἂν ἀγανακτήσειε, τίς οὐκ ἂν δυσχεράνειεν, ὅταν μετὰ τοσαύτην διδασκαλίαν, Ἑλλήνων δέησθε διδασκάλων εἰς τὸ παρακληθῆναι καὶ πεισθῆναι γενναίως ἐνεγκεῖν τὸν παρόντα φόβον; Εὔξασθε τοίνυν δοθῆναι λόγον ἡμῖν ἐν ἀνοίξει τοῦ στόματος ἡμῶν, δυνηθῆνα τε τὴν ἀθυ-

4. Ματθ. 7, 26-27.

προσηλωμένοι εἰς τὴν τέχνην των καὶ σκεπτόμενοι πῶς νὰ ἀντιμετωπίσουν τὴν ἐπερχομένην θύελλαν; Αὐτοὺς καὶ σὺ νὰ μιμηθῇς, καὶ ἀφοῦ πιασθῇς ἀπὸ τὴν ἱερὰν ἄγκυραν, δηλαδὴ ἀπὸ τὴν πρὸς τὸν Θεὸν ἐλπίδα, νὰ μείνῃς ἄσειστος καὶ ἀμετακίνητος. «Καθένας λοιπὸν ποὺ ἀκούει τοὺς λόγους μου αὐτούς», λέγει, «καὶ δὲν τοὺς ἐκτελεῖ, θὰ εἶναι ὅμοιος πρὸς ἄνθρωπον ἀνόητον, ποὺ ἔκτισε τὸ σπίτι του, ὄχι εἰς στερεὸν θεμέλιον, ἀλλ' ἐπάνω εἰς τὴν ἄμμον, καὶ κατέβη ἡ βροχὴ καὶ ἦλθαν τὰ ποτάμια ποὺ σχηματίζονται ἀπὸ τὴν βροχήν, καὶ ἐφύσηξαν οἱ ἄνεμοι καὶ ἐκτύπησαν εἰς τὸ σπίτι ἐκεῖνο καὶ ἔπεσε, καὶ ἦτο ἡ πτῶσις του ὁλοκληρωτικὴ καὶ πλήρης»[4].

Βλέπεις λοιπὸν ὅτι τὸ νὰ καταπίπτωμεν καὶ νὰ ἀποθαρροῦμεν εἶναι ἀποτέλεσμα τῆς ἀνοησίας μας; Μᾶλλον δὲ ἡμεῖς οὔτε μὲ τὸν ἀνόητον ἐκεῖνον ὁμοιάζομεν, ἀλλὰ τὸν ἔχομεν περάσει εἰς τὴν ἀνοησίαν καὶ τὴν ζημίαν. Διότι ἡ οἰκία ἐκείνου κατέπεσεν, ἀφοῦ ἦλθαν οἱ ποταμοί, ἡ βροχὴ καὶ οἱ δυνατοὶ ἄνεμοι· ἡμεῖς ὅμως χωρὶς νὰ ἐπέλθουν ἄνεμοι, χωρὶς νὰ μᾶς κτυπήσουν τὰ ποτάμια τῆς βροχῆς καὶ νὰ μᾶς φυσήξουν οἱ ἄνεμοι, πρὶν λάβωμεν πεῖραν τῶν κακῶν, μόνον ποὺ ἐπληροφορήθημεν αὐτὰ ἔχομεν ἀναστατωθῆ καὶ ἐλησμονήσαμεν ὅλα ὅσα ἐφιλοσοφούσαμεν. Εἰς ποίαν κατάστασιν νομίζετε ὅτι εὑρίσκεται τώρα ἡ ψυχή μου; Πῶς νὰ μὴ καλύπτω ἀπὸ ἐντροπὴν τὸν πρόσωπόν μου; Πῶς νὰ μὴ κρύπτωμαι; Πῶς νὰ μὴ κοκκινίζω; Ἐὰν δὲν ἠναγκαζόμην πολὺ ἀπὸ τοὺς πατέρας, οὔτε θὰ ἐσηκωνόμουν, οὔτε θὰ σᾶς ὡμιλοῦσα, διότι ἡ μικροψυχία σας μὲ ἐσκότισε τὴν διάνοιαν· ὅμως οὔτε καὶ τώρα ἠμπορῶ νὰ συνέλθω· τόσος θυμὸς καὶ ἀγανάκτησις κυριεύει τὴν ψυχήν μου. Διότι ποῖος δὲν θὰ ἀγανακτήσῃ, ποῖος δὲν θὰ στενοχωρηθῇ ὅταν ὕστερα ἀπὸ τόσην διδασκαλίαν, ἔχετε ἀνάγκην ἐθνικῶν διδασκάλων διὰ νὰ παρηγορηθῆτε καὶ πεισθῆτε ὅτι μὲ γενναιότητα πρέπει νὰ ὑποφέρετε τὸν παρόντα φόβον; Εὐχηθῆτε λοιπὸν νὰ μοῦ δοθοῦν λόγια κατάλληλα ἀπὸ τὸν Θεόν, ὅταν θὰ σᾶς ὁμιλήσω, καὶ νὰ ἠμπορέσουν καὶ τὴν λύπην αὐτὴν νὰ ἀπομα-

μίαν ἡμᾶς ἀποτινάξασθαι ταύτην, καὶ μικρὸν ἀναστῆναι. Καὶ γὰρ σφόδρα κατέβαλεν ἡμῶν τὴν ψυχὴν ἡ ὑπὲρ τῆς ὑμετέρας μικροψυχίας αἰσχύνη.

2. Πολλὰ πρώην διελέχθην πρὸς τὴν ὑμῶν ἀγάπην, καὶ περὶ παγίδων τῶν πανταχόθεν ἡμῖν κειμένων, καὶ περὶ φόβου καὶ ἀθυμίας, καὶ περὶ πένθους καὶ ἡδονῆς, καὶ περὶ τῆς δρεπάνης τῆς ἐπὶ τὰς οἰκίας τῶν ὀμνυόντων πετομένης· ἀπὸ τῶν πολλῶν δὴ μάλιστα τούτων ἁπάντων ἐκεῖνα διαμνημονεύσατέ μοι τὰ περὶ τῆς δρεπάνης εἰρημένα τῆς πετομένης, καὶ εἰς τὴν οἰκίαν τοῦ ὀμνύοντος καταλυούσης, καὶ τοὺς λίθους καὶ τὰ ξύλα κατασκαπτούσης, καὶ δαπανώσης ἅπαντα. Καὶ μετὰ τούτου κἀκεῖνο φυλάττετε, ὅτι τῆς ἐσχάτης ἀνοίας ἐστίν, εὐαγγέλιον λαμβάνοντας ὀμνύναι, καὶ τὸν νόμον, τὸν κωλύοντα ὀμνύναι, τοῦτον ὅρκον ποιεῖσθαι· καὶ ὅτι βέλτιον ζημιοῦσθαι χρήματα, ἢ τοῖς πλησίον ὅρκον ἐπαγαγεῖν· ὅτι ἱκανὴ τοῦτο εἰς τὸν Θεὸν γίνεται τιμή. Ὅταν γὰρ εἴπῃς τῷ Θεῷ, ὅτι διὰ σὲ οὐχ ὥρκωσα τὸν δεῖνα τὸν κεκλοφότα, καὶ κακουργήσαντα, ἀντὶ ταύτης σοι τῆς τιμῆς, πολλὴν καὶ κατὰ παρόν, καὶ μετὰ ταῦτα ἀποδώσει τὴν ἀμοιβήν. Ταῦτα καὶ πρὸς ἑτέρους λέγετε, καὶ αὐτοὶ διαφυλάττετε.

Οἶδα ὅτι ἐνταῦθα εὐλαβέστεροι γινόμεθα, καὶ πᾶσαν πονηρὰν συνήθειαν ἀποτιθέμεθα· ἀλλὰ τὸ ζητούμενον, τοῦτό ἐστιν, ἵνα μὴ ἐνταῦθα φιλοσοφῶμεν μόνον, ἀλλ' ἵνα καὶ ἔξω τὴν εὐλάβειαν ταύτην λαβόντες ἀπέλθωμεν, ὅπου μάλιστα αὐτῆς δεόμεθα, καὶ γὰρ οἱ ὑδρευόμενοι οὐ παρὰ τὴν κρήνην μόνον ἔχουσι πεπληρωμένα τὰ ἀγγεῖα, οἴκοι δὲ ἀπελθόντες κενοῦσιν, ἀλλ' ἐκεῖ μάλιστα αὐτὰ μετὰ ἀσφαλείας ἀποτίθενται, ὥστε μὴ περιτραπῆναι, καὶ μάταιον γενέσθαι

κρύνουν καὶ νὰ τονωθῶ ὀλίγον, διότι πάρα πολὺ κατέβαλε τὴν ψυχήν μου ἡ ἐντροπή, ἐξ αἰτίας τῆς ἰδικῆς σας μικροψυχίας.

2. Πολλὰ εἶπα εἰς τὴν προηγουμένην ὁμιλίαν πρὸς τὴν ἀγάπην σας, καὶ διὰ τὰς παγίδας ποὺ μᾶς περιβάλλουν ἀπὸ παντοῦ, καὶ περὶ τοῦ φόβου καὶ τῆς λύπης, καὶ περὶ τοῦ πένθους καὶ τῆς χαρᾶς καὶ περὶ τοῦ δρεπάνου ποὺ πετᾷ καὶ ἔρχεται εἰς τὰς οἰκίας ἐκείνων ποὺ ὁρκίζονται· ἀπὸ ὅλα λοιπὸν αὐτὰ ἐκεῖνα κυρίως νὰ ἐνθυμηθῆτε τὰ λεχθέντα περὶ τοῦ δρεπάνου ποὺ πετᾷ καὶ ἔρχεται εἰς τὴν οἰκίαν ἐκείνου ποὺ ὁρκίζεται καὶ κατασκάπτει καὶ τοὺς λίθους καὶ τὰ ξύλα καὶ τὰ καταστρέφει ὅλα. Καὶ μαζὶ μὲ αὐτὸ φυλάξατε καὶ ἐκεῖνο, ὅτι εἶναι ἡ πιὸ μεγάλη ἀνοησία νὰ λαμβάνετε εὐαγγέλιον εἰς τὰ χέρια καὶ νὰ ἐπιβάλλετε ὅρκους, καὶ τὸν νόμον ποὺ ἀπαγορεύει τὸν ὅρκον νὰ τὸν μεταχειρίζεσθε διὰ νὰ ὁρκίζετε τοὺς ἄλλους· καὶ ὅτι εἶναι προτιμότερον νὰ ὑποστῇ κανεὶς χρηματικὴν ζημίαν, παρὰ νὰ ἐπιβάλῃ εἰς τὸν συνάνθρωπόν του νὰ ὁρκισθῇ· καθ' ὅσον διὰ τῆς πράξεως αὐτῆς γίνεται μεγάλη τιμὴ εἰς τὸν Θεόν. Διότι ὅταν εἴπῃς εἰς τὸν Θεόν, ὅτι διὰ Σὲ δὲ ὥρκισα τὸν δεῖνα ὁ ὁποῖος ἔκλεψε καὶ διέπραξε κακούργημα, διὰ τὴν τιμὴν αὐτὴν ποὺ τοῦ ἔκαμες, καὶ κατὰ τὸ παρὸν καὶ μετὰ θὰ σὲ ἀνταμείψῃ πολύ. Αὐτὰ καὶ εἰς τοὺς ἄλλους νὰ τὰ εἰπῆτε καὶ σεῖς οἱ ἴδιοι νὰ τὰ φυλάττετε ἐντός σας.

Γνωρίζω ὅτι ὅταν εἴμεθα ἐδῶ γινόμεθα εὐλαβέστεροι καὶ ἀποβάλλομεν κάθε πονηρὰν συνήθειαν· ἀλλὰ αὐτὸ ποὺ ἐπιδιώκομεν εἶναι τοῦτο, νὰ μὴ φιλοσοφῶμεν μόνον χριστιανικῶς ὅταν εὑρισκώμεθα ἐδῶ, ἀλλὰ καὶ ὅταν φύγωμεν ἀπὸ ἐδῶ νὰ πάρωμεν μαζί μας τὴν εὐλάβειαν αὐτήν, ὅπου κατ' ἐξοχὴν ἔχομεν ἀνάγκην αὐτῆς, καθ' ὅσον καὶ αὐτοὶ ποὺ παίρνουν νερὸ δὲν ἔχουν τὰ ἀγγεῖα των γεμᾶτα μόνον ὅταν εἶναι κοντὰ εἰς τὴν βρύσην, καὶ τὰ ἀδειάζουν ὅταν πηγαίνουν εἰς τὸ σπίτι, ἀλλὰ ἐκεῖ κυρίως τὰ ἀσφαλίζουν αὐτὰ διὰ νὰ μὴ ἀνατραποῦν καὶ γίνῃ ὁ κόπος των μάταιος· αὐ-

τὸν πόνον· τούτους καὶ ἡμεῖς μιμησώμεθα, καὶ οἴκοι γινόμενοι τηρῶμεν μετὰ ἀκριβείας τὰ εἰρημένα· ὡς ἐὰν ἐνταῦθα μένηται πεπληρωμένοι, οἴκοι δὲ ἀναχωρῆτε κενοί, τὰ ἀγγεῖα τῆς διανοίας ὑμῶν, ἔρημα τῆς ἀκροάσεως ἔχοντες, οὐδὲν ἔσται ἐκ τῆς ἐνταῦθα πληρώσεως ὑμῖν ὄφελος.

Μή μοι δείξῃς ἐν τῇ παλαίστρᾳ τὸν ἀθλητήν, ἀλλ' ἐν τῷ σκάμματι, μή μοι τὴν εὐλάβειαν κατὰ τὸν καιρὸν τῆς ἀκροάσεως, ἀλλὰ κατὰ τὸν καιρὸν τῆς πράξεως. Ἐπαινεῖς τὰ λεγόμενα νῦν· ὅταν σε δέῃ ὀμόσαι, πάντων αὐτῶν ἀναμνήσθητι τότε. Ἂν ταχέως τοῦτον κατορθώσητε τὸν νόμον, καὶ ἐφ' ἕτερα μείζονα τὴν διδασκαλίαν προάξομαι. Ἰδοὺ δεύτερον ἔτος ἔχω τοῦτο πρὸς τὴν ὑμετέραν διαλεγόμενος ἀγάπην, καὶ οὐδὲ ἑκατὸν στίχους τῶν Γραφῶν ὑμῖν ἴσχυσα ἐξηγήσασθαι· τὸ δὲ αἴτιον, ὅτι παρ' ἡμῶν δέεσθε μανθάνειν, ἅπερ οἴκοθεν, καὶ παρ' ἑαυτῶν δύνασθε κατορθοῦν· καὶ τὸ πλέον ἡμῖν τῆς παραινέσεως εἰς τὸν ἠθικώτερον ἀναλίσκεται λόγον. Ταῦτα δὲ οὐκ ἐχρῆν οὕτω γενέσθαι· ἀλλὰ τὴν μὲν τῶν τρόπων ἐπιμέλειαν οἴκοθεν ὑμᾶς, καὶ παρ' ἑαυτῶν παιδεύεσθαι· τῶν Γραφῶν δὲ τὰ νοήματα, καὶ τὰς θεωρίας ἡμῖν ἐπιτρέπειν. Εἰ δὲ καὶ ἐχρῆν καὶ παρ' ἡμῶν ὑμᾶς ἀκοῦσαι, πλέον μιᾶς ἡμέρας οὐκ ἔδει· οὐδὲ γὰρ ποικίλον τι καὶ δυσεύρετόν ἐστι τὸ λεγόμενον, οὐδὲ κατασκευῆς δεόμενόν τινος. Ὅταν γὰρ ὁ Θεὸς ἀποφαίνηται, σοφισμῶν οὐκ ἔστι καιρός. Ὁ Θεὸς εἶπε· «Μὴ ὀμόσῃς»· μὴ ἀπαίτει με λοιπὸν εὐθύνας. Νόμος ἐστὶ βασιλικός· ὁ θεὶς αὐτὸν οἶδε τὸν λόγον τοῦ νόμου· εἰ μὴ συμφέρον ἦν, οὐκ ἂν ἀπηγόρευσε.

Βασιλεῖς εἰσφέρουσι νόμους, καὶ οὐχ ἅπαντας συμφερόντως πολλάκις· ἄνθρωποι γάρ εἰσι καὶ οὐκ ἂν δύναιντο τὸ χρήσιμον οὕτως εὑρεῖν, ὥσπερ ὁ Θεός, ἀλλ' ὅμως πει-

---

5. Ματθ. 5, 34.

τοὺς νὰ μιμηθοῦμεν καὶ ἡμεῖς καὶ ὅταν ἐπιστρέψωμεν εἰς τὸ σπίτι νὰ διατηροῦμεν εἰς τὸν νοῦν μας μὲ ἀκρίβειαν ὅσα εἴπομεν. Διότι ἐὰν ἐδῶ εἶσθε γεμᾶτοι, ἐπιστρέφετε δὲ εἰς τὴν οἰκίαν σας κενοί, ἔχοντες τὰ ἀγγεῖα τῆς διανοίας σας ἄδεια ἀπὸ ὅσα ἠκούσατε, καμμία ὠφέλεια δὲν θὰ ὑπάρξῃ ἀπὸ τὸ ὅτι ὅταν ἤσασθε ἐδῶ τὰ εἴχατε γεμᾶτα.

Μὴ μοῦ δείξῃς τὸν ἀθλητὴν εἰς τὴν παλαίστραν, ἀλλὰ εἰς τὸν ἀγῶνα, μὴ μοῦ δείξῃς τὴν εὐλάβειαν κατὰ τὸν χρόνον τῆς ἀκροάσεως, ἀλλὰ κατὰ τὸν καιρὸν τῆς πράξεως. Ἐπαινεῖς ὅσα λέγονται τώρα· ὅταν ὅμως πρόκειται νὰ ὁρκίσῃς κάποιον, τότε νὰ ἐνθυμηθῇς ὅλα αὐτά. Ἂν γρήγορα ἠμπορέσετε νὰ τηρήσετε αὐτὸν τὸν νόμον καὶ δι' ἄλλα ἀνώτερα θὰ σᾶς ὁμιλήσω. Ἰδοὺ εὑρίσκομαι εἰς τὸ δεύτερον ἔτος ἀφ' ὅτου ἤρχισα νὰ ὁμιλῶ πρὸς τὴν ἀγάπην σας καὶ δὲν ἠμπόρεσα οὔτε ἑκατὸν στίχους ἀπὸ τὰς Γραφὰς νὰ σᾶς ἐξηγήσω· καὶ ἡ αἰτία εἶναι ὅτι ἀπὸ ἡμᾶς περιμένατε νὰ μάθετε, ὅ,τι ἠμπορούσατε μόνοι σας καὶ ἀπὸ τὸν ἑαυτόν σας νὰ εὕρετε, καὶ τὸ περισσότερον μέρος τῆς διδασκαλίας ἐξοδεύεται μᾶλλον εἰς τὰς ἠθικὰς συμβουλάς. Αὐτὰ δὲ δὲν ἔπρεπε νὰ γίνωνται ἔτσι· ἀλλὰ ἔπρεπε σεῖς οἱ ἴδιοι νὰ ἀναλάβετε μόνοι σας τὴν ἠθικὴν διαπαιδαγώγησιν τοῦ ἑαυτοῦ σας· ἐγὼ δὲ νὰ ἀναπτύξω τὰ νοήματα καὶ τὰς θεωρίας τῆς Γραφῆς. Ἂν δὲ ἦτο ἀνάγκη καὶ ἀπὸ ἡμᾶς κάτι νὰ ἀκούσετε, δὲν θὰ ἔφθανε χρονικὸν διάστημα μιᾶς ἡμέρας· διότι οὔτε διφορούμενον εἶναι οὔτε δυσκολεύρετον τὸ νόημά των. Διότι ὅταν ὁμιλῇ ὁ Θεός, δὲν χρειάζονται σοφίσματα. Ὁ Θεὸς εἶπε· «Νὰ μὴ ὁρκισθῇς καθόλου»[5]· μὴ ζητᾷς λοιπὸν ἀπὸ ἐμὲ ἐξηγήσεις διὰ τὴν ἀπαγόρευσιν. Διότι εἶναι νόμος βασιλικός· αὐτὸς δὲ ποὺ ἔθεσε τὸν νόμον γνωρίζει καὶ τὸν λόγον διὰ τὸν ὁποῖον τὸν ἔθεσε· διότι ἐὰν δὲν ἦτο συμφέρον διὰ σέ, δὲν θὰ σοῦ ἀπηγόρευε νὰ ὁρκίζεσαι.

Οἱ βασιλεῖς κάμουν νόμους καὶ πολλάκις δὲν συμφέρουν ὅλοι εἰς τοὺς ἀνθρώπους· διότι εἶναι ἄνθρωποι καὶ δὲν ἠμποροῦν τόσον εὔκολα νὰ εὕρουν τὸ ὠφέλιμον, ὅπως ὁ

θόμεθα. Κἂν γυναῖκας ἀγώμεθα, κἂν διαθήκας ποιῶμεν, κἂν οἰκέτας ὠνεῖσθαι μέλλωμεν, κἂν οἰκίας, κἂν ἀγρούς, κἂν ὁτιοῦν ἕτερον ποιεῖν, οὐκ οἰκείᾳ γνώμῃ ταῦτα πράττομεν, ἀλλ' ὅπως ἂν ἐκεῖνοι διατάξωσι, καὶ τὰ ἡμῶν αὐτῶν διαθέσθαι κατὰ γνώμην τὴν ἡμετέραν οὐκ ἐσμὲν κύριοι καθόλου· ἀλλὰ πολλαχοῦ ταῖς ἐκείνων δουλεύομεν γνώμαις, κἂν ποιήσωμέν τι παρὰ τὸ δοκοῦν ἐκείνοις, ἄκυρον καὶ ἄχρηστον γίνεται. Εἶτα τοῖς μὲν ἀνθρώπων νόμοις τοσαύτην ἀπονέμομεν τιμήν, τοὺς δὲ τοῦ Θεοῦ νόμους οὕτω καταπατήσομεν, εἰπέ μοι; καὶ ποίας ταῦτα ἀπολογίας ἄξια; ποίας συγγνώμης; Εἶπε· Μὴ ὀμόσῃς· μὴ ἀντινομοθετήσῃς αὐτῷ διὰ τῶν πραγμάτων, ἵνα μετὰ ἀσφαλείας ἅπαντα καὶ ποιῇς καὶ λέγῃς.

3. Ἀλλ' ὑπὲρ μὲν τούτων ἅλις. Φέρε δὴ μίαν ῥῆσιν ἐκ τῶν σήμερον ἀναγνωσθέντων παραθέντες ὑμῖν καταπαύσωμεν τὸν λόγον. «Παῦλος δέσμιος Ἰησοῦ Χριστοῦ», φησί, «καὶ Τιμόθεος ὁ ἀδελφός». Μέγας ὁ τοῦ Παύλου χρηματισμός, οὐκ ἀρχῆς καὶ τιμῆς ὄνομα, ἀλλὰ δεσμὰ καὶ ἁλύσεις· ἀληθῶς μέγας· καίτοι πολλὰ αὐτὸν ἕτερα λαμπρὸν ποιεῖ, τὸ εἰς οὐρανὸν ἁρπαγῆναι τρίτον, τὸ εἰς παράδεισον ἀπενεχθῆναι, τὰ ἀκοῦσαι ἄρρητα ῥήματα· ἀλλ' οὐδὲν τούτων ἔθηκεν, ἀλλ' ἀντὶ πάντων τὴν ἅλυσιν· αὕτη γὰρ αὐτὸν ἐκείνων ἐπιφανέστερον ἐποίει καὶ λαμπρότερον. Τί δή ποτε; Ὅτι ἐκεῖνα μὲν τῆς τοῦ Δεσπότου φιλανθρωπίας ἐστὶ χαρίσματα, ταῦτα δὲ τῆς καρτερίας τοῦ δούλου καὶ τῆς ὑπομονῆς δείγματα· ἔθος δὲ τοῖς φιλοῦσιν ἐπ' ἐκείνοις μᾶλλον φρονεῖν, ἐφ' οἷς ἂν πάσχωσιν ὑπὲρ τῶν φιλουμένων, ἢ ἐφ' οἷς ἂν εὐεργετῶνται παρ' αὐτῶν. Οὐχ οὕτω βασιλεὺς ἐπὶ τῷ διαδήματι ἐναβρύνεται, ὡς ἐκεῖνος ἐπὶ τοῖς δεσμοῖς ἐκαλλωπίζετο· καὶ μάλα εἰκότως. Διάδημα μὲν γὰρ κόσμον μόνον φέ-

---

6. Φιλήμ. 1.

Θεός, καὶ ὅμως ὑπακούομεν εἰς τοὺς νόμους αὐτούς. Καὶ εἴτε γυναῖκας παίρνομεν, εἴτε κάμομεν διαθήκας, εἴτε πρόκειται νὰ ἀγοράσωμεν ὑπηρέτας, εἴτε οἰκίας, ἢ ἀγρούς, ἢ ὁ,τιδήποτε ἄλλο κάμομεν, δὲν τὰ κάμνομεν ὅπως ἡμεῖς θέλομεν, ἀλλὰ ὅπως ἐκεῖνοι διατάξουν, καὶ δὲν ἠμποροῦμεν νὰ διαθέσωμεν τὰ πράγματά μας ὅπως θέλομεν, ἀλλὰ εἰς πολλὰς περιπτώσεις ὑπακούομεν εἰς τὴν θέλησιν ἐκείνων καὶ ἂν κάμωμεν κάτι παρὰ τὴν γνώμην ἐκείνων, εἶναι ἄχρηστον καὶ ἄκυρον. Ἔπειτα εἰς τοὺς νόμους τῶν ἀνθρώπων ἀπονέμομεν τόσην τιμήν, τοὺς δὲ νόμους τοῦ Θεοῦ τόσον θὰ καταπατήσωμεν, εἰπέ μου; Καὶ ποίας ἀπολογίας εἶναι ἄξια αὐτά; Ποίας συγγνώμης; Εἶπε· Μὴ ὁρκισθῇς· μὴ νομοθετήσῃς διὰ τῆς πράξεως νόμον ἀντίθετον αὐτοῦ διὰ νὰ κάμῃς καὶ νὰ λέγῃς ὅλα μὲ μεγάλην ἀσφάλειαν.

3. Ἀλλὰ περὶ τούτων ἀρκετὰ εἴπομεν. Ἐμπρὸς λοιπὸν ἕνα ρητὸν ἀπὸ αὐτὰ ποὺ ἀνεγνώσθησαν σήμερον νὰ σᾶς παραθέσωμεν καὶ νὰ τελειώσωμεν τὸν λόγον. «Παῦλος δέσμιος καὶ φυλακισμένος διὰ τὸν Ἰησοῦν Χριστόν», λέγει, «καὶ Τιμόθεος ὁ ἀδελφός»[6]. Μέγας εἶναι ὁ τίτλος τοῦ Παύλου, δὲν εἶναι ὄνομα ποὺ φανερώνει ἐξουσίαν καὶ τιμήν, ἀλλὰ δεσμὰ καὶ ἁλυσίδας· πράγματι μέγας· ἂν καὶ πολλὰ ἄλλα τὸν κάνουν λαμπρόν, τὸ ὅτι ἡρπάγη εἰς τὸν τρίτον οὐρανόν, τὸ ὅτι μετεφέρθη εἰς τὸν παράδεισον, τὸ ὅτι ἤκουσε λόγια ἀνεκλάλητα· κανένα ὅμως ἀπὸ αὐτὰ δὲν ἔθεσεν, ἀλλὰ ἀντὶ ὅλων τούτων τὴν ἁλυσίδα· διότι αὐτὴ τὸν ἔκαμεν ἐνδοξότερον καὶ ἐπιφανέστερον ἀπὸ ἐκεῖνα. Διατί ἆρά γε; Διότι ἐκεῖνα εἶναι χαρίσματα τῆς φιλανθρωπίας τοῦ Δεσπότου, αὐτὰ δὲ δείγματα τῆς καρτερίας καὶ τῆς ὑπομονῆς τοῦ δούλου· συνήθεια δὲ εἰς ἐκείνους ποὺ ἀγαποῦν εἶναι νὰ καυχῶνται μᾶλλον δι' ὅσα πάσχουν δι' αὐτοὺς ποὺ ἀγαποῦν, παρὰ διὰ τὰς εὐεργεσίας ἐκείνων πρὸς αὐτούς. Δὲν ὑπερηφανεύεται τόσον ὁ βασιλεὺς διὰ τὸν στέμμα του, ὅσον ἐκαλλωπίζετο ἐκεῖνος διὰ τὰ δεσμά του· καὶ πολὺ σωστά. Διότι τὸ μὲν βασιλικὸν στέμμα στολισμὸν μόνον φέρει εἰς τὸ κε-

ρει τῇ στεφανουμένῃ κεφαλῇ, ἡ δὲ ἅλυσις καὶ κόσμον πολλῷ μείζονα καὶ ἀσφάλειαν.

Ὁ στέφανος ὁ βασιλικὸς πολλάκις προύδωκε τὴν περικειμένην αὐτῷ κεφαλήν, καὶ μυρίους ἐπιβούλους ἐπεσπάσατο, καὶ εἰς τυραννίδος ἐπιθυμίαν ἐκάλεσε. Καὶ ἐν πολέμοις δὲ οὕτως ἐστὶν ἐπισφαλὴς ὁ κόσμος οὗτος, ὡς κρύπτεσθαι αὐτὸν καὶ ἀποτίθεσθαι. Οἱ γοῦν βασιλεῖς ἐν πολέμοις τὸ σχῆμα ἀμείβοντες, οὕτως ἑαυτοὺς τοῖς πολεμίοις ἀναμιγνύουσι· τοσαύτη προδοσία ἀπὸ τοῦ στεφάνου γίνεται· ἡ δὲ ἅλυσις οὐδὲν τοιοῦτον προξενεῖ τοῖς ἔχουσιν, ἀλλὰ τοὐναντίον ἅπαν· ὅταν πόλεμος ᾖ, καὶ παράταξις πρὸς τοὺς δαίμονας καὶ τὰς ἀντικειμένας δυνάμεις, προβαλλόμενος αὐτὴν ὁ περικείμενος ἀποκρούεται τὰς ἐκείνων ἐφόδους.

Καὶ τῶν μὲν ἀρχόντων τῶν ἔξωθεν πολλοὶ οὐχ ἡνίκα ἂν ἄρχωσιν, ἀλλὰ καὶ ἡνίκα ἂν παραλυθῶσι τῆς ἀρχῆς, περιφέρουσιν αὐτῆς τὸ ὄνομα, ὁ δεῖνα ἐξ ὑπάτων λέγοντες, ὁ δεῖνα ἐξ ὑπάρχων· οὗτος δὲ ἀντὶ πάντων τούτων, «Παῦλος δέσμιος», φησί· καὶ μάλα εἰκότως. Ἐκεῖναι μὲν γὰρ αἱ ἀρχαὶ οὐ πάντως εἰσὶ τῆς κατὰ ψυχὴν ἀρετῆς ἀποδείξεις· χρημάτων γάρ εἰσιν ὠνηταί, καὶ φίλων κολακείαις γίνονται· αὕτη δὲ ἡ ἀρχὴ ἡ ὑπὸ τῶν δεσμῶν τῆς κατὰ ψυχὴν φιλοσοφίας ἐστὶ δεῖγμα, καὶ τοῦ περὶ τὸν Χριστὸν πόθου τεκμήριον μέγιστον· κἀκεῖναι μὲν ἀποπηδῶσι ταχέως, αὕτη δὲ οὐκ ἔχει τὸν διαδεξόμενον ἡ ἀρχή. Ἰδοὺ γοῦν ἐξ ἐκείνου μέχρι νῦν πόσος γέγονε χρόνος, καὶ λαμπρότερον τὸ ὄνομα τοῦ δεσμίου γέγονε τούτου· καὶ ὕπατοι μὲν ἅπαντες, ὅσοι γεγόνασιν ἐν τοῖς ἔμπροσθεν χρόνοις σεσίγηνται, καὶ οὐδὲ ἐκ προσηγορίας εἰσὶ γνώριμοι τοῖς πολλοῖς· τὸ δὲ τοῦ δεσμίου τούτου ὄνομα τοῦ μακαρίου Παύλου πολὺ μὲν ἐνταῦθα, πολὺ δὲ ἐν τῇ βαρβάρων χώρᾳ, πολὺ δὲ παρὰ Σκύθαις καὶ Ἰνδοῖς, κἂν πρὸς αὐτὰ τῆς οἰκουμένης ἔλθῃς τὰ πέρατα,

φάλι πού τὸ φορεῖ, ἡ ἁλυσίδα ὅμως καὶ στολισμὸν πολὺ μεγαλύτερον καὶ ἀσφάλειαν.

Τὸ βασιλικὸν στέμμα πολλάκις ἐπρόδωσε τὴν κεφαλὴν ποὺ τὸν φορεῖ καὶ προσείλκυσεν ἀναριθμήτους ἐπιβούλους καὶ τοὺς ἐδημιούργησε τὴν ἐπιθυμίαν νὰ γίνουν βασιλεῖς. Καὶ εἰς τοὺς πολέμους δὲ τόσον ἐπικίνδυνος εἶναι ὁ στολισμὸς αὐτός, ὥστε οἱ βασιλεῖς ἐν καιρῷ πολέμου τὸ βγάζουν καὶ τὸ κρύβουν. Οἱ βασιλεῖς λοιπὸν εἰς τοὺς πολέμους, ἀφοῦ ἀλλάξουν τὸ σχῆμα, τότε ἀναμιγνύονται μὲ τοὺς πολεμιστάς· τόσον μεγάλη προδοσία γίνεται ἀπὸ τὸ στέμμα. Ἡ ἁλυσίδα ὅμως διὰ τὸν Χριστὸν τίποτε ἀπὸ αὐτὰ δὲν προξενεῖ εἰς αὐτοὺς ποὺ τὴν ἔχουν, ἀλλὰ ἐντελῶς τὸ ἀντίθετον· ὅταν εἶναι πόλεμος καὶ παράταξις πρὸς τοὺς δαίμονας καὶ τὰς ἀντιθέτους δυνάμεις, ἐκεῖνος ποὺ τὴν φέρει ἀποκρούει τὰς ἐφόδους ἐκείνων.

Καὶ ἀπὸ μὲν τοὺς κοσμικοὺς ἄρχοντας πολλοὶ ὄχι ὅταν ἄρχουν, ἀλλὰ ἀκόμα καὶ ὅταν χάσουν τὴν ἐξουσίαν, περιφέρουν τὸ ὄνομά της, λέγοντες, ὁ δεῖνα ἄλλοτε ὕπατος, ὁ δεῖνα ἄλλοτε ὕπαρχος· αὐτὸς ὅμως ἀντὶ ὅλων τούτων λέγει· «Παῦλος δέσμιος», καὶ πολὺ δίκαιος. Διότι ἐκεῖναι μὲν αἱ ἐξουσίαι δὲν εἶναι ἀπόδειξις τῆς ψυχικῆς ἀρετῆς· διότι ἀγοράζονται μὲ χρήματα καὶ ἔχουν ἀνάγκην ἀπὸ τὴν κολακείαν τῶν φίλων· αὐτὴ ὅμως ἡ ἐξουσία τῶν δεσμῶν εἶναι δεῖγμα τῆς ψυχικῆς φιλοσοφίας καὶ τεκμήριον μέγιστον τοῦ κατὰ Χριστὸν πόθου· καὶ ἐκεῖνα μὲν χάνονται γρήγορα, αὐτὴ δὲ δὲν μεταβιβάζεται ἀπὸ τὸν ἕνα εἰς τὸν ἄλλον. Καὶ ἰδοὺ ἀπὸ τὴν ἐποχὴν ἐκείνην μέχρι σήμερον πόσος χρόνος ἔχει περάσει, καὶ τὸ ὄνομα τοῦ δεσμίου τούτου ἔχει γίνει λαμπρότερον· καὶ οἱ ὕπατοι ὅλοι, ὅσοι διετέλεσαν κατὰ τοὺς προηγουμένους χρόνους, ἔχουν παραδοθῆ εἰς τὴν σιωπὴν καὶ οὔτε ἀπὸ τὸ ὄνομά τους δὲν τοὺς γνωρίζει κανείς· τὸ δὲ ὄνομα τοῦ δεσμίου, τοῦ μακαρίου Παύλου, εἶναι μεγάλο καὶ πολὺ γνωστὸν καὶ εἰς ἡμᾶς, καὶ πολὺ γνωστὸν εἰς τὴν χώραν τῶν βαρβάρων, καὶ εἰς τοὺς Σκύθας καὶ τοὺς Ἰνδούς, καὶ ἂν

ταύτης ἀκούσῃ τῆς προσηγορίας, καὶ ὅπουπερ ἂν τις ἀφίκηται, Παῦλον πανταχοῦ ἐν τοῖς ἁπάντων στόμασι περιφερόμενον εἴσεται.

Καὶ τί θαυμαστόν, εἰ ἐν γῇ καὶ θαλάττῃ, ὅπου γε καὶ ἐν τοῖς οὐρανοῖς πολὺ τὸ ὄνομα Παύλου παρὰ τοῖς ἀγγέλοις, παρὰ τοῖς ἀρχαγγέλοις καὶ ταῖς ἄνω δυνάμεσι, καὶ τῷ τούτων βασιλεῖ Θεῷ; Καὶ ποταπὰ ἦν ἐκεῖνα, φησί, τὰ δεσμά, ὅτι τοσαύτην ἤνεγκε τῷ δεδεμένῳ τὴν δόξαν; Οὐκ ἀπὸ σιδήρου κατεσκεύαστο; Ἀπὸ σιδήρου μὲν κατεσκεύαστο, ἀλλὰ πολλὴν εἶχεν ἐπανθοῦσαν τοῦ πνεύματος τὴν χάριν, ἐπειδὴ διὰ Χριστὸν αὐτὰ περιέκειτο. Ὢ τοῦ θαύματος· οἱ δοῦλοι ἐδέθησαν, ὁ Δεσπότης ἐσταυρώθη, καὶ τὸ κήρυγμα καθ' ἑκάστην αὔξεται τὴν ἡμέραν, καὶ διὰ πραγμάτων δι' ὧν ἐνομίζετο κωλύεσθαι, διὰ τούτων ἀνήφθη· καὶ σταυρός, καὶ δεσμά, ἅπερ ἐδόκει βδέλυγμα εἶναι, ταῦτα νῦν σωτηρίας σύμβολα γέγονε, καὶ παντὸς χρυσίου τὸ σιδήριον ἐκεῖνο ἡμῖν τιμιώτερον ἦν, οὐ παρὰ τὴν οἰκείαν φύσιν, ἀλλὰ παρὰ τὴν ὑπόθεσιν.

Ἀλλ' ὁρῶ τι καὶ ζήτημα τικτόμενον ἡμῖν ἐντεῦθεν· κἂν προσέχητε μετὰ ἀκριβείας, καὶ τὸ ζήτημα ἐρῶ, καὶ λύσιν προσθήσω. Τί ποτ' οὖν ἐστι τὸ ζητούμενον; Εἰσελθὼν οὗτος ὁ Παῦλός ποτε πρὸς τὸν Φῆστον, καὶ διαλεγόμενος αὐτῷ, καὶ ἀπολογούμενος περὶ τῶν ἐγκλημάτων ὧν ἐπήγαγον οἱ Ἰουδαῖοι, καί λέγων πῶς εἶδε τὸν Ἰησοῦν, πῶς ἤκουσε τῆς μακαρίας ἐκείνης φωνῆς, πῶς διὰ πηρώσεως ἀνέβλεψε, πῶς ἔπεσε καὶ ἀνέστη, πῶς εἰσῆλθεν αἰχμάλωτος εἰς Δαμασκὸν χωρὶς δεσμῶν δεδεμένος, καὶ περὶ προφητῶν καὶ νόμου διαλεχθείς, καὶ δείξας ὅτι κἀκεῖνοι προεῖπον ταῦτα ἅπαντα, εἷλε τὸν δικάζοντα, καὶ σχεδὸν ἔπεισε πρὸς ἑαυτὸν μεταστῆναι.

4. Τοιαῦται γὰρ τῶν ἁγίων αἱ ψυχαί· ἐπειδὰν εἰς κιν-

ἀκόμα μεταβῇς εἰς τὰ πέρατα τῆς οἰκουμένης, θὰ ἀκούσῃς τὸ ὄνομα αὐτό, καὶ ὅπου καὶ ἂν φθάσῃς, τὸ ὄνομα τοῦ Παύλου εἰς τὰ στόματα ὅλων θ' ἀκούσῃς νὰ προφέρεται.

Καὶ τί τὸ παράδοξον, ἐὰν εἰς τὴν γῆν καὶ εἰς τὴν θάλασσαν, καὶ ἀκόμα εἰς τοὺς οὐρανοὺς εἶναι μέγα τὸ ὄνομα τοῦ Παύλου εἰς τοὺς ἀγγέλους, εἰς τοὺς ἀρχαγγέλους καὶ εἰς τὰς ἄνω δυνάμεις καὶ εἰς τὸν Θεὸν τὸν βασιλέα τούτων; Καὶ ἀπὸ τί ἦσαν ἐκεῖνα τὰ δεσμά, λέγει, καὶ ἔφεραν τόσην δόξαν εἰς τὸν δέσμιον. Δὲν ἦσαν κατασκευασμένα ἀπὸ σίδηρον; Ναὶ μὲν ἦσαν κατασκευασμένα ἀπὸ σίδηρον, ἀλλὰ ἦσαν ἀνθοστόλιστα μὲ τὴν μεγάλην χάριν τοῦ Πνεύματος, ἐπειδὴ τὰ ἐφοροῦσε διὰ τὸν Χριστόν. Ὢ τοῦ θαύματος· οἱ δοῦλοι ἐδέθησαν, ὁ Δεσπότης ἐσταυρώθη, καὶ τὸ κήρυγμα αὐξάνει καθημερινῶς καὶ διὰ πραγμάτων τὰ ὁποῖα ἐθεωροῦντο ἐμπόδια εἰς τὴν διάδοσίν του, διὰ τούτων ἐξηπλώθη, ὅπως ἡ φωτιά· καὶ σταυρός, καὶ δεσμά, τὰ ὁποῖα ἐθεωροῦντο ὅτι εἶναι σιχαμερὰ πράγματα, αὐτὰ τώρα ἔγιναν σύμβολα σωτηρίας, καὶ ὁ σίδηρος ἐκεῖνος τῶν δεσμῶν εἶναι δι' ἡμᾶς πολυτιμότερος ἀπὸ κάθε εἶδος χρυσοῦ, ὄχι ὡς πρὸς τὴν φύσιν του, ἀλλ' ἐξ αἰτίας αὐτῆς τῆς ὑποθέσεως.

Ἀλλὰ βλέπω ὅτι ἐδῶ δημιουργεῖται κάποιο ζήτημα διὰ σᾶς· καὶ ἂν μὲ παρακολουθῆτε μετὰ προσοχῆς καὶ ἀκριβείας, καὶ τὸ ζήτημα θὰ σᾶς εἰπῶ καὶ τὴν ἐξήγησιν θὰ προσθέσω. Ποῖον εἶναι λοιπὸν τὸ ζήτημα τοῦτο; Ὅταν ἐνεφανίσθη κάποτε ὁ Παῦλος ἐνώπιον τοῦ Φήστου καὶ συζητῶν μὲ αὐτὸν καὶ ἀπολογούμενος διὰ τὰς κατηγορίας τὰς ὁποίας τοῦ ἀπέδιδον οἱ Ἰουδαῖοι, καὶ λέγων πῶς εἶδε τὸν Χριστόν, πῶς ἤκουσε τῆς μακαρίας ἐκείνης φωνῆς, πῶς ἀνέβλεψε σωματικῶς καὶ πνευματικῶς διὰ τῆς τυφλώσεως, πῶς ἔπεσε καὶ ἐσηκώθη, πῶς εἰσῆλθεν αἰχμάλωτος εἰς τὴν Δαμασκὸν χωρὶς δεσμά, καὶ ὁμιλήσας περὶ προφητῶν καὶ νόμου, καὶ δείξας ὅτι καὶ ἐκεῖνοι προεῖπον ὅλα αὐτά, ἐκέρδισε τὸν δικαστὴν καὶ σχεδὸν τὸν ἔπεισε νὰ μεταστραφῇ.

4. Τοιαῦται εἶναι αἱ ψυχαὶ τῶν ἁγίων· ὅταν ἐμπέσουν

δύνους ἐμπέσωσιν, οὐχ ὅπως ἀπαλλαγῶσι τῶν κινδύνων σκοποῦσιν, ἀλλ' ὅπως τοὺς ἐμβάλλοντας θηρεύσαιεν, ἅπαντα πράττουσι· καθάπερ οὖν καὶ τότε ἐγένετο· εἰσῆλθεν ἀπολογησόμενος, καὶ τὸν δικαστὴν λαβὼν ἀπῄει. Καὶ ταῦτα αὐτὸς ὁ δικαστὴς ἐμαρτύρησε λέγων· «Ἐν ὀλίγῳ με πείθεις Χριστιανὸν γενέσθαι». Τοῦτο καὶ σήμερον γενέσθαι ἐχρῆν, καὶ τὸν ἄρχοντα τοῦτον θαυμάσαι ὑμῶν τὴν μεγαλοψυχίαν, τὴν φιλοσοφίαν, τὴν ἡσυχίαν ἅπασαν, καὶ ἐκ τῆς καταστάσεως ὑμῶν διδασκαλίαν λαβόντα ἀπελθεῖν, θαυμάσαι τὸν σύλλογον, ἐπαινέσαι τὸ συνέδριον, μαθεῖν καὶ ἀπ' αὐτῶν τῶν πραγμάτων, ὅσον τὸ μέσον Ἑλλήνων τε καὶ Χριστιανῶν.

Ἀλλ', ὅπερ ἔλεγον, ἐπειδὴ αὐτὸν εἷλεν ὁ Παῦλος, κἀκεῖνος εἶπεν, «Ἐν ὀλίγῳ με πείθεις Χριστιανὸν γενέσθαι», ἀπεκρίνατο ὁ Παῦλος οὕτως· «Εὐξαίμην ἂν ἔγωγε καὶ ἐν ὀλίγῳ καὶ ἐν πολλῷ, οὐ μόνον σέ, ἀλλὰ καὶ πάντας τοὺς ἀκούοντάς μου γενέσθαι Χριστιανοὺς ἄνευ τῶν δεσμῶν τούτων». Τί λέγεις, ὦ Παῦλε; Ὅταν μὲ Ἐφεσίοις γράφῃς, λέγεις· «Παρακαλῶ οὖν ὑμᾶς ἐγὼ ὁ δέσμιος ἐν Κυρίῳ, ἀξίως περιπατῆσαι τῆς κλήσεως, ἧς ἐκλήθητε»· καὶ ὅταν πρὸς Τιμόθεον διελέγῃ· «Ἐν ᾧ κακοπαθῶ μέχρι δεσμῶν, ὡς κακοῦργος»· καὶ ὅταν πρὸς Φιλήμονα πάλιν· «Παῦλος δέσμιος Ἰησοῦ Χριστοῦ»· καὶ ὅταν Ἰουδαίοις συνδικάζῃ, λέγεις· «Ἕνεκα τῆς ἐλπίδος τοῦ Ἰσραὴλ τὴν ἅλυσιν ταύτην περίκειμαι»· καὶ Φιλιππησίοις γράφων ἔλεγες· «Ὥστε τοὺς πλείονας τῶν ἀδελφῶν, πεποιθότας τοῖς δεσμοῖς μου, περισσοτέρως τολμᾶν ἀφόβως τὸν λόγον λαλεῖν»· πανταχοῦ τὴν

---

7. Πράξ. 26, 29.
8. Αὐτόθι.
9. Πράξ. 26, 29.
10. Ἐφεσ. 4, 1.
11. Β' Τιμ. 2, 9.
12. Φιλήμ. 1.
13. Πράξ. 28, 20.

εἰς κινδύνους, δὲν ἀποβλέπουν πῶς νὰ ἀπαλλαγοῦν ἀπὸ αὐτούς, ἀλλὰ πῶς νὰ πάρουν μὲ τὸ μέρος των ἐκείνας ποὺ τοὺς ἔρριψαν εἰς τοὺς κινδύνους, καὶ ὅλα τὰ κάμουν δι' αὐτὸν τὸν σκοπόν· ὅπως ἀκριβῶς καὶ τότε ἔγινε· παρουσιάσθη διὰ ν' ἀπολογηθῇ, καὶ ἔφυγεν ἔχων μὲ τὸ μέρος του τὸν δικαστήν. Καὶ τοῦτο ὁ ἴδιος ὁ δικαστὴς τὸ ἐφανέρωσε λέγων· «Ὀλίγον ἀκόμη καὶ θὰ μὲ πείσῃς νὰ γίνω χριστιανός»[7]. Αὐτὸ ἔπρεπε νὰ γίνῃ καὶ σήμερον, καὶ ὁ ἄρχων αὐτὸς ἔπρεπε νὰ θαυμάσῃ τὴν μεγαλοψυχίαν σας, τὴν χριστιανικὴν φιλοσοφίαν σας, τὴν ἠρεμίαν σας, καὶ νὰ ἀποχωρήσῃ ἀφοῦ διδαχθῇ ἀπὸ τὴν ψυχικήν σας κατάστασιν, καὶ νὰ θαυμάσῃ τὴν συγκέντρωσίν μας καὶ νὰ τὴν ἐπαινέσῃ, καὶ νὰ μάθῃ ἀπὸ αὐτὰ τὰ πράγματα πόσον διαφέρουν οἱ ἐθνικοὶ ἀπὸ τοὺς χριστιανούς.

Ἀλλὰ διὰ νὰ ἐπανέλθω εἰς ἐκεῖνο ποὺ προηγουμένως ἔλεγον, ὅταν ὁ Παῦλος τὸν ἔφερε μὲ τὸ μέρος του καὶ ἐκεῖνος εἶπεν «ὀλίγον ἀκόμη καὶ θὰ μὲ πείσῃς νὰ γίνω χριστιανός»[8], ἀπεκρίθη ὁ Παῦλος ὡς ἑξῆς· «Θὰ ηὐχόμην εἰς τὸν Θεόν, εἴτε μὲ ὀλίγον κόπον, εἴτε δύσκολα καὶ μὲ πολλὴν προσπάθειαν, ὄχι μόνον σύ, ἀλλὰ καὶ ὅλοι ὅσοι μὲ ἀκούουν σήμερον νὰ γίνουν χριστιανοί, χωρὶς τὰ δεσμὰ αὐτά»[9]. Τί λέγεις, Παῦλε; Ὅταν γράφῃς εἰς τοὺς Ἐφεσίους λέγεις· «Σᾶς παρακαλῶ λοιπὸν ἐγὼ ὁ δέσμιος διὰ τὸν Κύριον νὰ πολιτεύεσθε κατὰ τρόπον ἄξιον τῆς ὑψηλῆς κλήσεως εἰς τὴν ὁποίαν προσεκλήθητε ἀπὸ τὸν Θεόν»[10]· καὶ ὅταν συνομιλῇς μὲ τὸν Τιμόθεον «Διὰ τὸν ὁποῖον κακοπαθῶ μέχρι τοῦ σημείου νὰ εἶμαι ἁλυσοδεμένος, ὡσὰν νὰ ἤμουν κακοῦργος»[11]· καὶ ὅταν πρὸς τὸν Φιλήμονα πάλιν· «Παῦλος δέσμιος διὰ τὸν Ἰησοῦν Χριστόν»[12]· καὶ ὅταν δικάζεσαι μὲ τοὺς Ἰουδαίους, λέγεις «ἐπειδὴ ἐμμένω εἰς τὴν ἐλπίδα τοῦ Ἰσραὴλ εἶμαι δεμένος μὲ τὴν ἁλυσίδα αὐτήν»[13]· καὶ πρὸς τοὺς Φιλιππησίους γράφων ἔλεγες· «Ὥστε οἱ περισσότεροι ἐκ τῶν ἀδελφῶν ἐνισχύθησαν ἀπὸ τὰ δεσμά μου, καὶ ἔχουν τώρα περισσοτέραν τόλμην διὰ νὰ κηρύττουν ἄφοβα τὸν λόγον

ἅλυσιν περιφέρεις, πανταχοῦ τὰ δεσμὰ προβάλλῃ, καὶ καυχᾶσαι ἐπὶ τῷ πράγματι· εἰς δικαστήριον δὲ ἐλθὼν προέδωκας τὴν φιλοσοφίαν, ὅτε μάλιστα παρρησιάσασθαι ἔδει, καὶ τῷ δικαστῇ λέγεις· «Εὐξαίμην ἄν σε γενέσθαι Χριστιανὸν ἄνευ τῶν δεσμῶν τούτων»;

Καὶ μὴν εἰ καλὰ τὰ δεσμά, καὶ οὕτω καλά, ὥστε παρέχειν καὶ ἑτέροις θαρρεῖν εἰς τὸν ὑπὲρ τῆς εὐσεβείας λόγον, (σὺ γὰρ αὐτὸ τοῦτο ἔφθης εἰπών, ὅτι οἱ πλείονες τῶν ἀδελφῶν πεποιθότες τοῖς δεσμοῖς μου τὸν λόγον ἐλάλουν ἀφόβως) τίνος ἕνεκεν ἐπὶ τοῦ δικαστοῦ οὐκ ἐγκαλλωπίζῃ τῷ πράγματι, ἀλλὰ καὶ τοὐναντίον ποιεῖς; Ἆρα οὐ δοκεῖ ζήτημα εἶναι τὸ λεγόμενον; Ἀλλὰ ταχίστην ἐπάγω τὴν λύσιν. Οὐ γὰρ ἐξ ἀγωνίας, οὐδὲ δειλίας ὁ Παῦλος τοῦτο ἐποίησεν, ἀλλ' ἀπὸ σοφίας πολλῆς καὶ συνέσεως πνευματικῆς· καὶ πῶς, ἐγὼ λέγω.

Πρὸς Ἕλληνα διελέγετο καὶ ἄπιστον, καὶ οὐκ εἰδότα τὰ ἡμέτερα. Οὐκ ἐβούλετο τοίνυν αὐτὸν ἀπὸ τῶν φορτικῶν ἐναγαγεῖν, ἀλλ' ὥσπερ ἔλεγεν, «Ἐγενόμην τοῖς ἀνόμοις ὡς ἄνομος», τοῦτο καὶ ἐνταῦθα ἔπραττεν. Ἂν ἀκούσῃ δεσμά, φησί, καὶ θλίψεις, εὐθέως ἀποπηδᾷ· οὐκ οἶδε τῶν δεσμῶν τὴν δύναμιν· γενέσθω πρότερον πιστός, γευσάσθω τοῦ κηρύγματος, καὶ τότε καὶ αὐτὸς ἐπιδραμεῖται τοῖς δεσμοῖς τούτοις. Ἤκουσα τοῦ Δεσπότου μου λέγοντος, ὅτι «Οὐδεὶς ἐπιβάλλει ἐπίβλημα ῥάκους ἀγνάφου ἐπὶ ἱματίῳ παλαιῷ, ἐπεὶ αἴρει τὸ πλήρωμα αὐτοῦ, καὶ χεῖρον τὸ σχίσμα γίνεται· οὐδὲ βάλλουσιν οἶνον νέον εἰς ἀσκοὺς παλαιούς, ἐπεὶ ῥήγνυνται οἱ ἀσκοί». Ἡ ψυχὴ ἡ τούτου ἱμάτιόν ἐστι παλαιόν, καὶ ἀσκὸς παλαιός· οὐκ ἀνενεώθη τῇ πίστει, οὐκ ἀνε-

---

14. Φιλ. 1, 14.
15. Πράξ. 26, 29.
16. Α' Κορ. 9, 21.
17. Ματθ. 9, 16-17.

τοῦ Θεοῦ»[14]· παντοῦ περιφέρεις τὴν ἁλυσίδα, παντοῦ προβάλλεις τὰ δεσμὰ καὶ καυχᾶσαι διὰ τὸ πρᾶγμα αὐτό· ὅταν δὲ ἦλθες εἰς τὸ δικαστήριον ἐπρόδωσες τὴν φιλοσοφίαν σου, τότε κυρίως ποὺ ἔπρεπε νὰ τὰ ὑπερασπισθῇς, καὶ λέγεις εἰς τὸν δικαστήν· «Θὰ ηὐχόμην νὰ γίνῃς χριστιανὸς χωρὶς τὰ δεσμὰ αὐτά»[15];

Καὶ ὅμως ἐὰν ἦσαν καλὰ τὰ δεσμά, καὶ μάλιστα τόσον καλά, ὥστε νὰ δίδουν θάρρος καὶ εἰς ἄλλους νὰ κηρύττουν τὸν λόγον τῆς εὐσεβείας (διότι σὺ εἶπες προηγουμένως αὐτό, ὅτι οἱ περισσότεροι ἀπὸ τοὺς ἀδελφοὺς ἐνισχυθέντες εἰς τὴν πίστιν των ἐκήρυττον ἀφόβως τὸν λόγον τοῦ Εὐαγγελίου) διὰ ποῖον λόγον δὲν καυχᾶσαι ἐνώπιον τοῦ δικαστοῦ διὰ τὸ πρᾶγμα τοῦτο, ἀλλὰ κάμεις τὸ ἀντίθετον; Λοιπὸν δὲν φαίνεται ὅτι εἶναι τοῦτο πρόβλημα; Ὅμως γρήγορα θὰ τὸ λύσω. Διότι δὲν τὸ ἔκαμεν ἀπὸ ἀγωνίαν, οὔτε ἀπὸ δειλίαν ὁ Παῦλος τοῦτο, ἀλλὰ ἀπὸ σοφίαν μεγάλην καὶ πνευματικὴν σύνεσιν· καὶ πῶς, ἀμέσως θὰ σᾶς ἐξηγήσω.

Ὡμιλοῦσε πρὸς ἐθνικὸν καὶ ἄπιστον, ὁ ὁποῖος δὲν ἐγνώριζε τὴν χριστιανικὴν διδασκαλίαν. Δὲν ἤθελε λοιπὸν νὰ τὸν ὁδηγήσῃ εἰς τὸν χριστιανισμὸν μὲ τὰς δυσκόλους ἐντολάς, ἀλλὰ ὅπως ἄλλοτε ἔλεγεν «Ἔγινα δι' ἐκείνους ποὺ δὲν εἶχον νόμον ὡσὰν ἄνομος»[16], τοῦτο καὶ ἐδῶ ἔπραττεν. Ἂν ἀκούσῃ, λέγει, δεσμὰ καὶ θλίψεις, ἀμέσως φεύγει μακρυά· διότι δὲν γνωρίζει τὴν δύναμιν τῶν δεσμῶν· ἂς γίνῃ προηγουμένως πιστός, ἂς γευθῇ τὸ κήρυγμα καὶ τότε καὶ αὐτὸς θὰ τρέξῃ καὶ θὰ ἐπιδιώξῃ τὰ δεσμὰ αὐτά. Ἤκουσα τὸν Δεσπότην μου νὰ λέγῃ ὅτι «κανεὶς δὲν πρέπει νὰ βάλλῃ ἐπάνω εἰς παλαιὸν ροῦχον ἐμβάλωμα ἀπὸ τεμάχιον ὑφάσματος καινούργιου, ἐπειδὴ τὸ καινούργιο αὐτὸ κομμάτι, ποὺ ἐτέθη ὡς συμπλήρωμα, μαζεύει καὶ ἀποσπᾷ ἀπὸ τὸ παλαιὸν ροῦχον τὸ μέρος ἐπὶ τοῦ ὁποίου εἶναι αἱ ραφαί, καὶ τὸ σχίσιμον γίνεται χειρότερον· οὔτε θέτουν μοῦστον εἰς ἀσκοὺς παλαιούς, ἐπειδὴ σπάζουν οἱ ἀσκοί»[17]. Ἡ ψυχὴ τούτου εἶναι παλαιὸν ροῦχον καὶ παλαιὸς ἀσκός· δὲν ἔχει ἀνανεωθῇ διὰ

καινίσθη τῇ τοῦ Πνεύματος χάριτι, ἀσθενής ἐστιν ἔτι καὶ γήϊνος, βιωτικὰ φρονεῖ, καὶ πρὸς τὴν κοσμικὴν φαντασίαν ἐπτόηται, δόξης ἐρᾷ τῆς παρούσης. Ἂν ἐκ προοιμίων εὐθέως ἀκούσῃ, ὅτι γενόμενος Χριστιανὸς δεσμώτης εὐθέως γενήσεται, καὶ ἅλυσιν περικείσεται, αἰσχυνθεὶς καὶ ἐρυθριάσας ἀποπηδήσεται τοῦ κηρύγματος· διὰ τοῦτό φησιν, «Ἄνευ τῶν δεσμῶν τούτων», οὐκ αὐτὰ τὰ δεσμὰ παραιτούμενος, μὴ γένοιτο, ἀλλ' ἐκείνου τῇ ἀσθενείᾳ συγκαταβαίνων, ἐπεὶ αὐτὸς οὕτως αὐτὰ φιλεῖ καὶ ἀσπάζεται, ὡς γυνὴ φιλόκοσμος τὰ χρύσεα τὰ ἑαυτῆς.

Πόθεν τοῦτο δῆλον; «Χαίρω ἐν τοῖς παθήμασί μου», φησί, «καὶ ἀνταναπληρῶ τὰ ὑστερήματα τῶν θλίψεων τοῦ Χριστοῦ ἐν τῇ σαρκί μου». Καὶ πάλιν· «Ὅτι ὑμῖν ἐχαρίσθη ἀπὸ τοῦ Χριστοῦ, οὐ μόνον τὸ εἰς αὐτὸν πιστεύειν, ἀλλὰ καὶ τὸ ὑπὲρ αὐτοῦ πάσχειν». Καὶ πάλιν· «Οὐ μόνον δέ, ἀλλὰ καὶ καυχώμεθα ἐν ταῖς θλίψεσιν». Εἰ τοίνυν χαίρει καὶ καυχᾶται, καὶ χάρισμα τὸ πρᾶγμα καλεῖ, εὔδηλον ὅτι διὰ τὴν αἰτίαν ταύτην πρὸς τὸν δικαστὴν διαλεγόμενος ταῦτα ἔλεγεν· ἐπεὶ καὶ εἰς ἀνάγκην ἀλλαχοῦ πάλιν ἐμπεσὼν τοῦ καυχήσασθαι, τοῦτο αὐτὸ ἐνδείκνυται λέγων· «Ἥδιστα οὖν καυχήσομαι», φησίν, «ἐν ταῖς ἀσθενείαις μου, ἐν ἀνάγκαις, ἐν ὕβρεσιν, ἐν διωγμοῖς, ἐν στενοχωρίαις, ἵνα ἐπισκηνώσῃ ἐπ' ἐμὲ ἡ δύναμις τοῦ Χριστοῦ»· καὶ πάλιν· «Εἰ καυχᾶσθαι δεῖ, τὰ τῆς ἀσθενείας μου καυχήσομαι». Καὶ ἀλλαχοῦ συγκρίνων ἑαυτὸν ἑτέροις, καὶ τὴν κατὰ σύγκρισιν ὑπεροχὴν ἡμῖν ἐνδεικνύμενος, οὑτωσί πώς φησι· «Διάκονοι Χριστοῦ εἰσι· παραφρονῶν λαλῶ, ὑπὲρ ἐγώ».

18. Κολοσ. 1, 24.
19. Φιλ. 1, 29.
20. Ρωμ. 5, 3.
21. Β' Κορ. 12, 9-10.
22. Β' Κορ. 11, 30.
23. Β' Κορ. 11, 23.

τῆς πίστεως, δὲν ἔχει ἀνακαινισθῇ διὰ τῆς χάριτος τοῦ ἁγίου Πνεύματος, ἀκόμη εἶναι ἀσθενὴς καὶ γήινος, σκέπτεται κοσμικά, καὶ τὸν ἐπηρεάζουν αἱ κοσμικαὶ καὶ βιωτικαὶ ἀντιλήψεις, ἐπιδιώκει καὶ ἐπιθυμεῖ τὴν δόξαν τῆς παρούσης ζωῆς. Ἂν ἐξ ἀρχῆς ἀκούσῃ ὅτι ἂν γίνῃ χριστιανὸς ἀμέσως θὰ φυλακισθῇ καὶ θὰ δεθῇ μὲ ἁλυσίδας, θὰ ἐντραπῇ καὶ θὰ κοκκινίσῃ καὶ θὰ ἀπομακρυνθῇ ἀπὸ τὸ κήρυγμα· διὰ τοῦτο λέγει· «Χωρὶς τὰ δεσμὰ αὐτὰ» ὄχι ἐπειδὴ ἀπαρνεῖται αὐτὰ τὰ δεσμά, μὴ γένοιτο, ἀλλὰ γίνεται συγκαταβατικὸς εἰς τὴν ἀδυναμίαν ἐκείνου, ἐπειδὴ αὐτὸς τόσον πολὺ ἀγαπᾷ καὶ εὐχαριστεῖται μὲ τὰ κοσμικὰ πράγματα, ὅπως ἡ φαντασμένη γυναῖκα τὰ στολίδια της τὰ χρυσᾶ.

Ἀπὸ ποῦ φαίνεται τοῦτο; «Χαίρω διὰ τὰ παθήματά μου», λέγει, «καὶ μὲ αὐτὰ ἀναπληρώνω τὰ ὑστερήματα τῶν θλίψεων τοῦ Χριστοῦ καὶ πάσχω εἰς τὸ σῶμα μου ὅσα δὲν ἐπρόφθασε νὰ πάθῃ ὁ Χριστός»[18]. Καὶ πάλιν· «Διότι εἰς σᾶς ἐδόθη ὡς χάρις ὄχι μόνον τὸ νὰ πιστεύετε εἰς τὸν Ἰησοῦν Χριστόν, ἀλλὰ καὶ τὸ νὰ πάσχετε δι' αὐτόν»[19]· καὶ πάλιν· «Δὲν καυχώμεθα δὲ μόνον διὰ τοῦτο, ἀλλὰ καὶ διὰ τὰς θλίψεις»[20]. Ἀφοῦ λοιπὸν χαίρει καὶ καυχᾶται, καὶ ὀνομάζει τοῦτο χάρισμα, εἶναι ὁλοφάνερον ὅτι διὰ τὸν λόγον αὐτόν, ὁμιλῶν μὲ τὸν δικαστήν, ἔλεγεν αὐτά· διότι ὅταν ἠναγκάσθη νὰ καυχηθῇ εἰς ἄλλην περίπτωσιν αὐτὸ πάλιν φαίνεται νὰ λέγῃ· «Μὲ πολὺ μεγάλην γλυκύτητα καὶ εὐχαρίστησιν», λέγει, «θὰ καυχῶμαι περισσότερον διὰ τὰς ἀσθενείας μου, εἰς τὰς ἀνάγκας, εἰς τὰς ὕβρεις, εἰς τοὺς διωγμούς, εἰς τὰς στενοχωρίας, διὰ νὰ κατοικήσῃ μέσα μου ἡ δύναμις τοῦ Χριστοῦ»[21]· καὶ πάλιν· «ἐὰν πρέπει νὰ καυχηθῶ θὰ καυχηθῶ διὰ τὴν ἀσθένειαν καὶ ἀδυναμίαν μου μέσα εἰς τοὺς πειρασμοὺς καὶ τοὺς διωγμούς»[22]. Καὶ ἀλλοῦ συγκρίνων τὸν ἑαυτόν του μὲ ἄλλους, καὶ φανερώνων τὴν ἐκ τῆς συγκρίσεως ταύτης προκύπτουσαν ὑπεροχήν, λέγει τὰ ἑξῆς· «καυχῶνται ὅτι εἶναι ὑπηρέται τοῦ Χριστοῦ· ὁμιλῶ ὡσὰν παραλογιζόμενος αὐτὴν τὴν στιγμήν, ἐγὼ εἶμαι παραπάνω ἀπὸ αὐτούς»[23].

Καὶ δεῖξαι βουλόμενος τὴν ὑπεροχήν, οὐχ ὅτι νεκροὺς ἀνέστησεν, οὐδ' ὅτι δαίμονας ἀπήλασεν, οὐδ' ὅτι λεπροὺς ἐκαθάρισεν, οὐδ' ὅτι ἄλλο τι τῶν τοιούτων ἐποίησεν, εἶπεν, ἀλλὰ τί; Ὅτι τὰ μυρία ἔπαθε δεινά. Εἰπὼν γοῦν, ὅτι «Ὑπὲρ ἐγώ», ἐπήγαγε τῶν πειρασμῶν τὸ πλῆθος οὕτω λέγων· «Ἐν πληγαῖς ὑπερβαλλόντως, ἐν θανάτοις πολλάκις, ἐν φυλακαῖς περισσοτέρως· ὑπὸ Ἰουδαίων πεντάκις τεσσαράκοντα παρὰ μίαν ἔλαβον, τρὶς ἐρραβδίσθην, ἅπαξ ἐλιθάσθην· τρίς, ἐναυάγησα, νυχθήμερον ἐν τῷ βυθῷ πεποίηκα, καὶ τὰ λοιπὰ ἅπαντα». Οὕτω πανταχοῦ καυχᾶται ἐν ταῖς θλίψεσιν ὁ Παῦλος, καὶ ἐγκαλλωπίζεται τῷ πράγματι μεθ' ὑπερβολῆς· καὶ μάλα εἰκότως. Τοῦτο γάρ ἐστιν ὃ μάλιστα τὴν δύναμιν ἐνδείκνυται τοῦ Χριστοῦ, ὅτι διὰ τοιούτων ἐκράτησαν οἱ ἀπόστολοι, διὰ δεσμῶν καὶ θλίψεων καὶ μαστίγων καὶ τῶν ἐσχάτων κακῶν.

Δύο γὰρ ταῦτα ὁ Χριστὸς ἐπηγγείλατο, θλῖψιν καὶ ἄνεσιν, πόνους καὶ στεφάνους, ἱδρῶτας καὶ ἀμοιβάς, χρηστὰ καὶ λυπηρά· ἀλλὰ τὰ μὲν λυπηρὰ κατὰ τὸν παρόντα βίον δέδωκε, τὰ δὲ χρηστὰ εἰς τὸν μέλλοντα αἰῶνα ἐταμιεύσατο, ὁμοῦ τε δεικνύς, ὅτι οὐ ἀπατᾷ τοὺς ἀνθρώπους, καὶ αὐτὸ τῶν δεινῶν τὸ φορτικὸν ὑποτέμνεσθαι τῇ τάξει βουλόμενος. Ὁ μὲν γὰρ ἀπατῶν τὰ χρηστὰ προτείνεται πρότερον, καὶ ὕστερον ἐπάγει τὰ λυπηρά. Οἷόν τι λέγω· ἀνδραποδισταὶ πολλάκις παιδία μικρὰ συλῶντες καὶ κλέπτοντες, οὐ πληγὰς καὶ μάστιγας, οὐδ' ἄλλο τι τῶν τοιούτων ὑπισχνοῦνται, ἀλλὰ πλακοῦντας, καὶ τραγήματα, καὶ ἕτερα τοιαῦτα, οἷς ἡ παιδικὴ χαίρειν εἴωθεν ἡλικία, προτείνουσιν, ἵνα τούτοις ἐκεῖνα δελεασθέντα, καὶ τὴν ἐλευθερίαν αὐτῶν ἀποδόμενα εἰς κίνδυνον ἐμπέσῃ τὸν ἔσχατον.

24. Β' Κορ. 11, 23-25.

Καὶ θέλων νὰ δείξῃ τὴν ὑπεροχὴν αὐτοῦ δὲν ἀνέφερεν οὔτε τὸ ὅτι ἀνέστησε νεκρούς, οὔτε ὅτι ἐξεδίωξε δαίμονας, οὔτε ὅτι ἐκαθάρισε λεπρούς, οὔτε τίποτε ἄλλο ἀπὸ ὅσα ἔκαμεν, ἀλλὰ τί εἶπε; Ὅτι ἔπαθεν ἀναρίθμητα κακά. Διότι ἀφοῦ εἶπεν ὅτι «Ἐγὼ εἶμαι παραπάνω ἀπὸ αὐτοὺς» προσέθεσε τὸ πλῆθος τῶν πειρασμῶν λέγων τὰ ἑξῆς· «ὑπέστην πληγὰς ἀναριθμήτους εἰς τὸ σῶμα μου, διέτρεξα κινδύνους νὰ θανατωθῶ, ἐρρίφθην εἰς τὰς φυλακὰς περισσότερον ἀπὸ κάθε ἄλλον· ἀπὸ τοὺς Ἰουδαίους πέντε φορὰς ἐμαστιγώθην μὲ τεσσαράκοντα παρὰ μίαν μαστιγώσεις, τρεῖς φορὰς ἐρραβδίσθην, μίαν φορὰν ἐλιθοβολήθην, τρεῖς φορὰς ἐναυάγησα, ἐπὶ ἓν ἡμερονύκτιον ἔμεινα εἰς τὸ ἀνοικτὸν πέλαγος καὶ μὲ ἔδερναν τὰ ἄγρια κύματα, καὶ ὅλα τὰ ἄλλα»[24]. Ἔτσι παντοῦ καυχᾶται ὁ Παῦλος διὰ τὰς θλίψεις του καὶ σεμνύνεται ὑπερβολικὰ δι' αὐτάς· καὶ πολὺ εὐλόγως. Διότι τοῦτο εἶναι ἐκεῖνο τὸ ὁποῖον κατ' ἐξοχὴν φανερώνει τὴν δύναμιν τοῦ Χριστοῦ, τὸ ὅτι δηλαδὴ διὰ τοιούτων μέσων ἐπεκράτησαν οἱ ἀπόστολοι, διὰ δεσμῶν, καὶ θλίψεων καὶ μαστίγων καὶ τῶν ἐσχάτων κακῶν.

Διότι αὐτὰ τὰ δύο ὑπεσχέθη ὁ Χριστός, θλῖψιν καὶ ἄνεσιν, πόνους καὶ στεφάνους, ἱδρῶτας καὶ ἀμοιβάς, εὐχάριστα καὶ λυπηρά· ἀλλὰ τὰ μὲν λυπηρὰ τὰ ἔχει δώσει κατὰ τὸν παρόντα βίον, τὰ δὲ εὐχάριστα τὰ ἐφύλαξε διὰ τὴν μέλλουσαν ζωήν, δεικνύων συγχρόνως διὰ τούτων ὅτι δὲν ἀπατᾷ τοὺς ἀνθρώπους ἐλαττώνων τὸ βάρος τῶν θλίψεων μὲ τὴν ἐλπίδα τῶν εὐχαρίστων τῆς ἄλλης ζωῆς. Διότι ἐκεῖνος ποὺ ἀπατᾷ προτείνει πρῶτα τὰ εὐχάριστα καὶ ὕστερα προσθέτει τὰ λυπηρά. Τοῦτο σημαίνει αὐτὸ ποὺ λέγω· οἱ δουλέμποροι πολλάκις ὅταν ἁρπάζουν καὶ κλέπτουν μικρὰ παιδιά, δὲν τοὺς ὑπόσχονται πόνους καὶ μάστιγας, οὔτε τίποτε ὅμοιον μὲ αὐτά, ἀλλὰ γλυκύσματα καὶ ξηροὺς καρποὺς καὶ τὰ παρόμοια μὲ τὰ ὁποῖα εὐχαριστεῖται ἡ παιδικὴ ἡλικία, ὥστε ἀφοῦ δελεασθοῦν ἐκεῖνα μὲ αὐτὰ νὰ προδώσουν τὴν ἐλευθερίαν των καὶ νὰ κινδυνεύσουν θανασίμως.

Καὶ ὀρνίθων δὲ καὶ ἰχθύων οἱ θηρευταὶ οὕτω τὰ θηρευόμενα δελεάζουσι, τὴν συνήθη τροφὴν καὶ καθ' ἡδονὴν τοῖς ἀγρευομένοις οὖσαν πρότερον προτείνοντες, καὶ τὴν παγίδα ταύτῃ περιστέλλοντες. Ὥστε ἀπατώντων μάλιστα τοῦτο ἔργον ἐστί, πρότερον τὰ χρηστὰ προτείνεσθαι, εἶτα ὕστερον ἐπάγειν τὰ λυπηρά, κηδομένων δὲ καὶ φροντιζόντων τοὐναντίον ἅπαν. Οἱ γοῦν πατέρες ἀπεναντίας τοῖς ἀνδραποδισταῖς ποιοῦσιν· ὅταν εἰς διδασκαλεῖον πέμπωσι τὰ παιδία, παιδαγωγοὺς ἐφιστῶσι, πληγὰς ἀπειλοῦσι, φόβον ἐπιτειχίζουσι, καὶ ἐπειδὰν τὴν προτέραν ἡλικίαν οὕτως ἀγάγωσι, τότε ἐν ἕξει γενομένοις αὐτοῖς τιμάς, καὶ δυναστείας, καὶ τρυφήν, καὶ τὸν αὐτῶν πλοῦτον ἅπαντα ἐγχειρίζουσιν.

5. Οὕτω καὶ ὁ Θεὸς ἐποίησεν· οὐ κατὰ τοὺς ἀνδραποδιστάς, ἀλλὰ κατὰ τοὺς πατέρας τοὺς κηδομένους, πρότερον εἰς τὰ λυπηρὰ ἐνέβαλε, καθάπερ παιδαγωγοῖς καὶ διδασκάλοις τῇ παρούσῃ θλίψει παραδιδούς, ἵνα διὰ τούτων παιδευθέντες, σωφρονισθέντες, ὑπομονὴν ἅπασαν ἐπιδειξάμενοι, φιλοσοφίαν ἅπασαν μαθόντες, εἶτα ἐν ἕξει γινόμενοι τὴν βασιλείαν τῶν οὐρανῶν κληρονομήσωμεν· πρότερον ἐπιτηδείους κατεσκεύασε πρὸς τὴν οἰκονομίαν τοῦ διδομένου πλούτου, καὶ τότε αὐτὸν ἐγχειρίζει τὸν πλοῦτον. Εἰ γὰρ μὴ τοῦτο ἐποίησεν, ἡ τοῦ πλούτου δόσις, οὐ δωρεά, ἀλλὰ κόλασις ἦν καὶ τιμωρία.

Καθάπερ γὰρ παῖς ἀνόητος καὶ ἄσωτος τὸν πατρῷον κλῆρον διαδεξάμενος ὑπ' αὐτοῦ τούτου κατακρημνίζεται, φρόνησιν οὐκ ἔχων ἀρκοῦσαν πρὸς τὴν τῶν χρημάτων οἰκονομίαν· εἰ δὲ συνετὸς γένοιτο, καὶ ἐπιεικής, καὶ σώφρων, καὶ μέτριος, εἰς δέον οἰκονομῶν τὰ πατρῷα, λαμπρότερος ταύτῃ καὶ περιφανέστερος γίνεται· οὕτω καὶ ἐφ' ἡμῶν ἀνάγκη

Καὶ οἱ κυνηγοὶ τῶν πτηνῶν καὶ τῶν ψαριῶν ἔτσι τὰ συλλαμβάνουν ἀφοῦ τὰ δελεάζουν, προτείνοντες τὴν συνήθη τροφὴν ποὺ ἀρέσει εἰς αὐτά, καὶ κρύπτοντες κατ' αὐτὸν τὸν τρόπον τὴν παγίδα. Ὥστε τοῦτο εἶναι κυρίως ἔργον ἀπατεώνων, τὸ νὰ προτείνουν πρῶτα τὰ καλὰ καὶ ἔπειτα νὰ ἐπιφέρουν τὰ λυπηρά, ἐνῷ ἐκεῖνοι ποὺ πραγματικὰ φροντίζουν, κάμνουν ἐντελῶς τὸ ἀντίθετον. Οἱ πατέρες λοιπὸν κάμνουν τὰ ἀντίθετα ἀπὸ ὅσα κάμνουν οἱ δουλέμποροι· ὅταν στέλλουν τὰ παιδιὰ εἰς τὸ σχολεῖον, διορίζουν παιδαγωγούς, τὰ ἀπειλοῦν ὅτι θὰ τὰ τιμωρήσουν, τὰ φοβερίζουν, καὶ ὅταν περάσουν τὴν πρώτην των ἡλικίαν, τότε ἀφοῦ λάβουν πεῖραν τῆς συνηθείας, τιμὰς καὶ ἀξιώματα καὶ καλοπέρασιν καὶ ὅλον τὸν πλοῦτον αὐτῶν τοὺς δίδουν.

5. Ἔτσι ἀκριβῶς ἔκαμε καὶ ὁ Θεός· ὄχι ὅπως οἱ δουλέμποροι, ἀλλὰ ὅπως οἱ πατέρες ποὺ φροντίζουν διὰ τὰ παιδιά των, μᾶς ἔβαλε πρῶτα εἰς τὰ λυπηρά, διότι μᾶς παρέδωσεν εἰς τὴν παροῦσαν θλῖψιν, ὡσὰν εἰς παιδαγωγούς, ὥστε διὰ τούτων ἀφοῦ παιδευθοῦμεν καὶ σωφρονισθοῦμεν, νὰ ἐπιδείξωμεν κάθε ὑπομονήν, νὰ μάθωμεν κάθε φιλοσοφίαν, ἔπειτα ὅταν συνηθίσωμεν εἰς αὐτὰ νὰ κληρονομήσωμεν τὴν βασιλείαν τῶν οὐρανῶν· πρῶτα μᾶς κάμνει ἱκανοὺς νὰ διαχειριζώμεθα τὸν πλοῦτον ποὺ μᾶς δίδει, καὶ ἔπειτα μᾶς δίδει τὸν πλοῦτον. Διότι ἐὰν δὲν ἔκαμε τοῦτο, τὸ χάρισμα τοῦ πλούτου δὲν θὰ ἦτο δωρεὰ ἀλλὰ κόλασις καὶ τιμωρία.

Διότι ὅπως ἕνας ἀνόητος υἱὸς καὶ ἄσωτος ποὺ ἐκληρονόμησε πατρικὴν περιουσίαν, καταστρέφεται ἀπὸ αὐτήν, διότι δὲν ἔχει ἀρκετὴν φρόνησιν νὰ τὴν διαχειρισθῇ· ἐὰν δὲ ἤθελε φανῇ συνετὸς εἰς τὴν διαχείρισιν, συνετός, σώφρων καὶ μετρημένος, καλὸς διαχειριστὴς τῆς πατρικῆς περιουσίας, λαμπρότερος διὰ ταύτης καὶ περιφανέστερος γίνεται· αὐτὸ κατ' ἀνάγκην συμβαίνει καὶ εἰς ἡμᾶς. Ὅταν λοιπὸν ἀποχτήσωμεν πνευματικὴν σύνεσιν, ὅταν ἀνδρωθοῦμεν πνευματικῶς καὶ ἀποκτήσωμεν τὸ μέτρον τῆς πνευματικῆς

συμβαίνειν. Ἐπειδὰν σύνεσιν πνευματικὴν δεξώμεθα, ἐπειδὰν εἰς ἄνδρα τέλειον, εἰς μέτρον ἡλικίας καταντήσωμεν οἱ πάντες, τότε ἡμῖν ἐγχειρίζει πάντα, ἅπερ ὑπέσχετο· νυνὶ δὲ καθάπερ παιδία μικρὰ παιδεύει μετὰ παρακλήσεως καὶ παραμυθίας.

Καὶ οὐ τοῦτο μόνον ἐστὶ τὸ κέρδος ἀπὸ τοῦ τὰς θλίψεις προλαβεῖν, ἀλλὰ καὶ ἕτερον οὐκ ἔλαττον τούτου. Ὁ μὲν γὰρ πρότερον τρυφῶν, εἶτα μετὰ τὴν τρυφὴν κόλασιν προσδοκῶν, οὐδὲ τῆς παρούσης τρυφῆς αἰσθάνεται, διὰ τὴν προσδοκίαν τῶν ἐπαγομένων δεινῶν· ὁ δὲ πρότερον ὢν ἐν λυπηροῖς, εἶτα μετὰ ταῦτα μέλλων ἀπολαύσεσθαι χρηστῶν, καὶ τῶν παρόντων ὑπερορᾷ δυσχερῶν, διὰ τὴν ἐλπίδα τῶν μελλόντων χρηστῶν. Οὐ τοίνυν ἀσφαλείας ἕνεκεν μόνον τῆς ἡμετέρας, ἀλλὰ καὶ ἡδονῆς, καὶ παραμυθίας πρότερα ἔταξεν εἶναι τὰ δεινά, ἵνα ταῖς ἐλπίσι τῶν μελλόντων κουφιζόμενοι, μηδεμίαν τῶν παρόντων λάβωμεν αἴσθησιν. Καὶ τοῦτο αὐτὸ ὁ Παῦλος δεικνὺς καὶ ἐμφαίνων, ἔλεγεν, ὅτι «Τὸ παραυτίκα ἐλαφρὸν τῆς θλίψεως ἡμῶν καθ' ὑπερβολὴν εἰς ὑπερβολὴν αἰώνιον βάρος δόξης κατεργάζεται ἡμῖν, μὴ σκοπούντων ἡμῶν τὰ βλεπόμενα, ἀλλὰ τὰ μὴ βλεπόμενα».

Ἐλαφρὰν τὴν θλῖψιν ἐκάλεσεν, οὐ παρὰ τὴν οἰκείαν φύσιν τῶν δεινῶν, ἀλλὰ παρὰ τὴν προσδοκίαν τῶν μελλόντων ἀγαθῶν. Καθάπερ γὰρ ὁ ἔμπορος οὐκ αἰσθάνεται τῆς κατὰ τὴν ναυτιλίαν ταλαιπωρίας, τῇ τῶν φορτίων ἐλπίδι κουφιζόμενος, καὶ ὁ πυκτεύων γενναίως φέρει τὰ τραύματα τῆς κεφαλῆς, πρὸς τὸν στέφανον ἀποβλέπων· οὕτω δὴ καὶ ἡμεῖς πρὸς τὸν οὐρανὸν καὶ τὰ ἐν τοῖς οὐρανοῖς ἀτενίζοντες ἀγαθά, ὅσα ἂν ἐπιφέρηται δεινά, πάντα γενναίως οἴσομεν τῇ χρηστῇ τῶν μελλντων ἐλπίδι νευρούμενοι.

Ταύτην τοίνυν λαβόντες τὴν ῥῆσιν ἀπέλθωμεν· εἰ γὰρ

25. Β' Κορ. 4, 17-18.

ὡριμότητος, τότε μᾶς δίδει ὅλα ἐκεῖνα τὰ ὁποῖα ὑπεσχέθη εἰς ἡμᾶς· τώρα ὅμως ὡς μικρὰ παιδιὰ μᾶς διδάσκει μὲ παρηγορίαν καὶ παραμυθίαν.

Καὶ δὲν εἶναι μόνον τοῦτο τὸ κέρδος ἀπὸ τὸ γεγονὸς ὅτι προηγοῦνται αἱ θλίψεις, ἀλλὰ καὶ ἄλλο ὄχι μικρότερον ἀπὸ αὐτό. Διότι ἐκεῖνος ποὺ πρῶτα ζῇ βίον τρυφηλὸν καὶ ἔπειτα μετὰ τὴν καλοπέρασιν ἀναμένει τιμωρίαν, οὔτε τὴν παροῦσαν εὐχαρίστησιν ἀπολαμβάνει, ἐξ αἰτίας τοῦ γεγονότος ὅτι ἀναμένει νὰ τὸν εὕρουν κακά· ἐκεῖνος δὲ ποὺ πρῶτα εὑρίσκεται εἰς λυπηρὰν κατάστασιν, καὶ μετὰ ἀπὸ αὐτὴν πρόκειται νὰ ἀπολαύσῃ τὰ εὐχάριστα, παραβλέπει καὶ τὰς παρούσας δυσκολίας, ἐπειδὴ ἐλπίζει νὰ ἀπολαύσῃ τὰ μέλλοντα καλά. Λοιπὸν ὄχι μόνον διὰ τὴν ἰδικήν μας ἀσφάλειαν, ἀλλὰ καὶ δι' εὐχαρίστησιν καὶ παρηγορίαν ἔκαμε νὰ εἶναι πρῶτα τὰ κακά, ὥστε νὰ ἀνακουφιζώμεθα μὲ τὰς ἐλπίδας τῶν μελλόντων ἀγαθῶν καὶ νὰ μὴ αἰσθανώμεθα οὐδόλως τὰ δυσάρεστα τῆς παρούσης ζωῆς. Καὶ αὐτὸ ἀκριβῶς δεικνύων καὶ φανερώνων ὁ Παῦλος, ἔλεγεν, ὅτι «Αἱ θλίψεις ποὺ γρήγορα περνοῦν καὶ δι' αὐτὸ εἶναι ἐλαφραί, κατεργάζονται εἰς ἡμᾶς εἰς ὑπερβολικὰ μεγάλον βαθμὸν αἰώνιον βάρος δόξης, ἀρκεῖ νὰ μὴ προσέχωμεν ἐκεῖνα ποὺ βλέπομεν μὲ τὰ μάτια τοῦ σώματος, ἀλλὰ ἐκεῖνα ποὺ δὲν βλέπονται καὶ μᾶς ἀναμένουν μετὰ τὸν θάνατον»[25].

Ἐλαφρὰν ὠνόμασε τὴν θλῖψιν, ὄχι ἐπειδὴ ἐκ φύσεως εἶναι τέτοια, ἀλλὰ διὰ τὴν προσδοκίαν τῶν μελλόντων ἀγαθῶν. Διότι ὅπως ὁ ἔμπορος δὲν αἰσθάνεται τὴν ταλαιπωρίαν τῶν θαλασσινῶν ταξιδίων, διότι ἀνακουφίζεται ἀπὸ τὴν ἐλπίδα τοῦ κέρδους τῶν φορτίων, καὶ ὁ πυγμάχος γενναῖα ὑποφέρει τὰ τραύματα εἰς τὸ κεφάλι, διότι ἀποβλέπει πρὸς τὸν στέφανον τῆς νίκης, ἔτσι καὶ ἡμεῖς ἀτενίζοντες πρὸς τὸν οὐρανὸν καὶ πρὸς τὰ ἀγαθὰ τοῦ οὐρανοῦ, ὅσα κακὰ καὶ ἂν μᾶς ἔρχωνται, ὅλα γενναίως θὰ τὰ ὑποφέρωμεν, ἐπειδὴ θὰ ἐνδυναμούμεθα ἀπὸ τὴν ἐλπίδα τῶν μελλόντων ἀγαθῶν.

Αὐτὸ τὸ ρητὸν ἀφοῦ τὸ χαράξωμεν ἐντός μας ἂς φύγω-

καὶ ψιλὴ καὶ βραχεῖα, ἀλλὰ πολλὴν ἔχει φιλοσοφίας διδασκαλίαν. Ὁ ἐν ὀδύνῃ καὶ θλίψει, ἀρκοῦσαν ἔχει παράκλησιν· ὁ ἐν τρυφῇ καὶ πολυτελείᾳ, μέγαν σωφρονισμόν. Ὅταν γὰρ ἐπὶ τῆς τραπέζης κατακείμενος ἀναμνησθῇς τῆς ῥήσεως ταύτης, ἀποπηδήσεις ταχέως τῆς μέθης καὶ τῆς ἀδηφαγίας, μαθὼν διὰ τῆς λέξεως ταύτης, ὅτι ἐναγωνίους ἡμᾶς εἶναι χρή· καὶ πρὸς ἑαυτὸν ἐρεῖς, Παῦλος ἐν δεσμοῖς καὶ δεσμωτηρίοις, ἐγὼ δὲ ἐν μέθῃ καὶ πολυτελεῖ τραπέζῃ· καὶ ποίας τεύξομαι συγγνώμης;

Τοῦτο καὶ γυναιξὶν ἐπιτήδειον τὸ ῥῆμα· αἱ γὰρ φιλόκοσμοι, καὶ πολυτελεῖς, καὶ χρυσῷ πάντοθεν ἑαυτὰς καταδεσμοῦσαι, τῆς ἁλύσεως ταύτης ἀναμνησθεῖσαι, μισήσουσιν, εὖ οἶδ' ὅτι, καὶ βδελύξονται τὸν κόσμον ἐκεῖνον, καὶ πρὸς ταῦτα δραμοῦνται τὰ δεσμά. Ἐκεῖνα μὲν γὰρ πολλῶν κακῶν αἴτια γέγονε πολλάκις, καὶ μυρίους πολέμους εἰς τὴν οἰκίαν συνήγαγε, καὶ φθόνους καὶ βασκανίας καὶ μῖσος ἔτεκε. Ταῦτα δὲ τῆς οἰκουμένης τὰς ἁμαρτίας ἔλυσε, καὶ δαίμονας ἐφόβησε, καὶ διάβολον ἐφυγάδευσε. Μετὰ τούτων ἐν τῷ δεσμωτηρίῳ διατρίβων τὸν δεσμοφύλακα ἔπεισε, μετὰ τούτων τὸν Ἀγρίππαν ἐπεσπάσατο, μετὰ τούτων πολλοὺς μαθητὰς κατεσκεύασεν ὁ Παῦλος. Διὰ τοῦτο καὶ ἔλεγεν, «Ἐν ᾧ κακοπαθῶ μέχρι δεσμῶν, ὡς κακοῦργος, ἀλλ' ὁ λόγος τοῦ Θεοῦ οὐ δέδεται». Καθάπερ γὰρ ἀκτῖνα δῆσαι οὐ δυνατόν, οὐδὲ συγκλεῖσαι ἐν οἰκίᾳ, οὕτως οὐδὲ τοῦ κηρύγματος τὸν λόγον. Καὶ πολλῷ πλέον, ὁ διδάσκαλος ἐδέδετο, καὶ ὁ λόγος ἐπέτετο· ἐκεῖνος τὸ δεσμωτήριον ᾤκει, καὶ ἡ διδασκαλία πτερωθεῖσα πανταχόσε τῆς οἰκουμένης ἔτρεχε.

6. Ταῦτ' οὖν εἰδότες μὴ προκαταπίπτωμεν ἐπὶ τοῖς δει-

---

26. Πρβλ. Πράξ. 16, 33.
27. Β' Τιμ. 2, 9.

μεν ἀπὸ ἐδῶ· διότι ἂν καὶ εἶναι ἁπλοῦν καὶ σύντομον, ἔχει ὅμως πολλὴν διδασκαλίαν χριστιανικῆς σκέψεως. Αὐτὸς ποὺ ζῇ μὲ πόνον καὶ θλῖψιν ἔχει ἀρκετὴν παράκλησιν ἀπὸ αὐτό· αὐτὸς ποὺ ζῇ μὲ τρυφηλότητα καὶ πολυτέλειαν, σωφρονίζεται ἀπὸ αὐτό. Διότι ὅταν κάθεσαι εἰς τὸ τραπέζι καὶ ἐνθυμηθῇς τὸ ρητὸν τοῦτο, θὰ ἀποφύγῃς τὴν μέθην καὶ τὴν πολυφαγίαν, διότι ἀπὸ αὐτὸ ἔμαθες ὅτι πρέπει νὰ εἴμεθα νηφάλιοι· καὶ θὰ εἰπῇς πρὸς τὸν ἑαυτόν σου, ὁ Παῦλος ἦτο εἰς τὰ δεσμὰ καὶ τὴν φυλακήν, καὶ ἐγὼ εὑρίσκομαι εἰς τὴν μέθην καὶ κάθομαι εἰς πολυτελῆ τράπεζαν· ποίας συγγνώμης θὰ τύχω διὰ τοῦτο;

Τὸ ρητὸν τοῦτο εἶναι κατάλληλον καὶ διὰ τὰς γυναῖκας· διότι ὅσαι ἀγαποῦν τὰ στολίδια καὶ τὴν πολυτέλειαν, καὶ ἀπὸ παντοῦ δένονται μὲ χρυσᾶς ἁλυσίδας, ὅταν ἐνθυμηθοῦν τὴν ἁλυσίδα αὐτήν, γνωρίζω καλῶς ὅτι καὶ θὰ μισήσουν, καὶ θὰ ἀποστραφοῦν τὸν στολισμὸν ἐκεῖνον καὶ θὰ τρέξουν πρὸς τὰ δεσμὰ αὐτά. Διότι ἐκεῖνα ἔχουν γίνει αἰτία πολλῶν κακῶν, καὶ εἰσήγαγον εἰς τὴν οἰκίαν πολλοὺς πολέμους καὶ φθόνους καὶ ζηλοφθονίας καὶ μῖσος. Ἐνῷ αὐτὰ διέλυσαν τὰς ἁμαρτίας τῆς οἰκουμένης, ἐφόβησαν τοὺς δαίμονας καὶ τὸν διάβολον τὸν ἔτρεψαν εἰς φυγήν. Μὲ αὐτὰ ὅταν εὑρίσκετο εἰς τὸ δεσμωτήριον ἔπεισε τὸν δεσμοφύλακα[26], μὲ αὐτὰ προσείλκυσε τὸν Ἀγρίππαν, μὲ αὐτὰ πολλοὺς μαθητὰς ἔκαμεν ὁ Παῦλος. Διὰ τοῦτο καὶ ἔλεγεν· «Διὰ τὸ εὐαγγέλιον ποὺ κηρύττω κακοπαθῶ μέχρι σημείου, ὥστε νὰ εἶμαι ἁλυσοδεμένος ὡσὰν κακοῦργος, ὅμως ὁ λόγος τοῦ Θεοῦ δὲν δένεται»[27]. Καὶ ὅπως δὲν εἶναι δυνατὸν νὰ δέσῃ κανεὶς τὴν ἀκτῖνα τοῦ ἡλίου, οὔτε νὰ τὴν κλείσῃ μέσα εἰς τὸ σπίτι, ἔτσι δὲν ἠμπορεῖ νὰ δέσῃ καὶ τὸν λόγον τοῦ κηρύγματος. Καὶ πολὺ περισσότερον μάλιστα, ἀφοῦ ὁ διδάσκαλος ἦτο δεμένος καὶ ἡ διδασκαλία ἐπετοῦσεν· ἐκεῖνος ἐκατοικοῦσεν εἰς τὸ δεσμωτήριον καὶ ἡ διδασκαλία, ὡσὰν νὰ εἶχε πτερά, ἔτρεχε παντοῦ εἰς τὴν οἰκουμένην.

6. Γνωρίζοντες λοιπὸν αὐτὰ ἂς μὴ ἀποθαρρυνώμεθα διὰ

νοῖς, ἀλλὰ μᾶλλον τότε δυνατώτεροι γινώμεθα, τότε ἰσχυρότεροι· «ἡ γὰρ θλῖψις ὑπομονὴν κατεργάζεται». Μὴ ἀλγῶμεν ἐπὶ ταῖς ἐπαγομέναις συμφοραῖς, ἀλλ' ἐν ἅπασιν εὐχαριστῶμεν τῷ Θεῷ. Δευτέραν ἑβδομάδα τῆς νηστείας παρήλθομεν, ἀλλὰ μὴ τοῦτο σκοπῶμεν· οὐ γὰρ τοῦτό ἐστι παρελθεῖν νηστείαν, ἐὰν τὸν χρόνον παρέλθωμεν, ἀλλ' ἐὰν μετὰ κατορθωμάτων παρέλθωμεν. Τοῦτο λογισώμεθα, εἰ σπουδαιότεροι γεγόναμεν, εἰ διωρθώσαμέν τι τῶν ἡμετέρων ἐλαιτωμάτων, εἰ τὰ ἁμαρτήματα ἀπενιψάμεθα.

Ἔθος ἅπασιν ἐρωτᾶν κατὰ τὴν τεσσαρακοστήν, πόσας ἕκαστος ἑβδομάδας ἐνήστευσε· καὶ ἔστιν ἀκοῦσαι λεγόντων τῶν μέν, ὅτι δύο, τῶν δέ, ὅτι τρεῖς, τῶν δέ, ὅτι πάσας ἐνήστευσαν τὰς ἑβδομάδας. Καὶ τί τὸ κέρδος, ἐὰν ἔρημοι κατορθωμάτων παρέλθωμεν τὴν νηστείαν; Ἐὰν ἕτερος λέγῃ, ὅτι πᾶσαν ἐνήστευσα τὴν τεσσαρακοστήν, σὺ εἰπέ, ὅτι ἐχθρὸν εἶχον, καὶ κατηλλάγην· ἔθος εἶχον κακηγορεῖν, καὶ ἐπαυσάμην· ἔθος εἶχον ὀμνύναι, καὶ ἔλυσα τὸ πονηρὸν ἔθος. Οὐδὲν ὄφελος τοῖς ἐμπόροις, ἂν πολὺ μῆκος πελάγους παραδράμωσιν, ἀλλ' ἐὰν μετὰ φορτίων πλέωσι καὶ πολλῆς τῆς ἐμπορίας· οὐδὲν ὄφελος τῆς νηστείας ἡμῖν, ἂν παρέλθωμεν αὐτὴν ἁπλῶς, εἰκῇ καὶ μάτην.

Ἂν τὴν τῶν βρωμάτων νηστεύωμεν νηστείαν παρελθουσῶν τῶν τεσσαράκοντα ἡμερῶν παρέρχεται καὶ ἡ νηστεία· ἐὰν δὲ ἁμαρτημάτων ἀπεχώμεθα, καὶ τῆς νηστείας παρελθούσης ταύτης, ἐκείνη πάλιν μένει, καὶ διηνεκὴς ἔσται ἐντεῦθεν ἡμῖν ἡ ὠφέλεια, καὶ πρὸ τῆς βασιλείας τῶν οὐρανῶν οὐ μικρὰς ἡμῖν ἐνταῦθα ἀποδώσει τὰς ἀμοιβάς· ὥσπερ γὰρ ὁ ζῶν ἐν πονηρίᾳ, καὶ πρὸ τῆς γεέννης κολάζεται

28. Ρωμ. 5, 3,

τὰ διάφορα κακά, ἀλλὰ μᾶλλον τότε νὰ γινώμεθα περισσότερον δυνατοί, τότε νὰ γινώμεθα περισσότερον ἰσχυροί· «Διότι ἡ θλῖψις δημιουργεῖ τὴν ὑπομονήν»[28]. Ἂς μὴ λυπούμεθα διὰ τὰς συμφορὰς ποὺ μᾶς εὑρίσκουν, ἀλλὰ δι' ὅλας νὰ εὐχαριστοῦμεν τὸν Θεόν. Ἐπεράσαμεν τὴν δευτέραν ἑβδομάδα τῆς νηστείας, ἀλλὰ ἂς μὴ σκεπτώμεθα τοῦτο· διότι πέρασμα νηστείας δὲν εἶναι τοῦτο, τὸ νὰ περάσωμεν τὸν χρόνον τῆς νηστείας, ἀλλὰ ἐὰν μὲ ἐπιτυχίαν ἐπεράσαμεν αὐτήν. Τοῦτο νὰ σκεπτώμεθα, ἐὰν ἔχωμεν γίνει καλύτεροι, ἐὰν ἔχωμεν διορθώσει κάποιο ἀπὸ τὰ ἐλαττώματά μας, ἐὰν ἔχωμεν ἀποπλύνει τὰ ἁμαρτήματά μας.

Ὑπάρχει εἰς ὅλους συνήθεια νὰ ἐρωτοῦν κατὰ τὴν τεσσαρακοστὴν πόσας ἑβδομάδας ἐνήστευσε κάθε ἕνας· καὶ ἠμπορεῖ νὰ ἀκούσῃ κανεὶς νὰ λέγουν ἄλλοι μέν, ὅτι δύο, ἄλλοι δὲ ὅτι τρεῖς, καὶ ἄλλοι ὅτι ὅλας τὰς ἑβδομάδας ἐνήστευσαν. Καὶ ποῖον θὰ εἶναι τὸ κέρδος, ἐὰν δίχως κατορθώματα ἀρετῆς περάσωμεν τὴν περίοδον τῆς νηστείας; Ἐὰν κάποιος λέγῃ, ὅτι ἐνήστευσα ὁλόκληρον τὴν περίοδον τῆς τεσσαρακοστῆς, σὺ εἰπέ, ὅτι εἶχα ἐχθρὸν καὶ συνεφιλιώθην μὲ αὐτόν· εἶχα συνήθειαν νὰ κατηγορῶ καὶ τὴν ἐσταμάτησα· εἶχα συνήθειαν νὰ ὁρκίζωμαι καὶ ἀπηλλάγην ἀπὸ τὴν κακὴν συνήθειαν. Καμμίαν ὠφέλειαν δὲν ἔχουν οἱ ἔμποροι, ἂν διατρέξουν πολὺ μεγάλην θάλασσαν ἁπλῶς, ἀλλ' ἐὰν τὴν διαπλεύσουν μὲ πολλὰ φορτία ἐμπορευμάτων· καμμίαν ὠφέλειαν δὲν θὰ ἔχωμεν ἀπὸ τὴν νηστείαν, ἂν ἁπλῶς καὶ μόνον τὴν περάσωμεν εἰκῇ καὶ ὡς ἔτυχεν.

Ἂν τηρήσωμεν τὴν νηστείαν τῶν φαγητῶν, ὅταν περάσουν αἱ τεσσαράκοντα ἡμέραι, περνᾷ καὶ ἡ νηστεία· ἂν ὅμως ἀπέχωμεν ἀπὸ τὰ ἁμαρτήματα, καὶ ἡ περίοδος τῆς νηστείας νὰ περάσῃ, ἐκείνη ἡ νηστεία (τῶν ἁμαρτημάτων) πάλιν μένει, καὶ θὰ εἶναι συνεχὴς ἡ ὠφέλεια εἰς ἡμᾶς καὶ πρὶν ἀκόμα ἀπὸ τὴν βασιλείαν τῶν οὐρανῶν θὰ μᾶς χαρίσῃ ὄχι μικρὰς ἀμοιβὰς ἐδῶ· διότι ὅπως ἐκεῖνος ποὺ ζῇ εἰς τὴν ἁμαρτίαν καὶ τιμωρεῖται πρὶν ἀπὸ τὴν γέενναν τῆς κολά-

τῷ συνειδότι κεντούμενος· οὕτως ὁ πλουτῶν ἐν κατορθώμασι, καὶ πρὸ τῆς βασιλείας χαρᾶς μεγίστης ἀπολαύσεται, χρησταῖς ἐντρεφόμενος ἐλπίσι.

Διὰ τοῦτο ὁ Χριστός φησι· «Πάλιν ὄψομαι ὑμᾶς, καὶ χαρήσεσθε, καὶ τὴν χαρὰν ὑμῶν οὐδεὶς λαμβάνει». Βραχὺ τὸ ῥῆμα, ἀλλὰ πολλὴν ἔχει παραμυθίαν. Τί ποτ' οὖν ἐστι, «Τὴν χαρὰν ὑμῶν οὐδεὶς λαμβάνει»; Χρήματα ἂν ἔχῃς, πολλοὶ δύνανταί σου τὴν χαρὰν ἀπὸ τοῦ πλούτου λαβεῖν καὶ κλέπτης διορύττων τοῖχον, καὶ οἰκέτης ἀφαιρούμενος τὰ ἐμπιστευθέντα, καὶ βασιλεὺς δημεύων, καὶ βάσκανος ἄνθρωπος ἐπηρεάζων. Δυναστείαν ἂν ἔχῃς, πολλοὶ δύνανται σου λαβεῖν τὴν ἀπὸ ταύτης χαράν· ὅταν γὰρ παραλυθῇ τὰ τῆς ἀρχῆς, παραλυθήσεται καὶ τὰ τῆς ἡδονῆς· καὶ ἐν αὐτῇ δὲ τῇ ἀρχῇ πολλὰ συμπίπτοντα πράγματα, δυσκολίαν ἔχοντα καὶ φροντίδας, ὑποτέμνεταί σου τὴν εὐθυμίαν. Ἰσχὺν σώματος ἂν ἔχῃς, νόσος ἐπελθοῦσα κατέλυσε τὴν ἀπὸ ταύτης χαράν· κάλλος ἐὰν ἔχῃς καὶ ὥραν, γῆρας ἐπελθὸν ἐμάρανε καὶ ἀφείλετο τὴν χαράν· τραπέζης ἐὰν ἀπολαύῃς πολυτελοῦς, ἑσπέρας καταλαβούσης, κατελύθη καὶ ἡ τῆς εὐωχίας χαρά· ἕκαστον γὰρ τῶν βιωτικῶν πραγμάτων εὐεπηρέαστόν ἐστι, καὶ μόνιμον ἡμῖν οὐκ ἰσχύει παρασχεῖν τὴν ἡδονήν· ἡ δὲ εὐσέβεια καὶ ἡ κατὰ ψυχὴν ἀρετὴ τοὐναντίον ἅπαν.

Ἐλεημοσύνην ἐὰν ποιήσῃς, οὐδεὶς ἀφελεῖν δύναται τὸ κατόρθωμα, κἂν στρατόπεδα, κἂν βασιλεῖς, κἂν μυρίοι συκοφάνται, κἂν ἐπίβουλοι πάντοθεν ἐπιθῶνται, τὸ εἰς τὸν οὐ-

---

20. Ἰω. 16, 22.

σεως, τιμωρούμενος ἀπὸ τοὺς ἐλέγχους τῆς συνειδήσεως, ἔτσι καὶ ὁ πλούσιος εἰς τὰ κατορθώματα καὶ πρὶν ἀπὸ τὴν βασιλείαν τοῦ Θεοῦ θὰ ἀπολαύσῃ μεγάλην χαράν, ἐπειδὴ τρέφεται μὲ καλὰς ἐλπίδας.

Διὰ τοῦτο ὁ Χριστὸς λέγει· «Πάλιν θὰ σᾶς ἴδω καὶ θὰ χαρῆτε καὶ τὴν χαράν σας κανεὶς δὲν θὰ ἠμπορέσῃ νὰ τὴν πάρῃ»[29]. Μικρὸν εἶναι τὸ ρητόν, ἀλλὰ ἔχει πολλὴν παρηγορίαν. Τί σημαίνει λοιπὸν ὅτι «τὴν χαράν σας κανεὶς δὲν ἠμπορεῖ νὰ πάρῃ»; Ἂν ἔχῃς χρήματα πολλοὶ ἠμποροῦν τὴν χαράν σου ποὺ προέρχεται ἀπὸ τὸν πλοῦτον νὰ τὴν πάρουν, καὶ ὁ κλέπτης ποὺ τρυπᾷ τὸν τοῖχον, καὶ ὁ ὑπηρέτης ποὺ ἀφαιρεῖ ὅ,τι τοῦ ἐνεπιστεύθης, καὶ ὁ βασιλεὺς ποὺ τὰ δημεύει, καὶ ὁ φθονερὸς ἄνθρωπος ποὺ θέλει νὰ σὲ βλάψῃ. Ἂν ἔχῃς πάλιν πολιτικὴν ἐξουσίαν, πολλοὶ πάλιν ἠμποροῦν νὰ σοῦ ἀφαιρέσουν τὴν χαρὰν ποὺ προέρχεται ἀπὸ αὐτήν· διότι ὅταν παραλύσῃ ἡ ἐξουσία, παραλύεται καὶ ἡ ἐκ ταύτης προερχομένη ἡδονή· καὶ κατὰ τὸν χρόνον τῆς ἐξασκήσεως τῆς ἐξουσίας συμβαίνουν πολλὰ πράγματα ποὺ ἔχουν δυσκολίας καὶ φροντίδας καὶ σοῦ μειώνουν τὴν εὐχαρίστησιν ἐξ αὐτῆς. Ἂν ἔχῃς δύναμιν καὶ εὐρωστίαν σωματικήν, ὅταν ἔλθῃ ἡ ἀσθένεια καταλύει τὴν χαρὰν ποὺ εἶχες ἀπὸ αὐτά· ἂν ἔχῃς ὡραιότητα καὶ νεανικὴν ἀκμήν, ὅταν ἐπέρχεται τὸ γῆρας μαραίνει αὐτὰ καὶ σοῦ ἀφαιρεῖ τὴν χαράν· ἂν ἀπολαμβάνῃς πλουσίας καὶ πολυτελοῦς τραπέζης, ὅταν ἔρχεται τὸ βράδυ, χάνεται ἡ χαρὰ ποὺ προέρχεται ἀπὸ τὴν εὐτυχίαν· διότι κάθε ἕνα ἀπὸ τὰ βιωτικὰ πράγματα εἶναι εὐκολομετάβλητον, καὶ δὲν ἠμπορεῖ νὰ μᾶς παράσχῃ μόνιμον εὐχαρίστησιν· μὲ τὴν εὐσέβειαν δὲ καὶ τὴν ψυχικὴν ἀρετὴν συμβαίνει ἐντελῶς τὸ ἀντίθετον.

Ἐὰν κάμῃς ἐλεημοσύνην, κανεὶς δὲν ἠμπορεῖ νὰ σοῦ ἀφαιρέσῃ τὸ κατόρθωμα αὐτὸ καὶ ἂν ἀκόμα ἀπὸ παντοῦ σοῦ ἐπιτεθοῦν στρατεύματα, βασιλεῖς, ἀναρίθμητοι συκοφάνται, ἐπίβουλοι, τὸ κτῆμα, τὸ ὁποῖον ἀπέθεσες μὲ τὴν ἐλεημοσύνην εἰς τὸν οὐρανόν, κανεὶς δὲν ἠμπορεῖ νὰ σοῦ τὸ ἀφαιρέ-

ρανὸν ἀποτεθὲν κτῆμα ἀφελέσθαι οὐ δύνανται· ἀλλὰ μένει διηνεκὴς ἡ χαρά. «Ἐσκόρπισε γάρ», φησίν, «ἔδωκε τοῖς πένησιν, ἡ δικαιοσύνη αὐτοῦ μένει εἰς τὸν αἰῶνα»· καὶ μάλα εἰκότως. Ἐν γὰρ τοῖς τῶν οὐρανῶν ἀπόκειται ταμιείοις, ὅπου οὐ κλέπτης διορύττει, οὐ λῃστὴς λαμβάνει, οὐ σὴς κατεσθίει. Εὐχὰς ἐὰν εὔξῃ συνεχεῖς καὶ ἐκτενεῖς, τὸν καρπὸν τὸν ἀπὸ τούτων οὐδεὶς συλῆσαι δυνήσεται· καὶ γὰρ οὗτος ὁ καρπὸς ἐν τοῖς οὐρανοῖς ἐρρίζωται, πάσης ἐπηρείας ἀπηλλαγμένος, καὶ μένων ἀχείρωτος. Ἐὰν κακῶς παθὼν εὐεργετήσῃς, ἐὰν κακῶς ἀκούσας φιλοσοφήσῃς, ἐὰν λοιδορηθεὶς εὐλογήσῃς, ταῦτα τὰ κατορθώματα μένει διηνεκῶς, καὶ τὴν ἐκ τούτων χαρὰν οὐδεὶς λαμβάνει· ἀλλ' ὁσάκις ἂν αὐτῶν ὑπομνησθῇς, χαίρῃ καὶ εὐφραίνῃ, καὶ πολλὴν καρποῦσαι τὴν ἡδονὴν

Οὕτω δὴ καὶ τὸ φεύγειν ὅρκον ἐὰν κατορθώσωμεν, καὶ πείσωμεν τὴν γλῶτταν τὴν ἡμετέραν ἀπέχεσθαι τῆς ὀλεθρίου συνηθείας ταύτης, τὸ μὲν κατόρθωμα ἔσται ἐν βραχεῖ καιρῷ, ἡ δὲ εὐφροσύνη τοῦ κατορθώματος διηνεκῶς καὶ ἀδιαλείπτως. Λοιπὸν ὑμᾶς καὶ ἑτέρων διδασκάλους εἶναι χρὴ καὶ καθηγητάς, καὶ φίλους τοῦ πλησίον, καὶ τοὺς οἰκέτας δὲ τοὺς συνδούλους, καὶ νέους τοὺς ὁμήλικας λαμβάνειν, καὶ παιδεύειν, καὶ ἐνάγειν.

Ἆρα εἴ τίς σοι χρύσινον ἕνα καθ' ἕκαστον διορθούμενον ἄνθρωπον ἐπηγγείλατο, οὐ πᾶσαν ἂν ἐποιήσω σπουδήν, καὶ διημέρευες προσεδρεύων, πείθων, παρακαλῶν; Νῦν δὲ οὐχ ἕνα χρύσινον, οὐδὲ δέκα, οὐδὲ εἴκοσι, καὶ ἑκατόν, καὶ χιλίους, οὐδὲ γῆν ὁλόκληρον ὑπισχνεῖταί σοι τῶν πόνων τούτων ἀμοιβὴν ὁ Θεός· ἀλλ' ὃ τοῦ κόσμου παντὸς μεῖζόν ἐστι, τοῦτό σοι δίδωσι, τὴν βασιλείαν τῶν οὐρανῶν, καὶ οὐ τοῦτο

30. Ψαλμ. 112, 9.

σῃ, ἀλλὰ ἡ χαρὰ ποὺ προέρχεται ἀπὸ αὐτὸ ποὺ ἔκαμες εἶναι διαρκής. «Ἐσκόρπισε», λέγει, «πλουσιοπάροχα εἰς τοὺς ἔχοντας ἀνάγκην, ἔδωκεν εἰς τοὺς πτωχοὺς καὶ ἡ ἀρετή του ἐκ τῶν ἀγαθοεργιῶν μένει εἰς τὸν αἰῶνα»[30]· καὶ πολὺ εὔλογα. Διότι ἔχει κατατεθῆ εἰς τὰ οὐράνια ταμεῖα, ὅπου οὔτε κλέπτης τρυπᾷ τοὺς τοίχους, οὔτε ὁ ληστὴς τὰ ἁρπάζει, οὔτε ὁ σκῶρος τὸ κατατρώγει. Ἂν κάμῃς προσευχὰς συνεχεῖς καὶ ἐκτενεῖς τὸν καρπόν, ποὺ ἀπὸ αὐτὰς προέρχεται, κανεὶς δὲν ἠμπορεῖ νὰ σοῦ ἀφαιρέσῃ· διότι ὁ καρπὸς αὐτὸς ἔχει ριζωθῆ εἰς τοὺς οὐρανούς, καὶ εἶναι ἀνεπηρέαστος ἀπὸ κάθε βλάβην καὶ δὲν ἠμπορεῖ κανεὶς νὰ τὸν κυριεύσῃ. Ἐὰν κακοποιηθῇς καὶ εὐεργετήσῃς αὐτὸν ποὺ σοῦ ἐπροξένησε κακόν, ἐὰν κακολογηθῇς καὶ φιλοσοφήσῃς, ἐὰν ὑβρισθῇς καὶ μὲ καλὰ λόγια ἀπαντήσῃς εἰς τὴν ὕβριν, αὐτὰ τὰ κατορθώματα μένουν συνεχῶς, καὶ κανεὶς δὲν ἠμπορεῖ νὰ ἀφαιρέσῃ τὴν χαρὰν ποὺ προέρχεται ἀπὸ αὐτά· ἀλλὰ ὁσάκις ἐνθυμηθῇς αὐτὰ χαίρεσαι καὶ εὐχαριστεῖσαι καὶ ἀπολαμβάνεις πολλὴν ἡδονήν.

Ἔτσι λοιπὸν ἂν κατορθώσωμεν νὰ ἀποφύγωμεν νὰ ὁρκιζώμεθα, καὶ πείσωμεν τὴν γλῶσσαν μας νὰ ἀπέχῃ ἀπὸ τὴν ὀλέθριον αὐτὴν συνήθειαν, τὸ μὲν κατόρθωμα τοῦτο θὰ τὸ ἐπιτύχωμεν εἰς ὀλίγον χρόνον, ἡ δὲ χαρὰ ποὺ θὰ προέλθῃ ἀπὸ αὐτὸ θὰ εἶναι συνεχὴς καὶ παντοτινή. Λοιπὸν σεῖς πρέπει νὰ γίνεται διδάσκαλοι καὶ καθηγηταὶ εἰς τοὺς ἄλλους καὶ οἱ φίλοι τοὺς φίλους, καὶ οἱ ὑπηρέται τοὺς συναδέλφους των, καὶ οἱ νέοι τοὺς συνομηλίκους των νὰ παίρνουν μαζί των καὶ νὰ τοὺς διδάσκουν καὶ νὰ τοὺς συμβουλεύουν.

Ἆρά γε ἐὰν κάποιος σοῦ ὑπέσχετο ὅτι θὰ σοῦ ἔδιδε διὰ κάθε ἄνθρωπον ποὺ θὰ διώρθωνες καὶ ἀπὸ ἕνα χρυσοῦν νόμισμα, δὲν θὰ κατέβαλλες κάθε δυνατὴν προσπάθειαν, καὶ δὲν θὰ ἔμενες ὅλην τὴν ἡμέραν κοντά του προσπαθῶν νὰ τὸν πείσῃς καὶ παρακινῶν αὐτόν; Τώρα δὲ ὄχι μόνον ἕνα χρυσοῦν νόμισμα, οὔτε δέκα, οὔτε εἴκοσι καὶ ἑκατὸν καὶ χίλια, οὔτε ὁλόκληρον τὴν γῆν σοῦ ὑπόσχεται ὡς ἀμοιβὴν τῶν κόπων σου τούτων ὁ Θεός, ἀλλ' ἐκεῖνο ποὺ εἶναι ἀνώτερον ἀπὸ ὅλον τὸν κόσμον σοῦ δίδει, τὴν βασιλείαν τῶν

μόνον, ἀλλὰ καὶ ἕτερον πρὸς τούτῳ. Ποῖον δὴ τοῦτο; «Ὁ ἐξάγων τίμιον ἐξ ἀναξίου, ὡς στόμα μου ἔσται», φησί· τί τούτου γένοιτ' ἂν ἴσον εἰς τιμῆς λόγον καὶ ἀσφαλείας; Ποία δὲ ἡμῖν ἀπολογία καὶ συγγνώμη μετὰ τὴν τοσαύτην ὑπόσχεσιν τῆς τῶν πλησίον ἀμελοῦσι σωτηρίας; Σὺ δ' ἂν μὲν εἰς βάραθρον ἴδῃς καταπίπτοντα τυφλόν, χεῖρα ὀρέγεις, καὶ νομίζεις ἀνάξιον εἶναι τὸ περιιδεῖν ἀπολλύμενον· ὁρῶν δὲ καθ' ἑκάστην ἡμέραν κατακρημνιζομένους πάντας τοὺς ἀδελφοὺς εἰς τὴν πονηρὰν τῶν ὅρκων συνήθειαν, οὐδὲ ῥῆμα προέσθαι τολμᾷς; Ἀλλ' εἶπας ἅπαξ, καὶ οὐκ ἤκουσεν· οὐκοῦν εἰπὲ καὶ δίς, καὶ τρίς, καὶ τοσαυτάκις, ἕως ἂν πείσῃς. Καθ' ἑκάστην ἡμέραν ὁ Θεὸς ἡμῖν διαλέγεται, καὶ οὐκ ἀκούομεν, καὶ οὐκ ἀφίσταται διαλεγόμενος· ταύτην καὶ σὺ μίμησαι τὴν κηδεμονίαν περὶ τὸν πλησίον.

Διὰ τοῦτο μετ' ἀλλήλων ἐσμέν, καὶ πόλεις οἰκοῦμεν, καὶ ἐν ἐκκλησίαις συναγόμεθα, ἵνα τὰ ἀλλήλων βάρη βαστάζωμεν, ἵνα τὰ ἀλλήλων ἁμαρτήματα διορθώμεθα. Καὶ καθάπερ ἐργαστήριον ἓν οἰκοῦντες ἄνθρωποι διαφόρως μὲν ἐμπορεύονται, πάντα δὲ εἰς τὸ κοινὸν ἀποτίθενται· οὕτω δὴ καὶ ἡμεῖς ποιῶμεν. Ἅπερ ἂν ἕκαστος ἀγαθὰ δύναται εἰσφέρειν τῷ πλησίον, μὴ ὀκνείτω, μηδὲ ἀναδυέσθω, ἀλλὰ γινέσθω πραγματεία τις καὶ ἀντίδοσις τοιαύτη πνευματική, ἵνα εἰς τὸ κοινὸν ἅπαντα καταθέμενοι, καὶ πολὺν κτησάμενοι πλοῦτον, καὶ μέγαν ποιήσαντες τὸν θησαυρόν, κοινῇ πάντες τύχωμεν τῆς βασιλείας τῶν οὐρανῶν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, δι' οὗ καὶ μεθ' οὗ τῷ Πατρὶ ἡ δόξα, ἅμα τῷ ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

---

31. Ἱερ. 15, 19.

οὐρανῶν, καὶ ὄχι μόνον αὐτό, ἀλλὰ καὶ ἄλλο μαζὶ μὲ αὐτό. Ποῖον εἶναι τοῦτο; «Ἐκεῖνος ποὺ ἀποχωρίζει τὸν ἔντιμον ἀπὸ τὸν ἀνάξιον θὰ εἶναι ὡσὰν τὸ στόμα μου»[31], λέγει. Τί ἠμπορεῖ νὰ γίνῃ ἴσον μὲ τοῦτο ἀπὸ ἀπόψεως τιμῆς καὶ ἀσφαλείας; Ποίαν δὲ ἀπολογίαν θὰ ἔχωμεν καὶ ποίαν συγγνώμην θὰ εὕρωμεν, ὅταν, μετὰ ἀπὸ αὐτὴν τὴν ὑπόσχεσιν τοῦ Θεοῦ, ἀμελοῦμεν διὰ τὴν σωτηρίαν τοῦ πλησίον μας; Σὺ δὲ ἂν ἴδῃς κάποιον τυφλὸν νὰ πέφτῃ εἰς βάραθρον τοῦ τείνεις χεῖρα βοηθείας, καὶ πιστεύεις ὅτι εἶναι ἀνάρμοστον τὸ νὰ παραβλέψῃς αὐτὸν ποὺ χάνεται· τώρα δὲ ποὺ βλέπεις κάθε ἡμέραν ὅλους τοὺς ἀδελφοὺς νὰ κατακρημνίζωνται εἰς τὴν πονηρὰν συνήθειαν τῶν ὅρκων, δὲν τολμᾷς νὰ εἰπῇς οὔτε μίαν λέξιν; Ἀλλ' εἶπες μίαν φορὰν καὶ δὲν σὲ ἤκουσεν λοιπὸν νὰ εἰπῇς καὶ δύο καὶ τρεῖς, καὶ τόσας φοράς, ὅσας χρειάζεται διὰ νὰ τὸν πείσῃς. Καθημερινῶς ὁ Θεὸς μᾶς ὁμιλεῖ καὶ δὲν τὸν ἀκούομεν καὶ ὅμως δὲν παύει νὰ μᾶς ὁμιλῇ συνεχῶς· καὶ σὺ λοιπὸν νὰ μιμηθῇς αὐτὴν τὴν φροντίδα τοῦ Θεοῦ διὰ τὸν πλησίον σου.

Διὰ τοῦτο ζοῦμεν εἰς κοινωνίαν, καὶ κατοικοῦμεν πόλεις, καὶ συγκεντρωνόμεθα εἰς τὰς ἐκκλησίας, διὰ νὰ βαστάζῃ ὁ ἕνας τὰ βάρη τοῦ ἄλλου, διὰ νὰ διορθώνῃ ὁ ἕνας τὰ ἁμαρτήματα τοῦ ἄλλου. Καὶ ὅπως οἱ ἄνθρωποι ποὺ κατοικοῦν εἰς ἓν ἐργαστήριον, κατὰ διαφορετικὸν μὲν τρόπον ἐμπορεύονται, ὅλα δὲ τὰ καταθέτουν εἰς κοινὸν ταμεῖον, ἔτσι καὶ ἡμεῖς ἂς κάμωμεν. Ὅσα ἀγαθὰ ἠμπορεῖ κάθε ἕνας νὰ εἰσφέρῃ εἰς τὸν πλησίον του, ἂς μὴ ὀκνήσῃ, ἂς μὴ δείξῃ ἀπροθυμίαν, ἀλλὰ ἂς γίνεται ἓν εἶδος ἀνταλλαγῆς καὶ ἀνταποδώσεως πνευματικῆς, ὥστε, ἀφοῦ τὰ καταθέσωμεν ὅλοι εἰς τὸ κοινὸν ταμεῖον, καὶ ἀποκτήσωμεν πολὺν πλοῦτον, καὶ κάμωμεν μεγάλον τὸν θησαυρὸν τῶν ἀρετῶν, ὅλοι μαζὶ ἀπὸ κοινοῦ νὰ ἐπιτύχωμεν τῆς βασιλείας τῶν οὐρανῶν, διὰ τῆς χάριτος καὶ φιλανθρωπίας τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, διὰ τοῦ ὁποίου καὶ μετὰ τοῦ ὁποίου εἰς τὸν Πατέρα, καὶ εἰς τὸ ἅγιον Πνεῦμα συγχρόνως ἂς εἶναι ἡ δόξα τώρα καὶ πάντοτε καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ΟΜΙΛΙΑ ΔΕΚΑΤΗ ΕΒΔΟΜΗ

ΕΙΣ ΤΟΥΣ ΑΡΧΟΝΤΑΣ

τοὺς παρὰ τοῦ βασιλέως Θεοδοσίου ἀποσταλέντας Ἐλλέβιχον στρατηλάτην καὶ Καισάριον μάγιστρον εἰς τὴν τῶν πεπλημμεληκότων ἐξέτασιν διὰ τὴν τῶν ἀνδριάντων καταστροφήν.

1. Εἰς καιρὸν ὑπεψήλαμεν ἅπαντες κοινῇ τήμερον «Εὐλογητὸς Κύριος ὁ Θεὸς τοῦ Ἰσραήλ, ὁ ποιῶν θαυμάσια μόνος». Καὶ γὰρ θαυμαστὰ καὶ παράδοξα γέγονε πράγματα· πόλιν ὁλόκληρον καὶ δῆμον τοσοῦτον καταποντίζεσθαι μέλλοντα, καὶ ὑποβρύχιον γίνεσθαι, καὶ ἀπόλλυσθαι τέλεον ἀθρόον, ἐν μιᾷ καιροῦ ῥοπῇ τῆς ναυαγίας ἁπάσης ἀπήλλαξεν. Εὐχαριστήσωμεν τοίνυν, μὴ μόνον, ὅτι τὸν χειμῶνα ἔλυσεν, ἀλλ' ὅτι καὶ γενέσθαι αὐτὸν συνεχώρησε· μὴ μόνον ὅτι τῆς ναυαγίας ἡμᾶς ἀπήλλαξεν, ἀλλ' ὅτι καὶ πρὸς τοσαύτην ἀγωνίαν καταπεσεῖν ἀφῆκε, καὶ τὸν περὶ ἐσχάτων ἡμῖν ἐπικρεμασθῆναι κίνδυνον. Οὕτω καὶ Παῦλος ἐκέλευσε ἐν παντὶ εὐχαριστεῖν. Ὅταν δὲ εἴπῃ, «Ἐν παντὶ εὐχαριστεῖτε», τοῦτο λέγει, μὴ μόνον ἐν τῇ λύσει τῶν δεινῶν, ἀλλὰ καὶ ἐν τῷ καιρῷ τῶν δεινῶν. «Τοῖς γὰρ ἀγαπῶσι τὸν Θεὸν πάντα συνεργεῖ εἰς ἀγαθόν».

Εὐχαριστήσωμεν αὐτῷ διὰ τὴν λύσιν τῶν πειρασμῶν, καὶ μὴ ἐπιλαθώμεθα τούτων ποτέ· εὐχαῖς προσέχωμεν, ἱκετηρίαις συνεχέσιν, εὐλαβείᾳ πολλῇ. Ὅτε παρὰ τὴν ἀρχὴν ἡ χαλεπὴ τῶν κακῶν τούτων ἀνήφθη πυρά, ἔλεγον, ὅτι οὐκ

---

1. Ψαλμ. 71, 18.
2. Α΄ Θεσ. 5, 18.
3. Ρωμ. 8, 28.

ΟΜΙΛΙΑ ΔΕΚΑΤΗ ΕΒΔΟΜΗ

ΕΙΣ ΤΟΥΣ ΑΡΧΟΝΤΑΣ

Ἐλλέβιχον τὸν στρατηλάτην καὶ Καισάριον τὸν μάγιστρον ποὺ ἀπεστάλησαν ἀπὸ τὸν βασιλέα Θεοδόσιον, διὰ νὰ ἐξετάσουν ἐκείνους ποὺ ἔπταισαν εἰς τὴν καταστροφὴν τῶν ἀνδριάντων.

1. Εἰς κατάλληλον καιρὸν ὑπεψάλλαμεν σήμερον ὅλοι μαζὶ «Εὐλογητὸς ὁ Κύριος, ὁ Θεὸς τοῦ Ἰσραήλ, ὁ ὁποῖος μόνος ἔχει τὴν δύναμιν νὰ κάνῃ θαυμάσια καὶ καταπληκτικὰ ἔργα»[1]. Διότι πράγματι ἔχουν γίνει θαυμαστὰ καὶ παράδοξα πράγματα· ὁλόκληρος πόλις καὶ τόσον πολὺ πλῆθος ποὺ ἐπρόκειτο νὰ καταποντισθῇ καὶ νὰ φθάσουν εἰς τὸν βυθὸν καὶ τελείως νὰ καταστραφοῦν διὰ μιᾶς εἰς ἐλάχιστον χρονικὸν διάστημα ἀπήλλαξεν ἀπὸ κάθε κίνδυνον ναυαγίου. Ἂς τὸν εὐχαριστήσωμεν λοιπόν, ὄχι μόνον ἐπειδὴ κατέπαυσε τὴν τρικυμίαν, ἀλλὰ καὶ ἐπειδὴ ἐπέτρεψε νὰ γίνῃ αὐτή· καὶ ὄχι μόνον ἐπειδὴ μᾶς ἀπήλλαξεν ἀπὸ τὸ ναυάγιον, ἀλλὰ καὶ ἐπειδὴ μᾶς ἄφησε νὰ πέσωμεν εἰς τόσον μεγάλην ἀγωνίαν καὶ νὰ διακινδυνεύσωμεν τὸν ἔσχατον κίνδυνον. Ἔτσι καὶ ὁ Παῦλος διέταξε διὰ κάθε τί νὰ εὐχαριστοῦμεν τὸν Θεόν. Ὅταν δὲ λέγῃ, «Διὰ κάθε τί νὰ εὐχαριστῆτε τὸν Θεόν»[2], τοῦτο λέγει, δηλαδὴ νὰ μὴ εὐχαριστοῦμεν μόνον ὅταν περάσουν τὰ κακά, ἀλλὰ καὶ κατὰ τὸν χρόνον ποὺ ὑφιστάμεθα αὐτά. «Διότι εἰς ἐκείνους ποὺ ἀγαποῦν τὸν Θεὸν ὅλα συνεργοῦν διὰ τὸ καλόν τους»[3].

Ἂς εὐχαριστήσωμεν τὸν Θεὸν διὰ τὴν λύσιν τῶν πειρασμῶν καὶ ἂς μὴ λησμονήσωμεν ποτὲ αὐτούς· ἂς εἴμεθα προσηλωμένοι εἰς τὰς προσευχάς, εἰς τὰς συνεχεῖς ἱκετηρίας μὲ πολλὴν εὐσέβειαν. Ὅταν εἰς τὴν ἀρχὴν ἤναψεν ἡ δύσκολη αὐτὴ φωτιὰ τῶν κακῶν τούτων ἔλεγον ὅτι δὲν εἶ-

ἔστι καιρὸς διδασκαλίας, ἀλλὰ καιρὸς εὐχῶν· τοῦτο δὴ καὶ νῦν, ἐπειδὴ ἐσβέσθη, λέγω, ὅτι νῦν μάλιστα καιρὸς εὐχῶν, ἢ πρότερον, νῦν μάλιστα καιρὸς δακρύων καὶ κατανύξεως, καὶ ψυχῆς πεπονημένης, καὶ πολλῆς σπουδῆς, καὶ πολλῆς ἀσφαλείας. Τότε μὲν γὰρ αὐτὴ τῶν θλίψεων ἡ φύσις καὶ ἄκοντας ἡμᾶς συνέστελλε, καὶ σωφρονεῖν παρεσκεύαζε, καὶ πρὸς πλείονα ἤγαγεν εὐλάβειαν· νυνὶ δὲ ἀφαιρεθέντος τοῦ χαλινοῦ, καὶ τοῦ νέφους παρελθόντος, δέος, μὴ πρὸς ῥαθυμίαν ἀποκλίνωμεν, μὴ χαυνότεροι γενώμεθα πάλιν ὑπὸ τῆς ἀνέσεως, μὴ δὲ περὶ ἡμῶν εἴπῃ τις· «Ὅτε ἀπέκτεινεν αὐτούς, τότε ἐξεζήτουν αὐτόν, καὶ ἐπέστρεφον, καὶ ὤρθριζον πρὸς τὸν Θεόν». Διὰ τοῦτο καὶ Μωϋσῆς Ἰουδαίοις παρήνει λέγων· «Φαγὼν καὶ πιών, καὶ ἐμπλησθεὶς μνήσθητι Κυρίου τοῦ Θεοῦ σου».

Νῦν ὑμῶν ἡ εὐγνωμοσύνη φανεῖται, ἂν ἐπὶ τῆς εὐλαβείας μένητε τῆς αὐτῆς· τότε μὲν γὰρ πολλοὶ τῷ φόβῳ καὶ τῇ τῶν δεινῶν ἐπαγωγῇ τὴν σπουδὴν ὑμῶν ἐλογίζοντο· νῦν δὲ καθαρὸν ὑμῶν ἔσται τὸ κατόρθωμα, ἂν μείνητε τὴν αὐτὴν διατηροῦντες σπουδήν. Ἐπεὶ καὶ παιδίον, ἕως μὲν ἂν ὑπὸ παιδαγωγοῦ τινος ἄγηται φοβεροῦ, καὶ μετὰ σωφροσύνης, καὶ ἐπιεικείας ζῇ, θαυμαστὸν οὐδέν, ἀλλὰ τῷ τοῦ παιδαγωγοῦ φόβῳ τὴν σωφροσύνην τοῦ νέου λογίζονται πάντες· ὅταν δὲ ἀποθέμενος τὴν ἐκεῖθεν ἀνάγκην, ἐπὶ τῆς αὐτῆς μένῃ σεμνότητος, τότε καὶ τὴν ἐπὶ τῆς προτέρας ἡλικίας σωφροσύνην αὐτῷ πάντες λογίζονται.

Τοῦτο δὴ καὶ ἡμεῖς ποιήσωμεν· ἐπὶ τῆς αὐτῆς μένωμεν εὐλαβείας, ἵνα καὶ τῆς προτέρας σπουδῆς πολὺν τὸν ἔπαινον παρὰ τοῦ Θεοῦ καρπωσώμεθα. Μυρία προσεδοκήσαμεν δει-

4. Ψαλμ. 77, 34.
5. Δευτερ. 6, 12-13.

ναι καιρὸς διδασκαλίας, ἀλλὰ καιρὸς προσευχῶν. Τοῦτο λοιπὸν λέγω καὶ τώρα, ἐπειδὴ ἔσβησεν ἡ φωτιά, ὅτι δηλαδὴ τώρα εἶναι κατάλληλος καιρὸς διὰ προσευχάς, παρὰ προηγουμένως, τώρα εἶναι καιρὸς δακρύων καὶ κατανύξεως καὶ ψυχῆς συντετριμμένης καὶ καιρὸς πολλῆς προθυμίας καὶ πολλῆς ἀσφαλείας. Διότι τότε αὐτὴ ἡ φύσις τῶν θλίψεων, καὶ χωρὶς τὴν θέλησίν μας, μᾶς ἔκαμε νὰ ἤμεθα συνεσταλμένοι καὶ σώφρονες, καὶ μᾶς ἔφερεν εἰς μεγαλυτέραν εὐσέβειαν· τώρα δὲ ποὺ ἔχει ἀφαιρεθῇ ὁ χαλινός, καὶ ἐπέρασε τὸ σύννεφον τῶν θλίψεων, ὑπάρχει φόβος, μήπως ἐκτραποῦμεν εἰς τὴν ραθυμίαν, μήπως γίνωμεν ἀμελέστεροι πάλιν ἐξ αἰτίας τῆς ἀνέσεως, μήπως εἴπῃ κάποιος δι' ἡμᾶς· «Ὅταν τοὺς παρέδιδεν εἰς τὸν θάνατον, τότε ἀπὸ τὸν φόβον τους ἐζήτουν αὐτὸν καὶ ἐπέστρεφον εἰς αὐτὸν ἀπὸ τὸν δρόμον τῆς ἁμαρτίας, καὶ ἀπὸ πολὺ πρωὶ κατέφευγον πρὸς τὸν Θεόν»[4]. Διὰ τοῦτο καὶ ὁ Μωσῆς συνεβούλευε τοὺς Ἰουδαίους λέγων· «Ἀφοῦ φάγῃς καὶ πίῃς καὶ χορτάσῃς, νὰ ἐνθυμηθῇς τὸν Κύριον τὸν Θεόν σου»[5].

Τώρα θὰ φανῇ ἡ εὐγνωμοσύνη σας, ἂν ἐξακολουθῆτε νὰ παραμένετε εἰς τὴν ἰδίαν εὐλάβειαν· διότι τότε πολλοὶ ἀπέδιδον τὴν σπουδήν σας εἰς τὸν φόβον καὶ εἰς τὰ ἐπερχόμενα κακά· τώρα δὲ θὰ εἶναι καθαρὸν τὸ κατόρθωμά σας ἂν ἐξακολουθῆτε νὰ διατηρῆτε τὴν ἰδίαν προθυμίαν πρὸς τὴν ἀρετήν. Ἐπειδὴ καὶ τὸ παιδί, ἕως ὅτου διατελεῖ ὑπὸ τὴν παιδαγωγίαν κάποιου φοβεροῦ παιδαγωγοῦ, καὶ μὲ σωφροσύνην ζεῖ καὶ μὲ κοσμιότητα, καὶ δὲν προκαλεῖ τὸν θαυμασμὸν κανενός, διότι ὅλοι ἀποδίδουν τὴν σωφροσύνην τοῦ νέου εἰς τὸν φόβον τοῦ παιδαγωγοῦ· ὅταν ὅμως ἀποβάλῃ τὴν ἀναγκαστικὴν ἐπιρροὴν ἐκείνου καὶ μένῃ εἰς τὴν ἰδίαν σεμνότητα τότε καὶ τὴν σωφροσύνην ποὺ εἶχε προηγουμένως τὴν ἀποδίδουν ὅλοι εἰς αὐτό.

Αὐτὸ λοιπὸν ἂς κάμωμεν καὶ ἡμεῖς· ἂς μένωμεν εἰς τὴν ἰδίαν εὐλάβειαν, διὰ νὰ λάβωμεν πολὺ τὸν ἔπαινον ἀπὸ τὸν Θεὸν καὶ διὰ τὴν προηγουμένην μας προθυμίαν. Ἀνεμένα-

νά, τὰς οὐσίας διαρπαγήσεσθαι πάντων, τὰ οἰκήματα ἐμπρησθήσεσθαι μετὰ τῶν οἰκούντων, τὴν πόλιν ἐκ μέσης ἀναρπασθήσεσθαι τῆς οἰκουμένης, καὶ τὰ λείψανα αὐτῆς ἀπολεῖσθαι ἅπαντα, ἄροτρον αὐτῆς τὸ ἔδαφος δέξεσθαι· ἀλλ' ἰδοὺ ταῦτα πάντα ἐπὶ τῆς προσδοκίας ἔστη μόνον καὶ εἰς ἔργον οὐκ ἐξῆλθε. Καὶ οὐ τοῦτο μόνον ἐστὶ τὸ θαυμαστόν, ὅτι τοσοῦτον κίνδυνον ἔλυσεν ὁ Θεός, ἀλλ' ὅτι καὶ μεγάλα ἡμᾶς εὐηργέτησε, καὶ τὴν πόλιν ἡμῶν ἐκόσμησε, καὶ διὰ τοῦ πειρασμοῦ τούτου καὶ τῆς συμφορᾶς δοκιμωτέρους εἰργάσατο· καὶ πῶς, ἐγὼ λέγω.

Ὅτε οἱ παρὰ τοῦ βασιλέως ἀποσταλέντες ἐπὶ τὴν τῶν γεγενημένων ἐξέτασιν τὸ φοβερὸν ἐκεῖνο συνεκρότησαν δικαστήριον, καὶ πάντας ἐπὶ τὰς εὐθύνας τῶν τετολμημένων ἐκάλουν, καὶ θανάτων διαφόρων προσδοκία πᾶσιν ἦν, τότε οἱ τὰς ἀκρωρείας τῶν ὀρῶν κατοικοῦντες μοναχοὶ τὴν οἰκείαν ἐπιδείξαντο φιλοσοφίαν. Ἔτεσι γὰρ τοσούτοις ἐν ταῖς αὐτῶν καλύβαις συγκεκλεισμένοι, οὐδενὸς παρακαλέσαντος, οὐδενὸς συμβουλεύσαντος, ἐπειδὴ τοσοῦτον νέφος εἶδον τὴν πόλιν περιιστάμενον, καταλιπόντες αὐτῶν τὰς σκηνάς, καὶ τὰ σπήλαια, πάντοθεν συνέρρευσαν, καθάπερ ἐξ οὐρανοῦ τινες ἄγγελοι παραγενόμενοι· καὶ ἦν ἰδεῖν τὴν πόλιν ἐοικυῖαν οὐρανῷ τότε, πανταχοῦ τῶν ἁγίων ἐκείνων φαινομένων, κα ἀπὸ τῆς ὄψεως μόνον παρακαλούντων τοὺς ὀδυνωμένους, καὶ πρὸς πᾶσαν ὑπεροψίαν συμφορᾶς ἀγόντων. Τίς γὰρ ἰδὼν ἐκείνους οὐκ ἂν κατεγέλασε θανάτου; οὐκ ἂν ὑπερεῖδε ζωῆς;

Οὐ τοῦτο δὲ μόνον ἦν τὸ θαυμαστόν, ἀλλ' ὅτι καὶ τοῖς ἄρχουσιν αὐτοῖς προσελθόντες μετὰ παρρησίας διελέχθησαν ὑπὲρ τῶν ὑπευθύνων, καὶ τὸ αἷμα παρεσκευάσαντο πάντες ἐκχεῖν, καὶ τὰς κεφαλὰς ἀποθέσθαι, ὥστε τοὺς ἁλόντας τῶν

μεν ἀναρίθμητα κακά, νὰ διαρπαγοῦν αἱ περιουσίαι ὅλων, νὰ καοῦν αἱ οἰκίαι μας μαζὶ μὲ αὐτοὺς ποὺ κατοικοῦν μέσα, νὰ χαθῇ ὁλόκληρος ἡ πόλις μας ἀπὸ τὴν οἰκουμένην, καὶ τὰ λείψανά της νὰ ἐξαφανισθοῦν τελείως καὶ νὰ δεχθῇ τὸ ἔδαφος αὐτῆς τὸ ἄροτρον· καὶ ὅμως ὅλα αὐτὰ παρέμειναν μόνον ἀναμενόμενα καὶ δὲν ἐπραγματοποιήθησαν. Καὶ δὲν εἶναι μόνον τοῦτο τὸ ἀξιοθαύμαστον, ὅτι δηλαδὴ ἀπεμάκρυνε τόσον μεγάλον κίνδυνον ὁ Θεός, ἀλλ' ὅτι καὶ πολὺ μᾶς εὐηργέτησε, καὶ τὴν πόλιν μας ἐστόλισε, καὶ διὰ τοῦ πειρασμοῦ τούτου καὶ τῆς συμφορᾶς μᾶς ἔκαμε πιὸ δοκίμους· καὶ πῶς, ἐγὼ θὰ σᾶς εἴπω τώρα.

Ὅταν ἐκεῖνοι ποὺ ἀπεστάλησαν ἀπὸ τὸν βασιλέα, διὰ νὰ κάμουν ἀνακρίσεις διὰ τὰ γεγονότα, συνεκρότησαν τὸ φοβερὸν ἐκεῖνο δικαστήριον, καὶ ἐκαλοῦσαν ὅλους νὰ δώσουν λόγον δι' ὅσα ἔπραξαν καὶ εἰς ὅλους ἦτο διάχυτη ἡ προσδοκία τοῦ θανάτου, τότε οἱ μοναχοὶ ποὺ κατοικοῦσαν εἰς τὰς κορυφὰς τῶν ὀρέων ἐπέδειξαν τὴν ἰδικήν των φιλοσοφίαν. Διότι ἐνῷ ἔμενον τόσα ἔτη κλεισμένοι μέσα εἰς τὰς καλύβας των, χωρὶς νὰ τοὺς παρακαλέσῃ κανείς, χωρὶς νὰ τοὺς συμβουλεύσῃ κανείς, ἐπειδὴ εἶδαν τόσον μεγάλο σύννεφον κακῶν νὰ περιβάλλῃ καὶ νὰ ἀπειλῇ τὴν πόλιν, ἀφοῦ ἄφησαν τὰς σκηνὰς καὶ τὰ σπήλαια ἀπὸ παντοῦ συνεκεντρώθησαν, ὡς ἄγγελοι ἐξ οὐρανοῦ, καὶ ἦλθον εἰς τὴν πόλιν· καὶ ἠμποροῦσε νὰ ἰδῇ κανεὶς νὰ ὁμοιάζῃ ἡ πόλις τότε μὲ οὐρανόν, διότι παντοῦ οἱ ἅγιοι ἐκεῖνοι ἐφαίνοντο, καὶ μόνον μὲ τὴν ὄψιν τους παρηγοροῦσαν ἐκείνους ποὺ ὑπέφεραν καὶ τοὺς ἔκαμαν νὰ περιφρονοῦν κάθε συμφοράν. Διότι ποῖος εἶναι ἐκεῖνος ποὺ θὰ τοὺς ἔβλεπε καὶ δὲν θὰ ἐπεριφρονοῦσε τὸν θάνατον; Δὲν θὰ ἔδειχνε περιφρόνησιν διὰ τὴν ζωήν;

Καὶ δὲν ἦτο μόνον τοῦτο τὸ ἀξιοθαύμαστον, ἀλλὰ καὶ τὸ γεγονὸς ὅτι ἀφοῦ παρουσιάσθησαν εἰς τοὺς ἄρχοντας, ὡμίλησαν μὲ θάρρος ὑπὲρ τῶν ὑπευθύνων καὶ ἦσαν ἕτοιμοι νὰ χύσουν ὅλοι τὸ αἷμα των, καὶ νὰ χάσουν τὸ κεφάλι των,

προσδοκωμένων ἐξαρπάσαι δεινῶν, καὶ οὐκ ἄφησαν ἀποστήσεσθαι πρότερον, ἕως ἂν ἢ φείσωνται τοῦ δήμου τῆς πόλεως οἱ δικάζοντες, ἢ κοινῇ μετὰ τῶν ὑπευθύνων αὐτοὺς πρὸς βασιλέα πέμψωσι. Θεοφιλὴς γάρ ἐστι, φησίν, ὁ κρατῶν τῆς καθ' ἡμᾶς οἰκουμένης, πιστός, ἐν εὐσεβείᾳ ζῶν· ἡμεῖς οὖν αὐτὸν καταλλάξομεν πάντως· οὐκ ἐπιτρέψομεν ὑμῖν, οὐδὲ συγχωρήσομεν αἱμάξαι ξίφος, οὐδὲ ἀποτεμεῖν κεφαλήν. Εἰ δὲ μὴ ἀνάσχοισθε, καὶ ἡμεῖς μετ' αὐτῶν ἀποθανούμεθα πάντως.

Δεινὰ μὲν γὰρ τὰ τετολμημένα καὶ ἡμεῖς ὁμολογοῦμεν, ἀλλ' οὐχ ὑπερβαίνει τὴν τοῦ βασιλέως φιλανθρωπίαν ἡ τῶν γεγενημένων παρανομία. Λέγεταί τις ἐξ αὐτῶν καὶ ἕτερον ῥῆμα γέμον φιλοσοφίας εἰπεῖν, ὅτι οἱ μὲν ἀνδριάντες οἱ κατενεχθέντες ἀνέστησαν πάλιν, καὶ τὸ οἰκεῖον ἀπέλαβον σχῆμα, καὶ τὸ γεγενημένον διόρθωσιν ἔσχε ταχίστην· ὑμεῖς δὲ ἂν τοῦ Θεοῦ τὴν εἰκόνα ἀποκτείνητε, πῶς δυνήσεσθε πάλιν ἀνακαλέσασθαι τὸ πεπλημμελημένον; πῶς ἀναστῆσαι τοὺς ἀπολλυμένους, καὶ τὰς ψυχὰς τοῖς σώμασιν ἀποδοῦναι; Πολλὰ καὶ περὶ κρίσεως αὐτοῖς διελέχθησαν.

2. Τίς οὐκ ἂν ἐκπλαγείη, τίς οὐκ ἂν θαυμάσειε τὴν φιλοσοφίαν τῶν ἀνδρῶν; Ἵνα μία τῶν ὑπευθύνων μήτηρ γυμνώσασα τὴν κεφαλήν, καὶ τὰς πολιὰς δείξασα, τοῦ μέλλοντος δικάζειν κατάσχῃ τὸν ἵππον ἀπὸ τοῦ χαλινοῦ καὶ παρατρέχουσα διὰ τῆς ἀγορᾶς οὕτως εἰς τὸ δικαστήριον εἰσέλθῃ, πάντες ἐξεπλάγημεν, πάντες ἐθαυμάσαμεν τὴν φιλοστοργίαν, τὴν μεγαλοψυχίαν· πῶς οὐχὶ μᾶλλον τούτους ἐκπλήττεσθαι χρή; Ἐκείνη μὲν γὰρ εἰ καὶ ἀπέθανεν ὑπὲρ τοῦ παιδός,

ὥστε νὰ γλυτώσουν τοὺς συλληφθέντας ἀπὸ τὰ κακὰ ποὺ τοὺς ἀνέμενον, καὶ εἶπον ὅτι δὲν θὰ ἀπομακρυνθοῦν προηγουμένως, ἕως ὅτου ἢ λυπηθοῦν τὸν λαὸν τῆς πόλεως οἱ δικασταὶ καὶ τὸν ἀπαλλάξουν ἢ μαζὶ μὲ τοὺς ὑπευθύνους νὰ τοὺς στείλουν πρὸς τὸν βασιλέα. Διότι θεοφοβούμενος εἶναι, λέγουν, ὁ βασιλεύς μας, ὁ ὁποῖος ἐξουσιάζει τὴν οἰκουμένην, πιστὸς καὶ εὐσεβής· ἡμεῖς λοιπὸν θὰ τὸν συμφιλιώσωμεν ὁπωσδήποτε μὲ τὴν πόλιν· δὲν θὰ σᾶς ἐπιτρέψωμεν οὔτε θὰ ἀνεχθῶμεν νὰ βάψετε τὸ ξίφος εἰς τὸ αἷμα, οὔτε νὰ κόψετε κεφάλια. Καὶ ἐὰν σεῖς δὲν ὑποχωρήσετε καὶ ἡμεῖς μαζί τους ἐξάπαντος θὰ ἀποθάνωμεν.

Εἶναι φοβερὰ αὐτὰ ποὺ ἀπετολμήθησαν, ὁμολογοῦμεν καὶ ἡμεῖς, ἀλλὰ δὲν ὑπερβαίνει τὴν φιλανθρωπίαν τοῦ βασιλέως ἡ γενομένη παρανομία. Λέγεται ὅτι κάποιος ἀπὸ αὐτοὺς εἶπε καὶ κάτι ἄλλο, γεμᾶτο ἀπὸ φιλοσοφίαν, ὅτι δηλαδὴ οἱ μὲν ἀνδριάντες οἱ ὁποῖοι ἔπεσαν κάτω ἐστήθησαν πάλιν καὶ ἐπῆραν τὴν μορφὴν ποὺ εἶχαν, καὶ ἐκεῖνο τὸ κακὸν ποὺ ἔγινε γρήγορα διορθώθη· σεῖς δὲ ἂν φονεύσετε τὴν εἰκόνα τοῦ Θεοῦ, πῶς θὰ ἠμπορέσετε νὰ ἐπανορθώσετε τὸ κακὸν ποὺ θὰ κάμετε; πῶς θὰ ἠμπορέσετε νὰ ἀναστήσετε αὐτοὺς ποὺ θὰ φονεύσετε, καὶ νὰ ἀποδώσετε εἰς τὰ σώματα τὰς ψυχάς; Πολλὰ εἶπον πρὸς αὐτοὺς καὶ περὶ τῆς κρίσεως.

2. Ποῖος δὲν θὰ ἐκπλαγῇ, ποῖος δὲν θὰ θαυμάσῃ τὴν φιλοσοφίαν τῶν ἀνδρῶν τούτων; Διότι ἐὰν τὸ παράδειγμα μιᾶς μητέρας ἑνὸς ἀπὸ τοὺς ὑπευθύνους, ἡ ὁποία ἐξεσκέπασε τὴν κεφαλήν της, καὶ ἔδειξε τὰ ἄσπρα μαλλιά της, ἔπιασε τὸν χαλινὸν τοῦ ἵππου ἑνὸς ἀπὸ ἐκείνους ποὺ ἐπρόκειτο νὰ δικάσουν, καὶ τρέχουσα μαζὶ μὲ αὐτὸν μέσα εἰς τὴν ἀγοράν, ἠμπόρεσε διὰ τοῦ τρόπου αὐτοῦ νὰ εἰσέλθῃ εἰς τὸ δικαστήριον, ἐξέπληξεν ὅλους, καὶ ὅλοι ἐθαυμάσαμεν τὴν φιλοστοργίαν καὶ τὴν μεγαλοψυχίαν της, πῶς δὲν πρέπει νὰ θαυμάσωμεν καὶ νὰ ἐκπλαγοῦμεν ἀπὸ τὸ παράδειγμα τούτων; Διότι ἐκείνη μὲν καὶ ἂν ἀκόμα ἀπέθνησκε διὰ τὸ

οὐδὲν θαυμαστόν· μεγάλη γὰρ ἡ τῆς φύσεως τυραννίς, καὶ ἄμαχος ἡ τῶν ὠδίνων ἀνάγκη· οὗτοι δὲ οὓς οὐκ ἐγέννησαν, οὐδὲ ἔθρεψαν, μᾶλλον δὲ οὓς οὐκ εἶδον, ὧν οὐκ ἤκουσαν, οἷς οὐδέποτε συνεγένοντο, οὓς ἀπὸ τῆς συμφορᾶς ἐγνώρισαν μόνης, οὕτως ἐφίλησαν ὡς, εἰ καὶ μυρίας εἶχον ψυχάς, ἑλέσθαι πάσας ὑπὲρ τῆς τούτων ἐπιδοῦναι σωτηρίας.

Μὴ γάρ μοι τοῦτο εἴπῃς, ὅτι οὐκ ἐσφάγησαν, οὐδὲ ἐξέχεαν τὸ αἷμα, ἀλλ' ὅτι τοσαύτῃ πρὸς τοὺς δικάζοντας ἐχρήσαντο παρρησίᾳ, ὅσῃ μόνους τοὺς ἀπεγνωκότας τῆς ἑαυτῶν ψυχῆς χρήσασθαι εἰκὸς ἦν, καὶ μετὰ τοιαύτης γνώμης ἀπὸ τῶν ὀρῶν ἐπὶ τὸ δικαστήριον ἔδραμον. Οὐδὲ γὰρ εἰ μὴ πρότερον ἑαυτοὺς πρὸς πᾶσαν παρεσκεύασαν σφαγήν, οὐκ ἂν οὕτως ἴσχυσαν πρὸς τοὺς δικάζοντας ἐλευθεροστομῆσαι τότε, καὶ τοσαύτην ἐπιδείξασθαι μεγαλοψυχίαν. Καὶ γὰρ διημέρευον πρὸ τῶν θυρῶν τοῦ δικαστηρίου καθήμενοι, τοὺς ἀπάγεσθαι μέλλοντας ἐξαρπάσαι τῶν δημίων παρεσκευασμένοι.

Ποῦ νῦν εἰσιν οἱ τοὺς τρίβωνας ἀναβεβλημένοι, καὶ βαθὺ γένειον δεικνύντες, καὶ ῥόπαλα τῇ δεξιᾷ φέροντες, οἱ τῶν ἔξωθεν φιλόσοφοι, τὰ κυνικὰ καθάρματα, οἱ τῶν ἐπιτραπεζίων κυνῶν ἀθλιώτερον διακείμενοι, καὶ γαστρὸς ἕνεκεν πάντα ποιοῦντες; Πάντες κατέλιπον τότε τὴν πόλιν, πάντες ἀπεπήδησαν, εἰς τὰ σπήλαια κατεκρύβησαν, μόνοι δὲ οἱ διὰ τῶν ἔργων ἀληθῶς τὴν φιλοσοφίαν ἐπιδεικνύμενοι, καθάπερ οὐδενὸς δεινοῦ τὴν πόλιν κατειληφότος, οὕτως ἀδεῶς ἐπὶ τῆς ἀγορᾶς ἐφάνησαν. Καὶ οἱ μὲν τὰς πόλεις οἰκοῦντες πρὸς τὰ ὄρη καὶ τὰς ἐρημίας ἀπέπτησαν, οἱ δὲ

---

6. Οἱ κυνικοὶ φιλόσοφοι.

παιδί της, τοῦτο δὲν θὰ ἦτο τόσον ἄξιον θαυμασμοῦ· διότι εἶναι μεγάλη ἡ δύναμις τῆς ἀνθρωπάνης φύσεως καὶ ἀκαταμάχητος ἡ στοργὴ τῆς μητέρας· αὐτοὶ ὅμως ἐκείνους ποὺ δὲν ἐγέννησαν, οὔτε ἔθρεψαν, μᾶλλον δὲ αὐτοὺς ποὺ καθόλου δὲν τοὺς εἶδον, αὐτοὺς ποὺ δὲν τοὺς ἤκουσαν, μὲ τοὺς ὁποίους οὐδέποτε συναναστράφησαν, τοὺς ὁποίους μόνον ἀπὸ τὴν συμφοράν των τοὺς ἐγνώρισαν, τόσον πολὺ τοὺς ἠγάπησαν, ὥστε, ἀκόμα καὶ ἂν εἶχον ἀναριθμήτους ψυχὰς θὰ ἐπροτιμοῦσαν ὅλας νὰ τὰς θυσιάσουν διὰ τὴν σωτηρίαν αὐτῶν.

Διότι μὴ μοῦ εἰπῇς ὅτι δὲν ἐσφάγησαν, οὔτε ἔχυσαν τὸ αἷμα των, ἀλλὰ σκέψου ὅτι ἔδειξαν πρὸς ἐκείνους τόσην παρρησίαν, ὅσην μόνον ἐκεῖνοι ποὺ ἔχουν ἀποφασίσει νὰ ἀποθάνουν ἦτο φυσικὸν νὰ δείξουν, καὶ μὲ αὐτὴν τὴν ἀπόφασιν ἀπὸ τὰ ὄρη, εἰς τὰ ὁποῖα ἐκατοικοῦσαν, ἔτρεξαν εἰς τὸ δικαστήριον. Διότι ἐὰν δὲν εἶχον προετοιμασθῆ διὰ κάθε εἴδους σφαγήν, δὲν θὰ ἠμποροῦσαν τότε νὰ μεταχειρισθοῦν τόσην ἐλευθεροστομίαν, καὶ νὰ ἐπιδείξουν τόσην μεγαλοψυχίαν. Καθ' ὅσον ἐπερνοῦσαν ὅλην τὴν ἡμέραν των καθήμενοι πρὸ τῶν θυρῶν τοῦ δικαστηρίου, ἕτοιμοι νὰ ἁρπάξουν ἀπὸ τοὺς δημίους, ἐκείνους ποὺ ἐπρόκειτο νὰ ὁδηγηθοῦν εἰς τὴν ἐκτέλεσιν.

Ποῦ εἶναι ἐκεῖνοι ποὺ φοροῦν τὸν φιλοσοφικὸν μανδύα, καὶ ἔχουν νὰ ἐπιδείξουν μεγάλην γενειάδα, καὶ κρατοῦν ρόπαλα εἰς τὴν δεξιάν, οἱ ἐθνικοὶ φιλόσοφοι, τὰ κυνικὰ καθάρματα[6], οἱ ὁποῖοι εἶναι ἀθλιώτεροι ἀπὸ τὰ σκυλιὰ ποὺ κάθονται κοντὰ εἰς τὸ τραπέζι, καὶ διὰ νὰ γεμίσουν τὸ στομάχι των κάνουν τὰ πάντα; Ὅλοι τότε ἐγκατέλειψαν τὴν πόλιν, ὅλοι ἀπεμακρύνθησαν, ἐκρύβησαν μέσα εἰς τὰ σπήλαια, μόνοι δὲ ἐκεῖνοι ποὺ ἐμπράκτως φανερώνουν τὸν χριστιανικὸν τρόπον ζωῆς των, ὡσὰν νὰ μὴ εἶχε συμβῆ κανένα κακὸν εἰς τὴν πόλιν, μὲ τόσην ἀφοβίαν ἐνεφανίσθησαν εἰς τὴν ἀγοράν. Καὶ ἐκεῖνοι μὲν ποὺ ἐκατοικοῦσαν εἰς τὰς πόλεις ἔφυγαν πρὸς τὰ ὄρη καὶ τὰς ἐρημίας, οἱ δὲ πο-

τῆς ἐρήμου πολῖται εἰς τὴν πόλιν εἰσήλασαν, δεικνύντες διὰ τῶν ἔργων αὐτῶν, ὅπερ ἐν ταῖς ἔμπροσθεν ἡμέραις οὐ διέλειπον λέγων, ὅτι τὸν μετὰ τῆς ἀρετῆς ζῶντα οὐδὲ κάμινός τι βλάψαι δυνήσεται.

Τοσοῦτόν ἐστι φιλοσοφία ψυχῆς πάντων ὑψηλοτέρα γινομένη, καὶ τῶν χρηστῶν, καὶ τῶν λυπηρῶν ἁπάντων· οὔτε γὰρ ἐν ἐκείνοις χαυνοῦται, οὔτε ὑπὸ τούτων καταστέλλεται, καὶ ταπεινοῦται, ἀλλὰ μένει διὰ πάντων ἴση, τὴν οἰκείαν ἰσχὺν καὶ δύναμιν ἐπιδεικνυμένη. Τίνα γὰρ οὐκ ἤλεγξεν ἡ τοῦ παρόντος καιροῦ δυσκολία; Οἱ τὰ πρῶτα πολιτευσάμενοι παρ' ἡμῖν, οἱ ἐν δυναστείαις ὄντες, οἱ πλοῦτον ἄφατον περιβεβλημένοι, οἱ πολλὴν πρὸς βασιλέα παρρησίαν ἔχοντες, τὰς οἰκίας ἀφέντες ἐρήμους ἅπαντες, ὑπὲρ τῆς ἑαυτῶν ἐβουλεύοντο σωτηρίας, καὶ φιλία πᾶσα, καὶ συγγένεια τότε ἠλέγχετο, καὶ οὓς πάλαι ᾔδεσαν, κατὰ τὸν καιρὸν τῆς συμφορᾶς τούτους ἀγνοεῖν ἐβούλοντο, καὶ ἀγνοεῖσθαι παρ' ἐκείνων ηὔχοντο· οἱ δὲ μοναχοί ἄνθρωποι πένητες, ἱματίου πλέον οὐδὲν ἔχοντες εὐτελοῦς, ἐν ἀγροικίᾳ βεβιωκότες, οὐδένες εἶναι δοκοῦντες ἔμπροσθεν, ὄρεσι καὶ νάπαις ὁμιλοῦντες, καθάπερ τινὲς λέοντες, μετὰ μεγάλου καὶ ὑψηλοῦ φρονήματος, πάντων δεδοικότων καὶ κατεπτηχότων εἰς τὸ μέσον στάντες τὸ δεινὸν ἔλυσαν, οὐκ ἐν πολλαῖς ἡμέραις, ἀλλ' ἐν βραχείᾳ καιροῦ ῥοπῇ.

Καὶ καθάπερ οἱ γενναῖοι τῶν ἀριστέων οὐ συμπλακέντες τοῖς ἐναντίοις, ἀλλὰ καὶ φανέντες ἐπὶ τῆς παρατάξεως μόνον, καὶ βοήσαντες τρέπονται τοὺς ἀντιπάλους· οὕτω δὴ καὶ οὗτοι ἐν ἡμέρᾳ μιᾷ καὶ κατέβησαν, καὶ διελέχθησαν, καὶ τὴν συμφορὰν ἔλυσαν, καὶ πρὸς τὰ οἰκεῖα ἀνέβησαν

λῖται τῆς ἐρήμου εἰσῆλθον εἰς τὴν πόλιν, ἀποδεικνύοντες διὰ τῶν ἔργων αὐτῶν, ἐκεῖνο ποὺ κατὰ τὰς προηγουμένας ἡμέρας δὲν παρέλειπον νὰ λέγω, ὅτι δηλαδὴ ἐκεῖνον ποὺ ζῇ μὲ τὴν ἀρετὴν δὲν θὰ ἠμπορέσῃ νὰ τὸν βλάψῃ εἰς κάτι οὔτε ἡ κάμινος.

Τόσον ὑψηλοτέρα γίνεται ἡ ψυχὴ ποὺ φιλοσοφεῖ καὶ ἀπὸ τὰ καλὰ καὶ ἀπὸ τὰ λυπηρὰ ὅλα· διότι οὔτε ἀπὸ ἐκεῖνα ἀποχαυνώνεται, οὔτε ἀπὸ αὐτὰ καταπίπτει καὶ ταπεινοῦται, ἀλλὰ μένει εἰς ὅλα ἡ αὐτή, ἐπιδεικνύουσα τὴν ἰδικήν της δύναμιν δι' ὅλων τούτων. Διότι ποῖον δὲν κατέβαλεν ἡ παροῦσα δύσκολος περίστασις; Ἐκεῖνοι ποὺ εἶχαν τὰ πρῶτα πολιτικὰ ἀξιώματα μεταξύ μας, αὐτοὶ ποὺ κατεῖχον τὰ διάφορα ἀξιώματα, ἐκεῖνοι ποὺ ἦσαν περιβεβλημένοι μὲ πολὺν πλοῦτον, ἐκεῖνοι ποὺ εἶχον πολὺ θάρρος πρὸς τὸν βασιλέα, ἀφοῦ ἄφησαν ὅλοι τὰς οἰκίας των, ἐσκέπτοντο διὰ τὴν ἰδικήν των σωτηρίαν, καὶ κάθε φιλία καὶ συγγένεια τότε δὲν ἐλαμβάνετο ὑπ' ὄψιν, καὶ ἐκείνους ποὺ προηγουμένως ἐγνώριζον, κατὰ τὸν καιρὸν τῆς συμφορᾶς, ἤθελον νὰ μὴ γνωρίζουν αὐτούς, καὶ ηὔχοντο καὶ ἐκεῖνοι νὰ τοὺς ἀγνοοῦν· οἱ δὲ μοναχοί, ἄνθρωποι πτωχοί, μὴ ἔχοντες τίποτε ἄλλο ἐκτὸς ἀπὸ ἕνα παλαιὸν ἔνδυμα, ποὺ ἐζοῦσαν εἰς οἰκίας ἔξω ἀπὸ τὴν πόλιν, ποὺ δὲν ἐθεωροῦντο προηγουμένως ἄνθρωποι μὲ ἀξίαν, ποὺ περέμενον εἰς τὰ ὄρη καὶ τὰς χαράδρας, ὡς λέοντες, μὲ μεγάλο καὶ ὑψηλὸν φρόνημα, ἐνῷ ὅλοι ἦσαν φοβισμένοι καὶ ζαρωμένοι, ἀφοῦ ἐπαρουσιάσθησαν εἰς τὸ μέσον, καὶ τὸ κακὸν διώρθωσαν, ὄχι εἰς πολλὰς ἡμέρας ἀλλὰ ἐντὸς ὀλίγου χρονικοῦ διαστήματος.

Καὶ ὅπως οἱ γενναῖοι ἀπὸ τοὺς πολεμιστὰς χωρὶς κἂν νὰ συμπλακοῦν μὲ τοὺς ἀντιπάλους των, ἀλλὰ μόνον νὰ φανοῦν εἰς τὴν παράταξιν καὶ νὰ φωνάξουν, τρέπουν εἰς φυγὴν τοὺς ἀντιπάλους· ἔτσι λοιπὸν καὶ αὐτοὶ ἐντὸς μιᾶς ἡμέρας καὶ κατέβησαν, καὶ συνωμίλησαν, καὶ τὴν συμφορὰν ἀπεμάκρυναν, καὶ πρὸς τὰ καταφύγιά των πάλιν ἐπέστρεψαν. Τόσον μεγάλο καὶ ἀποτελεσματικὸν πρᾶγμα εἶναι

καταγώγια. Τοσοῦτόν ἐστιν ἡ παρὰ τοῦ Χριστοῦ τοῖς ἀνθρώποις εἰσενεχθεῖσα φιλοσοφία.

Καὶ τί λέγω περὶ τῶν πλουτούντων, καὶ τῶν ἐν δυναστείαις ὄντων; ὅπου καὶ αὐτοὶ οἱ δικάζειν λαβόντες ἐξουσίαν οἱ τὰς ἀνωτάτω διέποντες ἀρχάς, παρ' αὐτῶν τούτων παρακαλούμενοι τῶν μοναχῶν μετὰ συγγνώμης ποιήσασθαι τὴν ψῆφον, οὐκ ἔφησαν εἶναι κύριοι τοῦ τέλους· σφαλερὸν γὰρ εἶναι καὶ ἐπικίνδυνον οὐχ ὑβρίζειν μόνον εἰς τὸν βασιλέα, ἀλλὰ καὶ τοὺς ὑβρικότας λαβόντας τιμωρίας ἀφεῖναι χωρίς. Ἀλλ' οὗτοι πάντων ἐγένοντο κυριώτεροι, καὶ τῇ μεγαλοψυχίᾳ καὶ τῇ καρτερίᾳ προσεδρεύοντες ἐδυσώπησαν, ἣν οὐκ ἔλαβον παρὰ τοῦ βασιλέως ἐξουσίαν, ταύτην ἐπιδείξασθαι. Καὶ ἴσχυσαν, τῶν ὑπευθύνων γενομένων φανερῶν, πεῖσαι τοὺς δικάζοντας μὴ τὴν καταδικάζουσαν ἐξενεγκεῖν ψῆφον, ἀλλ' εἰς τὴν βασιλέως γνώμην ἀναβαλέσθαι τὸ τέλος, καὶ ὑπέσχοντο πείσειν ἐκεῖνον πάντως δοῦναι συγγνώμην τοῖς εἰς αὐτὸν ἡμαρτηκόσι, καὶ τῆς ἀποδημίας ἥπτοντο.

Ἀλλ' οἱ δικάζοντες αἰδεσθέντες αὐτῶν τὴν φιλοσοφίαν, καὶ τὸ ὑψηλὸν καταπλαγέντες φρόνημα, οὐ συνεχώρησαν στείλασθαι ταύτην τὴν μακρὰν ὁδόν, ἀλλ' εἰ φωνὰς αὐτῶν λάβοιεν μόνον ἐν τοῖς γράμμασιν, ἀπελεύσεσθαι, καὶ βασιλέα δυσωπήσειν ἀφεῖναι τὴν ὀργὴν ἅπασαν, ὃ δὴ καὶ προσδοκῶμεν ἔσεσθαι. Καὶ γὰρ τῆς δίκης λεγομένης, εἰσελθόντες πολλῆς ἐφθέγξαντο φιλοσοφίας ῥήματα, καὶ διὰ τῶν γραμμάτων παρεκάλεσαν τὸν βασιλέα, καὶ τῆς κρίσεως ἀνέμνησαν, καὶ τὰς ἑαυτῶν ἔφασαν ὑποθήσειν κεφαλάς, εἰ μὴ τοῦτο γένοιτο.

Καὶ ταύτας οἱ δικάζοντες διὰ γραμμάτων λαβόντες τὰς φωνάς, ἀπῆλθον, ὃ παντὸς στεφάνου λαμπρότερον τὴν ὑμε-

ἡ φιλοσοφία ποὺ εἰσαγάγει εἰς τοὺς ἀνθρώπους ἡ διδασκαλία τοῦ Χριστοῦ.

Καὶ διατί νὰ ἀναφέρω τοὺς πλουσίους καὶ αὐτοὺς ποὺ ἔχουν ἀξιώματα; Ἀφοῦ καὶ αὐτοὶ ποὺ εἶχον τὴν ἐξουσίαν νὰ δικάζουν, καὶ ἀσκοῦσαν τὰς ἀνωτάτας ἀρχάς, παρακαλούμενοι ὑπὸ αὐτῶν τῶν μοναχῶν νὰ ἐκδώσουν ἐπιεικῆ ἀπόφασιν, εἶπον ὅτι δὲν εἶναι κύριοι τῆς ἀποφάσεως· διότι σφαλερὸν καὶ ἐπικίνδυνον εἶναι ὄχι μόνον τὸ νὰ ὑβρίζῃ κανεὶς τὸν βασιλέα, ἀλλὰ καὶ ἐκείνους ποὺ τὸν ὑβρίζουν, ὅταν τοὺς συλλάβῃ τὸ νὰ μὴ τοὺς τιμωρήσῃ. Αὐτοὶ ὅμως (οἱ μοναχοὶ) ἐπεβλήθησαν εἰς ὅλους καὶ διὰ τῆς μεγαλοψυχίας καὶ τῆς ἐπιμονῆς των τοὺς ἠνάγκασαν νὰ πράξουν αὐτὸ τὸ ὁποῖον δὲν εἶχον ἐξουσίαν ἀπὸ τὸν βασιλέα νὰ πράξουν. Καὶ ἠμπόρεσαν νὰ πείσουν τοὺς δικαστάς, ὅταν ἔγινε φανερὸν ποῖοι ἦσαν οἱ ἔνοχοι, νὰ μὴ ἐκδώσουν καταδικαστικὴν ἀπόφασιν, ἀλλὰ νὰ παραπέμψουν εἰς τὴν ἀπόφασιν τοῦ βασιλέως τὴν ὁριστικὴν ἀπόφασιν καὶ ὑπέσχοντο ὅτι ὁπωσδήποτε θὰ πείσουν τὸν βασιλέα νὰ συγχωρήσῃ ἐκείνους ποὺ ἔπταισαν, καὶ ἦσαν ἕτοιμοι διὰ τὸ ταξίδι ποὺ θὰ τοὺς ἔφερεν εἰς αὐτόν.

Ἀλλὰ αὐτοὶ ποὺ ἐδίκαζαν, σεβασθέντες τὴν φιλοσοφίαν των καὶ ἐκπλαγέντες ἀπὸ τὸ ὑψηλὸν φρόνημα αὐτῶν, δὲν ἐπέτρεψαν εἰς τοὺς ὑποδίκους νὰ κάμουν τὸ μεγάλο αὐτὸ ταξίδι, ἀλλὰ ἐὰν λάβουν γραπτὴν ἀναφορὰν αὐτῶν πρὸς τὸν βασιλέα, εἰς τὴν ὁποίαν νὰ ἐκθέτουν ὅ,τι προφορικῶς θὰ τοῦ ἔλεγον, θὰ μεταβοῦν οἱ ἴδιοι πρὸς τὸν βασιλέα καὶ θὰ τὸν παρακαλέσουν νὰ ἀφήσῃ ὅλην τὴν ὀργήν του, τὸ ὁποῖον καὶ ἀναμένομεν νὰ γίνῃ. Διότι ὅταν ἀπηγγέλλετο ἡ ἀπόφασις, εἰσελθόντες εἰς τὸ δικαστήριον ὡμίλησαν μὲ λόγια περιέχοντα χριστιανικὴν φιλοσοφίαν, καὶ ἐγγράφως παρεκάλεσαν τὸν βασιλέα, καὶ τὴν κρίσιν τοῦ ὑπενθύμισαν, καὶ τὰς κεφαλάς των ἔθεσαν ὡς ὑποθήκην, ἐὰν δὲν θὰ συμβῇ αὐτό.

Καὶ αὐτὰ τὰ λόγια των ἀφοῦ τὰ ἔλαβον οἱ δικασταὶ ἐγγράφως, ἀνεχώρησαν, καὶ ἡ πρᾶξις των αὐτὴ θὰ κοσμήσῃ

τέραν κοσμήσει πόλιν. Καὶ νῦν τὰ ἐνταῦθα γεγενημένα ἀκούσεται μὲν βασιλεύς, ἀκούσεται δὲ καὶ ἡ μεγάλη πόλις, ἀκούσεται δὲ πᾶσα ἡ οἰκουμένη, ὅτι τοιοῦτοι τὴν Ἀντιοχέων πόλιν οἰκοῦσι μοναχοί, ὡς ἀποστολικὴν ἐπιδείξασθαι παρρησίαν· καὶ τῶν γραμμάτων νῦν ἀναγινωσκομένων ἐν τῷ στρατοπέδῳ, πάντες αὐτῶν θαυμάσονται τὴν μεγαλοψυχίαν, πάντες τὴν πόλιν ἡμῶν μακαριοῦσι, καὶ τὴν πονηρὰν ἀποκρουσόμεθα δόξαν· καὶ εἴσονται πάντες, ὡς τὰ γεγενημένα οὐ τῶν ἐνοικούντων τὴν πόλιν ἦν, ἀλλ' ἀνθρώπων ξένων, καὶ διεφθαρμένων, καὶ ὅτι ἱκανὴ τοῦ τῆς πόλεως ἤθους ἀπόδειξις ἡ τῶν μοναχῶν ἔσται μαρτυρία.

Μὴ τοίνυν ἀλύωμεν, ἀγαπητοί, ἀλλὰ χρηστὰς προσδοκῶμεν ἐλπίδας. Εἰ γὰρ ἡ πρὸς ἀνθρώπους παρρησία τοσοῦτον ἴσχυσε κωλῦσαι δεινόν, ἡ πρὸς τὸν Θεὸν αὐτῶν παρρησία τί οὐκ ἐργάσεται; Ταῦτα καὶ πρὸς Ἕλληνας λέγωμεν, ὅταν τολμῶσιν ὑπὲρ φιλοσόφων ἡμῖν διαλέγεσθαι. Ἀπὸ τούτων εὔδηλον, ὅτι καὶ τὰ πρότερα ἦν ψευδῆ τὰ παρ' ἐκείνοις· ἀπὸ τούτων δῆλον, ὅτι καὶ τὰ πρότερα ἦν ἀληθῆ τὰ παρ' ἡμῖν, τὰ περὶ Ἰωάννου, καὶ Παύλου, καὶ Πέτρου, καὶ τῶν ἄλλων ἁπάντων. Ἐπειδὴ γὰρ τὴν ἐκείνων εὐσέβειαν διεδέξαντο, διὰ τοῦτο καὶ τὴν αὐτῶν παρρησίαν ἐπεδείξαντο· ἐπειδὴ τοῖς αὐτοῖς νόμοις ἐτράφησαν, διὰ τοῦτο καὶ τὴν αὐτῶν ἀρετὴν ἐζήλωσαν. Ὥστε οὐ χρεία γραμμάτων ἡμῖν ὑπὲρ τοῦ δεῖξαι τὴν ἀποστολικὴν ἀρετήν, τῶν πραγμάτων αὐτῶν βοώντων, καὶ τῶν μαθητῶν τοὺς διδασκάλους ἐνδεικνύντων· οὐ χρεία λόγων ἡμῖν, ὥστε τὸν τῶν Ἑλλήνων δεῖξαι λῆρον, καὶ τὴν τῶν παρ' αὐτοῖς φιλοσόφων μικροψυχίαν, τῶν πραγμάτων αὐτῶν βοώντων τῶν νῦν καὶ τῶν

τὴν πόλιν μας λαμπρότερον ἀπὸ κάθε ἄλλον στέφανον. Καὶ τώρα ὅσα συνέβησαν ἐδῶ θὰ τὰ ἀκούσῃ ὁ βασιλεύς, θὰ τὰ ἀκούσῃ δὲ καὶ ἡ μεγάλη πόλις, θὰ τὰ ἀκούσῃ δὲ καὶ ὁλόκληρη ἡ οἰκουμένη, ὅτι τέτοιοι μοναχοὶ κατοικοῦν εἰς τὴν πόλιν τῶν Ἀντιοχέων, οἱ ὁποῖοι ἐπέδειξαν θάρρος ὅμοιον μὲ τῶν ἀποστόλων· καὶ τώρα ποὺ διαβάζονται τὰ γράμματα εἰς τὸ στρατόπεδον, ὅλοι θὰ θαυμάσουν τὴν μεγαλοψυχίαν των, ὅλοι θὰ μακαρίσουν τὴν πόλιν μας, καὶ θὰ ἀντικρούσωμεν τὴν κακὴν φήμην μας· καὶ θὰ γνωρίσουν ὅλοι ὅτι ὅσα συνέβησαν δὲν ἦσαν ἔργον τῶν κατοίκων τῆς πόλεως, ἀλλὰ ἀνθρώπων ξένων καὶ διεφθαρμένων, καὶ ὅτι ἀρκετὴ ἀπόδειξις τοῦ καλοῦ ἤθους τῆς πόλεως θὰ εἶναι τῶν μοναχῶν ἡ μαρτυρία.

Ἂς μὴ ἀνησυχοῦμεν λοιπόν, ἀγαπητοί, ἀλλὰ ἂς ἐλπίζωμεν εὐχάριστα πράγματα. Διότι ἐὰν ἡ πρὸς τοὺς ἀνθρώπους παρρησία ἠμπόρεσε τόσον μεγάλο κακὸν νὰ ἐμποδίσῃ, ἡ πρὸς τὸν Θεὸν παρρησία τί δὲν θὰ κατορθώσῃ; Αὐτὰ καὶ πρὸς τοὺς ἐθνικοὺς νὰ λέγωμεν, ὅταν τολμοῦν καὶ σᾶς ὁμιλοῦν διὰ τοὺς φιλοσόφους των. Ἀπὸ τὴν στάσιν ποὺ ἔδειξαν τώρα γίνεται ὁλοφάνερον ὅτι καὶ ἐκεῖνα ποὺ ἐλέγοντο ἀπὸ αὐτοὺς πρὶν ἦσαν ψεύδη, ἀπὸ αὐτὰ ἐπίσης εἶναι φανερὸν ὅτι καὶ τὰ προηγούμενα περὶ ἡμῶν, δηλαδὴ τὰ ὅσα ἐλέγοντο περὶ τοῦ Ἰωάννου καὶ τοῦ Παύλου καὶ τοῦ Πέτρου καὶ ὅλων τῶν ἄλλων ἦσαν ἀληθῆ. Διότι ἐπειδὴ διεδέχθησαν τὴν εὐσέβειαν ἐκείνων, διὰ τοῦτο καὶ τὴν παρρησίαν αὐτῶν ἀπέδειξαν· ἐπειδὴ μὲ τοὺς ἰδίους νόμους ἀνετράφησαν, διὰ τοῦτο καὶ τὴν ἀρετὴν αὐτῶν ἐζήλευσαν. Ὥστε δὲν χρειάζεται γραπτὴ ἀπόδειξις διὰ νὰ ἀποδείξωμεν τὴν ἀποστολικὴν ἀρετήν, διότι τὰ ἴδια τὰ πράγματα φωνάζουν, καὶ οἱ μαθηταὶ ἀποδεικνύουν τοὺς διδασκάλους· δὲν ἔχομεν ἀνάγκην λόγων διὰ νὰ ἀποδείξωμεν τὴν φλυαρίαν τῶν ἐθνικῶν, καὶ τὴν μικροψυχίαν τῶν φιλοσόφων τῶν ἐθνικῶν, διότι τὰ ἴδια τὰ πράγματα φωνάζουν, καὶ τὰ τωρινὰ καὶ τὰ

προτέρων, ὡς ἅπαντα τὰ παρ' αὐτοῖς μῦθος, καὶ σκηνή, καὶ ὑπόκρισις.

Οὐχ οἱ μοναχοὶ δὲ μόνον, ἀλλὰ καὶ οἱ ἱερεῖς τὴν αὐτὴν ἐπεδείξαντο μεγαλοψυχίαν, καὶ τὴν ἡμετέραν διενείμαντο σωτηρίαν. Καὶ ὁ μὲν εἰς τὸ στρατόπεδον ἀπῆρε, πάντα δεύτερα θέμενος τῆς ὑμετέρας ἀγάπης, καὶ αὐτὸς ἕτοιμος ὢν, εἰ μὴ πείσειε τὸν βασιλέα, ἀποθανεῖν· οὗτοι δὲ ἐνταῦθα μείναντες, καὶ τὰ αὐτὰ τοῖς μοναχοῖς ἐπιδειξάμενοι, ταῖς οἰκείαις χερσὶ τοὺς δικάζοντας κατέχοντες οὐκ ἐπέτρεπον εἰσελθεῖν, πρὶν ἢ περὶ τοῦ τέλους ὑποσχέσθαι τῆς δίκης, καὶ ἡνίκα μὲν ἑώρων ἀνανεύοντας, πολλῇ τῇ παρρησίᾳ καὶ αὐτοὶ πάλιν ἐκέχρηντο· ἐπειδὴ δὲ εἶδον ἐπινεύσαντας, ποδῶν ἁψάμενοι, καὶ γονάτων, καὶ χεῖρας καταφιλήσαντες, ἑκατέραν τὴν ἀρετὴν μεθ' ὑπερβολῆς ἐπιδείξαντο, τήν τε ἐλευθερίαν, τήν τε ἐπιείκειαν. Ὅτι μὲν γὰρ οὐκ ἦν θρασύτητος ἡ παρρησία, τῷ καταφιλῆσαι γόνατα καὶ ποδῶν ἅψασθαι, μάλιστα ἔδειξαν. Πάλιν ὅτι ταῦτα κολακεία οὐκ ἦν, οὐδὲ δουλοπρέπειά τις, οὐδὲ ἐξ ἀνελευθέρου γνώμης ἐγίνετο, τὰ φθάσαντα ἐμαρτύρησεν αὐτῶν τὴν παρρησίαν. Οὐ ταῦτα δὲ μόνον ἀπὸ τοῦ πειρασμοῦ τὰ καλὰ ἐκαρπωσάμεθα, ἀλλὰ καὶ πολλὴν σωφροσύνην, πολλὴν ἐπιείκειαν· καὶ μοναστήριον ἡμῖν ἡ πόλις ἐξαίφνης ἐγένετο. Οὐκ ἄν τις αὐτὴν οὕτως ἐκόσμησεν, εἰ χρυσοῦς ἀνδριάντας ἔστησεν ἐπὶ τῆς ἀγορᾶς, ὡς νῦν ἐστι λαμπρὰ καὶ περιφανὴς τοὺς καλοὺς τῆς ἀρετῆς ἀνδριάντας παρασχομένη, καὶ τὸν οἰκεῖον ἐπιδείξασα πλοῦτον.

Ἀλλὰ τὰ παρὰ τοῦ βασιλέως λυπεῖ· ἀλλ' οὐδὲ ἐκεῖνα μὲν οὖν φορτικά, ἀλλὰ καὶ αὐτὰ πολὺ τὸ κέρδος ἤνεγκε. Τί γὰρ ἐπαχθές, εἰπέ μοι, τῶν γενομένων; Ὅτι τὴν ὀρχήστραν ἀνέφραξεν, ὅτι τὸν ἱππόδρομον ἄβατον ἐποίησεν, ὅτι τὰς τῆς πο-

προηγούμενα, ὅτι ὅλα τὰ εἰς αὐτοὺς ἀναφερόμενα εἶναι μῦθος καὶ σκηνὴ καὶ ὑποκρισία.

Ὄχι μόνον οἱ μοναχοί, ἀλλὰ καὶ οἱ ἱερεῖς ἐπέδειξαν τὴν ἰδίαν μὲ αὐτοὺς μεγαλοψυχίαν, καὶ ἠργάσθησαν ἐξ ἴσου διὰ τὴν σωτηρίαν μας. Καὶ ὁ μὲν ἀρχιερεὺς ἀνεχώρησε διὰ τὸ στρατόπεδον τοῦ βασιλέως, θέσας ὅλα εἰς δευτέραν μοῖραν ἀπὸ τὴν ἰδικήν σας ἀγάπην, καὶ ὁ ἴδιος εἶναι ἕτοιμος νὰ ἀποθάνῃ, ἐὰν δὲν πείσῃ τὸν βασιλέα· οὗτοι δὲ (οἱ ἱερεῖς) παρέμειναν ἐδῶ, καὶ ἐπέδειξαν τὸν ἴδιον ζῆλον μὲ τοὺς μοναχούς, κρατοῦντες τοὺς δικαστὰς μὲ τὰ ἴδια των τὰ χέρια, καὶ δὲν ἐπέτρεπον εἰς αὐτοὺς νὰ εἰσέλθουν εἰς τὸ δικαστήριον, πρὶν ἀποσπάσουν ἀπὸ αὐτοὺς τὴν ὑπόσχεσιν διὰ τὴν ἔκβασιν τῆς δίκης, καὶ ὅταν μὲν τοὺς ἔβλεπον νὰ δηλώνουν διὰ νεύματος ἄρνησιν, μὲ πολλὴν παρρησίαν πάλιν τοὺς μετεχειρίζοντο· ὅταν δὲ τοὺς εἶδον νὰ δηλώνουν συγκατάθεσιν, τοὺς ἔπιαναν τὰ πόδια καὶ τὰ γόνατα, τοὺς ἐφιλοῦσαν τὰ χέρια καὶ ἐπεδείκνυον καὶ τὰς δύο ἀρετάς των, τὴν παρρησίαν καὶ τὴν ἀγαθότητά των. Ὅτι δὲ ἡ παρρησία αὐτὴ δὲν ἦτο ἀποτέλεσμα θρασύτητος, ἐφάνη ἀπὸ τὸ ὅτι κατεφίλησαν τὰ γόνατά των καὶ ἔπιασαν τὰ πόδια των. Πάλιν δὲ ὅτι δὲν ἦτο κολακεία, οὔτε κάποιο εἶδος δουλοπρεπείας, οὔτε ὅτι ἦτο ἀποτέλεσμα ἀνελευθέρου φρονήματος, τὰ γεγονότα ἐπεβεβαίωσαν τὸ θάρρος των. Δὲν ἐκερδίσαμεν δὲ μόνον αὐτὰ ἀπὸ τὴν δοκιμασίαν αὐτήν, ἀλλὰ καὶ πολλὴν σωφροσύνην καὶ πολλὴν ἀγαθότητα· καὶ ἔξαφνα ἡ πόλις μας ἔγινε μοναστήριον. Δὲν θὰ ἠμποροῦσε δὲ κανεὶς νὰ στολίσῃ αὐτὴν ἔτσι, ἀκόμα καὶ ἂν ἔστηνεν χρυσοῦς ἀνδριάντας εἰς τὴν ἀγοράν, ὅπως εἶναι τώρα λαμπρὰ καὶ ἔνδοξος, διότι παρουσιάζει τοὺς καλοὺς ἀνδριάντας τῆς ἀρετῆς, καὶ ἐπιδεικνύει τὸν ἰδικόν της πλοῦτον.

Ἀλλὰ μᾶς λυποῦν αἱ διαταγαὶ τοῦ βασιλέως· ὅμως οὔτε αὐταὶ εἶναι τόσον βαρεῖαι, ἀλλὰ καὶ ἐπὶ πλέον πολὺ μᾶς ὠφέλησαν. Διότι τί εἶναι φορτικόν, εἰπέ μου, ἀπὸ ὅσα ἔγιναν; Τὸ ὅτι ἔκλεισε τὴν ὀρχήστραν, τὸ ὅτι ἔκαμεν ἄβατον

νηρίας πηγὰς ἀπέκλεισε καὶ κατέχωσε; Μηδὲ ἀνοιχθῆναι μὲν οὖν εἴη ταῦτα ποτέ. Ἐντεῦθεν αἱ ῥίζαι τῆς πονηρίας ἐβλάστησαν τῇ πόλει, ἐντεῦθεν οἱ τὸ ἦθος αὐτῆς διαβάλλοντές εἰσιν, οἱ τὰς αὐτῶν φωνὰς τοῖς ὀρχουμένοις πωλοῦντες, καὶ τριῶν ὀβολῶν τὴν ἑαυτῶν προδιδόντες ἐκείνοις σωτηρίαν, οἱ πάντα ἄνω καὶ κάτω κινοῦντες. Διὰ ταῦτα ἀσχάλλεις, ἀγαπητέ; Διὰ ταῦτα μὲν οὖν καὶ χαίρειν χρή, καὶ εὐφραίνεσθαι, καὶ χάριτας ὁμολογεῖν τῷ βασιλεῖ, ὅτι ἡ κόλασις αὐτοῦ διόρθωσις γέγονε, καὶ ἡ τιμωρία παιδαγωγία, καὶ ἡ ὀργὴ διδασκαλία. Ἀλλ' ὅτι τὰ βαλανεῖα ἡμῖν ἀποκέκλεισται; Ἀλλ' οὐδὲ τοῦτο ἀφόρητον, καὶ ἄκοντας τοὺς τὸν ἁβρόν, καὶ χαῦνον, καὶ διαλελυμένον βίον ζῶντας πρὸς τὴν φιλοσοφίαν ἐπαναγαγεῖν. Ἀλλ' ὅτι τὸ τῆς πόλεως ἀφεῖλεν ἀξίωμα, καὶ οὐκέτι καλεῖσθαι αὐτὴν μητρόπολιν εἴασεν; Ἀλλὰ τί ποιῆσαι ἐχρῆν; Ἐπαινέσαι τὰ γεγενημένα καὶ χάριν ὁμολογῆσαι; Καὶ τίς οὐκ ἂν αὐτὸν ἐμέμψατο, ὅτι οὐδὲ μέχρι σχήματος ἐπεδείξατο τὴν ἀγανάκτησιν; Οὐχ ὁρᾷς τοὺς πατέρας, ὅτι πολλὰ τοιαῦτα ποιοῦσιν εἰς τοὺς υἱοὺς ἑαυτῶν; Ἀποστρέφονται, καὶ τραπέζης εἴργουσι. Τοῦτο καὶ ὁ βασιλεὺς ἐποίησε τοιαύτας ἐπιθεὶς τιμωρίας, βλάβην μὲν οὐδεμίαν ἐχούσας, πολλὴν δὲ φερούσας τὴν διόρθωσιν. Ἐννόησον τίνα προσεδοκήσαμεν, καὶ τίνα γέγονε, καὶ τότε μάλιστα εἰσόμεθα τοῦ Θεοῦ τὴν χάριν.

Ἀλγεῖς ὅτι τὸ τῆς πόλεως ἀξίωμα ἀφῄρηται; Μάθε τί ποτέ ἐστι τῆς πόλεως ἀξίωμα, καὶ τότε εἴσῃ σαφῶς, ὅτι ἐὰν οἱ οἰκοῦντες αὐτὸ μὴ προδῶσιν, οὐδεὶς ἕτερος ἀφελέσθαι δυνήσεται πόλεως ἀξίωμα. Οὐ τὸ μητρόπολιν εἶναι, οὐδὲ τὸ μέγεθος ἔχειν, καὶ κάλλος οἰκοδομημάτων, οὐδὲ τὸ πολλοὺς κίονας, καὶ στοὰς εὐρείας, καὶ περιπάτους, οὐδὲ τὸ πρὸ τῶν

τὸν ἱππόδρομον, τὸ ὅτι ἀπέκλεισε καὶ κατέχωσε τὰς πηγὰς τῆς πονηρίας; Εἴθε νὰ μὴ ἀνοιχθοῦν ποτὲ αὐτά. Ἀπὸ ἐκεῖ ἐβλάστησαν εἰς τὴν πόλιν αἱ ρίζαι τῆς πονηρίας, ἀπὸ ἐκεῖ προέρχονται αὐτοὶ ποὺ διαβάλλουν τὸ ἦθος τῆς πόλεως, ποὺ πωλοῦν τὰς φωνάς των εἰς τοὺς χορευτάς, καὶ ἀντὶ τριῶν ὀβολῶν παραδίδουν εἰς ἐκείνους τὴν σωτηρίαν των, αὐτοὶ ποὺ ὅλα τὰ κάνουν ἄνω κάτω. Δι' αὐτὰ δυσανασχετεῖς, ἀγαπητέ; Δι' αὐτὰ λοιπὸν πρέπει νὰ χαίρεσαι καὶ νὰ εὐφραίνεσαι, καὶ νὰ χρεωστᾷς χάριτας εἰς τὸν βασιλέα, διότι ἡ ποινὴ αὐτοῦ μᾶς ἔγινε διόρθωσις, καὶ ἡ τιμωρία του παιδαγωγία, καὶ ἡ ὀργὴ διδασκαλία. Μήπως τὸ ὅτι ἔκλεισε τὰ δημόσια λουτρά; Ὅμως οὔτε τοῦτο εἶναι ἀνυπόφορον καὶ θὰ συντελέσῃ μάλιστα ἐκεῖνοι ποὺ ζοῦν βίον τρυφηλόν, ἀποχαυνωμένον καὶ ἔκλυτον, παρὰ τὴν θέλησίν των, νὰ ἐπανέλθουν εἰς βίον σύμφωνον πρὸς τὴν χριστιανικὴν διδασκαλίαν. Μήπως τὸ ὅτι ἀφῄρεσε τὸ ἀξίωμα τῆς πόλεως καὶ δὲν ἐπέτρεψε νὰ ὀνομάζεται πλέον Μητρόπολις; Ἀλλὰ τί ἔπρεπε νὰ κάμῃ; Νὰ ἐπαινέσῃ ὅσα συνέβησαν καὶ νὰ εὐχαριστήσῃ δι' αὐτά; Καὶ ποῖος δὲν θὰ τὸν ἐκατηγοροῦσεν, ἐπειδὴ οὔτε φαινομενικὴν ἀγανάκτησιν δὲν ἔδειξε; Δὲν βλέπεις τοὺς πατέρας, ὅτι πολλὰ τέτοια κάνουν εἰς τὰ παιδιά τους; Τὰ ἀποστρέφονται καὶ δὲν παρακάθονται μαζί τους εἰς τὴν τράπεζαν. Αὐτὸ ἔκαμε καὶ ὁ βασιλεὺς μὲ τὸ νὰ ἐπιβάλῃ τέτοιας τιμωρίας, αἱ ὁποῖαι καμμίαν μὲν βλάβην δὲν φέρουν, ἀλλὰ πολλὴν διόρθωσιν. Σκέψου τί ἀνεμέναμεν καὶ τί συνέβησαν, καὶ τότε θὰ ἐννοήσωμεν πολὺ καλὰ τὴν χάριν τοῦ Θεοῦ.

Λυπεῖσαι διότι ἔχει ἀφαιρεθῆ τὸ ἀξίωμα ἀπὸ τὴν πόλιν; Μάθε τί πρᾶγμα εἶναι τὸ ἀξίωμα τῆς πόλεως καὶ τότε θὰ ἐννοήσῃς καλῶς ὅτι ἐὰν οἱ κάτοικοι αὐτῆς δὲν τὸ προδώσουν, κανεὶς ἄλλος δὲν θὰ ἠμπορέσῃ νὰ τῆς τὸ ἀφαιρέσῃ. Δὲν εἶναι ἀξίωμα τὸ νὰ εἶναι ἡ πόλις Μητρόπολις, οὔτε τὸ νὰ ἔχῃ μεγάλα καὶ ὡραῖα οἰκοδομήματα, οὔτε πολλοὺς κίονας καὶ εὐρυχώρους στοάς, καὶ τόπους διὰ περιπάτους, οὔτε τὸ

ἄλλων ἀναγορεύεσθαι πόλεων, ἀλλ' ἡ τῶν ἐνοικούντων ἀρετὴ καὶ εὐσέβεια, τοῦτο καὶ ἀξίωμα καὶ κόσμος καὶ ἀσφάλεια πόλεως, ὡς ἂν μὴ τοῦτο ᾖ, πάντων ἐστὶν εὐτελεστέρα, κἂν μυρίας παρὰ βασιλέων ἀπολαύῃ τιμῆς. Βούλει μαθεῖν σου τῆς πόλεως τὸ ἀξίωμα; βούλει τὰ πάτρια αὐτῆς εἰδέναι; Ἐγὼ ταῦτα μετὰ ἀκριβείας ἐρῶ, οὐχ ἵνα μάθῃς μόνον, ἀλλ' ἵνα καὶ ζηλώσῃς.

Τί ποτ' οὖν ἐστι τῆς παρ' ἡμῖν πόλεως τὸ ἀξίωμα; «Ἐγένετο πρῶτον ἐν Ἀντιοχείᾳ τοὺς μαθητὰς χρηματίσαι Χριστιανούς». Τοῦτο δὲ οὐδεμία τῶν κατὰ τὴν οἰκουμένην ἔχει πόλεων, οὐδ' αὐτὴ ἡ Ρωμύλου πόλις· διὰ τοῦτο πρὸς ἅπασαν τὴν οἰκουμένην ἀντιβλέψαι δύναται, διὰ τὸ φίλτρον τὸ περὶ τὸν Χριστόν, διὰ τὴν παρρησίαν, διὰ τὴν ἀνδρείαν ἐκείνην. Βούλει καὶ ἕτερον ἀκοῦσαι τῆς πόλεως ἀξίωμα καὶ ἐγκώμιον; Λιμός ποτε χαλεπώτατος ἔμελλεν ἔσεσθαι, καὶ οἱ κατοικοῦντες ἐν Ἀντιοχείᾳ ὥρισαν, καθὼς ηὐπορεῖτό τις, πέμψαι πρὸς τοὺς ἁγίους τοὺς κατοικοῦντας ἐν Ἱεροσολύμοις. Ἰδοὺ καὶ δεύτερον ἀξίωμα, ἡ ἐν λιμῷ φιλοφροσύνη. Οὐ συνέστειλεν αὐτοὺς ὁ καιρός, οὐδὲ ὀκνηροτέρους ἐποίησεν ἡ τῆς συμφορᾶς προσδοκία· ἀλλ' ὅτε πάντες τὰ ἑτέρων συλλέγουσι, τότε αὐτοὶ τὰ ἑαυτῶν προΐεντο, οὐχὶ τοῖς παροῦσι μόνον, ἀλλὰ καὶ τοῖς πόρρω καθημένοις. Εἶδες πίστιν περὶ τὸν Θεόν, καὶ ἀγάπην τὴν περὶ τὸν πλησίον;

Βούλει καὶ ἕτερον μαθεῖν τῆς πόλεως ταύτης ἀξίωμα; Κατῆλθόν τινες ἀπὸ τῆς Ἰουδαίας εἰς Ἀντιόχειαν ἐπιθολοῦντες τὸ κήρυγμα, καὶ Ἰουδαϊκὰς ἐπεισάγοντες παρατηρήσεις· οὐκ ἤνεγκαν σιγῇ τὴν καινοτομίαν ἐκεῖνοι, οὐδὲ ἡσύχασαν· ἀλλὰ συνελθόντες, καὶ ἐκκλησίαν ποιήσαντες, εἰς Ἱεροσόλυμα ἔπεμψαν Παῦλον καὶ Βαρνάβαν, καὶ παρεσκεύασαν τοὺς ἀποστόλους καθαρὰ δόγματα, πάσης Ἰουδαϊκῆς ἀπηλλαγμένα ἀσθενείας, πανταχοῦ διαπέμψασθαι τῆς οἰκουμένης.

---

7. Πράξ. 11, 26.
8. Προβλ. Πράξ. 11, 28-29.

νὰ ἀναφέρεται πρώτη ἀπὸ τὰς ἄλλας πόλεις, ἀλλὰ ἡ ἀρετὴ καὶ ἡ εὐσέβεια τῶν κατοίκων της, αὐτὸ εἶναι καὶ ἀξίωμα, καὶ στολισμός, καὶ ἀσφάλεια τῆς πόλεως, καὶ ἂν δὲν ὑπάρχῃ, εἶναι εὐτελεστέρα ἀπὸ ὅλας τὰς πόλεις, καὶ ἂν ἀκόμα ἀπολαμβάνῃ ἀναριθμήτους τιμὰς ἀπὸ βασιλεῖς. Θέλεις νὰ μάθῃς τὸ ἀξίωμα τῆς πόλεώς σου; Ἐγὼ θὰ σοῦ τὰ εἰπῶ μὲ ἀκρίβειαν, ὄχι μόνον διὰ νὰ μάθῃς, ἀλλὰ καὶ διὰ νὰ ζηλέψῃς.

Ποῖον λοιπὸν εἶναι τὸ ἀξίωμα τῆς πόλεώς μας; «Συνέβη πρῶτον εἰς τὴν Ἀντιόχειαν οἱ μαθηταὶ τοῦ Χριστοῦ νὰ ὀνομασθοῦν χριστιανοί»[7]. Τοῦτο δὲ καμμία ἄλλη πόλις τῆς οἰκουμένης δὲν ἔχει, οὔτε αὐτὴ ἡ Ρώμη· διὰ τοῦτο πρὸς ὅλην τὴν οἰκουμένην ἠμπορεῖ νὰ ἀτενίσῃ, διὰ τὴν ἀγάπην πρὸς τὸν Χριστόν, διὰ τὸ θάρρος, διὰ τὴν ἀνδρείαν ἐκείνην. Ἐπιθυμεῖς νὰ ἀκούσῃς καὶ ἄλλο ἀξίωμα καὶ ἐγκώμιον τῆς πόλεως; Κάποτε ἐπρόκειτο νὰ γίνῃ πεῖνα πολὺ μεγάλη, καὶ οἱ κάτοικοι τῆς Ἀντιοχείας καθώρισαν νὰ στείλουν πρὸς τοὺς χριστιανοὺς τῶν Ἱεροσολύμων βοήθειαν, ἀνάλογα μὲ τὴν οἰκονομικὴν εὐπορίαν τοῦ καθενός»[8]. Ἰδοὺ καὶ δεύτερον ἀξίωμα, ἡ ἐκδήλωσις ἀγάπης εἰς καιρὸν πείνας. Δὲν τοὺς ἔφερεν ἐμπόδια ἡ περίστασις, καὶ οὔτε τοὺς ἔκαμε πιὸ ὀκνηροὺς ἡ ἀναμονὴ τῆς συμφορᾶς· ἀλλὰ εἰς ἐποχὴν ποὺ ὅλοι συλλέγουν τὰ ξένα, τότε αὐτοὶ τὰ ἰδικά τους ἀγαθὰ ἔδιδον, ὄχι μόνον εἰς αὐτοὺς ποὺ ἦσαν κοντά των, ἀλλὰ καὶ εἰς αὐτοὺς ποὺ εὑρίσκοντο μακρυά. Εἶδες πίστιν πρὸς τὸν Θεόν, καὶ ἀγάπην πρὸς τὸν πλησίον;

Θέλεις νὰ μάθῃς καὶ ἄλλο ἀξίωμα τῆς πόλεως αὐτῆς; Κατῆλθον μερικοὶ ἀπὸ τὴν Ἰουδαίαν εἰς τὴν Ἀντιόχειαν νοθεύοντες τὸ κήρυγμα καὶ εἰσάγοντες ἰουδαϊκὰς παρατηρήσεις· ἐκεῖνοι δὲν ἐδέχθησαν μὲ σιωπὴν τὴν καινοτομίαν αὐτήν, οὔτε ἡσύχασαν· ἀλλὰ ἀφοῦ συνεκεντρώθησαν καὶ ἔκαμαν σύσκεψιν, ἔστειλαν εἰς τὰ Ἱεροσόλυμα τὸν Παῦλον καὶ τὸν Βαρνάβαν, ὥστε οἱ ἀπόστολοι καθαρὰ δόγματα ἀπηλλαγμένα ἀπὸ κάθε ἰουδαϊκὴν ἀδυναμίαν, νὰ μεταφέρουν εἰς ὅλα τὰ μέρη τῆς οἰκουμένης. Τοῦτο εἶναι τὸ ἀξίωμα τῆς πό-

Τοῦτο πόλεως ἀξίωμα, τοῦτο προεδρία, τοῦτο μητρόπολιν αὐτὴν ποιεῖ, οὐκ ἐν τῇ γῇ, ἀλλ' ἐν τῷ οὐρανῷ· ὡς αἵγε ἄλλαι πᾶσαι τιμαὶ φθαρταὶ καὶ ἐπίκηροι, καὶ τῷ παρόντι συγκαταλύονται βίῳ, πολλάκις δὲ καὶ πρὸ τοῦ παρόντος βίου τέλος λαμβάνουσι, καθάπερ οὖν καὶ νῦν ἔλαβον.

Ἐμοὶ πόλις μὴ ἔχουσα πολίτας θεοφιλεῖς πάσης κώμης ἐστὶν εὐτελεστέρα, καὶ σπηλαίου παντὸς ἀτιμοτέρα. Καὶ τί λέγω περὶ πόλεως; Ἵνα γὰρ μάθῃς ἀκριβῶς, ὅτι ἀρετὴ μόνη κοσμεῖ τοὺς ἐνοικοῦντας, οὐδέν σοι λέγω περὶ πόλεως, ἀλλ' ὃ πάσης πόλεως ἐστὶ σεμνότερον, τὸν τοῦ Θεοῦ ναόν, τὸν ἐν Ἱεροσολύμοις εἰς μέσον ἐνεγκὼν τοῦτο ἀποδεῖξαι πειράσομαι.

Οὗτος γὰρ ὁ ναός, ἐν ᾧ θυσίαι, καὶ εὐχαί, καὶ λατρεῖαι, ἔνθα τὰ ἅγια τῶν ἁγίων, καὶ τὰ Χερουβίμ, καὶ ἡ διαθήκη, καὶ ἡ στάμνος ἡ χρυσῆ, τὰ μεγάλα σύμβολα τῆς τοῦ Θεοῦ προνοίας τῆς περὶ τὸ γένος ἐκεῖνο, ἔνθα χρησμοὶ ἄνωθεν συνεχεῖς ἐφέροντο, ἔνθα προφῆται ἔνθεοι ἐγένοντο, ἔνθα οὐκ ἀνθρωπίνης τέχνης, ἀλλὰ τῆς τοῦ Θεοῦ σοφίας ἡ διατύπωσις ἔργον ἐγίνετο, ἔνθα πολλῷ πάντοθεν οἱ τοῖχοι κατελάμποντο χρυσίῳ, καὶ πρὸς πᾶσαν ὑπερβολὴν καὶ ὕλης πολυτέλεια καὶ τέχνης ἀκρίβεια συνελθοῦσαι μόνον τοιοῦτον ἐπὶ τῆς γῆς ἔδειξαν ναὸν τότε· μᾶλλον δὲ οὐ τέχνης ἀκρίβεια μόνον, ἀλλὰ καὶ Θεοῦ σοφία τῆς οἰκοδομῆς συνεφήψατο ἐκείνης. Οὐ γὰρ οἴκοθεν, οὐδὲ παρ' ἑαυτοῦ, ἀλλὰ παρὰ τοῦ Θεοῦ πάντα μαθὼν ὁ Σολομών, καὶ τὴν ὑπογραφὴν ἐκ τῶν οὐρανῶν κατενεγκών, οὕτως αὐτὸν διεχάραξε καὶ ἀνέστησεν. Ἀλλ' ὅμως ὁ καλὸς οὗτος καὶ θαυμαστὸς ναὸς καὶ ἅγιος, τῶν χρωμένων αὐτῷ διαφθαρέντων, οὕτως ἠτιμώθη, καὶ κατεφρονήθη, καὶ γέγονε βέβηλος, ὡς πρό γε τῆς ἁλώσεως σπήλαιον αὐτὸν καλεῖσθαι λῃστῶν, καὶ σπήλαιον ὑαί-

λεώς μας, τοῦτο δίδει εἰς αὐτὴν τὴν προεδρίαν, τοῦτο κάμνει αὐτὴν μητρόπολιν, ὄχι εἰς τὴν γῆν, ἀλλὰ εἰς τὸν οὐρανόν· καθ' ὅσον εἶναι βέβαιον ὅτι ὅλαι αἱ ἄλλαι τιμαὶ εἶναι φθαρταὶ καὶ προσωριναὶ καὶ συγκαταστρέφονται μὲ τὴν παροῦσαν ζωήν, πολλάκις δὲ καὶ πρὸ τοῦ τέλους τῆς ζωῆς καταστρέφονται, ὅπως ἔγινε καὶ τώρα.

Δι' ἐμὲ πόλις, ἡ ὁποία δὲν ἔχει εὐσεβεῖς πολίτας, εἶναι χειροτέρα ἀπὸ κάθε κωμόπολιν καὶ χειροτέρα ἀπὸ σπήλαιον. Καὶ διατί ἀναφέρω πόλιν; Διὰ νὰ μάθῃς καλῶς ὅτι μόνον ἡ ἀρετὴ κοσμεῖ τοὺς κατοίκους τῆς πόλεως, δὲν θὰ σοῦ ἀναφέρω πόλιν, ἀλλὰ ἐκεῖνο ποὺ εἶναι σεμνότερον ἀπὸ κάθε πόλιν, τὸν ναὸν τοῦ Θεοῦ, ποὺ ἦτο εἰς τὰ Ἱεροσόλυμα θὰ σᾶς παρουσιάσω εἰς τὸ μέσον καὶ θὰ προσπαθήσω νὰ σᾶς ἀποδείξω τοῦτο.

Αὐτὸς δηλαδὴ ὁ ναός, εἰς τὸν ὁποῖον ἐγίνοντο θυσίαι, προσευχαὶ καὶ λατρεῖαι, ὅπου τὰ ἅγια τῶν ἁγίων, καὶ τὰ χερουβὶμ καὶ ἡ διαθήκη καὶ ἡ στάμνος ἡ χρυσῆ, τὰ μεγάλα σύμβολα τῆς προνοίας τοῦ Θεοῦ εἰς τὸ ἔθνος ἐκεῖνο, ὅπου χρησμοὶ ἐκ τῶν ἄνω συνεχεῖς ἐφέροντο, ὅπου ὑπῆρξαν θεόπνευστοι προφῆται, τοῦ ὁποίου τὸ σχέδιον δὲν ἦτο ἀνθρωπίνης τέχνης, ἀλλὰ τῆς σοφίας τοῦ Θεοῦ ἔργον, ὅπου οἱ τοῖχοι ἀπὸ παντοῦ ἔλαμπον μὲ ἄφθονον χρυσὸν καὶ συνεδυάσθη ἡ ὑπερβλικὴ πολυτέλεια καὶ τῆς τέχνης ἡ ἀκρίβεια εἰς τοιοῦτον βαθμόν, ὥστε νὰ εἶναι μοναδικὸς εἰς τὸν κόσμον· καὶ μᾶλλον ὄχι μόνον ἡ ἀκρίβεια τῆς τέχνης, ἀλλὰ καὶ ἡ σοφία τοῦ Θεοῦ συνήργησεν εἰς τὴν οἰκοδομὴν ἐκείνην. Διότι οὔτε μόνος του, οὔτε ἀπὸ τὴν ἰδικήν του ἐπινόησιν, ἀλλὰ ἀφοῦ τὰ ἔμαθεν ὅλα ἀπὸ τὸν Θεὸν ὁ Σολομών, καὶ τοῦ ἐστάλη ἀπὸ τὸν οὐρανὸν τὸ σχεδιάγραμμα, ἔπειτα τὸν ἐσχεδίασε καὶ τὸν ἔκτισεν. Ἀλλ' ὅμως ὁ ὡραῖος αὐτὸς καὶ θαυμαστὸς ναὸς καὶ ἅγιος, ἀφοῦ ἐκεῖνοι, ποὺ εὐλαβῶς τὸν μετεχειρίσθησαν ἀπέθανον, τόσον πολὺ ἠτιμάσθη καὶ περιεφρονήθη καὶ ἐβεβηλώθη, ὥστε πρὸ τῆς ἁλώσεως νὰ ὀνομά-

νης· μετὰ δὲ ταῦτα βαρβαρικαῖς, καὶ ἀκαθάρτοις καὶ βεβήλοις παραδοθῆναι χερσί.

Βούλει καὶ περὶ πόλεων τὸ αὐτὸ τοῦτο μαθεῖν; Τί τῶν ἐν Σοδόμοις πόλεων λαμπρότερον ἦν; Καὶ γὰρ οἰκίαι καὶ οἰκοδομήματα λαμπρά, καὶ τείχη παρ' αὐτοῖς ἦν, καὶ χώρα λιπαρά, καὶ εὔγειος, καὶ τῷ παραδείσῳ τοῦ Θεοῦ προσεοικυῖα· ἡ δὲ καλύβη τοῦ Ἀβραὰμ εὐτελής, καὶ μικρά, καὶ οὐδεμίαν ἔχουσα ἀσφάλειαν· ἀλλὰ πολέμου ποτὲ γενομένου βαρβαρικοῦ, τὰς μὲν πόλεις τὰς τειχήρεις κατέσκαψάν τε καὶ εἷλον οἱ βάρβαροι, καὶ τοὺς ἐνοικοῦντας λαβόντες αἰχμαλώτους ἀπῆλθον, τὸν δὲ τῆς ἐρήμου πολίτην Ἀβραὰμ οὐκ ἤνεγκαν ἐπελθόντα· καὶ μάλα εἰκότως· τῆς γὰρ ἀπὸ τοῦ πλήθους καὶ τῶν τειχῶν ἀσφαλείας πολλῷ μείζονα εἶχε δύναμιν, τὴν εὐσέβειαν. Εἰ Χριστιανὸς εἶ, πόλιν οὐκ ἔχεις ἐπὶ τῆς γῆς· τῆς πόλεως ἡμῶν τεχνίτης καὶ δημιουργός ἐστιν ὁ Θεός· κἂν ἅπασαν λάβωμεν τὴν οἰκουμένην, ξένοι καὶ παρεπίδημοι πάσης ἐσμέν. Εἰς τὸν οὐρανὸν ἐνεγράφημεν, ἐκεῖ πολιτευόμεθα· μὴ κατὰ τὰ παιδία τὰ μικρὰ τῶν μεγάλων ὑπερορῶντες, τὰ μικρὰ θαυμάζωμεν.

Οὐ μέγεθος πόλεως, ἀλλὰ ψυχῆς ἀρετὴ κόσμος ἐστὶ καὶ ἀσφάλεια. Εἰ δὲ ἀξίωμα εἶναι νομίζεις πόλεως, ἐννόησον πόσοι πορνοκόποι, πόσοι μαλακοί, καὶ διεφθαρμένοι, καὶ μυρίων γέμοντες κακῶν κοινωνοῦσί σοι τῆς ἀξίας ταύτης, καὶ καταφρόνησόν ποτε τῆς τιμῆς ταύτης. Ἀλλ' οὐκ ἐκείνη τοιαύτη· καὶ γὰρ ἀδύνατόν ἐστιν αὐτῆς μετασχεῖν τὸν μὴ πᾶσαν ἐπιδειξάμενον ἀρετήν. Μὴ τοίνυν ἀνόητοι γινώμεθα, ἀλλὰ τότε ἀλγῶμεν, ὅταν τὸ ἀξίωμα ἡμῶν τῆς ψυχῆς ἀφέληταί τις, ὅταν ἁμαρτίαν ἐργασώμεθα, ὅταν τῷ κοινῷ πάντων Δεσπότῃ προσκρούσωμεν· ὡς τά γε νῦν γεγενημένα οὐ μό-

---

9. Πρβλ. Ματθ. 21, 13.

ζεται σπήλαιον ληστῶν, καὶ σπήλαιον ὑαίνης[9]· καὶ κατόπιν εἰς ἀκάθαρτα καὶ βαρβαρικὰ χέρια νὰ παραδοθῇ.

Θέλεις νὰ μάθῃς ὅτι τὸ ἴδιον συνέβη καὶ εἰς τὰς πόλεις; Τί ἦτο λαμπρότερον ἀπὸ τὰς πόλεις τῶν Σοδόμων; Διότι καὶ οἰκίας καὶ οἰκοδομήματα λαμπρὰ εἶχον, καὶ τείχη καὶ ἔδαφος εὔφορον καὶ πλούσιον καὶ ὡμοίαζον μὲ τὸν παράδεισον τοῦ Θεοῦ· ἡ δὲ καλύβη τοῦ Ἀβραὰμ ἄνευ οὐδεμιᾶς ἀξίας καὶ μικρὰ καὶ χωρὶς καμμίαν ἀσφάλειαν· ἀλλὰ ὅταν ἔγινε κάποτε πόλεμος μὲ βαρβάρους, τὰς μὲν πόλεις ποὺ εἶχον τείχη τὰς κατέσκαψαν καὶ τὰς ἐκυρίευσαν οἱ βάρβαροι καὶ ἔφυγαν ἀφοῦ ἐπῆραν τοὺς κατοίκους των ὡς αἰχμαλώτους, τὸν πολίτην ὅμως τῆς ἐρήμου Ἀβραὰμ δὲν ἠμπόρεσαν νὰ τὸν πάρουν μαζί των· καὶ πολὺ εὐλόγως· διότι ἀπὸ τὴν ἀσφάλειαν ποὺ παρέχουν τὰ πλήθη τοῦ στρατοῦ καὶ τὰ τείχη, αὐτὸς εἶχε πολὺ μεγαλυτέραν δύναμιν, τὴν εὐσέβειαν. Ἐὰν εἶσαι χριστιανός, δὲν ἔχεις πόλιν ἐδῶ εἰς τὴν γῆν, διότι τῆς πόλεως ἡμῶν τεχνίτης καὶ δημιουργὸς εἶναι ὁ Θεός· καὶ ἂν ἀκόμα καταλάβωμεν ὁλόκληρον τὴν οἰκουμένην, εἴμεθα ξένοι καὶ παρεπίδημοι δι' ὅλην. Εἴμεθα πολῖται τοῦ οὐρανοῦ, διότι ἐκεῖ ἔχομεν πολιτογραφηθῆ· ἂς μὴ θαυμάζωμεν τὰ μικρὰ καὶ παραβλέπωμεν τὰ μεγάλα ὅπως κάνουν τὰ μικρὰ παιδιά.

Ὄχι τὸ μέγεθος τῆς πόλεως, ἀλλὰ ἡ ἀρετὴ τῆς ψυχῆς εἶναι στολισμὸς καὶ ἀσφάλεια. Ἐὰν δὲ νομίζῃς ὅτι εἶναι ἀξίωμα τῆς πόλεως τὸ μέγεθος αὐτῆς, σκέψου πόσοι πόρνοι, πόσοι ἀδύνατοι εἰς τὸν χαρακτῆρα, πόσοι διεφθαρμένοι καὶ γεμᾶτοι ἀπὸ ἀναρίθμητα κακὰ παίρνουν μέρος μαζὶ μὲ σὲ εἰς τὴν ἀξίαν αὐτήν, καὶ περιφρόνησε τὴν τιμὴν αὐτήν. Ἀλλὰ ἡ πόλις τοῦ οὐρανοῦ δὲν εἶναι τέτοια· διότι εἶναι ἀδύνατον νὰ γίνῃ πολίτης αὐτῆς ἐκεῖνος ποὺ δὲν ἐπέδειξε κάθε εἴδους ἀρετήν. Ἂς μὴ γινώμεθα λοιπὸν ἀνόητοι ἀλλὰ τότε νὰ λυπούμεθα, ὅταν κάποιος μᾶς ἀφαιρέσῃ τὴν ἀξίαν τῆς ψυχῆς, ὅταν διαπράττωμεν τὴν ἐργασίαν, ὅταν προσκρούσωμεν εἰς τὸν Κύριον ὅλων· διότι αὐτὰ ποὺ συνέβησαν τώρα

νον οὐδὲν παραβλάψει τὴν πόλιν, ἀλλ᾽ ἐὰν νήφωμεν, καὶ ὠφελήσει τὰ μέγιστα. Καὶ γὰρ γυναικὶ νῦν ἔοικεν ἡμῖν ἡ πόλις εὐσχήμονι, καὶ ἐλευθέρᾳ, καὶ σώφρονι· ὁ φόβος ἐπιεικεστέραν αὐτὴν καὶ σεμνοτέραν ἐποίησε, καὶ τῶν μιαρῶν ἐκείνων τῶν τὰ γεγενημένα τολμησάντων ἀπήλλαξε.

Μὴ τοίνυν γυναικώδεις θρηνῶμεν θρήνους· καὶ γὰρ ἤκουσα πολλῶν κατὰ τὴν ἀγορὰν λεγόντων· οὐαί σοι Ἀντιόχεια, τί σοι γέγονε; πῶς ἠτιμώθης; Καὶ ἀκούσας κατεγέλασα τῆς παιδικῆς τῶν ταῦτα λεγόντων διανοίας. Οὐ γὰρ νῦν ταῦτα λέγειν χρή· ἀλλ᾽ ὅταν ἴδῃς ὀρχουμένους, μεθύοντας ᾄδοντας, βλασφημοῦντας, ὀμνύοντας, ἐπιορκοῦντας, ψευδομένους, τότε ταύτην ἐπίλεγε τὴν ῥῆσιν, οὐαί σοι πόλις τί σοι γέγονεν; Ἐὰν δὲ ἴδῃς τὴν ἀγορὰν ὀλίγους ἔχουσαν ἄνδρας ἐπιεικεῖς, καὶ σώφρονας, καὶ μετρίους, μακάριζε τὴν πόλιν ἐκείνην. Οὐδὲν γὰρ ἡ ὀλιγότης αὐτὴν παραβλάψαι ποτὲ δυνήσεται, τῆς ἀρετῆς προσούσης, ὥσπερ οὖν τὸ πλῆθος οὐδὲν ὠφελήσει ποτέ, κακίας οὔσης. «Ἐὰν ᾖ ὁ ἀριθμὸς τῶν υἱῶν Ἰσραήλ, φησίν, «ὡς ἡ ἄμμος τῆς θαλάσσης, τὸ κατάλειμμα σωθήσεται». Οὐδέν με τὸ πλῆθος δυσωπῆσαι δυνήσεται, φησίν· οὕτω καὶ ὁ Χριστὸς ἐποίησεν· ἐταλάνισε πόλεις οὐ δι᾽ ὀλιγότητα, οὐ διὰ τὸ μὴ εἶναι μητροπόλεις· καὶ τὴν Ἱερουσαλὴμ πάλιν δι᾽ αὐτὸ τοῦτο ἐταλάνισεν οὕτω λέγων· «Ἱερουσαλήμ, Ἱερουσαλήμ, ἡ ἀποκτείνουσα τοὺς προφήτας, καὶ λιθοβολοῦσα τοὺς ἀπεσταλμένους πρὸς αὐτήν».

Τί γάρ μοι τὸ πλῆθος ὄφελος φέρει, εἰπέ μοι, ἂν μετὰ κακίας ᾖ πολιτευόμενον; Τοὐναντίον μὲν οὖν καὶ βλάβος ἀπὸ τούτου γίνεται. Νῦν οὖν τὰ γεγενημένα κακὰ τί ἄλλο εἰργάσατο; Οὐχ ἡ ῥαθυμία, καὶ ἡ ὀλιγωρία, καὶ ἡ μοχθηρία τῶν ἐνοικούντων; Μή τι τὸ ἀξίωμα τὴν πόλιν ὠφέλησε,

---

10. Ἠσ. 10, 22· Ρωμ. 9, 27.
11. Ματθ. 23, 37.

ὄχι μόνον δὲν θὰ ζημιώσουν τὴν πόλιν, ἀλλὰ ἐὰν εἴμεθα νηφάλιοι, πάρα πολὺ θὰ ὠφελήσουν. Διότι τώρα ἡ πόλις μας ὁμοιάζει μὲ γυναῖκα σοβαρὰν καὶ ἐλευθέραν καὶ σώφρονα· ὁ φόβος τὴν ἔκαμε φρονιμωτέραν καὶ σεμνοτέραν, καὶ τὴν ἀπήλλαξεν ἀπὸ τὰ μιαρὰ ἐκεῖνα ποὺ ἐτόλμησαν νὰ κάμουν αὐτὰ ποὺ συνέβησαν.

Ἂς μὴ θρηνοῦμεν λοιπὸν μὲ θρήνους ποὺ ἁρμόζουν εἰς γυναῖκας· διότι ἤκουσα πολλοὺς εἰς τὴν ἀγορὰν νὰ λέγουν· ἀλλοίμονόν σου Ἀντιόχεια, τί σοῦ συνέβη; πῶς ἠτιμάσθης τόσον; Καὶ ὅταν ἤκουσα αὐτὰ ἐγέλασα μὲ τὰ παιδικὰ μυαλὰ ἐκείνων ποὺ τὰ ἔλεγαν. Διότι δὲν πρέπει νὰ λέγωνται τώρα αὐτά· ἀλλὰ ὅταν ἴδῃς νὰ χορεύουν, νὰ μεθύουν, νὰ τραγουδοῦν ἄσεμνα, νὰ βλασφημοῦν, νὰ ὁρκίζωνται, νὰ ἐπιορκοῦν, νὰ ψεύδωνται, τότε νὰ λέγῃς τὰ λόγια αὐτά, ἀλλοίμονόν σου πόλις, τί σοῦ συνέβη; Ἐὰν δὲ ἰδῇς τὴν ἀγορὰν νὰ ἔχῃ ὀλίγους ἄνδρας ἀγαθούς, σώφρονας καὶ κοσμίους, μακάριζε τὴν πόλιν ἐκείνην. Διότι εἰς τίποτε ἡ ὀλιγαριθμία δὲν θὰ ἠμπορέσῃ ποτὲ νὰ τὴν βλάψῃ, ὅταν ὑπάρχῃ ἡ ἀρετή, ὅπως καὶ τὸ πλῆθος καθόλου δὲν ἠμπορεῖ νὰ βοηθήσῃ ὅταν ὑπάρχῃ κακία. «Ἐὰν εἶναι ὁ ἀριθμὸς τῶν ἀπογόνων τοῦ Ἰσραήλ», λέγει, «ἀναρίθμητος ὡσὰν τὴν ἄμμον τῆς θαλάσσης, αὐτοὶ δὲν θὰ σωθοῦν, ἀλλὰ μόνον τὸ ὑπόλοιπον τῶν καλοπροαιρέτων»[10]. Οὐδόλως θὰ μὲ συγκινήσῃ τὸ πλῆθος, λέγει· τὸ ἴδιον ἔκαμε καὶ ὁ Χριστός· ἐλεεινολόγησε πόλεις ὄχι διὰ τὴν ὀλιγαριθμίαν των, ὄχι ἐπειδὴ δὲν ἦσαν μητροπόλεις· καὶ τὴν Ἰερουσαλὴμ πάλιν διὰ τὸν ἴδιον λόγον τὴν ἐλεεινολόγησε λέγων τὰ ἑξῆς· «Ἰερουσαλήμ, Ἰερουσαλήμ, δυστυχισμένη καὶ ταλαίπωρε πόλις! σὺ ποὺ φονεύεις τοὺς προφήτας καὶ λιθοβολεῖς ἐκείνους ποὺ σοῦ ἔστειλεν ὁ Θεός»[11].

Εἰς τί θὰ μὲ ὠφελήσῃ τὸ πλῆθος, εἰπέ μου, ἂν ζῇ μὲ κακίαν; Μάλιστα δὲ ἀπὸ αὐτὸ συμβαίνει καὶ ζημία. Τώρα λοιπὸν τὰ κακὰ ποὺ συνέβησαν εἰς τὴν πόλιν μας ποῖος ἄλλος τὰ ἔκαμεν; Δὲν τὰ ἔκαμεν ἡ ραθυμία καὶ ἡ ἀδιαφορία καὶ ἡ μοχθηρία τῶν κατοίκων; Μήπως τὸ ἀξίωμα ὠφέλησε

μή τι τὸ μέγεθος τῆς οἰκοδομῆς, μή τι τὸ μητρόπολιν αὐτὴν εἶναι; Εἰ δὲ παρὰ βασιλεῖ τῷ ἐπὶ τῆς γῆς οὐδὲν αὐτῆς τοῦτο ἁμαρτούσης προέστη, ἀλλὰ πάντα ἐκεῖνα ἀφῄρηται, πολλῷ μᾶλλον παρὰ τῷ Δεσπότῃ τῶν ἀγγέλων οὐδὲν αὐτῆς τὸ ἀξίωμα προστήσεται τοῦτο· οὐδὲν γὰρ ἡμᾶς ὠφελῆσαι δυνήσεται κατὰ τὴν ἡμέραν ἐκείνην, τὸ μητρόπολιν οἰκεῖν, καὶ στοὰς ἔχουσαν εὐρείας, καὶ τὰ ἄλλα ἀξιώματα τὰ τοιαῦτα.

Καὶ τί λέγω κατὰ τὴν ἡμέραν ἐκείνην; Εἰς γὰρ τὸν παρόντα βίον, τί σε ὠφελῆσαι δυνήσεται, τὸ μητρόπολιν εἶναί σου τὴν πόλιν; Ἆρα οἰκίαν τις κακῶς διακειμένην ἀπὸ τούτου διώρθωσεν, ἢ πρόσοδόν τινα ἔσχεν, ἢ ἀπὸ τῆς ἀξίας ταύτης ἀθυμίαν ἀπεκρούσατο, ἢ σώματος ἀρρωστίαν ἔλυσεν, ἢ κακίαν ψυχῆς ἀπέθετο; Μὴ παίζωμεν, ἀγαπητοί, μηδὲ πρὸς τὰς τῶν πολλῶν ὑπολήψεις βλέπωμεν, ἀλλὰ μάθωμεν, τί ποτέ ἐστι πόλεως ἀξίωμα, τί ποτέ ἐστι τὸ ποιοῦν πόλιν μητρόπολιν.

Ταῦτα λέγω προσδοκῶν μὲν πάλιν ἀπολήψεσθαι καὶ τοῦτο τὴν πόλιν τὸ σχῆμα, καὶ ἐπὶ τῆς οἰκείας φανήσεσθαι προεδρίας· καὶ γὰρ φιλάνθρωπος ὁ βασιλεὺς καὶ θεοφιλής· βούλομαι δὲ ὑμᾶς, εἰ καὶ ἀποδοθείη, μὴ μέγα ἐπὶ τούτῳ φρονεῖν, μηδὲ ἐγκαλλωπίζεσθαι, μηδὲ ἐκ τούτων τὴν πόλιν ἡμῖν σεμνύνειν. Ὅταν ἐθέλῃς τῆς πόλεως εἰπεῖν ἐγκώμιον, μή μοι τὴν Δάφνην εἴπῃς τὸ προάστειον, μηδὲ τὸ πλῆθος καὶ μῆκος τῶν κυπαρίσσων, μηδὲ τὰς πηγὰς τῶν ὑδάτων, μηδὲ τὸ πολλοὺς τὴν πόλιν οἰκεῖν ἀνθρώπους, μηδὲ τὸ μέχρι βαθυτάτης ἑσπέρας ἐπὶ ἀγορᾶς διατρίβειν, μετὰ ἀδείας πολλῆς, μηδὲ τῶν ὠνίων τὴν ἀφθονίαν· αἰσθητὰ ἅπαντα ταῦτα, καὶ μέχρι τοῦ παρόντος μένοντα βίου· ἀλλ' ἐὰν ἔχῃς εἰπεῖν ἀρετήν, ἐπιείκειαν, ἐλεημοσύνην, παννυχίδας, εὐχάς,

τὴν πόλιν, μήπως τὸ μέγεθος τῶν οἰκοδομῶν, μήπως τὸ ὅτι ἦτο μητρόπολις; Ἀφοῦ δὲ εἰς τὸν ἐπίγειον βασιλέα δὲν τὴν ἐβοήθησε τοῦτο καθόλου τώρα ποὺ ἡμάρτησε, ἀλλὰ τῆς ἀφῄρεσεν ὅλα τὰ προνόμιά της, πολὺ περισσότερον εἰς τὸν Δεσπότην τῶν ἀγγέλων καθόλου δὲν θὰ ἠμπορέσῃ νὰ μᾶς ὠφελήσῃ τὸ ἀξίωμα τοῦτο· καθόλου δὲν θὰ ἠμπορέσῃ νὰ μᾶς βοηθήσῃ κατὰ τὴν ἡμέραν ἐκείνην τὸ ὅτι κατοικοῦμεν εἰς μητρόπολιν, καὶ ἔχει στοὰς εὐρυχώρους καὶ τὰ ἄλλα ἀξιώματά της.

Καὶ διατί λέγω κατὰ τὴν ἡμέραν ἐκείνην; Διότι εἰς τὸν παρόντα βίον, τί θὰ ἠμπορέσῃ νὰ σὲ βοηθήσῃ τὸ γεγονὸς ὅτι ἡ πόλις ποὺ κατοικεῖς εἶναι μητρόπολις; Ἀράγε ἐὰν κάποιος ἔχῃ οἰκίαν εἰς κακὴν κατάστασιν, μήπως τὴν διώρθωσεν ἀπὸ τὸ ἀξίωμα τῆς πόλεως αὐτό, ἢ εἶχε κάποιον ἔσοδον, ἢ ἀπὸ τὴν ἀξίαν αὐτὴν ἀπεμάκρυνε τὴν λύπην του, ἢ μήπως ἔδιωξε μακρυὰ τὴν ἀσθένειαν τοῦ σώματος, ἢ μήπως ἀπέβαλε τὴν κακίαν τῆς ψυχῆς; Ἂς μὴ παίζωμεν, ἀγαπητοί, οὔτε νὰ λαμβάνωμεν ὑπ' ὄψιν μας τὰς ἀντιλήψεις τῶν πολλῶν, ἀλλὰ νὰ μάθωμεν, τί εἶναι πραγματικὸν ἀξίωμα τῆς πόλεως, τί κάνει τὴν πόλιν πραγματικὴν μητρόπολιν.

Λέγω αὐτὰ ἐπειδὴ ἐλπίζω νὰ πάρῃ πίσω ἡ πόλις μας τὸν τίτλον ποὺ εἶχε, καὶ νὰ ἐπανέλθῃ εἰς τὴν θέσιν ποὺ ἦτο προηγουμένως· καθ' ὅσον εἶναι φιλάνθρωπος ὁ βασιλεὺς καὶ θεοσεβής· θέλω ὅμως σεῖς, καὶ ὅταν ἀποδοθῇ, νὰ μὴ ὑπερηφανεύεσθε δι' αὐτό, οὔτε νὰ κομπάζετε καὶ νὰ καυχᾶσθε, οὔτε νὰ θεωρῆτε ὅτι ἀπὸ αὐτὸ ἡ πόλις μας ἔχει μεγαλυτέραν ἀξίαν. Ὅταν θέλῃς νὰ ἐγκωμιάσῃς τὴν πόλιν, μὴ μοῦ ἀναφέρῃς τὸ προάστειον Δάφνη, οὔτε τὸ πλῆθος καὶ τὸ μῆκος τῶν κυπαρίσσων, οὔτε τὰς πηγὰς τῶν ὑδάτων, οὔτε τὸ ὅτι κατοικοῦν πολλοὶ ἄνθρωποι εἰς τὴν πόλιν, οὔτε τὸ ὅτι παραμένουν μέχρι ἀργὰ τὸ βράδυ εἰς τὴν ἀγορὰν χωρὶς φόβον, οὔτε τὴν ἀφθονίαν τῶν τροφίμων· ὅλα αὐτὰ εἶναι ὑλικὰ καὶ παραμένουν μέχρι τοῦ βίου τούτου· ἀλλὰ ἐὰν ἠμπορῇς καὶ ἀναφέρῃς ἀρετήν, πραότητα, ἐλεημοσύνην, ἀγρυπνίας,

σωφροσύνην, φιλοσοφίαν ψυχῆς, ἀπὸ τούτων κόσμει τὴν πόλιν.

Ταῦτα καὶ τοῖς τὴν ἔρημον οἰκοῦσι προσόντα πάσης πόλεως λαμπροτέραν αὐτὴν ποιεῖ· καὶ πάλιν πάντων εὐτελεστέραν, ἂν μὴ παρῇ ταῦτα τοῖς ἐκείνης πολίταις. Τοῦτο μὴ ἐπὶ πόλεως μόνον, ἀλλὰ καὶ ἐπ' ἀνθρώπων ποιήσωμεν. Ἐὰν ἴδῃς ἄνθρωπον πολυσαρκοῦντα, εἰς εὐεξίαν πολλὴν ἐκβεβηκότα, ὑψηλόν, καὶ τοὺς ἄλλους ὑπερβαίνοντα τῷ μήκει τοῦ σώματος, μὴ θαυμάσῃς, ἕως ἂν αὐτοῦ τὴν ψυχὴν καταμάθῃς. Μὴ ἀπὸ τῆς ἔξωθεν εὐμορφίας, ἀλλὰ καὶ ἀπὸ τοῦ κατὰ τὴν διάνοιαν κάλλους μακαρίζωμεν ἅπαντας. Μικρὸς ἦν ὁ Δαυῒδ καὶ βραχὺς τῷ σώματι, ἀλλ' ὅμως ὁ βραχὺς ἐκεῖνος καὶ μικρός, καὶ τῶν ὅπλων γεγυμνωμένος ἁπάντων, στρατόπεδον τοσοῦτον, καὶ τὸν σαρκικὸν ἐκεῖνον πύργον ἀπὸ μιᾶς κατήνεγκε πληγῆς, οὐκ ἀκοντίσας δόρυ, οὐδὲ βέλος ἀφείς, οὐδὲ ξίφος γυμνώσας, ἀλλὰ μικρᾷ βολῇ τὸ πᾶν ἐργασάμενος. Διὰ τοῦτο καί τις παραινεῖ λέγων· «Μὴ ἐπαινέσῃς ἄνθρωπον ἐν κάλλει αὐτοῦ, μηδὲ βδελύξῃ ἄνδρα ἐν ὁράσει αὐτοῦ· μικρὰ ἐν πετεινοῖς ἡ μέλισσα, καὶ ἀρχὴ γλυκασμῶν ὁ καρπὸς αὐτῆς».

Τοῦτο καὶ ἐπὶ πόλεως καὶ ἀνδρῶν λέγωμεν καὶ πρὸς ἀλλήλους φιλοσοφῶμεν, καὶ τῷ Θεῷ χάριν ἔχωμεν διηνεκῶς, καὶ ὑπὲρ τῶν παρόντων, καὶ ὑπὲρ τῶν παρελθόντων, καὶ παρακαλῶμεν αὐτὸν κοινῇ μετὰ ἐκτενείας πάσης, ὥστε καὶ τοὺς τὸ δεσμωτήριον οἰκοῦντας, καὶ τοὺς εἰς τὴν ἀλλοτρίαν μετοικίζεσθαι μέλλοντας, τοὺς μὲν ἀφεθῆναι, τοὺς δὲ ἐπανελθεῖν. Μέλη ἡμῶν εἰσι κἀκεῖνοι, μεθ' ἡμῶν ἐκλυδωνίσθησαν, μεθ' ἡμῶν τὸν χειμῶνα ὑπέστησαν· παρακαλῶμεν τοίνυν τὸν φιλάνθρωπον Θεὸν μεθ' ἡμῶν αὐτοὺς ἀπολαῦσαι τῆς γαλήνης.

Μὴ λεγέτω τις, τί δέ μοι μέλει λοιπόν; Ἀπηλλάγην

---

12. Σοφ. Σειρ. 11, 2-3.

προσευχάς, σωφροσύνην, φιλοσοφίαν ψυχῆς καὶ μὲ αὐτὰ νὰ κοσμῇς τὴν πόλιν.

Αὐτὰ καὶ τὴν ἔρημον εἰς τὴν ὁποίαν κατοικοῦν ἄνθρωποι τὴν κάνουν λαμπροτέραν ἀπὸ κάθε πόλιν, καὶ πάλιν ἂν αὐτὰ λείπουν ἀπὸ τοὺς πολίτας της τὴν κάνουν χειροτέραν ἀπὸ ὅλας. Τοῦτο ἂς μὴ τὸ ἐφαρμόσωμεν μόνον εἰς τὴν πόλιν, ἀλλὰ καὶ εἰς τοὺς ἀνθρώπους. Ἐὰν ἴδῃς ἄνθρωπον σωματώδη, νὰ ἔχῃ σωματικὴν εὐεξίαν, ὑψηλόν, καὶ ὑπερβαίνοντα τοὺς ἄλλους κατὰ τὸ μῆκος τοῦ σώματος, μὴ τὸν θαυμάσῃς, ἕως ὅτου γνωρίσῃς καλὰ τὴν ψυχήν του. Ἂς μὴ μακαρίζωμεν ὅλους ἀπὸ τὴν ἐξωτερικὴν ὀμορφιάν, ἀλλὰ καὶ ἀπὸ τὴν ὡραιότητα τὴν ψυχικήν. Μικρὸς ἦτο ὁ Δαβὶδ καὶ κοντὸς εἰς τὸ ἀνάστημα, ὅμως ὁ μικρόσωμος ἐκεῖνος καὶ ἄοπλος τόσον στρατὸν καὶ τὸν σάρκινον ἐκεῖνον πύργον (Γολιὰθ) διὰ μιᾶς τὸν κατεκρήμνισε, χωρὶς νὰ ρίψῃ ἀκόντιον, χωρὶς νὰ ρίψῃ βέλος, χωρὶς νὰ βγάλῃ τὸ ξίφος, ἀλλὰ τὰ πάντα ἐπέτυχε μὲ τὸ νὰ ρίψῃ μικρὰν πέτραν. Διὰ τοῦτο καὶ κάποιος συμβουλεύει τὰ ἑξῆς λέγων· «Μὴ ἐπαινέσῃς ἄνθρωπον διὰ τὴν ὀμορφιάν του, καὶ μὴ ἀποστραφῇς ἄνδρα διὰ τὴν ἄσχημον ἐξωτερικήν του ὄψιν· μικρὰ εἶναι ἡ μέλισσα μεταξὺ τῶν πτηνῶν, καὶ ὅμως ὁ καρπός της εἶναι ἡ βάσις τῶν γλυκυσμάτων»[12].

Τοῦτο καὶ διὰ τὴν πόλιν καὶ διὰ τοὺς ἀνθρώπους ἂς λέγωμεν, καὶ ἂς φιλοσοφῶμεν μεταξύ μας καὶ ἂς εὐχαριστοῦμεν συνεχῶς τὸν Θεόν, καὶ διὰ τὰ παρόντα καὶ διὰ τὰ παρελθόντα, καὶ ἂς τὸν παρακαλοῦμεν ὅλοι μαζὶ μὲ ἐπιμονήν, ὥστε καὶ αὐτοὶ ποὺ εὑρίσκονται εἰς τὴν φυλακήν, καὶ αὐτοὶ ποὺ πρόκειται νὰ μεταφερθοῦν εἰς τὴν ἐξορίαν, νὰ ἐλευθερωθοῦν οἱ μὲν καὶ νὰ ἐπανέλθουν εἰς τὴν πατρίδα των οἱ ἄλλοι. Μέλη μας εἶναι καὶ ἐκεῖνοι, μαζὶ μὲ ἡμᾶς ἐδοκίμασαν τὸν κλονισμόν, μαζί μας ὑπέστησαν τὴν τρικυμίαν· ἂς παρακαλοῦμεν λοιπὸν τὸν φιλάνθρωπον Θεὸν μαζί μας νὰ ἀπολαύσουν καὶ αὐτοὶ τὴν γαλήνην.

Ἂς μὴ λέγῃ κανείς, τί μὲ μέλει λοιπόν; Ἐγὼ ἐγλύτω-

τοῦ κινδύνου· ἀπολλύσθω ὁ δεῖνα, διαφθειρέσθω ἕτερος. Μὴ παροξύνωμεν τὸν Θεὸν διὰ τῆς ὑπεροψίας ταύτης, ἀλλ' ὡς αὐτοὶ ὄντες ἐν τοῖς δεινοῖς, οὕτως ὀδυνώμεθα, οὕτω τὸν Θεὸν μετὰ ἐκτενείας παρακαλῶμεν, ἐκεῖνο τὸ Παύλου πληροῦντες ῥητόν· «Τοῖς δεσμίοις ὡς συνδεδεμένοι, τοῖς κακουχουμένοις ὡς καὶ αὐτοὶ ὄντες ἐν σώματι, καὶ κλαίοντες μετὰ κλαιόντων, τοῖς ταπεινοῖς συναπαγόμενοι».

Τοῦτο καὶ ἡμᾶς αὐτοὺς ὠφελήσει τὰ μέγιστα· οὐδὲν γὰρ οὕτω τὸν Θεὸν εὐφραίνειν εἴωθεν, ὡς τὸ μετὰ πολλῆς προθυμίας ἀλγεῖν ὑπὲρ τῶν μελῶν τῶν ἡμετέρων. Παρακαλῶμεν τοίνυν αὐτὸν κοινῇ καὶ ὑπὲρ τῶν παρόντων, καὶ ὑπὲρ τῶν μελλόντων, ὥστε κἀκείνης ἡμᾶς ἐξαρπάσαι τῆς κολάσεως. Τὰ μὲν γὰρ παρόντα, οἷα ἂν ᾖ, φορητά τέ ἐστι καὶ τέλος ἔχει· τὰ δὲ ἐκεῖ βασανιστήρια ἀθάνατά τε καὶ ἄφυκτα. Μετὰ δὲ τῆς παρακλήσεως καὶ αὐτοὶ σπουδάζωμεν, μηκέτι τούτοις περιπίπτειν ἁμαρτήμασιν, εἰδότες ὅτι λοιπὸν οὐδὲ συγγνώμης ἀπολαῦσαι δυνησόμεθα.

Κοινῇ τοίνυν τῷ Θεῷ προσπίπτωμεν ἅπαντες, καὶ ἐνταῦθα ὄντες, καὶ κατὰ τοὺς οἴκους γινόμενοι, λέγωμεν· «Δίκαιος εἶ Κύριε ἐπὶ πᾶσιν, οἷς ἐποίησας ἡμῖν, ὅτι ἐν ἀληθινῇ κρίσει ἐπήγαγες, ὅσα ἐπήγαγες». Εἰ αἱ ἁμαρτίαι ἡμῶν ἀντέστησαν ἡμῖν, ποίησον ἡμῖν ἕνεκεν τοῦ ὀνόματός σου, καὶ μὴ συγχωρήσῃς μηκέτι τοιούτων δεινῶν πεῖραν λαβεῖν, «μηδὲ εἰσενέγκῃς ἡμᾶς εἰς πειρασμόν, ἀλλὰ ῥῦσαι ἡμᾶς ἀπὸ τοῦ πονηροῦ, ὅτι σοῦ ἐστιν ἡ βασιλεία, ἡ δύναμις, καὶ ἡ δόξα εἰς τοὺς αἰῶνας τῶν αἰώνων· Ἀμήν».

---

13. Ἑβρ. 13, 2.
14. Ρωμ. 12, 15-17.
15. Δαν. 3, 27.
16. Ματθ. 6, 13.

σα ἀπὸ τὸν κίνδυνον, ἂς χαθῇ ὁ τάδε, ἂς καταστραφῇ ὁ ἄλλος. Ἂς μὴ παροργίζωμεν τὸν Θεὸν διὰ τῆς ἀδιαφορίας μας αὐτῆς, ἀλλὰ ὡσὰν νὰ εἴμεθα ἡμεῖς εἰς τὰ κακά, ἔτσι νὰ λυπούμεθα, ἔτσι νὰ παρακαλοῦμεν τὸν Θεὸν ἐκτενῶς, ἐφαρμόζοντες τὸ ρητὸν ἐκεῖνο τοῦ ἀποστόλου Παύλου. «Νὰ ἐνθυμῆσθε τοὺς φυλακισμένους, ὡσὰν νὰ εἶσθε μαζί των δεμένοι καὶ τοὺς ταλαιπωρουμένους, διότι καὶ σεῖς ἔχετε σῶμα φθαρτόν[13], καὶ νὰ κλαίετε μὲ ἐκείνους ποὺ κλαίουν καὶ νὰ εἶσθε συγκαταβατικοὶ εἰς τοὺς ταπεινούς»[14].

Αὐτὸ καὶ ἡμᾶς θὰ ὠφελήσῃ πάρα πολύ, διότι τίποτε δὲν εὐχαριστεῖ τὸν Θεὸν τόσον ὅσον τὸ νὰ λυπούμεθα μὲ πολλὴν προθυμίαν διὰ τὰ μέλη μας, δηλαδὴ τοὺς συνανθρώπους μας. Ἂς παρακαλοῦμεν λοιπὸν αὐτὸν ὅλοι καὶ διὰ τὰ παρόντα καὶ διὰ τὰ μέλλοντα, ὥστε νὰ μᾶς γλυτώσῃ καὶ ἀπὸ τὴν μέλλουσαν τιμωρίαν. Διότι τὰ μὲν παρόντα κακά, ὅποια καὶ ἂν εἶναι, ὑποφέρονται καὶ ἔχουν τέλος· τὰ ἐκεῖ ὅμως βασανιστήρια καὶ αἰώνια εἶναι καὶ ἀναπόφευκτα. Μαζὶ δὲ μὲ τὴν πρὸς τὸν Θεὸν παράκλησιν ἂς φροντίζωμεν καὶ οἱ ἴδιοι νὰ μὴ ἐμπέσωμεν τοῦ λοιποῦ εἰς τέτοια ἁμαρτήματα, γνωρίζοντες ὅτι εἰς τὸ ἑξῆς οὔτε συγχώρησιν δὲν θὰ ἠμπορέσωμεν νὰ ἔχωμεν ἀπὸ τὸν Θεόν.

Ὅλοι μαζὶ λοιπὸν ἂς καταφεύγωμεν εἰς τὸν Θεόν, καὶ ὅταν εἴμεθα ἐδῶ, καὶ ὅταν ἐπιστρέψωμεν εἰς τὰς οἰκίας μας, καὶ ἂς λέγωμεν «Δίκαιος εἶσαι, Κύριε, δι' ὅσα μᾶς ἔκαμες, διότι μὲ ἀληθινὴν κρίσιν ἐπέφερες εἰς ἡμᾶς, ὅσα μᾶς ἐπέφερες»[15]. Ἐὰν αἱ ἁμαρτίαι μας ἦλθον ἐναντίον μας, βοήθησέ μας χάριν τοῦ ὀνόματός σου καὶ μὴ ἐπιτρέψῃς νὰ δοκιμάσωμεν πάλιν τοιαῦτα κακὰ «οὔτε νὰ μᾶς ἀφήσῃς νὰ πέσωμεν εἰς πειρασμόν, ἀλλὰ γλύτωσέ μας ἀπὸ τὸν πονηρόν, διότι ἰδική σου εἶναι ἡ βασιλεία καὶ ἡ δύναμις καὶ ἡ δόξα εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν»[16].

ΟΜΙΛΙΑ ΔΕΚΑΤΗ ΟΓΔΟΗ

ΕΙΣ ΤΗΝ ΠΡΟΕΙΡΗΜΕΝΗΝ ΥΠΟΘΕΣΙΝ

τῆς στάσεως, περὶ νηστείας, καὶ εἰς τὸ ῥητὸν τοῦ ἀποστόλου, «Χαίρετε ἐν Κυρίῳ πάντοτε».

1. Πολλοὺς εἶδον χαίροντας, καὶ πρὸς ἀλλήλους λέγοντας, ἐνικήσαμεν, ἐκρατήσαμεν, ἐδαπανήθη τῆς νηστείας τὸ ἥμισυ. Τοὺς δὲ τοιούτους παρακαλῶ, μὴ διὰ τοῦτο χαίρειν, ὅτι ἐδαπανήθη τῆς νηστείας τὸ ἥμισυ, ἀλλ' ἐκεῖνο σκοπεῖν, εἰ τῶν ἁμαρτημάτων ἐδαπανήθη τὸ ἥμισυ, καὶ τότε ἀγάλλεσθαι· τοῦτο γὰρ ἡδονῆς ἄξιον, τοῦτό ἐστι τὸ ζητούμενον, καὶ δι' ὃ πάντα γίνεται, ἵνα τὰ ἐλαττώματα ἡμῶν διορθώσωμεν, ἵνα μὴ τοιοῦτοι ἐξέλθωμεν ἀπὸ νηστείας, οἷοι εἰσήλθομεν εἰς νηστείαν, ἀλλ' ἀπονιψάμενοι, καὶ πάντα ἀποθέμενοι τὰ τῆς πονηρᾶς συνηθείας, οὕτω τὴν ἱερὰν ἀγάγωμεν ἑορτήν· ὡς ἂν μὴ τοῦτο ᾖ, οὐ μόνον οὐδὲν ἡμῖν ἔσται κέρδος, ἀλλὰ καὶ βλάβος μέγιστον τῆς νηστείας δαπανηθείσης.

Μὴ τοίνυν χαίρωμεν, ὅτι διηνύσαμεν τῆς νηστείας τὸ μῆκος· τοῦτο γὰρ οὐδὲν μέγα ἐστίν· ἀλλὰ χαίρωμεν, ὅταν μετὰ κατορθωμάτων αὐτὸ διανύσωμεν, ἵνα καὶ ἀπελθούσης ταύτης, ὁ ταύτης διαλάμπῃ καρπός. Καὶ γὰρ τοῦ χειμῶνος τὸ κέρδος τότε μάλιστα δείκνυται, ὅταν ἐκεῖνος παρέλθῃ· καὶ γὰρ κομῶντα τὰ λήϊα, καὶ φύλλοις καὶ καρπῷ τὰ δένδρα βρύοντα διὰ τῆς ὄψεως βοᾷ τὴν ἐκ τοῦ χειμῶνος γενομένην ὠφέλειαν αὐτοῖς. Τοῦτο δὴ καὶ ἐφ' ἡμῶν γενέσθω. Καὶ γὰρ ὑετῶν συνεχῶν καὶ ἐπαλλήλων ἀπελαύσαμεν ἐν τῷ

1. Φιλιπ. 4, 4.

ΟΜΙΛΙΑ ΔΕΚΑΤΗ ΟΓΔΟΗ

ΕΙΣ ΤΗΝ ΥΠΟΘΕΣΙΝ ΤΗΣ ΣΤΑΣΕΩΣ

που προηγουμένως ἀνεφέρθη, περὶ νηστείας, καὶ εἰς τὸ ρητὸν τοῦ ἀποστόλου «χαίρετε ἐν Κυρίῳ πάντοτε»[1].

1. Εἶδα πολλοὺς νὰ χαίρωνται καὶ νὰ λέγουν μεταξύ των, ἐνικήσαμεν, ὑπερισχύσαμεν, ἐπεράσαμεν τὸ ἥμισυ χρονικὸν διάστημα τῆς νηστείας. Αὐτοὺς τοὺς παρακαλῶ νὰ μὴ χαίρωνται διὰ τὸ ὅτι ἐπέρασε τὸ ἥμισυ τῆς νηστείας, ἀλλὰ τοῦτο νὰ σκέπτωνται, ἐὰν ἐδαπανήθη τὸ ἥμισυ τῶν ἁμαρτημάτων, καὶ τότε νὰ χαίρωνται, διότι αὐτὸ εἶναι ἄξιον πρᾶγμα διὰ χαράν, αὐτὸ εἶναι τὸ ποθούμενον, καὶ δι' αὐτὸ γίνονται τὰ πάντα, διὰ νὰ διορθώσωμεν τὰ ἐλαττώματά μας καὶ νὰ μὴ ἐξέλθωμεν ἀπὸ τὴν νηστείαν εἰς τὴν κατάστασιν ποὺ ἤμεθα ὅταν εἰσήλθομεν, ἀλλὰ ἀφοῦ ἀποπλύνωμεν καὶ ἀποθέσωμεν τὰς πονηρὰς συνηθείας, ἔτσι νὰ ὁδηγηθῶμεν εἰς τὴν ἱερὰν ἑορτήν· διότι ἂν δὲν συμβῇ τοῦτο, ὄχι μόνον δὲν θὰ ἔχωμεν κανένα κέρδος, ἀλλὰ ἀντιθέτως μεγάλην βλάβην ἀφοῦ περάσῃ ὁ καιρὸς τῆς νηστείας.

Ἂς μὴ χαίρωμεν λοιπὸν ἐπειδὴ ἐπεράσαμεν μεγάλο χρονικὸν διάστημα νηστείας· διότι τοῦτο δὲν εἶναι πολὺ μεγάλο πρᾶγμα· ἀλλὰ νὰ χαίρωμεν ὅταν περάσωμεν τὸ διάστημα αὐτὸ μὲ κατορθώματα ἀρετῆς, ὥστε καὶ ὅταν περάσῃ αὐτή, νὰ λάμπῃ ὁ καρπὸς αὐτῆς. Διότι καὶ ἡ ὠφέλεια ποὺ προέρχεται ἀπὸ τὸν χειμῶνα τότε φαίνεται, ὅταν περάσῃ ἐκεῖνος· διότι καὶ τὰ σπαρτὰ εἶναι εἰς τὴν ἀκμὴν τῆς βλαστήσεως καὶ τὰ δένδρα γεμᾶτα ἀπὸ φύλλα καὶ καρποὺς καὶ διὰ τῆς ὄψεώς των φωνάζουν τὴν ὠφέλειαν ποὺ προῆλθεν ἀπὸ τὸν χειμῶνα εἰς αὐτά. Αὐτὸ λοιπὸν νὰ γίνῃ καὶ εἰς ἡμᾶς. Διότι ἀπελαύσαμεν συνεχῶν βροχῶν καὶ ἀλλεπαλ-

χειμῶνι κατὰ τὸν τῆς νηστείας καιρὸν διηνεκοῦς μετασχόντες διδασκαλίας, καὶ σπέρματα ἐδεξάμεθα πνευματικά, καὶ τὰς ἀκάνθας τῆς τρυφῆς ἀπετέμομεν. Μένωμεν τοίνυν ἅπερ ὑπεδεξάμεθα τηροῦντες μετὰ ἀκριβείας, ἵνα καὶ τῆς νηστείας ἀπελθούσης ὁ τῆς νηστείας βρύῃ καρπός, καὶ διὰ τῶν ἀγαθῶν, ὧν ἐκαρπωσάμεθα ἀπὸ τῆς νηστείας, καὶ αὐτῆς μνημονεύωμεν τῆς νηστείας.

Ἐὰν οὕτως ἑαυτοὺς παρασκευάσωμεν, προσιοῦσαν αὐτὴν μεθ' ἡδονῆς δεξόμεθα πάλιν. Καὶ γὰρ οὕτως ὁρῶ πολλοὺς μικροψύχως ἔχοντας, ὡς ἐν τῷ παρόντι περὶ τῆς μελλούσης μεριμνᾶν τεσσαρακοστῆς, καὶ πολλῶν ἤκουσα λεγόντων, ὅτι μετὰ τὴν τῆς νηστείας ἀπαλλαγὴν οὐκ αἰσθάνονται τῆς ἡδονῆς τῆς ἐκ τῆς ἀνέσεως διὰ τὴν φροντίδα τοῦ μέλλοντος ἐνιαυτοῦ. Τί ἂν γένοιτο τούτου μικροψυχότερον, εἰπέ μοι; Τί δὲ τὸ αἴτιον τούτου ἐστίν; Ὅτι νηστείας παραγενομένης οὐχ ὅπως τὰ κατὰ ψυχὴν εὖ διατεθείη σπουδάζομεν, ἀλλ' ἐν τῇ τῶν σιτίων ἀποχῇ μόνον αὐτὴν ὁριζόμεθα. Ὡς εἰ μέγα εἰς τὴν τῶν τρόπων διόρθωσιν ἀπ' αὐτῆς ἐκαρπωσάμεθα, κἂν ηὐξάμεθα καθ' ἑκάστην ἡμέραν παραγίνεσθαι τὴν νηστείαν, δι' αὐτῶν τῶν ἔργων αἴσθησιν λαμβάνοντες τῶν κατορθωμάτων αὐτῆς, καὶ οὐκ ἄν ποτε τὴν ἐπιθυμίαν αὐτῆς ἐξεβάλομεν, οὐκ ἂν προσδοκωμένης αὐτῆς ἐγενόμεθα κατηφεῖς καὶ ἐναγώνιοι. Τὸν γὰρ κατὰ διάνοιαν εὖ διακείμενον, καὶ τῆς ψυχῆς ἐπιμελούμενον τῆς ἑαυτοῦ, οὐδὲν ὅλως τῶν ὄντων θλίψαι δυνήσεται, ἀλλ' ἀπολαύσεται καθαρᾶς ἡδονῆς καὶ διηνεκοῦς· καὶ ὅτι τοῦτό ἐστιν ἀληθές, ἠκούσατε τοῦ Παύλου σήμερον παραινοῦντος ἡμῖν καὶ λέγοντος· «Χαίρετε ἐν Κυρίῳ πάντοτε, πάλιν ἐρῶ, χαίρετε».

Καὶ οἴδαμεν, ὅτι πολλοῖς ἀδύνατον εἶναι δοκεῖ τὸ λεγόμενον· πῶς γὰρ οἷόν τε, φησίν, ἄνθρωπον ὄντα χαίρειν διη-

---

2. Φιλιπ. 4, 4.

λήλων κατὰ τὴν διάρκειαν τοῦ χειμῶνος, κατὰ τὸν καιρὸν τῆς νηστείας, μὲ τὸ νὰ μετέχωμεν εἰς συνεχῆ διδασκαλίαν καὶ νὰ δεχώμεθα πνευματικὰ σπέρματα καὶ μὲ τὸ νὰ ἀποκόπτωμεν τὰ ἀγκάθια τῆς τρυφῆς. Ἂς μένωμεν λοιπὸν πιστοὶ εἰς ἐκεῖνα ποὺ μὲ μεγάλην ἀκρίβειαν ἐδέχθημεν, ὥστε καὶ ἡ νηστεία ἀκόμη ὅταν περάσῃ νὰ ὑπάρχῃ ἄφθονος ὁ καρπὸς τῆς νηστείας καὶ διὰ τῶν ἀγαθῶν ποὺ ἐκαρπώθημεν ἀπὸ αὐτήν, νὰ ἐνθυμούμεθα καὶ τὴν νηστείαν.

Ἐὰν ἔτσι ὠφεληθῶμεν ἀπὸ αὐτήν, ὅταν θὰ πλησιάζῃ πάλιν μὲ εὐχαρίστησιν θὰ τὴν δεχθῶμεν. Καθ' ὅσον βλέπω πολλοὺς νὰ εἶναι τόσον μικρόψυχοι, ὥστε ἀπὸ τώρα νὰ σκέπτωνται διὰ τὴν ἐπερχομένην τεσσαρακοστήν, καὶ ἤκουσα πολλοὺς νὰ λέγουν, ὅτι μετὰ τὸ τέλος τῆς νηστείας δὲν αἰσθάνονται εὐχαρίστησιν ἀπὸ τὴν ἄνεσιν, λόγῳ τῆς σκέψεως διὰ τὴν νηστείαν τοῦ ἐρχομένου ἔτους. Τί ἠμπορεῖ νὰ γίνῃ ἀπὸ αὐτὸ πιὸ μικρόψυχον, εἰπέ μου; Ποῖον δὲ εἶναι τὸ αἴτιον τούτου; Ὅτι ὅταν πλησιάζῃ ἡ νηστεία δὲν φροντίζομεν πῶς νὰ τακτοποιήσωμεν ἐκεῖνα ποὺ ἀφοροῦν τὴν ψυχήν μας, ἀλλὰ περιορίζομεν τὴν νηστείαν μόνον εἰς τὴν ἀποχὴν ἀπὸ τὰ φαγητά. Διότι ἐὰν εἴχομεν πάρει μεγάλην ὠφέλειαν εἰς τὴν διόρθωσιν τοῦ τρόπου τῆς ζωῆς μας ἀπὸ τὴν νηστείαν, καὶ ηὐχόμεθα κάθε ἡμέρα νὰ εἶναι νηστεία, ἀπὸ τὰ ἔργα θὰ ἀντελαμβανόμεθα τὴν ὠφέλειαν αὐτῆς, καὶ δὲν θὰ ἀπεβάλλαμεν ποτὲ τὴν ἐπιθυμίαν δι' αὐτήν, καὶ οὔτε θὰ ἐγινόμεθα κατηφεῖς καὶ ἀνήσυχοι ὅταν θὰ τὴν ἐπεριμέναμεν. Διότι ἐκεῖνος ποὺ εὑρίσκεται εἰς καλὴν κατάστασιν καὶ φροντίζει διὰ τὴν ψυχήν του, τίποτε δὲν θὰ ἠμπορέσῃ νὰ τὸν κάμῃ νὰ λυπηθῇ, ἀλλὰ ἀντιθέτως θὰ ἀπολαμβάνῃ καθαρὰν καὶ συνεχῆ εὐχαρίστησιν· καὶ ὅτι τοῦτο εἶναι ἀληθές, ἠκούσατε σήμερον τὸν Παῦλον ποὺ μᾶς συνεβούλευσε καὶ εἶπε· «Χαίρετε μὲ τὴν χαρὰν ποὺ δίδει ὁ Κύριος πάντοτε, πάλιν θὰ εἰπῶ, χαίρετε»[2].

Καὶ γνωρίζομεν ὅτι εἰς τοὺς πολλοὺς τὸ λεγόμενον φαίνεται ὅτι εἶναι ἀδύνατον· διότι πῶς εἶναι δυνατόν, λέ-

νεκῶς· τὸ μὲν γὰρ χαίρειν οὐ δύσκολον, τὸ δὲ διηνεκῶς χαίρειν, τοῦτο καὶ ἀδύνατον εἶναί μοι δοκεῖ, ἴσως εἴποι ἄν τις· πολλαὶ γὰρ ἀθυμίας ἡμᾶς ἀνάγκαι περιστοιχίζονται. Ἢ γὰρ παῖδά τις ἀπέβαλεν, ἢ γυναῖκα, ἢ φίλον γνήσιον, παντὸς συγγενοῦς ἀναγκαιότερον, ἢ ζημίαν ὑπέστη χρημάτων, ἢ νόσῳ περιέπεσεν, ἢ περίστασιν πραγμάτων ὑπέμεινεν ἑτέραν, ἢ παρ' ἀξίαν ὑβρισθεὶς ἤλγησεν, ἢ λιμός, ἢ λοιμός, ἢ εἴσπραξις ἀφόρητος, ἢ τὰ κατὰ τὴν οἰκίαν πράγματα· μᾶλλον δὲ οὐκ ἂν φθάνοιμεν ἅπαντα καταλέγοντες, ὅσα καὶ ἰδίᾳ καὶ δημοσίᾳ λυπεῖν ἡμᾶς εἴωθεν. Πῶς οὖν δυνατόν, φησί, πάντοτε χαίρειν; Δυνατὸν μὲν οὖν, ἄνθρωπε· καὶ εἰ μὴ δυνατὸν ἦν, οὐκ ἂν ὁ Παῦλος παρήνεσεν, οὐδ' ἂν συνεβούλευσεν ἄνθρωπος πνευματικῆς ἀπολαύων σοφίας. Καὶ διὰ τοῦτο συνεχῶς ὑμῖν ἔλεγον, καὶ λέγων οὐ παύσομαι, ὅτι ἃ μηδαμοῦ, μηδὲ παρ' ἑτέρῳ τινὶ μαθεῖν, ταῦτα ἐνταῦθα ὑμῖν ἔξεστι φιλοσοφεῖν.

Ἡδονῆς μὲν γὰρ καὶ τοῦ χαίρειν ἐπιθυμοῦσιν ἅπαντες, καὶ διὰ τοῦτο πάντα ποιοῦσι, καὶ λέγουσι, καὶ πραγματεύονται. Καὶ γὰρ ἔμπορος διὰ τοῦτο πλεῖ, ἵνα χρήματα συναγάγῃ· χρήματα δὲ συνάγει ἵνα, ἔχων ἀποκείμενα, χαίρῃ· καὶ ὁ στρατευόμενος διὰ τοῦτο στρατεύεται, καὶ ὁ γεωργὸς διὰ τοῦτο γεωργεῖ, καὶ τέχνην ἕκαστος διὰ τοῦτο μέτεισι, καὶ ἀρχῆς οἱ ἐρῶντες διὰ τοῦτο ἐρῶσιν, ἵνα δόξης ἀπολαύσωσι, δόξης δὲ ἀπολαύειν βούλονται, ἵνα χαίρωσι· καὶ πρᾶγμα ἕκαστον πρὸς τοῦτο ἴδοι τις ἂν ἐπιγινόμενον ἡμῖν τὸ τέλος, καὶ πρὸς τοῦτο ἕκαστος βλέπων διὰ πολλῶν τῶν μέσων ἐπ' αὐτὸ σπεύ-

γουν, νὰ εἶσαι ἄνθρωπος καὶ νὰ χαίρεσαι συνεχῶς· ὄχι ἐπειδὴ εἶναι μόνον δύσκολον τὸ νὰ χαίρεσαι, ἀλλὰ τὸ νὰ χαίρεσαι συνεχῶς, τοῦτο καὶ ἀδύνατον μοῦ φαίνεται ὅτι εἶναι, ἴσως εἴπουν πολλοί· διότι μᾶς περιβάλλουν ἀπὸ παντοῦ πολλαὶ ἀνάγκαι ποὺ προξενοῦν λύπην. Διότι ἢ παιδὶ ἔχασε κάποιος, ἢ γυναῖκα, ἢ ἀγαπητὸν φίλον, ποὺ τὸν εἶχεν ἀνάγκην περισσότερον ἀπὸ κάθε συγγενῆ, ἢ ὑπέστη ζημίαν χρηματικήν, ἢ ἠσθένησεν, ἢ εὑρέθη εἰς δύσκολον περίστασιν, ἢ ὑβρίσθη παρ' ἀξίαν καὶ ἐλυπήθη, ἢ πεῖνα, ἢ ἀσθένεια, ἢ φόρος ἀβάστακτος, ἢ οἰκογενειακὰ πράγματα τὸν ἐλύπησαν· μᾶλλον δὲ δὲν θὰ προλάβωμεν νὰ ἀπαριθμήσωμεν ὅλα ὅσα καὶ εἰς τὸν ἰδιωτικὸν βίον μας καὶ εἰς τὸν δημόσιον συνήθως μᾶς προξενοῦν λύπην. Πῶς λοιπὸν εἶναι δυνατόν, λέγει, πάντοτε νὰ χαίρωμεν; Εἶναι δυνατόν, ἄνθρωπε, διότι ἐὰν δὲν ἦτο δυνατόν, δὲν θὰ μᾶς προέτρεπεν εἰς τοῦτο ὁ Παῦλος, οὔτε θὰ μᾶς συνεβούλευεν ἔτσι ἄνθρωπος ὁ ὁποῖος ἦτο πλήρης πνευματικῆς σοφίας. Καὶ διὰ τοῦτο συνεχῶς σᾶς ἔλεγα, καὶ δὲν θὰ παύσω νὰ σᾶς λέγω, ὅτι ἐκεῖνα ποὺ πουθενὰ καὶ ἀπὸ κανένα δὲν ἠμπορεῖ κανεὶς νὰ μάθῃ αὐτὰ εἶναι δυνατὸν ἐδῶ ἐσεῖς νὰ φιλοσοφῆτε.

Διότι ὅλοι ἐπιθυμοῦν νὰ χαίρωνται καὶ νὰ εὐχαριστοῦνται, καὶ διὰ τὸν σκοπὸν αὐτὸν κάμνουν τὰ πάντα, καὶ λέγουν τὰ πάντα, καὶ αἱ προσπάθειαί των κατατείνουν. Καθ' ὅσον καὶ ὁ ἔμπορος διὰ τοῦτο κάνει ταξίδια διὰ θαλάσσης, διὰ νὰ συγκεντρώσῃ χρήματα· συγκεντρώνει δὲ χρήματα διὰ νὰ χαίρεται, ἔχων αὐτὰ εἰς τὸ ταμεῖον του· καὶ ὁ στρατευόμενος διὰ τοῦτο στρατεύεται, καὶ ὁ γεωργὸς διὰ τοῦτο καλλιεργεῖ τὴν γῆν, καὶ διὰ τὸν σκοπὸν αὐτὸν μετέρχεται κάθε ἕνας τὴν τέχνην του, καὶ αὐτοὶ ποὺ ἐπιθυμοῦν καὶ ἐπιδιώκουν τὴν ἐξουσίαν διὰ τοῦτο τὴν ἐπιθυμοῦν, διὰ νὰ ἀπολαύσουν δόξαν, θέλουν δὲ νὰ ἀπολαμβάνουν δόξαν, διὰ νὰ χαίρωνται· καὶ κάθε τι ποὺ μᾶς συμβαίνει θὰ ἰδῇ κανεὶς ὅτι δι' αὐτὸν τὸν σκοπὸν γίνεται, καὶ πρὸς αὐτὸν ἀποβλέπει κανεὶς καὶ διὰ πολλῶν μέσων πρὸς αὐτὸ προσπαθεῖ νὰ

δει βαδίζειν. Εὐθυμίας μέν, ὅπερ ἔφην, ἐρῶσι πάντες, ἐπιτυχεῖν δὲ οὐχ ἅπαντες δύνανται· οὐ γὰρ ἴσασι τὴν ἐκεῖ φέρουσαν ὁδόν· ἀλλὰ πολλοὶ νομίζουσιν, ὅτι τὸ πλουτεῖν αἴτιον τούτου γίνεται. Εἰ δὲ τοῦτο αἴτιον ἦν, οὐδεὶς ἂν τῶν χρήματα κεκτημένων ἠθύμησέν ποτε· νῦν δὲ πολλοὶ τῶν πλουτούντων ἀβίωτον εἶναι τὸν βίον νομίζουσι, καὶ θανάτους μυρίους εὔχονται, ἐπειδὰν δυσημερίας τινὸς αἴσθωνται, καὶ οἱ σφόδρα ἀθυμοῦντες, οὗτοι μάλιστα πάντων εἰσί.

Μὴ γάρ μοι τὰς τραπέζας ἴδῃς, μηδὲ τοὺς κόλακας αὐτῶν, καὶ τοὺς παρασίτους, ἀλλὰ τὰ ἐξ αὐτῶν γινόμενα πράγματα, τὰς ἐπηρείας, τὰς συκοφαντίας, τοὺς κινδύνους, τὰς ἀγωνίας, καὶ ὃ τούτου πολλῷ χαλεπώτερον, ὅτι καὶ ἀμελέτητοι πρὸς ταύτας ἐρχόμενοι τὰς μεταβολάς, φιλοσοφεῖν οὐκ ἐπίστανται, οὐδὲ γενναίως τὰ συμπίπτοντα φέρειν. Διόπερ οὐδὲ τοιαῦτα αὐτοῖς φαίνεται τὰ δεινά, οἷάπερ ἐστὶ τῇ φύσει, ἀλλὰ καὶ τὰ κοῦφα ἀφόρητα λοιπὸν εἶναι δοκεῖ.

Ὥσπερ οὖν ἐπὶ τῶν πενήτων τοὐναντίον γίνεται, καὶ τὰ ἀνήκεστα φορητὰ φαίνεται, ὡς τὰ πολλὰ τοιαῦτα αὐτοῖς μεμελετηκόσιν· οὐδὲ γὰρ οὕτως ἡ τῶν πραγμάτων φύσις, ὡς ἡ τῶν πασχόντων διάθεσις, καὶ μεγάλα καὶ μικρὰ ποιεῖ φαίνεσθαι τὰ ἐπιόντα ἡμῖν κακά. Καὶ ἵνα μὴ πόρρωθεν ἀγάγω τὰ παραδείγματα ἑκατέρων τούτων, ἀπὸ τῶν συμβάντων ὑμῖν διαλέξομαι. Ἰδοὺ γοῦν οἱ μὲν πένητες διέφυγον ἅπαντες, καὶ ὁ δῆμος ἀπήλλακται τοῦ κινδύνου, καὶ ἀδείας ἀπολαύουσι καθαρᾶς· οἱ δὲ τὰ τῆς πόλεως πράττοντες πράγματα, ἱπποτρόφοι, καὶ ἀγωνοθέται, καὶ τὰ ἄλλα λειτουργήσαντες, οὗτοι τὸ δεσμωτήριον οἰκοῦσι νῦν, καὶ περὶ τῶν ἐσχάτων δεδοίκασι,

φθάσῃ. Εὐχάριστον ψυχικὴν κατάστασιν λοιπόν, ὅπως προανέφερα, ἐπιθυμοῦν ὅλοι, ὅμως ὅλοι δὲν ἠμποροῦν νὰ τὴν ἐπιτύχουν· διότι δὲν γνωρίζουν τὸν δρόμον ποὺ ὁδηγεῖ εἰς αὐτήν, ἀλλὰ πολλοὶ νομίζουν ὅτι ὁ πλοῦτος γίνεται αἰτία τούτου. Ἐὰν ὅμως ὁ πλοῦτος ἦτο ἡ αἰτία τούτου, κανεὶς ἀπὸ αὐτοὺς ποὺ ἔχουν τὰ χρήματα δὲν θὰ ἐλυπεῖτο ποτέ· τώρα ὅμως πολλοὶ ἀπὸ τοὺς πλουσίους θεωροῦν ὅτι ὁ βίος των ἔγινεν ἀβίωτος, καὶ εὔχονται νὰ ὑποστοῦν μυρίους θανάτους, ὅταν τοὺς εὕρῃ κάποια δύσκολη περίστασις, καὶ αὐτοὶ εἶναι περισσότερον ἀπὸ ὅλους τοὺς ἄλλους ποὺ θλίβονται.

Μὴ βλέπῃς τὰ πολυτελῆ τραπέζια των, οὔτε τοὺς κόλακας αὐτῶν καὶ τὰ παράσιτα ποὺ τοὺς τριγυρίζουν, ἀλλὰ ὅσα συμβαίνουν ἀπὸ αὐτά, τὰς ἐνοχλήσεις, τὰς συκοφαντίας, τοὺς κινδύνους, τὰς ἀγωνίας, καὶ αὐτὸ ποὺ εἶναι χειρότερον ὅλων, τὸ ὅτι ἔρχονται ἀπροετοίμαστοι εἰς τὰς καταστάσεις αὐτὰς τοῦ βίου, καὶ δὲν ἠμποροῦν νὰ φιλοσοφήσουν, καὶ οὔτε μὲ γενναιότητα δέχονται νὰ ὑποφέρουν αὐτὴν τὴν κατάστασιν. Διὰ τοῦτο οὔτε τὰ κακὰ αὐτὰ τοὺς φαίνονται ἐκεῖνα ποὺ εἶναι πράγματι, ἀλλὰ καὶ τὰ πλέον ἐλαφρὰ τοὺς φαίνονται ὅτι εἶναι πολὺ ἀνυπόφορα.

Τὸ ἀντίθετον λοιπὸν ἀκριβῶς γίνεται εἰς τοὺς πτωχούς, καὶ ἐκεῖνα ποὺ εἶναι δυσβάστακτα φαίνονται εἰς αὐτοὺς ὑποφερτά, ἐπειδὴ πολλάκις τὰ ἔχουν σκεφθῆ καὶ τοὺς ἔχουν συμβῆ. Διότι ὄχι τόσον ἡ φύσις τῶν πραγμάτων, ὅσον ἡ διάθεσις ἐκείνων ποὺ ὑποφέρουν, καὶ μεγάλα καὶ μικρὰ κάνει νὰ φαίνωνται τὰ κακὰ ποὺ μᾶς ἔρχονται. Καὶ διὰ νὰ μὴ φέρω παραδείγματα ἀπὸ μακρυὰ καὶ διὰ τὰ δύο αὐτά, ἀπὸ ὅσα συνέβησαν εἰς σᾶς θὰ ἀναφέρω παραδείγματα. Ἰδοὺ λοιπὸν οἱ μὲν πτωχοὶ διέφυγον ὅλοι τὸν κίνδυνον, καὶ ὁ λαὸς ἀπηλλάγη ἀπὸ τὸν κίνδυνον καὶ ἀπολαμβάνουν τὴν ἡσυχίαν των· αὐτοὶ ὅμως ποὺ ἠσχολοῦντο μὲ τὰ δημόσια πράγματα, οἱ ἱπποτρόφοι, οἱ ἀγωνοθέται, καὶ αὐτοὶ ποὺ εἶχον ἄλλας ὑπηρεσίας, αὐτοὶ ὅλοι τώρα εὑρίσκονται εἰς τὴν φυλακήν, καὶ φοβοῦνται τὸν ἔσχατον κίνδυνον, καὶ δι' ὅλα ὅσα ἀπε-

καὶ τῶν ἅπασι τετολμημένων αὐτοὶ τὰς εὐθύνας ὑπέχουσι, καὶ φόβῳ συζῶσι διηνεκεῖ, καὶ πάντων ἀθλιώτερον ἐκεῖνοι διάκεινται νῦν, οὐ διὰ τὸ μέγεθος τῶν κινδύνων, ἀλλὰ διὰ τὸ τρυφῇ τὸν ἔμπροσθεν χρόνον συνεζηκέναι.

2. Πολλοὶ γοῦν παρ' ἡμῶν παρακαλούμενοι, καὶ γενναίως φέρειν συμβουλευόμενοι τὰ δεινά, τοῦτο ἔλεγον ὅτι οὐδὲ ποτε τοιοῦτον ἐμελετήσαμεν, οὐδὲ ἐπιστάμεθα τοιαῦτα φιλοσοφεῖν· διὰ τοῦτο πολλῆς δεόμεθα τῆς παρακλήσεως. Ἕτεροι πάλιν νομίζουσιν, ὅτι τὸ ὑγιαίνειν, τοῦτό ἐστιν αἴτιον ἡδονῆς· οὐκ ἔστι δέ. Πολλοὶ γοῦν τῶν ὑγιαινόντων καὶ αὐτοὶ μυριάκις ηὔξαντο ἀποθανεῖν, τὰς ἐπαγομένας αὐτοῖς οὐκ ἐνεγκόντες ἐπηρείας. Ἄλλοι πάλιν τὸ δόξης ἀπολαύειν, καὶ δυναστείας ἐπειλῆφθαι, καὶ διέπειν ἀρχάς, καὶ παρὰ πολλῶν κολακεύεσθαι, διηνεκοῦς χαρᾶς ποιητικὸν εἶναί φασιν· οὐκ ἔστι δὲ οὐδὲ τοῦτο. Καὶ τί λέγω τὰς ἄλλας ἀρχάς; Κἂν γὰρ ἐπ' αὐτὴν ἀναβῶμεν τῷ λόγῳ τὴν βασιλείαν, καὶ τὸν ἐν ἐκείνῃ ζῶντα, πολλαῖς εὑρήσομεν περιεστοιχισμένον ἀθυμίαις, καὶ τοσούτῳ πλείους ἔχοντα λύπης ἀνάγκας, ὅσῳ καὶ μείζονα περιβέβληται πραγμάτων ὄγκον. Καὶ τί χρὴ λέγειν πολέμους καὶ μάχας, καὶ τὰς παρὰ τῶν βαρβάρων ἐπαναστάσεις; Πολλάκις αὐτοὺς τοὺς ἔνδον στρεφομένους δέδοικε. Καὶ γὰρ πολλοὶ τῶν βασιλευσάντων τὰς πολεμικὰς διαφυγόντες χεῖρας, τὰς τῶν σωματοφυλάκων οὐ διέφυγον ἐπιβουλάς. Τοσαῦται δὲ τοῖς βασιλεύουσιν ἀθυμίας ἀνάγκαι, ὅσα τῇ θαλάττῃ τὰ κύματα.

Εἰ δὲ βασιλεία οὐκ ἂν ἄλυπον ἐργάσαιτο βίον, τί ἕτερον δυνήσεται κατορθῶσαι τοῦτο; Τῶν μὲν βιωτικῶν οὐδέν· τὸ δὲ Παύλου ῥῆμα μόνον, τὸ βραχὺ τοῦτο καὶ ψιλόν,

τολμήθησαν αὐτοὶ εἶναι ὑπεύθυνοι, καὶ ζοῦν συνεχῶς μὲ συνεχῆ φόβον, καὶ εὑρίσκονται εἰς ἀθλιωτέραν ἀπὸ ὅλους κατάστασιν τώρα ἐκεῖνοι, ὄχι διὰ τὸ μέγεθος τῶν κινδύνων, ἀλλὰ διότι εἶναι ἀσυνήθιστοι εἰς αὐτά, ἐπειδὴ κατὰ τὸν προηγούμενον χρόνον τῆς ζωῆς των ἔζησαν μὲ τρυφὴν καὶ πολυτέλειαν.

2. Πολλοὶ λοιπὸν τοὺς ὁποίους παρηγορήσαμεν καὶ τοὺς συνεβουλεύσαμεν νὰ ὑπομείνουν μὲ γενναιότητα τὰ κακά, ἔλεγον τοῦτο, ὅτι οὐδέποτε ἐσκέφθημεν τοιοῦτον πρᾶγμα, οὔτε γνωρίζομεν νὰ φιλοσοφοῦμεν κατ᾽ αὐτὸν τὸν τρόπον· διὰ τοῦτο ἔχομεν ἀνάγκην ἀπὸ πολλὴν παρηγορίαν. Ἄλλοι πάλιν νομίζουν ὅτι ἡ ὑγεία εἶναι ἡ αἰτία τῆς χαρᾶς· ὅμως δὲν εἶναι. Πολλοὶ λοιπὸν ἀπὸ αὐτοὺς ποὺ ὑγιαίνουν καὶ αὐτοὶ μυριάκις ηὐχήθησαν νὰ ἀποθάνουν, ἐπειδὴ δὲν ἠμποροῦσαν νὰ ὑποφέρουν τὰς ἀδικίας ποὺ τοὺς ἐγίνοντο. Ἄλλοι πάλιν θεωροῦν ὡς αἰτίαν συνεχοῦς χαρᾶς τὸ νὰ ἀπολαμβάνουν δόξαν, καὶ νὰ ἔχουν ἀρχὰς καὶ ἐξουσίας, καὶ νὰ κολακεύωνται ἀπὸ πολλούς· ὅμως οὔτε τοῦτο εἶναι· Καὶ διατί ἀναφέρω τὰς ἄλλας ἀρχάς; Διότι καὶ ἂν ἀνέλθωμεν εἰς αὐτὴν τὴν βασιλείαν διὰ τοῦ λόγου, καὶ τὸν βασιλέα θὰ ἴδωμεν νὰ εἶναι περιστοιχισμένος ἀπὸ στενοχωρίας, καὶ νὰ ἔχῃ τόσον πολλὰς λύπας, ὅσον μεγαλύτερος εἶναι ὁ ὄγκος τῶν ὑποθέσεων ποὺ τὸν περιβάλλουν. Καὶ διατί χρειάζεται ἀκόμα νὰ ἀναφέρω τοὺς πολέμους καὶ τὰς μάχας καὶ τὰς ἐπαναστάσεις τῶν βαρβάρων; Πολλάκις φοβᾶται αὐτοὺς ποὺ κυκλοφοροῦν μέσα εἰς τὰ ἀνάκτορα. Καθ᾽ ὅσον πολλοὶ ἀπὸ τοὺς βασιλεῖς, ἐνῷ διέφυγον τὸν κίνδυνον ἀπὸ τὰς ἐχθρικὰς χεῖρας, δὲν διέφυγον τὰς ἐπιβουλὰς τῶν σωματοφυλάκων των. Εἶναι δὲ τόσαι αἱ ἀφορμαὶ ποὺ προξενοῦν λύπας εἰς τοὺς βασιλεῖς, ὅσα εἶναι τὰ κύματα τῆς θαλάσσης.

Ἀφοῦ λοιπὸν ἡ βασιλεία δὲν ἠμπορεῖ νὰ ἐξασφαλίσῃ βίον χωρὶς λύπας, τί ἄλλο θὰ ἠμπορέσῃ νὰ κατορθώσῃ τοῦτο; Ἀπὸ μὲν τὰ κοσμικὰ πράγματα τίποτε· μόνον τὸ λόγιον τοῦ Παύλου τὸ μικρὸν καὶ ἁπλοῦν, αὐτὸ θὰ μᾶς ἀνοίξῃ τὸν

αὐτὸ ἡμῖν τοῦτον ἀνοίξει τὸν θησαυρόν. Οὐ γὰρ πολλῶν δεῖ λόγων, οὐδὲ μακρᾶς τῆς περιόδου, ἀλλ' ἐὰν ἐννοήσωμεν μόνον τὸ εἰρημένον, εὑρήσομεν τὴν ὁδὸν τὴν ἐπὶ τοῦτο φέρουσαν. Οὐδὲ γὰρ εἶπεν ἁπλῶς, «χαίρετε πάντοτε», ἀλλὰ προσέθηκε τὴν αἰτίαν τῆς διηνεκοῦς ἡδονῆς, «Χαίρετε ἐν Κυρίῳ πάντοτε» εἰπών· ὁ ἐν Κυρίῳ χαίρων, οὐδενὶ τῶν συμπιπτόντων τῆς ἡδονῆς ταύτης ἐκπεσεῖν δύναται.

Τὰ μὲν γὰρ ἄλλα πάντα, ἐφ' οἷς χαίρομεν, τρεπτά τέ ἐστι καὶ εὐμετάπτωτα, καὶ ἀλλοιοῦται ῥᾳδίως· καὶ οὐ τοῦτο μόνον ἔχει τὸ δεινόν, ἀλλ' ὅτι καὶ μένοντα οὐ παρέχει τοσαύτην ἡμῖν τὴν ἡδονήν, ὡς τὴν ἐκ τῶν ἄλλων ἡμῖν ἐπιγινομένην ἀθυμίαν διακρούεσθαι καὶ συσκιάζειν· ὁ δὲ τοῦ Θεοῦ φόβος ἀμφότερα ταῦτα ἔχει, βέβαιός τέ ἐστι καὶ ἀκίνητος, καὶ τοσαύτην βρύει χαράν, ὡς μηδεμίαν ἡμᾶς αἴσθησιν τῶν ἄλλων λαμβάνειν δεινῶν. Ὁ γὰρ τὸν Θεόν, ὡς χρή, φοβούμενος, καὶ ἐπ' αὐτῷ θαρρῶν, τὴν ῥίζαν ἐκαρπώσατο τῆς ἡδονῆς, καὶ πᾶσαν τῆς εὐθυμίας ἔχει τὴν πηγήν. Καὶ καθάπερ εἰς πέλαγος ἄπειρον σπινθὴρ μικρὸς ἐμπεσὼν ἀφανίζεται ῥᾳδίως, οὕτως ὅσαπερ ἂν προσπέσῃ τῷ φοβουμένῳ τὸν Θεόν, καθάπερ εἰς πέλαγος ἀχανὲς εὐθυμίας ἐμπίπτοντα κατασβέννυται καὶ ἀπόλλυται.

Καὶ τὸ δὴ θαυμαστὸν μάλιστα τοῦτό ἐστιν, ὅτι τῶν λυπούντων παρόντων μένει χαίρων αὐτός. Εἰ μὲν γὰρ μηδὲν ἦν τὸ λυποῦν, οὐκ ἦν αὐτῷ μέγα, τὸ δύνασθαι διηνεκῶς χαίρειν· τὸ δὲ πολλῶν ἐπικειμένων τῶν εἰς ἀθυμίαν ἐμβιβαζόντων ἀνώτερον εἶναι ἁπάντων, καὶ ἐν μέσοις τοῖς λυπηροῖς εὐφραίνεσθαι, τοῦτό ἐστι τὸ παράδοξον.

Καὶ καθάπερ τοὺς παῖδας τοὺς τρεῖς οὐδεὶς ἂν ἐθαύμασε μὴ κατακαέντας, εἰ πόρρω τῆς Βαβυλωνίας ἦσαν καμίνου· τὸ γὰρ ἐκπλῆξαν ἅπαντας τοῦτό ἐστιν, ὅτι τῷ πυρὶ

θησαυρὸν αὐτόν. Δὲν ἀπαιτοῦνται πολλὰ λόγια, οὔτε μεγάλαι καὶ ρητορικαὶ προτάσεις, ἀλλὰ ἐὰν κατανοήσωμεν μόνον αὐτὸ ποὺ ἐλέχθη, θὰ εὕρωμεν τὸν δρόμον ποὺ φέρει εἰς αὐτό. Διότι δὲν εἶπεν ἁπλῶς «Χαίρετε πάντοτε», ἀλλὰ προσέθεσε καὶ τὴν αἰτίαν τῆς συνεχοῦς χαρᾶς λέγων «χαίρετε πάντοτε ἐν Κυρίῳ»· ἐκεῖνος ποὺ χαίρεται ἀπὸ τὴν χαρὰν ποὺ προέρχεται ἀπὸ τὸν Κύριον, τίποτε, ἀπὸ ὅλα ὅσα ἐπέρχονται εἰς τὴν χαρὰν αὐτήν, δὲν θὰ ἠμπορέσῃ νὰ τοῦ τὴν ἀφαιρέσῃ.

Διότι ὅλα τὰ ἄλλα, διὰ τὰ ὁποῖα χαίρομεν, εἶναι ἄστατα καὶ εὐκολομετάβλητα, καὶ εὔκολα ἀλλοιώνονται· καὶ δὲν εἶναι μόνον τὸ κακὸν αὐτό, ἀλλ' ὅτι καὶ ἂν τυχὸν μείνουν εἰς ἡμᾶς δὲν παρέχουν τόσην χαράν, ὥστε νὰ ἐξουδετερώσουν καὶ ἐπισκιάσουν τὴν λύπην ποὺ παρέχουν ὅλα τὰ ἄλλα πράγματα· ὁ φόβος ὅμως τοῦ Θεοῦ ἔχει καὶ τὰς δύο ἰδιότητας αὐτάς, καὶ εἶναι σταθερὸς καὶ ἀμετακίνητος καὶ τόσην χαρὰν ἀναβλύζει, ὥστε δὲν λαμβάνομεν αἴσθησιν τῶν ἄλλων κακῶν. Διότι ἐκεῖνος ποὺ φοβεῖται τὸν Θεόν, ὅπως πρέπει, καὶ ἔχει θάρρος εἰς αὐτόν, ἔχει καρπωθῆ τὴν ρίζαν τῆς ἡδονῆς, καὶ τὴν πηγὴν κάθε εὐθυμίας. Καὶ ὅπως ὅταν πέσῃ μικρὰ σπίθα εἰς τὸ πέλαγος ἀμέσως ἐξαφανίζεται, ἔτσι καὶ ὅσα λυπηρὰ ἂν ἐπιπέσουν εἰς τὸν φοβούμενον τὸν Θεόν, ὡσὰν νὰ πέφτουν μέσα εἰς ἀχανὲς πέλαγος χαρᾶς, σβήνονται καὶ χάνονται.

Καὶ τὸ πλέον θαυμαστὸν εἶναι τοῦτο ὅτι ἐνῷ παραμένουν τὰ λυπηρὰ αὐτὸς χαίρεται. Διότι ἐὰν δὲν ὑπῆρχε τίποτε ποὺ νὰ προξενῇ λύπην, δὲν θὰ τοῦ ἦτο σπουδαῖον πρᾶγμα τὸ νὰ ἠμπορῇ συνεχῶς νὰ χαίρεται· ὅμως τὸ νὰ ὑπάρχουν τόσα πολλὰ ποὺ προκαλοῦν λύπην καὶ νὰ εἶναι αὐτὸς ἀνώτερος ὅλων, καὶ ἐν μέσῳ τόσων λυπηρῶν νὰ εὐχαριστῆται, αὐτὸ εἶναι τὸ παράδοξον.

Καὶ ὅπως τοὺς τρεῖς παῖδας κανεὶς δὲν θὰ ἤθελε θαυμάσει, διότι δὲν θὰ ἐκαίοντο, ἐὰν ἦσαν μακρὰν ἀπὸ τὴν βαβυλώνειον κάμινον· διότι ἐκεῖνο ποὺ ἐξέπληξεν ὅλους

τοσοῦτον ὁμιλήσαντες χρόνον, τῶν οὐχ ὡμιληκότων ἐξέβησαν ἀλυπότεροι· οὕτω καὶ ἐπὶ τῶν ἁγίων ἐστὶν εἰπεῖν, ὅτι εἰ μηδεὶς αὐτοῖς ἐπήγετο πειρασμός, οὐκ ἂν αὐτοὺς ἐθαυμάσαμεν διηνεκῶς χαίροντας· τὸ δὲ ἐκπλήξεως ἄξιον, καὶ φύσιν ἀνθρωπίνην ὑπερβαῖνον, τοῦτό ἐστιν, ὅτι μυρίοις κυκλούμενοι κύμασι πάντοθεν, τῶν γαλήνης καθαρᾶς ἀπολαυόντων ῥᾷον διάκεινται. Ὅτι μὲν οὖν οὐδένα βίον τῶν ἔξωθεν εὑρεῖν δυνατὸν εὐθυμίᾳ συγκεκληρωμένον διηνεκῶς, δῆλον ἐκ τῶν εἰρημένων· ὅτι δὲ τὸν πιστὸν ἀμήχανον οὐ διηνεκοῦς ἀπολαύειν ἡδονῆς, καὶ τοῦτο αὐτὸ πάλιν ἀποδεῖξαι πειράσομαι, οὐχ ἵνα μάθητε μόνον, ἀλλ' ἵνα καὶ ζηλώσητε τὸν ἄλυπον τοῦτον βίον.

Ἔστω γάρ τις μηδὲν ἑαυτοῦ κατεγνωκώς, ἀλλ' ἀγαθῷ συνειδότι συντρεφόμενος, καὶ πρὸς τὰ μέλλοντα κεχηνώς, καὶ τὰς ἀγαθὰς ἐκείνας ἀναμένων ἐλπίδας, τί τοῦτον, εἰπέ μοι, εἰς ἀθυμίαν ἐμβαλεῖν δυνήσεται; Οὐ πάντων ἀφορητότατον ὁ θάνατος εἶναι δοκεῖ; Ἀλλ' ἡ τούτου προσδοκία οὐ μόνον αὐτὸν οὐ λυπεῖ, ἀλλὰ καὶ εὐφραίνει μειζόνως· οἶδε γὰρ ὅτι ἡ τοῦ θανάτου παρουσία πόνων ἐστὶν ἀπαλλαγή, καὶ δρόμος ἐπὶ τοὺς στεφάνους καὶ βραβεῖα τὰ ἀποκείμενα τοῖς ὑπὲρ εὐσεβείας καὶ ἀρετῆς ἀγωνισαμένοις. Ἀλλὰ παίδων ἄωρος τελευτή; Ἀλλὰ καὶ τοῦτο φέρει γενναίως, καὶ ἐρεῖ τὰ τοῦ Ἰὼβ ῥήματα· «Ὁ Κύριος ἔδωκεν, ὁ Κύριος ἀφείλατο· ὡς τῷ Κυρίῳ ἔδοξεν, οὕτως καὶ ἐγένετο· εἴη τὸ ὄνομα Κυρίου εὐλογημένον εἰς τοὺς αἰῶνας».

Εἰ δὲ θάνατος καὶ παίδων ἀποβολὴ λυπεῖν οὐ δύνανται,

3. Ἰὼβ 1, 21.

ἦτο τοῦτο, ὅτι ἂν καὶ παρέμειναν μέσα εἰς τὴν φωτιὰν τόσον χρόνον, ὅταν ἐβγῆκαν ἦσαν πιὸ χαρούμενοι ἀπὸ ἐκείνους ποὺ δὲν εἰσῆλθον εἰς αὐτήν· τὸ ἴδιον ἠμποροῦμεν νὰ εἰποῦμεν καὶ διὰ τοὺς ἁγίους, ὅτι δηλαδὴ ἐὰν δὲν ἤρχετο πρὸς αὐτοὺς κανεὶς πειρασμὸς δὲν θὰ τοὺς ἐθαυμάζομεν ἐπειδὴ συνεχῶς θὰ ἔχαιρον· ἐκεῖνο ὅμως ποὺ εἶναι ἐκπληκτικὸν καὶ ὑπερβαίνει τὴν ἀνθρωπίνην φύσιν εἶναι τοῦτο, ὅτι ἂν καὶ ἀπὸ παντοῦ τοὺς περιεκύκλωναν ἀναρίθμητα κύματα πειρασμῶν, εὑρίσκοντο εἰς καλυτέραν ψυχικὴν κατάστασιν ἀπὸ ἐκείνους ποὺ ἀπελάμβανον βίον ἤρεμον καὶ γαλήνιον. Ὅτι μὲν λοιπὸν κανένα τρόπον ζωῆς, ἔξω τῆς χριστιανικῆς πίστεως εὑρισκόμενον, δὲν εἶναι δυνατὸν νὰ εὕρῃ κανεὶς ποὺ νὰ ἔχῃ διαρκῆ χαράν, εἶναι φανερὸν ἀπὸ ὅσα εἴπομεν· ὅτι δὲ ὁ πιστὸς εἶναι ἀδύνατον νὰ μὴ ἀπολαμβάνῃ διαρκῶς χαρᾶς, καὶ τοῦτο πάλιν θὰ προσπαθήσω νὰ σᾶς ἀποδείξω, ὄχι μόνον διὰ νὰ μάθετε ἀλλὰ καὶ διὰ νὰ ζηλεύσετε τὸν χωρὶς λύπην αὐτὸν βίον.

Ἔστω λοιπὸν ὅτι κάποιος δὲν αἰσθάνεται ὅτι εἶναι ἔνοχος εἰς τίποτε, ἀλλὰ τὴν καλὴν μαρτυρίαν τῆς συνειδήσεώς του καὶ μεγάλον πόθον διὰ τὰ μέλλοντα ἀγαθά, καὶ ἀναμένει τὰς ἀγαθὰς ἐλπίδας ποὺ ἔχει, τί ἠμπορεῖ, εἰπέ μου, αὐτὸν νὰ τὸν ἐμβάλῃ εἰς λύπην; Δὲν θεωρεῖται ἀπὸ ὅλους ὁ θάνατος ὡς τὸ πλέον ἀνυπόφορον κακόν; Καὶ ὅμως ἡ ἀναμονὴ τούτου, ὄχι μόνον δὲν τὸν λυπεῖ, ἀλλὰ ἀντιθέτως τὸν εὐχαριστεῖ περισσότερον· διότι γνωρίζει ὅτι ἡ παρουσία τοῦ θανάτου σημαίνει ἀπαλλαγὴν ἀπὸ τοὺς πόνους καὶ εἶναι δρόμος ποὺ ὁδηγεῖ εἰς τὰ στέφανα καὶ τὰ βραβεῖα, ποὺ εἶναι φυλαγμένα δι' ἐκείνους ποὺ ἠγωνίσθησαν διὰ τὴν εὐσέβειαν καὶ τὴν ἀρετήν. Μήπως ὁ παράκαιρος θάνατος τῶν παιδιῶν; Ἀλλὰ καὶ αὐτὸ θὰ τὸ ὑποφέρῃ μὲ γενναιότητα καὶ θὰ εἰπῇ τὰ λόγια τοῦ Ἰώβ· «Ὁ Κύριος ἔδωκεν, ὁ Κύριος ἀφῄρεσεν· ὅπως ἐφάνη καλὸν εἰς τὸν Κύριον ἔτσι καὶ ἔγινεν· ἂς εἶναι εὐλογημένον τὸ ὄνομά του εἰς τοὺς αἰῶνας»[3].

Ἂν δὲ θάνατος καὶ ἀπώλεια παιδιῶν δὲν ἠμπορῇ νὰ

πολλῷ μᾶλλον ζημία χρημάτων, καὶ ἀτιμίαι, καὶ κατηγορίαι, καὶ διαβολαὶ τῆς οὕτω μεγάλης καὶ γενναίας ψυχῆς οὐκ ἄν ποτε ἅψαιντο, οὐδὲ ὀδύνη σώματος· ἐπεὶ καὶ οἱ ἀπόστολοι ἐμαστιγοῦντο μέν, ἠθύμουν δέ. Μέγα μὲν οὖν καὶ τοῦτο· τὸ δὲ πολλῷ μεῖζον, ὅτι οὐ μόνον οὐκ ἠθύμουν ἀλλὰ καὶ αὐτὰς τὰς μάστιγας ὑπόθεσιν ἐποιοῦντο μείζονος ἡδονῆς, καὶ ὑπέστρεφον ἀπὸ προσώπου τοῦ συνεδρίου χαίροντες, ὅτι κατηξιώθησαν ὑπὲρ τοῦ ὀνόματος τοῦ Χριστοῦ ἀτιμασθῆναι.

Ὕβρισέ τις καὶ ἐλοιδόρησε τὸν τοιοῦτον; Ἀλλ' ἐπαιδεύθη παρὰ τοῦ Χριστοῦ χαίρειν ἐπὶ ταῖς ὕβρεσι. «Χαίρετε γάρ», φησί, «καὶ ἀγαλλιᾶσθε, ὅταν εἴπωσι πᾶν πονηρὸν ρῆμα καθ' ὑμῶν ψευδόμενοι ἕνεκεν ἐμοῦ, ὅτι ὁ μισθὸς ὑμῶν πολὺς ἐν τοῖς οὐρανοῖς». Ἀλλὰ νόσῳ περιέπεσεν; Ἀλλ' ἤκουσεν ἑτέρου παραινοῦντος καὶ λέγοντος· «Ἐν νόσῳ καὶ πενίᾳ ἐπ' αὐτῷ πεποιθὼς γίνου, ὅτι ὥσπερ ἐν πυρὶ δοκιμάζεται χρυσός, οὕτως ἄνθρωποι δεκτοὶ ἐν καμίνῳ ταπεινώσεως». Ὅταν οὖν μήτε θάνατος, μήτε ζημία χρημάτων, μήτε νόσος σώματος, μήτε ἀτιμία, μήτε λοιδορία, μήτε ἄλλο τι τῶν τοιούτων μηδὲν λυπῆσαι αὐτὸν δύνηται, ἀλλὰ καὶ εὐφραίνῃ μᾶλλον, ποίαν ἀθυμίας ὑπόθεσιν ἕξει ποτέ;

Τί οὖν, οὐκ ἠθύμουν οἱ ἅγιοι; φησίν. Οὐκ ἀκούεις Παύλου λέγοντος, «Λύπη μοί ἐστι μεγάλη, καὶ ἀδιάλειπτος ὀδύνη τῇ καρδίᾳ μου»; Αὐτὸ μὲν οὖν τοῦτό ἐστι τὸ θαυμαστόν, ὅτι ἡ λύπη κέρδος καὶ ἡδονὴν τὸν ἐκ τοῦ πένθους ἔφερεν. Ὥσπερ γὰρ αἱ μάστιγες οὐκ ὀδύνας, ἀλλὰ χαράν, οὕτω καὶ ἡ λύπη πάλιν τοὺς μεγάλους ἐκείνους προεξένει στεφάνους. Καὶ τὸ παράδοξον τοῦτό ἐστιν, ὅτι τοῦ κόσμου μὲν οὐχ ἡ ἀθυμία μόνον, ἀλλὰ καὶ ἡ χαρὰ ζημίαν ἔχει τὴν ἐσχάτην,

---

4. Προλ. Πράξ. 5, 41.
5. Ματθ. 5, 11-12.
6. Σοφ. Σειρ. 2, 4-5.
7. Ρωμ. 9, 2.

τὸν λυπήσῃ, πολὺ περισσότερον ζημία χρηματική, καὶ ἀτιμίαι καὶ κατηγορίαι καὶ διαβολαί, δὲν θὰ ἠμπορέσουν νὰ ἐγγίσουν εἰς τὴν τόσον μεγάλην καὶ γενναίαν ψυχήν, οὔτε πόνος σωματικός, καθ' ὅσον καὶ οἱ ἀπόστολοι ναὶ μὲν ἐμαστιγοῦντο, ὅμως δὲν ἐλυποῦντο. Εἶναι μεγάλο πρᾶγμα λοιπὸν καὶ τοῦτο· τὸ δὲ μεγαλύτερον ἀκόμη εἶναι τὸ ὅτι ὄχι μόνον δὲν ἐλυποῦντο, ἀλλὰ καὶ αὐτὰς τὰς μαστιγώσεις τὰς ἐλάμβανον ὡς ἀφορμὴν διὰ μεγαλυτέραν εὐχαρίστησιν, καὶ ἐπέστρεφαν ἀπὸ τὸ συνέδριον χαίροντες, διότι κατηξιώθησαν νὰ ἀτιμασθοῦν διὰ τὸ ὄνομα τοῦ Χριστοῦ[4].

Τὸν ὕβριοε κάποιος καὶ τὸν περιέπαιξεν; Ἀλλ' ἐδιδάχθη ἀπὸ τὸν Χριστὸν νὰ χαίρῃ διὰ τὰς ὕβρεις. «Χαίρετε», λέγει, «καὶ ἐκδηλώσατε ζωηρὰ τὴν χαράν σας, ὅταν εἴπουν, ψευδόμενοι, παντὸς εἴδους κακολογίας καὶ κατηγορίας ἐναντίον σας δι' ἐμέ, διότι ἡ ἀνταμοιβή σας εἰς τοὺς οὐρανοὺς θὰ εἶναι μεγάλη»[5]. Ἀλλὰ περιέπεσεν οὗτος εἰς ἀσθένειαν; Ἤκουσεν ὅμως ἄλλον ὁ ὁποῖος συμβουλεύει καὶ λέγει· «Ἐν καιρῷ ἀσθενείας καὶ πτωχείας εἰς τὸν Θεὸν νὰ ἔχῃς πεποίθησιν, διότι ὅπως εἰς τὴν φωτιὰν δοκιμάζεται ὁ χρυσός, ἔτσι καὶ οἱ ἄνθρωποι γίνονται δεκτοὶ εἰς τὴν κάμινον τῆς ταπεινώσεως»[6]. Ὅταν λοιπὸν οὔτε θάνατος, οὔτε ζημία χρηματική, οὔτε ἀσθένεια σωματική, οὔτε ἀτιμία, οὔτε ἐμπαιγμός, οὔτε τίποτε ἄλλο ἀπὸ αὐτὰ δὲν ἠμπορῇ νὰ τὸν λυπήσῃ, ἀλλὰ μᾶλλον καὶ τὸν εὐχαριστεῖ, ποίαν ἀφορμὴν λύπης θὰ ἔχῃ αὐτὸς ποτέ;

Τί λοιπόν, δὲν ἐλυποῦντο οἱ ἅγιοι; λέγει. Δὲν ἀκούεις τὸν Παῦλον ποὺ λέγει, «Μεγάλη λύπη ὑπάρχει μέσα μου, καὶ συνεχὴς πόνος καὶ ἀδιάκοπος εἰς τὸ βάθος τῆς καρδίας μου»[7]; Αὐτὸ λοιπὸν εἶναι τὸ θαυμαστόν, ὅτι ἡ λύπη κέρδος καὶ εὐχαρίστησιν ἔφερεν ἀπὸ τὸ πένθος. Διότι ὅπως αἱ μαστιγώσεις δὲν προξενοῦν λύπας, ἀλλὰ χαράν, ἔτσι καὶ ἡ λύπη πάλιν ἔφερε τοὺς μεγάλους ἐκείνους στεφάνους. Καὶ τὸ παράδοξον εἶναι τοῦτο, ὅτι εἰς μὲν τὰ κοσμικὰ πράγματα ὄχι μόνον ἡ λύπη, ἀλλὰ καὶ ἡ χαρὰ προξενεῖ τὴν ἐσχάτην

ἐπὶ δὲ τῶν πνευματικῶν τοὐναντίον ἅπαν, οὐχ ἡ χαρὰ μόνον, ἀλλὰ καὶ ἡ ἀθυμία πολὺν ἔχει τῶν ἀγαθῶν τὸν θησαυρόν· καὶ πῶς, ἐγὼ λέγω.

Χαίρει τις ἐν τῷ κόσμῳ πολλάκις ἐχθρὸν δυσημεροῦντα ἰδών, καὶ διὰ τῆς χαρᾶς ταύτης πολλὴν ἐπισπᾶται ἑαυτῷ τὴν κόλασιν· ἀλγεῖ τις πάλιν ἕτερος τὸν ἀδελφὸν πεσόντα ἰδών, καὶ διὰ τῆς ἀθυμίας ταύτης πολλὴν ἑαυτῷ παρὰ τῷ Θεῷ προξενεῖ τὴν εὔνοιαν. Ὁρᾷς πῶς ἡ κατὰ Θεὸν λύπη τῆς τοῦ κόσμου χαρᾶς βελτίων καὶ χρησιμωτέρα; Οὕτω καὶ Παῦλος ἐλυπεῖτο διὰ τοὺς ἁμαρτάνοντας, διὰ τοὺς ἀπιστοῦντας τῷ Θεῷ καὶ τῆς λύπης ταύτης πολὺν εἶχεν ἀποκείμενον αὐτῷ τὸν μισθόν. Ἵνα δὲ σαφέστερον ὃ λέγω ποιήσω, καὶ μάθητε, ὡς εἰ καὶ παράδοξον τὸ εἰρημένον, ἀλλ' ὅμως ἐστὶν ἀληθές, καὶ οἶδεν ὁ θρῆνος πολλάκις ἀνακτᾶσθαι τὰς ὀδυνωμένας ψυχάς, καὶ κουφίζειν συνειδὸς βεβαρημένον, πολλαὶ πολλάκις γυναῖκες ἀποβαλοῦσαι παῖδας ποθεινοτάτους, ἂν μὲν κωλυθῶσι δακρῦσαι καὶ ὀλοφύρασθαι, διαρρήγνυνται, καὶ ἀπόλλυνται· ἂν δὲ τὰ τῶν ἀθυμούντων ποιήσωσιν ἅπαντα, κουφίζονται, καὶ παραμυθίαν λαμβάνουσι.

Καὶ τί θαυμαστὸν εἰ ἐπὶ γυναικῶν τοῦτο, ὅπου γε καὶ τὸν προφήτην ἴδοι τις ἂν τοῦτο πάσχοντα; Διὰ τοῦτο συνεχῶς ἔλεγεν· «Ἄφετέ με, πικρῶς κλαύσομαι· μὴ κατισχύσητε παρακαλοῦντες ἐπὶ τὸ σύντριμμα τῆς θυγατρὸς τοῦ γένους μου». Ὥστε ἐστὶ πολλάκις λύπη παραμυθίαν φέρουσα· εἰ δὲ ἐπὶ τοῦ κόσμου τούτου, πολλῷ μᾶλλον ἐπὶ τῶν πνευματικῶν πραγμάτων. Διὰ τοῦτό φησιν· «Ἡ δὲ κατὰ Θεὸν λύπη μετάνοιαν εἰς σωτηρίαν ἀμετάβλητον κατεργάζεται». Καὶ δοκεῖ μὲν τοῦτο ἀσαφὲς εἶναι· ὃ δὲ λέγει τοιοῦτόν ἐστιν· ἂν

8. Ἠσ. 22, 3.
9. Β' Κορ. 7, 10.

ζημίαν, εἰς δὲ τὰ πνευματικὰ ἐντελῶς τὸ ἀντίθετον γίνεται, ὄχι μόνον ἡ χαρά, ἀλλὰ καὶ ἡ λύπη φέρει πολὺ θησαυρὸν ἀγαθῶν, καὶ πῶς γίνεται τοῦτο, θὰ σᾶς εἰπῶ.

Χαίρει κάποιος μεταξὺ τοῦ κόσμου πολλάκις, ὅταν βλέπῃ τὸν ἐχθρόν του νὰ δυστυχῇ, καὶ μὲ τὴν χαρὰν αὐτήν, ἐπισύρει διὰ τὸν ἑαυτόν του τιμωρίαν· ἄλλος πάλιν λυπεῖται, διότι εἶδε τὸν ἀδελφόν του νὰ πέσῃ, καὶ διὰ τῆς λύπης του αὐτῆς ἐπισύρει διὰ τὸν ἑαυτόν του πολλὴν τὴν εὔνοιαν τοῦ Θεοῦ. Βλέπεις ὅτι ἡ κατὰ Θεὸν λύπη εἶναι καλυτέρα καὶ χρησιμωτέρα ἀπὸ τὴν κατὰ κόσμον χαράν; Ἔτσι ἐλυπεῖτο καὶ ὁ Παῦλος διὰ τοὺς ἁμαρτάνοντας, διὰ τοὺς ἀπιστοῦντας εἰς τὸν Θεόν, καὶ διὰ τὴν λύπην του αὐτὴν εἶχεν ἀποταμιευθῆ δι' αὐτὸν πολὺς μισθός. Διὰ νὰ κάμω δὲ σαφέστερον αὐτὸ ποὺ λέγω καὶ νὰ μάθετε, ὅτι ἂν καὶ εἶναι παράδοξον αὐτὸ ποὺ ἐλέχθη, ἀλλ' ὅμως εἶναι ἀληθές, καὶ ὅτι γνωρίζει αὐτὸς ὁ θρῆνος πολλάκις νὰ συντελῇ εἰς τὸ νὰ ἀνακουφισθοῦν αἱ πονεμέναι ψυχαὶ καὶ ἀνακουφίζει τὴν βεβαρημένην συνείδησιν, φαίνεται ἀπὸ τὸ γεγονὸς ὅτι πολλάκις πολλαὶ γυναῖκες αἱ ὁποῖαι ἔχασαν πολὺ ἀγαπητὰ παιδιά, ἂν ἐμποδισθοῦν νὰ δακρύσουν καὶ θρηνήσουν καὶ κλαύσουν, σκάζουν ἀπὸ τὴν λύπην των καὶ πεθαίνουν· ἂν ὅμως κάμουν ὅλα ὅσα κάμουν αὐτοὶ ποὺ λυποῦνται, ἀνακουφίζονται καὶ παίρνουν παρηγορίαν ἀπὸ αὐτά.

Καὶ τί τὸ παράδοξον ἂν τοῦτο συμβαίνῃ εἰς γυναῖκας, ἀφοῦ τοῦτο ἠμπορεῖ νὰ ἰδῇ κανεὶς νὰ παθαίνῃ καὶ ὁ προφήτης; Διὰ τοῦτο συνεχῶς ἔλεγεν· «Ἀφήσατέ με, θὰ κλαύσω πικρά· μὴ ἐπιμένετε νὰ μὲ παρηγορήσετε διὰ τὴν ἁρπαγὴν τῆς θυγατρὸς τοῦ γένους μου»[8]. Ὥστε λοιπὸν ὑπάρχει λύπη, ποὺ πολλάκις φέρει παρηγορίαν· ἐὰν δὲ συμβαίνῃ τοῦτο εἰς τὰ πράγματα τοῦ κόσμου τούτου πολλῷ μᾶλλον θὰ συμβαίνῃ καὶ εἰς τὰ πνευματικά. Διὰ τοῦτο λέγει· «Ἡ κατὰ Θεὸν λύπη ἔχει ὡς ἀποτέλεσμα μετάνοιαν ποὺ ὁδηγεῖ εἰς σωτηρίαν, διὰ τὴν ὁποίαν ποτὲ δὲν θὰ μεταμεληθῇ ὁ λυπούμενος»[9]. Καὶ φαίνεται ὅτι εἶναι ἀσαφὲς τὸ χωρίον τοῦτο· αὐτὸ

λυπηθῇς ἐπὶ χρήμασιν, οὐδὲν ὠφέλησας· ἂν λυπηθῇς ἐπὶ νοσήματι, οὐδὲν ἐκέρδανας, ἀλλὰ καὶ ἐπέτριψας αὐτὸ μᾶλλον.

3. Καὶ πολλῶν ἔγωγε ἤκουσα μετὰ τὴν τοιαύτην πεῖραν αἰτιωμένων καὶ πρὸς ἑαυτοὺς λεγόντων· τί τὸ ὄφελος, ὅτι ἤλγησα; Οὔτε χρήματα ἀνεκτησάμην, καὶ ἐμαυτὸν ἔβλαψα. Ἂν δὲ λυπηθῇς ἐφ' ἁμαρτίᾳ, ταύτην τε ἐξήλειψας καὶ ἐκαρπώσω μεγίστην ἡδονήν· ἂν λυπηθῇς ἐπὶ τοῖς ἀδελφοῖς τοῖς πεπτωκόσι, σαυτόν τε παρεκάλεσας, καὶ παρεμυθήσω, κἀκείνους ἀνεκτήσω πάλιν, κἂν μηδὲν ὠφελήσῃς αὐτούς, μεγίστην ἔχεις ἀντίδοσιν. Καὶ ἵνα μάθῃς, ὅτι τοῦτο τὸ λυπεῖσθαι ἐπὶ τοῖς πεπτωκόσι, κἂν μηδὲν ὠφελῶμεν, μεγίστην ἡμῖν τὴν ἀμοιβὴν φέρει, ἄκουσον τοῦ Ἰεζεκιὴλ λέγοντος, μᾶλλον δὲ τοῦ Θεοῦ δι' ἐκείνου λαλοῦντος· ἐπειδὴ γὰρ ἔπεμψέ τινας κατασκάψαι τὴν πόλιν, καὶ σιδήρῳ, καὶ πυρὶ δαπανῆσαι τὰ οἰκοδομήματα ἅπαντα μετὰ τῶν ἐνοικούντων αὐτῶν, κελεύει τινὶ λέγων οὕτως· «Δὸς τὸ σημεῖον ἐπὶ τὸ πρόσωπον τῶν ἀνδρῶν τῶν στεναζόντων καὶ κατοδυνωμένων». Καὶ τοῖς ἑτέροις κελεύσας, καὶ εἰπών, ὅτι «Ἀπὸ τῶν ἁγίων μου ἄρξασθε», ἐπήγαγε λέγων, «Ἐπὶ δὲ οὓς ἐστι τὸ σημεῖον, μὴ ἅψησθε αὐτῶν». Τίνος ἕνεκεν, εἰπέ μοι. Ὅτι εἰ καὶ μηδὲν ὠφελοῦσιν, ἀλλ' ὅμως στένουσι τὰ γινόμενα, καὶ ὀλοφύρονται.

Καὶ ἑτέροις δὲ ἐγκαλεῖ λέγων πάλιν, ὅτι τρυφῶντες καὶ γαστριζόμενοι, καὶ πολλῆς ἀπολαύοντες ἀδείας, ἰδόντες τοὺς Ἰουδαίους εἰς αἰχμαλωσίαν ἀπαγομένους, οὐκ ἤλγησαν, οὐκ ἐκοινώνησαν τῆς ἀθυμίας· καὶ ἐγκαλῶν αὐτοῖς φησιν, «Οὐκ ἔπασχον οὐδὲν ἐπὶ τῇ συντριβῇ τοῦ Ἰωσήφ», Ἰωσὴφ τὸν λαὸν

10. Ἰεζ. 9, 4.
11. Αὐτόθι.
12. Ἀμὼς 6, 6.

δὲ ποὺ λέγει σημαίνει τὸ ἑξῆς· ἂν λυπηθῇς διὰ χρήματα τίποτε δὲν ὠφέλησες τὸν ἑαυτόν σου· ἂν λυπηθῇς διὰ χρήματα τίποτε δὲν ὠφέλησες τὸν ἑαυτόν σου· ἂν λυπηθῇς δι' ἀσθένειαν, τίποτε δὲν ἐκέρδισες, ἀλλὰ καὶ περισσότερον ἔβλαψες τὸν ἑαυτόν σου.

3. Καὶ ἤκουσα πολλοὺς ἐγὼ ποὺ ἐδοκίμασαν αὐτὴν τὴν λύπην καὶ κατόπιν κατέκριναν τὸν ἑαυτόν τους λέγοντες· τί τὸ ὄφελος ἀπὸ τὸ ὅτι ἐλυπήθην; Οὔτε τὰ χρήματα ποὺ ἔχασα ἐπῆρα πίσω, καὶ ἐπὶ πλέον ἔβλαψα καὶ τὸν ἑαυτόν μου. Ἂν ὅμως λυπηθῇς δι' ἁμαρτίαν, καὶ αὐτὴν ἔχεις ἐξαλείψει καὶ μεγάλην χαρὰν ἀπήλαυσες· ἂν λυπηθῇς διὰ τοὺς ἀδελφοὺς ποὺ ἔπεσαν εἰς παράπτωμα, καὶ τὸν ἑαυτόν σου ἐπαρηγόρησες καὶ ἀνεκούφισες, καὶ ἐκείνους διώρθωσες, καὶ ἂν εἰς τίποτε δὲν τοὺς ὠφελήσῃς, σὺ ὅμως θὰ ἔχῃς μεγίστην ἀνταμοιβήν. Καὶ διὰ νὰ μάθῃς ὅτι αὐτὴ ἡ λύπη διὰ τοὺς ἀνθρώπους ποὺ ἡμάρτησαν, ἔστω καὶ ἂν δὲν τοὺς ὠφελοῦμεν καθόλου, μᾶς φέρει μεγίστην τιμήν, ἄκουσε τὸν Ἰεζεκιὴλ ποὺ λέγει, μᾶλλον δὲ τὸν Θεὸν ὁ ὁποῖος ὁμιλεῖ δι' ἐκείνου· διότι ἐπειδὴ ἔστειλε μερικοὺς νὰ κατασκάψουν τὴν πόλιν καὶ μὲ φωτιὰν καὶ σίδερον νὰ καταστρέψουν ὅλα τὰ οἰκοδομήματα μαζὶ μὲ ἐκείνους ποὺ κατοικοῦν εἰς αὐτά, δίδει τὴν ἑξῆς διαταγὴν εἰς κάποιον λέγων τὰ ἑξῆς· «Βάλε τὸ σημεῖον εἰς τὸ πρόσωπον τῶν ἀνδρῶν οἱ ὁποῖοι στενάζουν καὶ λυποῦνται πολύ»[10]. Καὶ εἰς ἄλλους ἀφοῦ διέταξε καὶ εἶπεν ὅτι «Ἀπὸ τὸ ἁγιαστήριόν μου ἀρχίσατε», προσέθεσε λέγων· «Ἐκείνους ποὺ ἔχουν τὸ σημεῖον νὰ μὴ τοὺς θίξετε»[11]. Διὰ ποῖον λόγον, εἰπέ μου. Διότι ἂν καὶ καθόλου δὲν ὠφελοῦν, ἀλλ' ὅμως ἀναστενάζουν καὶ ὀδύρονται δι' ὅσα ἔγιναν.

Καὶ ἄλλους πάλιν κατηγορεῖ λέγων ὅτι ζοῦν μὲ τρυφὴν καὶ φροντίζουν διὰ τὴν κοιλίαν καὶ ἔχουν πολλὴν ἄνεσιν, καὶ ὅταν εἶδον τοὺς Ἰουδαίους νὰ ὁδηγοῦνται εἰς αἰχμαλωσίαν, δὲν ἐλυπήθησαν, δὲν ἔλαβον μέρος εἰς τὴν θλῖψιν, καὶ κατηγορεῖ αὐτοὺς λέγων, «Δὲν συνεκινοῦντο καθόλου διὰ τὴν συντριβὴν τοῦ Ἰωσήφ»[12], Ἰωσὴφ δὲ ὀνομάζει ὅλον τὸν

καλῶν ἅπαντα· καὶ πάλιν, «Οὐκ ἐξῆλθεν κατοικοῦσα Αἰνάν, κόψασθαι οἶκον ἐχόμενον αὐτῆς». Κἂν γὰρ δικαίως κολάζωνται, βούλεται συναλγεῖν ἡμᾶς, ἀλλὰ μὴ χαίρειν, μηδὲ ἐφήδεσθαι. Εἰ γὰρ ἐγώ, φησίν, ὁ κολάζων οὐ χαίρων τοῦτο ποιῶ, οὐδὲ ἥδομαι αὐτῶν ἐπὶ τῇ τιμωρίᾳ, («Οὐ γὰρ θελήσει θέλω τὸν θάνατον τοῦ ἁμαρτωλοῦ») δεῖ καὶ σὲ τὸν Δεσπότην μιμεῖσθαι, καὶ δι' αὐτὸ μὲν οὖν τοῦτο ἀλγεῖν, ὅτι δικαίας κολάσεως ὑπόθεσιν παρέσχεν καὶ πρόφασιν. Ὥστε κἂν λυπῆταί τις κατὰ Θεόν, μεγάλην ἐντεῦθεν καρποῦται ὠφέλειαν.

Ὅταν οὖν οἱ μαστιζόμενοι τῶν μαστιζόντων εἰσὶ μακαριώτεροι, καὶ οἱ θλιβόμενοι παρ' ἡμῖν τῶν ἐν ἀνέσει παρὰ τοῖς ἔξωθεν, καὶ οἱ ἀθυμοῦντες τῶν ἡδομένων, τίς ἔσται λοιπὸν θλίψεως ἡμῖν ἀφορμή; Διὰ τοῦτο οὐδένα χρὴ μακαρίζειν, ἀλλ' ἢ τὸν κατὰ Θεὸν ζῶντα μόνον. Τούτους καὶ ἡ Γραφὴ μακαρίζει μόνους· «Μακάριος γάρ», φησίν, «ἀνήρ, ὃς οὐκ ἐπορεύθη ἐν βουλῇ ἀσεβῶν». «Μακάριος ὃν ἂν παιδεύσῃς Κύριε, καὶ ἐκ τοῦ νόμου σου διδάξῃς αὐτόν». «Μακάριοι οἱ ἄμωμοι ἐν ὁδῷ. «Μακάριοι πάντες οἱ πεποιθότες ἐπ' αὐτῷ». «Μακάριος ὁ λαός, οὗ Κύριος ὁ Θεὸς αὐτοῦ». «Μακάριος, οὗ οὐ κατέγνω ἡ ψυχὴ αὐτοῦ». «Μακάριος ἀνήρ, ὁ φοβούμενος τὸν Κύριον». Καὶ ὁ Χριστὸς πάλιν οὕτως· «Μακάριοι οἱ πενθοῦντες, μακάριοι οἱ ταπεινοί μακάριοι οἱ πρᾳεῖς, μακάριοι οἱ εἰρηνοποιοί, μακάριοι οἱ δεδιωγμένοι ἕνεκεν δικαιοσύνης».

Ὁρᾷς πῶς πανταχοῦ οὐδένα τῶν πλουτούντων, οὐ τῶν

---

13. Μιχ. 1, 11.
14. Ἰεζ. 18, 23.
15. Ψαλ. 1, 1.
16. Ψαλ. 3, 12.
17. Ψαλμ. 118, 1.
18. Ψαλμ. 2, 13.
19. Ψαλμ. 32, 12.
20. Σοφ. Σειρ. 14, 2.
21. Ψαλμ. 111, 1.
22. Ματθ. 5, 3-10.

λαόν· καὶ πάλιν· «Δὲν ἐξῆλθεν αὐτὴ ποὺ ἐκατοικοῦσεν εἰς τὴν Αἰνάν, διὰ νὰ θρηνήσῃ οἶκον, ποὺ συνώρευε μὲ τὸν ἰδικόν της»[13]. Διότι καὶ ἂν ἀκόμα δικαίως τιμωροῦνται, θέλει νὰ συλλυπούμεθα ἡμεῖς μὲ αὐτούς, καὶ νὰ μὴ χαίρωμεν, οὔτε νὰ αἰσθανώμεθα εὐχαρίστησιν. Διότι ἐὰν ἐγώ, λέγει, ὁ ὁποῖος τιμωρῶ, δὲν χαίρωμαι ὅταν κάμνω αὐτό, οὔτε εὐχαριστοῦμαι διὰ τὴν τιμωρίαν αὐτῶν («Διότι δὲν ἐπιθυμῶ τὸν θάνατον τοῦ ἁμαρτωλοῦ»[14]) πρέπει καὶ σὺ τὸν Δεσπότην νὰ μιμῆσαι καὶ δι' αὐτὸ ἀκριβῶς νὰ λυπῆσαι, διότι ὁ ἁμαρτωλὸς προεκάλεσε τὴν δικαίαν τιμωρίαν του. Ὥστε ὅταν κάποιος λυπῆται κατὰ Θεόν, ἀπολαμβάνει μεγάλην ὠφέλειαν ἀπὸ τὴν λύπην.

Ὅταν λοιπὸν αὐτοὶ ποὺ μαστιγώνονται εἶναι εὐτυχέστεροι ἀπὸ αὐτοὺς ποὺ μαστιγώνουν, καὶ ὅσοι ἀπὸ ἡμᾶς θλίβονται, ἀπὸ ἐκείνους ποὺ εὑρίσκονται ἔξω τῆς χριστιανικῆς πίστεως καὶ ζοῦν μὲ ἄνεσιν, καὶ οἱ λυπούμενοι, ἀπὸ ἐκείνους ποὺ χαίρουν, τί θὰ μᾶς γίνῃ πλέον ἀφορμὴ θλίψεως; Διὰ τοῦτο κανένα δὲν πρέπει νὰ μακαρίζωμεν, παρὰ μόνον ἐκεῖνον ποὺ ζῇ σύμφωνα μὲ τὸ θέλημα τοῦ Θεοῦ. Αὐτοὺς μόνον τοὺς ἀνθρώπους μακαρίζει καὶ ἡ Γραφή· «Μακάριος εἶναι», λέγει, «ὁ ἄνθρωπος ποὺ δὲν ἐπῆγεν εἰς συνέδριον καὶ σύσκεψιν ἁμαρτωλῶν»[15]· «Μακάριος εἶναι ἐκεῖνος τὸν ὁποῖον θὰ παιδαγωγήσῃς Κύριε, καὶ θὰ τὸν διδάξῃς τὸν νόμον σου»[16]. «Μακάριοι εἶναι ἐκεῖνοι οἱ ὁποῖοι εἰς τὸν δρόμον τῆς ζωῆς των εἶναι ἄμεμπτοι»[17]. «Μακάριοι εἶναι ὅλοι ἐκεῖνοι ποὺ ἔχουν στηρίξει τὴν πεποίθησίν των εἰς αὐτόν»[18]. «Μακάριος εἶναι ὁ λαὸς ἐκεῖνος ποὺ ἔχει τὸν Κύριον ὡς Θεὸν αὐτοῦ»[19]. «Μακάριος εἶναι ἐκεῖνος τὸν ὁποῖον δὲν κατεδίκασεν ἡ ψυχή του διὰ ἁμαρτίας»[20]. «Μακάριος εἶναι ὁ ἄνθρωπος ποὺ φοβεῖται τὸν Κύριον»[21]. Καὶ ὁ Χριστὸς πάλιν λέγει τὰ ἑξῆς· «Μακάριοι εἶναι ἐκεῖνοι ποὺ πενθοῦν διὰ τὰς ἁμαρτίας των, μακάριοι εἶναι οἱ ταπεινόφρονες, οἱ πρᾶοι, οἱ εἰρηνοποιοί, μακάριοι εἶναι ἐκεῖνοι ποὺ ἐδιώχθησαν λόγῳ τῆς ἀρετῆς των»[22].

Βλέπεις ὅτι πανταῦ κανένα ἀπὸ τοὺς πλουσίους, κανένα

ἐν εὐγενείᾳ, οὐ τῶν δόξης ἀπολαυόντων μακαρίζουσιν οἱ θεῖοι νόμοι, ἀλλὰ τὸν ἀρετῆς ἐπειλημμένον; Τὸ γὰρ ζητούμενον, πάντων, ὧν ἂν ποιῶμεν ἢ πάσχωμεν, ὑπόθεσιν εἶναι τὸν τοῦ Θεοῦ φόβον, κἂν ταύτην προκαταβάλῃς τὴν ῥίζαν, οὐκ ἀνέσεις μόνον, οὐδὲ τιμαί, καὶ δόξαι, καὶ θεραπεῖαι, ἀλλὰ καὶ ἐπήρειαι καὶ συκοφαντίαι καὶ ὕβρεις καὶ ἀτιμίαι καὶ βάσανοι καὶ πάντα ἁπλῶς ἡδονῆς σοι βλαστήσει καρπούς. Καὶ καθάπερ τῶν δένδρων αἱ ῥίζαι αὐταὶ μέν εἰσι πικραί, ἡδίστους δὲ ἡμῖν τοὺς καρποὺς φέρουσιν, οὕτω δὴ καὶ ἡ κατὰ Θεὸν λύπη πολλὴν ἡμῖν οἴσει τὴν ἡδονήν. Ἴσασιν, ὅσοι πολλάκις μετ' ὀδύνης ηὔξαντο, καὶ δάκρυα ἐξέχεαν, πόσην ἐκαρπώσαντο τὴν εὐφροσύνην, πῶς ἐξεκάθηραν τὸ συνειδός, πῶς μετὰ χρηστῆς ἀνέστησαν ἐλπίδος. Ὅπερ γὰρ ἀεὶ λέγω, οὐχ ἡ τῶν πραγμάτων φύσις, ἀλλ' ἡ διάνοια ἡ ἡμετέρα λυπεῖν ἡμᾶς εἴωθε, καὶ εὐφραίνειν. Ἂν τοίνυν ταύτην κατασκευάσωμεν, οἵαν εἶναι χρή, πάσης εὐθυμίας ἐνέχυρον ἕξομεν· καὶ καθάπερ τὸ σῶμα οὐχ οὕτως ἡ τῶν ἀέρων φύσις, οὐδὲ αἱ ἔξωθεν προσβολαί, ὡς ἡ οἰκεία κατασκευὴ καὶ βλάπτει καὶ ὠφελεῖ, οὕτω καὶ ἐπὶ τῆς ψυχῆς· καὶ πολλῷ πλέον.

Ἐνταῦθα μὲν γὰρ φύσεώς ἐστιν ἀνάγκη, ἐκεῖ δὲ τὸ πᾶν ἐπὶ τῇ προαιρέσει κεῖται. Διὰ τοῦτο ὁ Παῦλος μυρία ὑπομείνας δεινά, ναυάγια, πολέμους, ἐπαναστάσεις, ἐπιβουλάς, λῃστῶν ἐφόδους, καὶ ὅσα οὐδὲ ἀπαριθμήσασθαι ἔνι τῷ λόγῳ, καὶ καθημερινοὺς θανάτους ἀποθνήσκων, οὐ μόνον οὐκ ἤλγει, οὐδὲ ἐδυσχέραινεν, ἀλλὰ καὶ ἐκαυχᾶτο, καὶ ἔχαιρε, καὶ λέγει· «Νῦν χαίρω ἐν τοῖς παθήμασί μου, καὶ ἀνταναπληρῶ τὰ ὑστερήματα τῶν θλίψεων τοῦ Χριστοῦ ἐν τῇ σαρκί μου»· καὶ πάλιν· «Οὐ μόνον δέ, ἀλλὰ καὶ καυχώμεθα ἐν ταῖς θλίψεσιν· ἡ δὲ καύχησις ἡδονῆς ἐστιν ἐπίτασις.

23. Κολ. 1, 24.
24. Ρωμ. 5, 3.

ἀπὸ αὐτοὺς ποὺ εἶναι εὐγενεῖς, κανένα ἀπὸ αὐτοὺς ποὺ ἀπολαμβάνουν δόξαν δὲν μακαρίζουν οἱ θεῖοι νόμοι, ἀλλὰ ἐκεῖνον ποὺ ζῇ μὲ τὴν ἀρετήν; Διότι ἐκεῖνο ποὺ πρέπει νὰ ἐπιζητοῦμεν δι' ὅλων τῶν ἐνεργειῶν μας ἢ τῶν παθημάτων, εἶναι ὁ φόβος τοῦ Θεοῦ, καὶ ἂν αὐτὴν τὴν ρίζαν ἀπὸ τὴν ἀρχὴν καταθέσῃς, ὄχι μόνον ἄνεσις, οὔτε τιμαὶ καὶ δόξαι, καὶ περιποιήσεις, ἀλλὰ καὶ ζημίαι καὶ συκοφαντίαι καὶ ὕβρεις καὶ ἀτιμίαι καὶ βάσανα καὶ ὅλα θὰ βλαστήσουν δι' ἐσὲ καρπούς χαρᾶς. Καὶ ὅπως αἱ ρίζαι τῶν δένδρων αὐταὶ μὲν εἶναι πικραί, ὅμως δίδουν εἰς ἡμᾶς γλυκυτάτους καρπούς, ἔτσι ἀκριβῶς καὶ ἡ κατὰ Θεὸν λύπη, πολλὴν εὐχαρίστησιν θὰ μᾶς φέρῃ. Γνωρίζουν ὅσοι πολλάκις προσηυχήθησαν μὲ λύπην, καὶ ἔχυσαν δάκρυα, πόσην χαρὰν ἀπήλαυσαν, πῶς καθησύχασαν τὴν συνείδησίν των, πῶς εἶχαν μετὰ τὴν προσευχὴν καλὰς ἐλπίδας. Διότι αὐτὸ ποὺ πάντοτε λέγω θὰ εἰπῶ καὶ τώρα, ὅτι δηλαδή, ὄχι ἡ φύσις τῶν πραγμάτων, ἀλλὰ ἡ διάθεσίς μας μᾶς λυπεῖ καὶ μᾶς εὐχαριστεῖ. Ἂν λοιπὸν αὐτὴν τὴν κάμωμεν τέτοιαν ποὺ πρέπει νὰ εἶναι θὰ ἔχωμεν τὴν ἐγγύησιν κάθε χαρᾶς· καὶ ὅπως τὸ σῶμα δὲν τὸ βλάπτει καὶ δὲν τὸ ὠφελεῖ τόσον ἡ φύσις τῆς ἀτμοσφαίρας, οὔτε αἱ ἐξωτερικαὶ προσβολαί, ὅσον ἡ ἰδική του κατάστασις, ἔτσι συμβαίνει καὶ εἰς τὴν ψυχήν, καὶ μάλιστα πολὺ περισσότερον.

Διότι ἐδῶ ὑπάρχει ἡ ἀνάγκη τῆς φύσεως, ἐκεῖ ὅμως τὸ πᾶν ὀφείλεται εἰς τὴν προαίρεσιν. Διὰ τοῦτο ὁ Παῦλος ἂν καὶ ὑπέμεινεν ἀναρίθμητα κακά, ναυάγια, πολέμους, ἐπαναστάσεις, ἐπιβουλάς, ἐφόδους ληστῶν, καὶ τόσα ἄλλα ποὺ δὲν ἠμποροῦν νὰ ἀπαριθμηθοῦν διὰ τοῦ λόγου καὶ ἀντιμετώπιζε καθημερινῶς τὸν θάνατον, ὄχι μόνον δὲν ἐλυπεῖτο δι' αὐτά, καὶ δὲν ἐστενοχωρεῖτο, ἀλλὰ ἀντιθέτως καὶ ἐκαυχᾶτο, καὶ ἔχαιρε, καὶ λέγει· «Τώρα χαίρω διὰ τὰ παθήματα ποὺ ὑποφέρω καὶ ἀναπληρώνω τὰ ὑστερήματα τῶν θλίψεων τοῦ Χριστοῦ διὰ τῶν παθημάτων τῆς σαρκός μου»[23]· καὶ πάλιν· «Δὲν καυχώμεθα μόνον διὰ τὴν χάριν, ἀλλὰ καὶ διὰ τὰς θλίψεις»[24]· ἡ δὲ καύχησις εἶναι ἀνώτερος βαθμὸς ἡδονῆς.

4. Ἂν τοίνυν εὐθυμίας ἐπιθυμῇς, μὴ χρήματα, μὴ σώματος ὑγίειαν, μὴ δόξαν, μὴ δυναστείαν, μὴ τρυφήν, μὴ τραπέζας πολυτελεῖς, μὴ σηρικῶν ἱματίων περιβολάς, μὴ πολυτελεῖς ἀγρούς, μὴ οἰκίας λαμπρὰς καὶ περιφανεῖς, μηδὲ ἄλλο τι τῶν τοιούτων δίωκε μηδέν· ἀλλὰ φιλοσοφίαν μέτελθε τὴν κατὰ Θεόν, καὶ ἀρετῆς ἐπιλαβοῦ· καὶ οὐδέν σε οὐ τῶν ὄντων, οὐ τῶν ἐλπιζομένων λυπῆσαι δυνήσεται. Τί λέγω λυπῆσαι; Προσθήκη μὲν οὖν ἡδονῆς σοι γενήσεταаι τὰ τοὺς ἄλλους λυποῦντα· καὶ γὰρ μάστιγες, καὶ θάνατος, καὶ ζημίαι, καὶ κακηγορίαι, καὶ τὸ κακῶς πάσχειν, καὶ πάντα τὰ τοιαῦτα, ὅταν διὰ τὸν Θεὸν ἡμῖν ἐπάγηται, καὶ ταύτην ἔχῃ τὴν ρίζαν, πολλὴν ἡμῖν εἰς τὴν ψυχὴν εἰσάγει τὴν ἡδονήν. Οὐδεὶς γὰρ ἡμᾶς ἀθλίους ποιῆσαι δυνήσεται, ἐὰν μὴ ἑαυτοὺς ποιήσωμεν· ὥσπερ οὖν οὐδὲ μακαρίους, ἐὰν μὴ ἑαυτοὺς ἐργασώμεθα, μετὰ τὴν τοῦ Θεοῦ χάριν.

Καὶ ἵνα μάθητε, ὅτι οὗτος μόνος ἐστὶ μακάριος, φοβούμενος τὸν Κύριον, οὐκ ἀπὸ τῶν παρελθόντων, ἀλλ' ἀπὸ τῶν ἡμῖν συμβάντων τοῦτο ὑμῖν ἀποδείξω νῦν. Ἐκινδύνευσεν ἡμῖν ἡ πόλις ἀφανισθῆναι πᾶσα, καὶ τῶν μὲν πλουτούντων, καὶ περιφανῶν, καὶ ἐπισήμων ἀνδρῶν οὐδεὶς ἐτόλμησεν ἐν τῷ μέσῳ φανῆναι, ἀλλὰ πάντες ἔφυγον καὶ ἀπεπήδων· οἱ δὲ τὸν Θεὸν φοβούμενοι, οἱ ἐν μοναστηρίοις διατρίβοντες, οὗτοι μετὰ πολλῆς τῆς παρρησίας καταδραμόντες πάντα ἔλυσαν, καὶ τοσοῦτον ἀπέσχον αὐτοὺς φοβῆσαι, καὶ εἰς ἀγωνίαν ἐμβαλεῖν τὰ συμβάντα δεινά, καὶ αἱ προσδοκώμεναι ἀπειλαί, ὅτι πόρρω καθήμενοι τῆς συμφορᾶς, καὶ οὐδὲν κοινὸν ἔχοντες, ἑαυτοὺς ἔρριψαν εἰς μέσην τὴν πυράν, καὶ πάντας ἐξείλοντο, καὶ ὃ πᾶσι δοκεῖ φοβερὸν εἶναι καὶ φρικῶδες, ὁ θάνατος, τοῦτο οὗτοι μετὰ πάσης ἀνεδέξαντο τῆς προθυμίας, καὶ μετὰ πλείονος

4. Ἂν λοιπὸν ἐπιθυμῇς εὐθυμίαν νὰ μὴ ἐπιδιώκῃς οὔτε χρήματα, οὔτε ὑγείαν σωματικήν, οὔτε δόξαν, οὔτε ἐξουσίαν, οὔτε καλοπέρασιν, οὔτε πολυτελῆ δεῖπνα, οὔτε μεταξωτὰ ἐνδύματα, οὔτε ἀκριβὰ χωράφια, οὔτε λαμπρὰ καὶ ἐπίσημα σπίτια, οὔτε τίποτε ἄλλο ἀπὸ αὐτά· ἀλλὰ νὰ ἀσκῇς τὴν κατὰ Θεὸν φιλοσοφίαν, καὶ τὴν ἀρετήν· καὶ τίποτε δὲν θὰ ἠμπορέσῃ νὰ σὲ λυπήσῃ οὔτε ἀπὸ ὅσα συμβαίνουν οὔτε ἀπὸ ὅσα ἠμποροῦν νὰ συμβοῦν. Τί λέγω νὰ σὲ λυπήσουν; Θὰ σοῦ γίνῃ ἐπὶ πλέον εὐχαρίστησις ἐκεῖνα ποὺ λυποῦν τοὺς ἄλλους· διότι καὶ μαστιγώσεις, καὶ θάνατος, καὶ ζημίαι, καὶ κακολογίαι, καὶ κακοποιήσεις, καὶ ὅλα τὰ τοιαῦτα, ὅταν συμβαίνουν εἰς ἡμᾶς διὰ τὸν Θεὸν καὶ ἔχουν ρίζαν αὐτό, ἐπιφέρουν εἰς τὴν ψυχήν μας πολλὴν χαράν. Διότι κανεὶς δὲν ἠμπορεῖ νὰ μᾶς κάμῃ δυστυχεῖς, ἐὰν ἡμεῖς οἱ ἴδιοι δὲν κάμωμεν τοὺς ἑαυτούς μας τέτοιους· ὅπως πάλιν λοιπὸν οὔτε μακαρίους, ἐὰν μόνοι μας δὲν γίνωμεν τέτοιοι, μὲ τὴν χάριν βεβαίως τοῦ Θεοῦ.

Καὶ διὰ νὰ μάθετε ὅτι αὐτὸς μόνον, ποὺ φοβεῖται τὸν Κύριον, εἶναι μακάριος, ὄχι ἀπὸ τὰ παρελθόντα, ἀλλὰ ἀπὸ αὐτὰ ποὺ συνέβησαν εἰς σᾶς, θὰ σᾶς τὸ ἀποδείξω τώρα. Ἐκινδύνευσεν ἡ πόλις μας νὰ ἐξαφανισθῇ τελείως καὶ ἀπὸ τοὺς πλουσίους καὶ ἐπιφανεῖς καὶ ἐπισήμους ἄνδρας κανεὶς δὲν ἐτόλμησε νὰ παρουσιασθῇ εἰς τὸ μέσον αὐτῆς, ἀλλὰ ὅλοι ἀπεσκίρτησαν καὶ ἔφυγαν μακρυά· ἐκεῖνοι ὅμως ποὺ ἐφοβοῦντο τὸν Θεόν, αὐτοὶ ποὺ ἔμεναν εἰς τὰ μοναστήρια, αὐτοὶ μὲ πολὺ θάρρος κατέβησαν ἀπὸ τὰ βουνὰ τρέχοντες καὶ ὅλα τὰ ἐτακτοποίησαν, καὶ τόσον μικρὰ ἐφάνησαν εἰς αὐτοὺς τὰ κακὰ διὰ νὰ τοὺς φοβήσουν καὶ νὰ τοὺς ἐμβάλλουν εἰς ἀγωνίαν αἱ ἀναμενόμεναι τιμωρίαι, ὥστε ἂν καὶ ἐκάθηντο πολὺ μακρυὰ ἀπὸ τὴν συμφοράν, καὶ δὲν εἶχον κανένα κοινὸν μὲ αὐτήν, ἔρριψαν τοὺς ἑαυτούς των εἰς τὸ μέσον τῆς φωτιᾶς, καὶ ὅλους μᾶς ἐγλύτωσαν ἀπὸ αὐτήν, καὶ αὐτὸ ποὺ φαίνεται εἰς ὅλους φοβερὸν καὶ φρικῶδες, ὁ θάνατος, τοῦτο τὸ ἐδέχθησαν μὲ μεγάλην προθυμίαν, καὶ ἔτρε-

ἔτρεχον ἐπὶ τὸ πρᾶγμα ἡδονῆς, ἢ ἐπ' ἀρχὰς ἕτεροι καὶ τιμάς· ᾔδεσαν γὰρ ὅτι μεγίστη τοῦτο ἀρχὴ καὶ τιμή. Καὶ δι' αὐτῶν τῶν ἔργων ἔδειξαν, ὅτι οὗτος μόνος μακάριός ἐστιν ὁ φιλοσοφίας ἐπειλημμένος τῆς ἄνω, καὶ μεταβολὴν οὐδεμίαν δέχεται, οὐδὲ δυσημερίαν ὑπομένει τινά, ἀλλὰ διηνεκοῦς εὐημερίας ἀπολαύει, καὶ πάντων καταγελᾷ τῶν δοκούντων εἶναι λυπηρῶν.

Νῦν γοῦν οἱ μὲν ἐν δυναστείαις, ἀθυμίᾳ πολλῇ κατέχονται, τὸ δεσμωτήριον οἰκοῦντες, ἁλύσεις περιβεβλημένοι, καὶ καθ' ἑκάστην ἡμέραν ἀποθανεῖσθαι προσδοκῶντες· οὗτοι δὲ καθαρωτάτης ἀπολαύουσιν ἡδονῆς, κἂν συμβαίη τι παθεῖν δεινόν, καὶ ἃ τοῖς ἄλλοις εἶναι δοκεῖ φοβερά, ταῦτα τούτοις ἐστὶ ποθεινά· ἴσασι γὰρ ἐπὶ τί τρέχουσι, καὶ ποία λῆξις μετὰ τὴν ἐντεῦθεν ἀποδημίαν διαδέξεται. Καὶ τοσαύτῃ συζῶντες ἀκριβείᾳ, καὶ θανάτου καταγελῶντες, ὅμως ὑπὲρ τῶν ἄλλων ἀλγοῦσι, καὶ ἀπὸ τούτου μεγίστην πάλιν ὠφέλειαν καρποῦνται.

Σπουδάσωμεν τοίνυν τῆς ψυχῆς ἐπιμελεῖσθαι τῆς ἡμετέρας, καὶ οὐδὲν ἡμᾶς τῶν ἀδοκήτων λυπῆσαι δύναται· καὶ ὑπὲρ τῶν ἐμβεβλημένων τὸν Θεὸν παρακαλῶμεν, ὥστε αὐτοὺς ἀπαλλάξαι τῆς ἐπικειμένης συμφορᾶς. Ἠδύνατο μὲν γὰρ ὁ Θεὸς ἀθρόον λῦσαι τὸ δεινόν, καὶ μηδὲ μικρὰ ἀφεῖναι λείψανα· ἀλλ' ἵνα μὴ πάλιν ἐπὶ τὴν προτέραν ἐπανέλθωμεν ῥᾳθυμίαν, ἠρέμα καὶ κατὰ μικρὸν τὸν χείμαρρον τῶν κακῶν τούτων χαλᾶν παρεσκεύασε, κατέχων ἡμᾶς ἐπὶ τῆς αὐτῆς εὐλαβείας. Καὶ ὅτι τοῦτό ἐστιν ἀληθές, καὶ πολλοὶ πρὸς τὴν προτέραν ἐπανῆλθον ἂν ῥᾳθυμίαν, εἰ συντόμως ἐλύθη τὸ πᾶν, δῆλον ἐκεῖθεν· ἔτι τὰ λείψανα μένει τῆς συμφορᾶς, καὶ ἔτι τοῦ βασιλέως ἄδηλός ἐστιν ἡ γνώμη, καὶ οἱ τὰ τῆς πόλεως

χον εἰς αὐτὸν μὲ μεγαλυτέραν χαρὰν ἀπὸ ὅσην εἶχον ἐκεῖνοι ποὺ ἔτρεχαν εἰς ἀξιώματα καὶ τιμάς· διότι ἐγνώριζον ὅτι τοῦτο εἶναι μεγίστη τιμὴ καὶ ἐξουσία. Καὶ διὰ τῶν πράξεών των αὐτῶν ἀπέδειξαν ὅτι αὐτὸς μόνον εἶναι μακάριος, ποὺ ἀκολουθεῖ τὴν ἄνω φιλοσοφίαν, καὶ δὲν δέχεται καμμίαν μεταβολὴν εἰς τὰς ἀρχάς του, οὔτε ὑπομένει καμμίαν δυστυχίαν, ἀλλὰ ἀπολαμβάνει διαρκῆ εὐτυχίαν, καὶ περιγελᾷ ὅλα ὅσα φαίνονται ὅτι εἶναι λυπηρά.

Τώρα λοιπὸν ἐκεῖνοι ποὺ εἶχον τὰς ἐξουσίας κατέχονται ἀπὸ μεγάλην λύπην, εὑρισκόμενοι εἰς τὴν φυλακήν, δεμένοι μὲ ἁλυσίδας καὶ κάθε ἡμέραν ἀναμένουν τὸν θάνατον· αὐτοὶ ὅμως ἀπολαμβάνουν μεγάλην εὐχαρίστησιν, καὶ ἂν ἀκόμη συμβῇ νὰ πάθουν κάποιο κακόν, καὶ ἐκεῖνα ποὺ φαίνονται εἰς τοὺς ἄλλους φοβερά, αὐτὰ εἰς αὐτοὺς εἶναι ἐπιθυμητά· διότι γνωρίζουν ποῖον δρόμον τρέχουν, καὶ ποῖον θὰ εἶναι τὸ τέλος του, ὅταν θὰ φύγουν ἀπὸ τὴν ζωὴν αὐτήν. Καὶ ἐνῷ ζοῦν μὲ τόσην ἀφοβίαν, καὶ περιφρονοῦν τὸν θάνατον, ὅμως λυποῦνται διὰ τοὺς ἄλλους, καὶ ἀπὸ αὐτὸ πάλιν καρποῦνται μεγάλην ὠφέλειαν.

Ἂς προσπαθήσωμεν λοιπὸν νὰ φροντίζωμεν διὰ τὴν ψυχήν μας, καὶ τότε τίποτε ἀπὸ τὰ ἀπροσδόκητα κακὰ δὲν θὰ ἠμπορέσῃ νὰ μᾶς λυπήσῃ· καὶ ἂς παρακαλοῦμεν τὸν Θεὸν δι' αὐτοὺς ποὺ εἶναι εἰς τὴν φυλακήν, ὥστε νὰ τοὺς ἀπαλλάξῃ ἀπὸ τὴν συμφορὰν ποὺ τοὺς ἀναμένει. Διότι ἠμποροῦσεν ὁ Θεὸς διὰ μιᾶς νὰ παύσῃ τὸ κακόν, καὶ νὰ μὴ ἀφήσῃ ἐλάχιστον ἴχνος αὐτῶν· ἀλλὰ διὰ νὰ μὴ ἐπανέλθωμεν πάλιν εἰς τὴν προηγουμένην ραθυμίαν, ἤρεμα καὶ ὀλίγον κατ' ὀλίγον ἔκαμε νὰ σταματήσῃ ὁ χείμαρρος τῶν κακῶν, καὶ μᾶς συγκρατεῖ κατ' αὐτὸν τὸν τρόπον εἰς τὴν ἰδίαν εὐσέβειαν. Καὶ ὅτι τοῦτο εἶναι ἀληθές, ὅτι δηλαδὴ πολλοὶ θὰ ἐπέστρεφον εἰς τὴν προηγουμένην ράθυμον κατάστασιν ποὺ εὑρίσκοντο, ἐὰν σύντομα θὰ ἔκανε τὸ κακόν, φαίνεται ἀπὸ τὰ ἑξῆς· ἀκόμη μένουν τὰ λείψανα τῆς συμφορᾶς, καὶ ἐνῷ ἀκόμη δὲν εἶναι γνωστὴ ἡ ἀπόφασις τοῦ βασιλέως, καὶ οἱ διοι-

ἄγοντες πράγματα ἅπαντές εἰσιν ἐν δεσμοῖς, καὶ πολλοὶ τῶν τὴν πόλιν ἡμῖν οἰκούντων τῇ τοῦ λούεσθαι ἐπιθυμίᾳ ἐπὶ τὸν ποταμὸν τρέχουσι, μυρία κωμῳδοῦντες ἐκεῖ, ἀσελγαίνοντες, σκιρτῶντες, χορεύοντες, γυναῖκας ἐπισυρόμενοι. Ἆρα τίνος ἂν εἶεν ἐκεῖνοι συγγνώμης ἄξιοι, ποίας ἀπολογίας; Μᾶλλον δὲ ποίας οὐκ ἂν εἶεν ἄξιοι κολάσεως καὶ τιμωρίας;

Ἡ κεφαλὴ τῆς πόλεως ἐν τῷ δεσμωτηρίῳ, τὰ μέλη ἡμῶν ἐν ἐξορίᾳ, ἄδηλος ἡ περὶ τούτων ψῆφος, καὶ σὺ χορεύεις, εἰπέ μοι, καὶ παίζεις, καὶ γελᾷς; Οὐ γὰρ φέρομεν τὴν ἀλουσίαν, φησίν. Ὦ τῆς ἀναισχύντου γνώμης, ὢ τῆς βαναύσου καὶ διεφθαρμένης. Πόσοι γεγόνασιν, εἰπέ μοι, μῆνες; πόσοι ἐνιαυτοί; οὔπω εἴκοσιν ἡμέρας ἔχεις τῶν βαλανείων ἀποκλεισθείς, καὶ ὡς ἐνιαυτὸν ἔχων ὁλόκληρον ἐν ἀλουσίᾳ οὕτως ἀλύεις καὶ δυσχεραίνεις; Οὕτως ἦσθα, εἰπέ μοι, ὅτε στρατιωτῶν προσεδόκησας ἔφοδον, ὅτε καθ' ἑκάστην ἤλπιζες τὴν ἡμέραν ἀποθανεῖσθαι, ὅτε εἰς τὰς ἐρήμους ἔφευγες, καὶ τὰς κορυφὰς τῶν ὀρέων ἔτρεχες; Εἴ τις σοι τότε προέτεινεν ἐνιαυτὸν ὁλόκληρον ἐν ἀλουσίᾳ μεῖναι, ὥστε ἀπαλλαγῆναι τῆς ἐπικειμένης ἀγωνίας, οὐκ ἂν ἑτοίμως κατεδέξω καὶ ὑπέμεινας; Δέον οὖν εὐχαριστεῖν τῷ χωρὶς πάσης ζημίας λύσαντι ταῦτα Θεῷ, σκιρτᾷς πάλιν καὶ ὑβρίζεις, καὶ ἐπειδὴ παρῆλθεν ὁ φόβος, πρὸς μείζονα πάλιν ἐπανῆλθες ῥαθυμίαν; Οὕτω σου καθήψατο τὰ δεινά, ὡς καὶ βαλανείων ἐπιθυμῆσαι; Εἰ γὰρ ἀνεῖτο τὰ βαλανεῖα, οὐκ ἦν ἱκανὴ τῶν ἔτι κατεχομένων ἡ συμφορά, καὶ τοὺς οὐκ ὄντας ἐν τοῖς δεινοῖς τούτους πεῖσαι πάσης ἐπιλαθέσθαι τρυφῆς; Περὶ ψυχῆς ὁ κίνδυνός ἐστι, καὶ σὺ βαλανείων μέμνησαι καὶ τρυφᾶν βούλει.

Καταφρονεῖς ὅτι διέφυγες νῦν; Ὅρα μὴ μείζονος κο-

κοῦντες τὴν πόλιν εἶναι φυλακισμένοι ὅλοι, ἐν τούτοις πολλοὶ ἀπὸ τοὺς κατοίκους τῆς πόλεως, μὲ τὴν ἐπιθυμίαν νὰ κάμουν μπάνιο, τρέχουν εἰς τὸν ποταμόν, καὶ κάμουν ἐκεῖ πολλὰς ἀσχημίας, ἀσελγοῦν, πετοῦν ἀπὸ χαράν, χορεύουν, σύρουν μαζί των τὰς γυναῖκας. Ἀρά γε ποίας συγγνώμης ἄξιοι θὰ εἶναι ἐκεῖνοι, ποίας ἀπολογίας; Μᾶλλον δὲ ποίας τιμωρίας καὶ κολάσεως δὲν θὰ εἶναι ἄξιοι;

Ἡ κεφαλὴ τῆς πόλεως εὑρίσκεται εἰς τὴν φυλακήν, τὰ μέλη ἡμῶν εὑρίσκονται εἰς τὴν ἐξορίαν, ἄγνωστος εἶναι ἀκόμη ἡ ἀπόφασις δι' αὐτούς, καὶ σὺ χορεύεις, καὶ παίζεις καὶ γελᾷς; Ναί, λέγουν, διότι δὲν ἠμποροῦμεν νὰ ὑποφέρωμεν νὰ εἴμεθα ἄλουστοι. Ὢ τί ἀδιάντροπος σκέψις, ὢ τί διεφθαρμένη καὶ μικροπρεπὴς ἰδέα! Εἰπέ μου, πόσοι μῆνες ἔχουν περάσει; Πόσα χρόνια; Δὲν ἔχουν περάσει ἀκόμη εἴκοσι ἡμέραι ἀπὸ τότε ποὺ ἐστερήθης τὰ λουτρά, καὶ ὡσὰν νὰ ἔχῃς μείνει ἄλουστος ἕνα ἔτος δυσφορεῖς καὶ στενοχωρεῖσαι; Αὐτὰ ἔκαμες, εἰπέ μου, ὅταν ἀνέμενες τὴν ἔφοδον τῶν στρατιωτῶν, ὅταν ἐπερίμενες κάθε ἡμέραν νὰ ἀποθάνῃς, ὅταν ἔφευγες εἰς τὰς ἐρήμους καὶ ἔτρεχες εἰς τὰς κορυφὰς τῶν βουνῶν; Ἐὰν κάποιος σοῦ ἐπρότεινε τότε νὰ μείνῃς ἄλουστος ἐπὶ ἕνα ὁλόκληρον χρόνον, διὰ νὰ ἀπαλλαγῇς ἀπὸ τὴν ἀγωνίαν ποὺ σοῦ κατεῖχε, δὲν θὰ ἐδεχόσουν προθύμως τὴν πρότασιν αὐτοῦ, καὶ δὲν θὰ ὑπέμενες τοῦτο; Ἀντὶ λοιπὸν νὰ εὐχαριστῇς τὸν Θεόν, ὁ ὁποῖος χωρὶς καμμίαν ζημίαν σὲ ἀπήλλαξεν ἀπὸ αὐτά, παρεκτρέπεσαι πάλιν καὶ ἐξυβρίζεις, καὶ ἐπειδὴ ἐπέρασεν ὁ φόβος, ἐπανῆλθες εἰς μεγαλυτέραν ἀπὸ πρὶν ραθυμίαν; Τόσον ὀλίγον σὲ συνεκίνησαν τὰ κακά, ὥστε νὰ ἐπιθυμήσῃς ἀκόμα καὶ λουτρά; Διότι ἀκόμα καὶ ἀνοικτὰ νὰ ἦσαν τὰ λουτρά, δὲν θὰ ἦτο ἱκανὴ ἡ συμφορὰ αὐτῶν ποὺ ἀκόμα κρατοῦνται, αὐτοὺς ποὺ δὲν εὑρίσκονται εἰς τὰ κακά, νὰ τοὺς πείσῃ νὰ λησμονήσουν κάθε πολυτέλειαν; Ἐδῶ κινδυνεύει ἡ ζωὴ ἀνθρώπων, καὶ σὺ ἐνθυμῆσαι τὰ λουτρά, καὶ ἐπιθυμεῖς καλοπέρασιν;

Ἀδιαφορεῖς ὅτι διέφυγες τώρα τὸν κίνδυνον; Πρόσεξε

λάσεως σαυτῷ περιστήσῃς ἀνάγκην, καὶ πάλιν ἀπελθοῦσαν καλέσῃς μετὰ πλείονος τῆς περιουσίας τὴν ἀπειλήν, καὶ πάθῃς ταὐτόν, ὃ περὶ τῶν δαιμόνων φησὶν ὁ Χριστός· ἐπειδὰν γὰρ ἐξέλθῃ τὸ πνεῦμα τὸ ἀκάθαρτον, φησίν, εἶτα εὕρῃ τὸν οἶκον σχολάζοντα καὶ σεσαρωμένον, ἑπτὰ ἕτερα πνεύματα πονηρότερα ἑαυτοῦ πάλιν λαβὸν ἐπεισέρχεται τῇ ψυχῇ, καὶ γίνεται τὰ ἔσχατα αὐτοῦ χείρονα τῶν πρώτων.

Φοβηθῶμεν οὖν καὶ ἡμεῖς μὴ τῶν προτέρων ἀπαλλαγέντες, μείζονα τῶν προτέρων ἐκσπασώμεθα διὰ τῆς μετὰ ταῦτα ῥᾳθυμίας. Οἶδα, ὅτι ὑμεῖς ταύτης καθαροί ἐστε τῆς ἀτοπίας· ἀλλὰ καὶ τοὺς ἀκοσμοῦντας κατέχετε, κολάζετε, σωφρονίζετε, ἵνα πάντοτε χαίρητε, καθὼς ὁ Παῦλος προσέταξεν, ὅπως καὶ τῶν οἰκείων κατορθωμάτων καὶ τῆς ἑτέρων προνοίας πολλὴν καὶ ἐνταῦθα, καὶ κατὰ τὴν μέλλουσαν ζωὴν καρπωσώμεθα τὴν ἀμοιβήν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, δι᾽ οὗ καὶ μεθ᾽ οὗ τῷ Πατρί, ἅμα τῷ ἁγίῳ Πνεύματι δόξα, τιμή, καὶ προσκύνησις νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων· Ἀμήν.

---

25. Πρβλ. Λουκᾶ 11, 24-26.

μήπως μὲ ὅσα κάμεις παραστῇ ἀνάγκη νὰ σοῦ ἔλθῃ μεγαλυτέρα τιμωρία καὶ συντελέσῃς νὰ σοῦ ἔλθῃ πάλιν ἡ ἀπειλή, ποὺ ἔφυγε, μὲ μεγαλυτέραν σφοδρότητα, καὶ πάθῃς τὸ ἴδιον, ποὺ λέγει ὁ Χριστὸς ὅτι ἔπαθαν οἱ δαίμονες· διότι ὅταν ἐξέλθῃ τὸ πνεῦμα τὸ ἀκάθαρτον, λέγει, καὶ ἔπειτα εὕρῃ τὸν οἶκον τῆς ψυχῆς αὐτοῦ στολισμένον καὶ ἀδιάφορον, ἑπτὰ ἄλλα πνεύματα, πονηρότερα ἀπὸ αὐτό, ἀφοῦ πάρῃ εἰσέρχεται εἰς τὴν ψυχὴν πάλιν, καὶ γίνονται τὰ τελευταῖα τοῦ ἀνθρώπου ἐκείνου χειρότερα ἀπὸ τὰ πρῶτα[25].

Ἂς φοβηθῶμεν λοιπὸν καὶ ἡμεῖς, μήπως ἀφοῦ ἐγλυτώσαμεν ἀπὸ τὰ προηγούμενα κακά, ἐπισύρωμεν εἰς ἡμᾶς μεγαλύτερα μὲ τὴν μετὰ ταῦτα ἀδιαφορίαν μας. Γνωρίζω ὅτι σεῖς εἶσθε καθαροὶ ἀπὸ τὴν ἄτοπον αὐτὴν πρᾶξιν· ἀλλὰ νὰ συγκρατῆτε καὶ αὐτοὺς ποὺ κάμνουν τὴν ἀσχημίαν αὐτήν, νὰ τιμωρῆτε, νὰ σωφρονίζετε, διὰ νὰ χαίρωμεν πάντοτε, καθὼς ὁ Παῦλος διέταξε, καὶ μὲ τὰ κατορθώματά μας καὶ τὴν φροντίδα μας διὰ τοὺς ἄλλους, καὶ ἐδῶ πολλήν, ἀλλὰ καὶ εἰς τὴν μέλλουσαν ζωήν, θὰ ἀπολαύσωμεν τὴν ἀμοιβήν, διὰ τῆς χάριτος καὶ φιλανθρωπίας τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, διὰ τοῦ ὁποίου καὶ μετὰ τοῦ ὁποίου εἰς τὸν Πατέρα, συγχρόνως καὶ εἰς τὸ ἅγιον Πνεῦμα ἂς εἶναι δόξα, τιμὴ καὶ προσκύνησις, τώρα καὶ πάντοτε καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων· Ἀμήν.

ΟΜΙΛΙΑ ΔΕΚΑΤΗ ΕΝΑΤΗ

Πρὸς τοὺς ἀπὸ τῆς χώρας· καὶ περὶ τοῦ μὴ ὀμνύειν.

1. *Κατετρυφήσατε τῶν ἁγίων μαρτύρων ἐν ταῖς ἔμπροσθεν ταύταις ἡμέραις· ἐνεφορήθητε τῆς πνευματικῆς ἑορτῆς· ἐσκιρτήσατε τὰ καλὰ σκιρτήματα· εἴδετε πλευρὰς ἠνεωγμένας, καὶ λαγόνας κατατμηθείσας, αἷμα καταρρέον πάντοθεν, μυρία βασανιστηρίων εἴδη· εἴδετε φύσιν ἀνθρωπίνην τὰ ὑπὲρ φύσιν ἐπιδεικνυμένην, καὶ στεφάνους ἐξ αἵματος πλεκομένους· ἐχορεύσατε χορείαν καλὴν πανταχοῦ τῆς πόλεως, τοῦ καλοῦ τούτου περιάγοντος ὑμᾶς στρατηγοῦ· ἀλλ' ἡμᾶς ἀσθένεια καὶ ἄκοντας οἴκοι μένειν κατηνάγκαζε. Πλὴν εἰ καὶ μὴ μετέσχομεν τῆς ἑορτῆς, μετέσχομεν τῆς ἡδονῆς· εἰ καὶ μὴ τῆς πανηγύρεως ἀπηλαύσαμεν, ἀλλ' ἐκοινωνήσαμεν τῆς εὐφροσύνης ὑμῖν. Τοιαύτη γὰρ ἡ τῆς ἀγάπης δύναμις· τοὺς οὐκ ἀπολαύοντας τῶν ἀπολαυόντων ἐξ ἴσης ποιεῖ χαίρειν, κοινὰ τὰ τῶν πλησίον ἀγαθὰ πείθουσα νομίζειν. Διὰ τοῦτο καὶ οἴκοι καθήμενος ἔχαιρον μεθ' ὑμῶν, καὶ τῆς ἀρρωστίας μοι μηδέπω λυθείσης ἁπάσης, ἀνέστην, καὶ ἔδραμον πρὸς ὑμᾶς, ὥστε τὰ ποθεινὰ πρόσωπα ὑμῶν ἰδεῖν, καὶ τῆς παρούσης ἑορτῆς μετασχεῖν.*

Ἑορτὴν γὰρ μεγίστην εἶναι νομίζω τὴν παροῦσαν ἡμέραν, διὰ τὴν τῶν ἀδελφῶν παρουσίαν τῶν ἡμετέρων, οἳ τὴν πόλιν ἡμῖν ἐκαλλώπισαν, καὶ τὴν ἐκκλησίαν ἐκόσμησαν. Λαὸς κατὰ μὲν τὴν γλῶτταν ἡμῖν ἐνηλλαγμένος, κατὰ δὲ

1. Ἐπισωζομένη ἐκαλεῖτο ἡ ἑορτὴ τῆς Ἀναλήψεως τοῦ Κυρίου, δηλαδὴ τῆς ἐπισωζομένης ἀνθρωπίνης φύσεως. Κυριακὴ τῆς ἐπισωζομένης εἶναι ἡ πρὸ τῆς Ἀναλήψεως Κυριακή.
2. Λαγὼν -όνος· κοῖλον κενὸν διάστημα, τὸ ἑκατέρωθεν ὑπὸ τὰς πλευρὰς κοίλωμα τοῦ σώματος.

ΟΜΙΛΙΑ ΔΕΚΑΤΗ ΕΝΑΤΗ

ΕΙΣ ΤΗΝ ΚΥΡΙΑΚΗΝ ΤΗΣ ΕΠΙΣΩΖΟΜΕΝΗΣ[1], πρὸς αὐτοὺς ποὺ ἦλθον ἐκ τῆς ἀγροτικῆς περιοχῆς· καὶ περὶ τοῦ νὰ μὴ ὁρκιζώμεθα.

1. Ἀπηλαύσατε κατὰ τὰς προηγουμένας ἡμέρας πολλὴν πνευματικὴν τροφὴν ἀπὸ τοὺς ἁγίους μάρτυρας· ἔχετε χορτάσει ἀπὸ τὴν πνευματικὴν ἑορτήν· ἐσκιρτήσατε τὰ καλὰ σκιρτήματα· εἴδατε πλευρὰς ἀνοιγμένας καὶ λαγόνας[2] κατακομένας, αἷμα νὰ ρέῃ ἀπὸ παντοῦ, ἀναρίθμητα εἴδη βασανιστηρίων· εἴδατε ἀνθρωπίνην φύσιν νὰ δεικνύῃ ἰδιότητας πέραν τῆς φύσεως καὶ στεφάνια νὰ πλέκωνται ἀπὸ αἷμα· ἐχορεύσατε καλὸν χορὸν διότι ὁ καλὸς αὐτὸς στρατηγὸς σᾶς περιέφερεν εἰς ὅλα τὰ μέρη τῆς πόλεως· ἐμένα ὅμως ἡ ἀσθένεια μὲ ἐξηνάγκαζε νὰ παραμένω εἰς τὸ σπίτι παρὰ τὴν θέλησίν μου. Ὅμως ἂν καὶ δὲν ἐλάβομεν μέρος εἰς τὴν ἑορτήν, ἐλάβομεν μέρος εἰς τὴν χαρὰν τῆς ἑορτῆς· ἂν καὶ δὲν ἀπηλαύσαμεν τὴν πανήγυριν, ὅμως συμμετείχομεν εἰς τὴν ἰδικήν σας εὐφροσύνην. Διότι εἶναι τόσον μεγάλη ἡ δύναμις τῆς ἀγάπης· ἐκείνους ποὺ δὲν ἀπολαμβάνουν, τοὺς κάμει νὰ χαίρουν ὅπως ἐκεῖνοι ποὺ ἀπολαμβάνουν, διότι τοὺς πείθει νὰ θεωροῦν ὡς κοινὰ τὰ ἀγαθὰ τῶν συνανθρώπων των. Διὰ τοῦτο ἂν καὶ ἤμουν εἰς τὴν οἰκίαν μου, ἔχαιρον μαζὶ μὲ σᾶς, καὶ ἐνῷ ἡ ἀσθένειά μου δὲν ἐθεραπεύθη πλήρως, ἐσηκώθην καὶ ἔτρεξα κοντά σας, διὰ νὰ ἀντικρύσω τὰ ἀγαπητά σας πρόσωπα καὶ νὰ συμμετάσχω εἰς τὴν παροῦσαν ἑορτήν.

Διότι θεωρῶ τὴν παροῦσαν ἡμέραν ὡς πολὺ μεγάλην ἑορτήν, λόγῳ τῆς παρουσίας τῶν ἀδελφῶν μας, οἱ ὁποῖοι διὰ τῆς παρουσίας των σήμερον ἐκαλλώπισαν τὴν πόλιν μας, καὶ ἐστόλισαν τὴν ἐκκλησίαν. Λαὸς ποὺ διαφέρει μὲν ὡς

τὴν πίστιν ἡμῖν συμφωνῶν, λαὸς ἀπραγμοσύνῃ συζῶν, βίον σώφρονα καὶ σεμνὸν ἔχων. Παρὰ γὰρ τοῖς ἀνδράσι τούτοις οὐκ ἔστι θέατρα παρανομίας, οὐδὲ ἵππων ἅμιλλαι, οὐδὲ πόρναι γυναῖκες, οὐδὲ ἡ λοιπὴ τῆς πόλεως ταραχή· ἀλλ' ἅπαν μὲν ἀσελγείας εἶδος ἐξελήλαται, πολλὴ δὲ πανταχοῦ ἀνθεῖ ἡ σωφροσύνη. Τὸ δὲ αἴτιον, ἐπίπονος αὐτοῖς ἐστιν ὁ βίος, καὶ διδασκαλεῖον τῆς ἀρετῆς καὶ τῆς σωφροσύνης ἔχουσι τὴν τῆς γῆς ἐργασίαν, καὶ τέχνην μετιόντες ἣν πρὸ τῶν ἄλλων ἁπασῶν ὁ Θεὸς εἰς τὸν βίον εἰσήγαγε τὸν ἡμέτερον. Καὶ γὰρ πρὸ τῆς ἁμαρτίας ὁ Ἀδάμ, ἡνίκα πολλῆς ἀπήλαυε παρρησίας, γεωργίαν τινὰ ἐπετάγη μετιέναι, οὐκ ἐπίπονον μέν, οὐδὲ ταλαιπωρίαν ἔχουσαν, πολλὴν δὲ αὐτῷ παρέχουσαν τὴν φιλοσοφίαν. «Ἔθηκε γὰρ αὐτόν», φησίν, «ἐργάζεσθαι καὶ φυλάσσειν τὸν παράδεισον».

Τούτων ἕκαστον ἴδοις ἄν, νῦν μὲν ζευγνύντα βόας ἀροτῆρας καὶ ἄροτρον ἕλκοντα, καὶ βαθεῖαν αὔλακα κατατέμνοντα, νῦν δὲ ἐπὶ τὸ ἱερὸν ἀναβαίνοντα βῆμα, καὶ τὰς ψυχὰς ἀροτριῶντα τῶν ὑπηκόων, νῦν μὲν δρεπάνῃ τὰς ἀκάνθας ἐκτέμνοντα τῆς γῆς, νῦν δὲ λόγῳ τὰς ἁμαρτίας ἐκκαθαίροντα τῶν ψυχῶν. Οὐ γὰρ ἀπαισχύνονται τὴν ἐργασίαν, καθάπερ οἱ τὴν πόλιν ἡμῖν οἰκοῦντες, ἀλλ' ἐπαισχύνονται τὴν ἀργίαν, μαθόντες ὅτι πᾶσαν ἐκείνη τὴν κακίαν ἐδίδαξε, καὶ διδάσκαλος πονηρίας ἐγένετο ἐξ ἀρχῆς τοῖς ἀγαπῶσιν αὐτήν.

Οὗτοι μάλιστά εἰσιν οἱ τὴν ἀρίστην ἡμῖν φιλοσοφοῦντες φιλοσοφίαν, οὐκ ἀπὸ τοῦ σχήματος, ἀλλ' ἀπὸ τῆς γνώμης τὴν ἀρετὴν ἐνδεικνύμενοι τὴν ἑαυτῶν. Ὡς οἵ γε τῶν ἔξωθεν φιλόσοφοι τῶν ἐν τῇ σκηνῇ καὶ ταῖς τῶν μίμων παιδιαῖς οὐδὲν ἄμεινον διάκεινται, τοῦ τρίβωνος, καὶ τοῦ πώγωνος, καὶ τῆς στολῆς οὐδὲν πλέον ἔχοντες ἐπιδείξασθαι.

---

3. Γεν. 2, 15.

πρὸς τὴν γλῶσσαν, συμφωνεῖ ὅμως ὡς πρὸς τὴν πίστιν, λαὸς ποὺ ζῇ χωρὶς πολυπραγμοσύνην καὶ ἔχει βίον σώφρονα καὶ σεμνόν. Διότι εἰς τοὺς ἀνθρώπους αὐτοὺς δὲν ὑπάρχουν θέατρα παρανομίας, οὔτε ἱπποδρόμια, οὔτε πόρναι γυναῖκες, οὔτε ἡ ἄλλη ταραχὴ τῆς πόλεως· ἀλλὰ κάθε εἶδος ἀσελγείας ἔχει ἀπομακρυνθῆ, καὶ παντοῦ ἀνθεῖ εἰς αὐτοὺς ἡ σωφροσύνη. Ἡ δὲ αἰτία τοῦ πράγματος αὐτοῦ εἶναι ἡ κουραστική των ζωή, καὶ ὡς σχολεῖον τῆς ἀρετῆς καὶ τῆς σωφροσύνης ἔχουν τὴν καλλιέργειαν τῆς γῆς, καὶ μετέρχονται ἐκείνην τὴν τέχνην, τὴν ὁποίαν πρὸ τῶν ἄλλων τεχνῶν εἰσήγαγεν ὁ Θεὸς εἰς τὴν ζωήν μας. Διότι καὶ ὁ Ἀδὰμ πρὸ τῆς ἁμαρτίας, ὅταν εἶχε πολλὴν παρρησίαν πρὸς τὸν Θεόν, κάποιο εἶδος γεωργικῆς ἐργασίας διετάχθη νὰ κάμῃ, ὄχι βέβαια κουραστικήν, οὔτε νὰ τοῦ προκαλῇ ταλαιπωρίαν, ὅμως τοῦ παρεῖχε πολλὴν μεγάλην ἀφορμὴν διὰ φιλοσοφίαν. «Ἔβαλε», λέγει, «αὐτὸν νὰ ἐργάζεται καὶ νὰ φυλάττῃ τὸν παράδεισον»[3].

Ἠμπορεῖς νὰ ἰδῇς κάθε ἕνα ἀπὸ αὐτούς, ἄλλοτε μὲν νὰ βάζῃ εἰς τὸν ζυγὸν τοῦ ἀρότρου βόδια ἀροτριῶντα καὶ νὰ σύρουν ἄροτρον καὶ νὰ κάμουν βαθὺ αὐλάκι, ἄλλοτε δὲ νὰ ἀνεβαίνῃ εἰς τὸ ἱερὸν βῆμα, καὶ νὰ ὀργώνῃ τὰς ψυχὰς τῶν ἀκροατῶν, ἄλλοτε δὲ μὲ τὸ δρεπάνι νὰ κόβῃ τὰ ἀγκάθια τῆς γῆς, καὶ ἄλλοτε μὲ τὸν θεῖον λόγον νὰ καθαρίζῃ τὰς ψυχὰς ἀπὸ τὴν ἁμαρτίαν. Διότι δὲν ἐντρέπονται τὴν ἐργασίαν, ὅπως αὐτοὶ ποὺ κατοικοῦν εἰς τὴν πόλιν μας, ἀλλὰ ἐντρέπονται τὴν ἀργίαν, ἐπειδὴ γνωρίζουν ὅτι αὐτὴ ἐδίδαξε ὅλην τὴν κακίαν, καὶ ἔγινεν ἐξ ἀρχῆς διδάσκαλος εἰς ἐκείνους ποὺ τὴν ἀγαποῦν.

Αὐτοὶ εἶναι κυρίως ἐκεῖνοι ποὺ μᾶς διδάσκουν τὴν ἀρίστην φιλοσοφίαν, καὶ ὄχι μὲ ἐξωτερικὰς ἐπιδείξεις, ἀλλὰ ἐμπράκτως καὶ μὲ ἐσωτερικὰς πεποιθήσεις δείχνουν τὴν ἀρετήν των. Λέγω τοῦτο, διότι βεβαίως οἱ φιλόσοφοι τῶν ἐθνικῶν δὲν εἶναι καλύτεροι ἀπὸ τοὺς ἠθοποιοὺς καὶ γελωτοποιούς, ἐπειδὴ ἐκτὸς ἀπὸ τὸν τρίβωνα καὶ τὸ γένειον καὶ

Οὗτοι δὲ τοὐναντίον ἅπαν, βακτηρίᾳ, καὶ πώγωνι, καὶ τῇ ἄλλῃ σκευῇ πολλὰ χαίρειν εἰπόντες, τὴν ψυχὴν ἑαυτῶν κατεκόσμησαν τοῖς τῆς ἀληθοῦς φιλοσοφίας δόγμασιν, οὐχὶ τοῖς δόγμασιν δὲ μόνοις, ἀλλὰ καὶ τοῖς ἔργοις αὐτοῖς. Κἂν ἕρῃ τινὰ τούτων τῶν ἐν ἀγροικίᾳ ζώντων, καὶ ἐν σκαπάνῃ, καὶ ἐν ἀρότρῳ δαπανηθέντων, ὑπὲρ τῶν δογμάτων, ὑπὲρ ὧν μυρία περιελθόντες οἱ τῶν ἔξωθεν φιλόσοφοι, καὶ πολλοὺς ἀναλώσαντες λόγους οὐδὲν ἠδυνήθησαν ὑγιὲς εἰπεῖν, μετὰ ἀκριβείας ἀποκρίνεταί σοι πάντα ἐκ πολλῆς τῆς σοφίας.

Καὶ οὐ τοῦτό ἐστι τὸ θαυμαστὸν μόνον, ἀλλ' ὅτι καὶ διὰ τῶν ἔργων βεβαιοῦνται τὴν διὰ τῶν δογμάτων πίστιν. Καὶ γὰρ ὅτι ψυχὴν ἀθάνατον ἔχομεν, καὶ μέλλομεν τῶν ἐνταῦθα πεπραγμένων εὐθύνας διδόναι, καὶ βήματι παρίστασθαι φοβερῷ, καὶ τὴν διάνοιαν ἔπεισαν, καὶ τὸν βίον ἅπαντα πρὸς ταύτας κατεστήσαντο τὰς ἐλπίδας, καὶ πάσης ἀνώτεροι βιωτικῆς ἐγένοντο φαντασίας, παιδευθέντες παρὰ τῆς θείας Γραφῆς, ὅτι «Ματαιότης ματαιοτήτων, τὰ πάντα ματαιότης», καὶ πρὸς οὐδὲν τῶν δοκούντων εἶναι λαμπρῶν κεχήνασιν. Οὗτοι καὶ περὶ Θεοῦ φιλοσοφεῖν ἴσασι ταῦτα, ἅπερ ἐπέταξεν ὁ Θεός· κἂν ἕνα αὐτῶν λαβὼν φιλόσοφόν τινα τῶν ἔξωθεν ἀγάγῃς εἰς μέσον νῦν· μᾶλλον δὲ νῦν μὲν οὐδένα ἐστὶν εὑρεῖν· ἂν δέ τινα τούτων λαβών, καὶ τὰ βιβλία τῶν πάλαι παρ' αὐτοῖς φιλοσοφησάντων ἀναπτύξας ἐπέλθῃς, καὶ τί μὲν οὗτοι ἀποκρίνονται νῦν, τί δὲ ἐκεῖνοι τότε ἐφιλοσόφησαν παράλληλα θεὶς ἐξετάσῃς, ὄψει πόση μὲν ἡ τούτων σοφία, πόση δὲ ἡ ἐκείνων ἄνοια.

Ὅταν γὰρ οἱ μὲν αὐτῶν μηδὲ προνοίας λέγωσιν ἀπολαύειν τὰ ὄντα, μηδὲ ὑπὸ Θεοῦ γεγενῆσθαι τὴν κτίσιν, μήτε τὴν ἀρετὴν αὐτὴν ἑαυτῇ αὐτάρκη εἶναι, ἀλλὰ δεῖσθαι χρη-

4. Ἐκκλ. 1, 2.

τὴν στολήν, τίποτε ἄλλο δὲν ἔχουν νὰ ἐπιδείξουν. Αὐτοὶ ὅμως ἐντελῶς τὸ ἀντίθετον κάμνουν, ἀφοῦ ἄφησαν κατὰ μέρος τὴν βακτηρίαν καὶ τὸ γένειον καὶ τὴν ὑπόλοιπον στολήν, τὴν ψυχήν των ἐστόλισαν μὲ τὴν διδασκαλίαν τὴν ἀληθινήν, καὶ ὄχι μόνον μὲ τὰς διδασκαλίας, ἀλλὰ καὶ μὲ τὰ ἔργα αὐτῶν. Καὶ ἐὰν ἐρωτήσῃ κανεὶς κάποιον ἀπὸ αὐτοὺς ποὺ ζοῦν εἰς τὴν ὕπαιθρον καὶ ποὺ ἀπὸ τὴν σκαπάνην καὶ τὸ ἄροτρον ἐξηντλήθησαν σωματικῶς, περὶ δογματικῶν ζητημάτων, διὰ τὰ ὁποῖα ἀναριθμήτους τόπους περιῆλθον οἱ ἐθνικοὶ φιλόσοφοι καὶ ἀφιέρωσαν πολλοὺς λόγους καὶ δὲν ἠμπόρεσαν τίποτε τὸ ὀρθὸν νὰ εἴπουν, μὲ μεγάλην ἀκρίβειαν καὶ πολλὴν σοφίαν θὰ σοῦ ἀπαντήσῃ εἰς ὅλα.

Καὶ δὲν εἶναι τοῦτο μόνον τὸ ἀξιοθαύμαστον, ἀλλὰ καὶ τὸ ὅτι μὲ τὰ ἔργα των ἐπιβεβαιώνουν τὴν πίστιν των περὶ τῶν δογμάτων. Διότι καὶ τὸ ὅτι ἔχομεν ψυχὴν ἀθάνατον, καὶ διὰ τὸ ὅτι πρόκειται νὰ ἀποδώσωμεν λόγον διὰ τὰς ἐδῶ πράξεις μας, καὶ τὴν διάνοιάν των περὶ τούτων ἔπεισαν, καὶ τὸν βίον των ὅλον πρὸς τὰς ἀληθείας ταύτας ποὺ ἐλπίζομεν συνεμόρφωσαν, καὶ ἀπὸ κάθε κοσμικὴν φαντασίαν ἔγιναν ἀνώτεροι, διότι ἐδιδάχθησαν ἀπὸ τὴν ἁγίαν Γραφὴν ὅτι «Ματαιότης ματαιοτήτων τὰ πάντα ματαιότης»[4] καὶ διὰ τοῦτο εἰς κανένα ἀπὸ αὐτὰ ποὺ φαίνονται ὅτι εἶναι λαμπρὰ δὲν εἶναι προσηλωμένοι. Αὐτοὶ καὶ περὶ τοῦ Θεοῦ γνωρίζουν νὰ φιλοσοφοῦν αὐτὰ τὰ ὁποῖα διέταξεν ὁ Θεός· καὶ ἂν πάρῃς ἕνα φιλόσοφον ἀπὸ τοὺς ἐθνικοὺς καὶ τὸν φέρῃς εἰς τὸ μέσον τώρα, μᾶλλον δὲ κανένα δὲν μπορεῖς νὰ εὕρῃς τώρα, ἂν λοιπὸν πάρῃς κάποιον ἀπὸ αὐτούς, καὶ τὰ βιβλία τῶν παλαιῶν φιλοσόφων διαβάσῃς καὶ ἀναπτύξῃς, καὶ ἀντιπαραβάλῃς τί λέγουν τώρα αὐτοί, καὶ τί ἐκεῖνοι τότε ἐφιλοσόφησαν, θὰ ἰδῇς πόση εἶναι ἡ σοφία τούτων καὶ πόση ἡ ἀνοησία ἐκείνων.

Διότι ὅταν ἄλλοι ἀπὸ αὐτοὺς λέγουν ὅτι οὐδεμιᾶς προνοίας ἀπολαμβάνουν τὰ ὄντα, καὶ ὅτι οὔτε ἐδημιουργήθη ἡ κτίσις τοῦ Θεοῦ, οὔτε ὅτι ἡ ἀρετὴ αὐτὴ καθ' ἑαυτὴν εἶναι

μάτων, καὶ εὐγενείας, καὶ τῆς ἔξωθεν περιφανείας, καὶ ἕτερα πολλῷ τούτων καταγελαστότερα· οὗτοι δὲ καὶ περὶ προνοίας καὶ περὶ δικαστηρίων τῶν μετὰ ταῦτα, καὶ περὶ τῆς τοῦ Θεοῦ δημιουργίας τῆς ἐξ οὐκ ὄντων πάντα παραγαγούσης, καὶ περὶ τῶν ἄλλων ἁπάντων φιλοσοφῶσι τῆς ἔξωθεν ὅλως μὴ μετασχόντες παιδεύσεως· τίς οὐκ ἂν αὐτόθεν μάθοι τὴν τοῦ Χριστοῦ δύναμιν, ἢ τοὺς ἀγραμμάτους καὶ ἰδιώτας τῶν μέγα ἐπὶ σοφίᾳ κομπαζόντων τοσούτῳ σοφωτέρους ἀπέδειξεν, ὅσῳ τῶν μικρῶν παιδίων τοὺς ἔμφρονας ἄνδρας ὑπερέχοντάς ἐστιν ἰδεῖν; Τί γὰρ αὐτοῖς βλάβος ἀπὸ τῆς κατὰ τὸν λόγον ἰδιωτείας γένοιτ᾽ ἄν, ὅταν τὰ νοήματα αὐτοῖς πολλῆς γέμῃ σοφίας; Τί δὲ ὄφελος τοῖς ἔξωθεν ἀπὸ τῶν λόγων διδασκαλίας, ὅταν ἐρήμη νοημάτων ἡ διάνοια ᾖ; Ὥσπερ ἂν εἴ τις μάχαιραν ἔχοι τὴν μὲν λαβὴν ἔχουσαν ἀργυρᾶν, τὸ δὲ σιδήριον μολύβδου παντὸς ἀσθενέστερον. Καὶ γὰρ καὶ τούτοις ἡ μὲν γλῶττα διὰ ῥημάτων καὶ ὀνομάτων ἐστὶ κεκαλλωπισμένη, ἡ διάνοια δὲ πολλῆς γέμει τῆς ἀσθενείας, καὶ πρὸς ἅπαντα αὐτοῖς ἐστιν ἄχρηστος· ἀλλ᾽ οὐχ ἡ τῶν φιλοσόφων τούτων, ἀλλὰ τοὐναντίον ἅπαν.

Πολλῆς αὐτοῖς ἡ διάνοια γέμει φιλοσοφίας πνευματικῆς, καὶ ὁ βίος τὰ δόγματα μιμεῖται. Παρὰ τούτοις οὐκ εἰσί γυναῖκες θρυπτόμεναι, οὐδὲ ἱματίων καλλωπισμός, οὐδὲ ἐπιτρίμματα καὶ ὑπογραφαί, ἀλλὰ πᾶσα τοιαύτη διαφθορὰ τρόπων ἀπελήλαται, ὅθεν καὶ εὐκολώτερον τὸν ὑποτεταγμένον αὐτοῖς δῆμον εἰς σωφροσύνην ἄγουσι, καὶ τὸν τοῦ Παύλου νόμον, τὸν κελεύοντα σκεπάσματα ἔχειν καὶ διατροφάς, καὶ μηδὲν πλέον ἐπιζητεῖν, μετὰ πολλῆς φυλάττουσι τῆς ἀκριβείας. Παρὰ τούτοις οὐκ ἔστιν ἀλοιφὴ μύρων καταγοη-

5. Πρβλ. Α´ Τιμ. 6, 8.

αὐτάρκης, ἀλλὰ ὅτι ἔχει ἀνάγκην χρημάτων καὶ εὐγενείας καὶ ἐξωτερικῆς λαμπρότητος, καὶ πολλὰ ἄλλα περισσότερον γελοῖα ἀπὸ αὐτά· οὗτοι δὲ καὶ περὶ προνοίας καὶ περὶ μελλούσης κρίσεως καὶ περὶ τῆς δημιουργικῆς δυνάμεως, ἡ ὁποία ἐκ τοῦ μηδενὸς τὰ πάντα παρήγαγε καὶ περὶ ὅλων τῶν ἄλλων φιλοσοφοῦν, χωρὶς καθόλου νὰ ἔχουν λάβει ἐξωτερικὴν φιλοσοφικὴν μόρφωσιν· ποῖος λοιπὸν δὲν θὰ μάθῃ τὴν δύναμιν τοῦ Χριστοῦ, ἡ ὁποία τοὺς ἀγραμμάτους καὶ ἀμαθεῖς, ἀπέδειξεν σοφωτέρους, ἀπὸ ἐκείνους ποὺ ὑπερηφανεύονται πάρα πολὺ διὰ τὴν σοφίαν των, εἰς τόσον βαθμὸν ὅσον ὑπερέχουν οἱ φρόνιμοι ἄνδρες ἀπὸ τὰ μικρὰ παιδιά; Διότι ποία ζημία ἠμπορεῖ νὰ ὑπάρξῃ εἰς αὐτοὺς ἀπὸ τὸ ὅτι δὲν γνωρίζουν τὴν τέχνην τοῦ λόγου, ὅταν τὰ νοήματα αὐτῶν εἶναι γεμᾶτα ἀπὸ σοφίαν; Ποία δὲ ὠφέλεια εἰς τοὺς ἐθνικοὺς ἀπὸ τὴν διδασκαλίαν τῶν λόγων, ὅταν ἡ διάνοιά των εἶναι ἄδεια ἀπὸ νοήματα; Ὡσὰν νὰ ἔχῃ κανεὶς μάχαιραν, ἡ ὁποία νὰ ἔχῃ τὴν λαβὴν ἀργυρᾶν, τὸ δὲ σιδερένιο μέρος της νὰ εἶναι πιὸ ἀδύνατον ἀπὸ κάθε μόλυβδον. Καθ' ὅσον καὶ εἰς αὐτοὺς ἡ μὲν γλῶσσα των εἶναι στολισμένη μὲ ὡραῖα ὀνόματα καὶ λόγια, ἡ διάνοιά των ὅμως εἶναι γεμάτη ἀπὸ ἄχρηστα πράγματα καὶ ἀνώφελα· ὅμως δὲν συμβαίνει τὸ ἴδιον εἰς τοὺς φιλοσόφους αὐτούς, ἀλλὰ ἐντελῶς τὸ ἀντίθετον.

Ἡ διάνοιά των εἶναι πλήρης ἀπὸ πνευματικὴν σοφίαν, καὶ ὁ βίος των συμμορφώνεται μὲ τὰ δόγματα. Εἰς αὐτοὺς δὲν ὑπάρχουν γυναῖκες ποὺ ἐπιδεικνύονται ἄσεμνα, οὔτε ἐπίδειξις φορεμάτων, οὔτε διάφορα φκιασίδια, ἀλλὰ ὅλη αὐτὴ ἡ διαφθορὰ τοῦ ἤθους ἔχει διωχθῆ μακρυά, διὰ τοῦτο καὶ μὲ περισσοτέραν εὐκολίαν τὸν λαὸν ποὺ τοὺς ἐνεπιστεύθη ὁ Θεὸς τὸν ὁδηγοῦν εἰς σωφροσύνην, καὶ τὸν νόμον τοῦ Παύλου ποὺ διατάσσει νὰ ἀρκούμεθα εἰς τὰ σκεπάσματα καὶ τὰς διατροφάς μας, καὶ νὰ μὴ ἐπιζητοῦμεν τίποτε περισσότερον[5], τὸν τηροῦν μὲ μεγάλην ἀκρίβειαν. Εἰς αὐτοὺς δὲν ὑπάρχει ἀλοιφὴ ἀρωμάτων ποὺ ἠμπορεῖ νὰ παρασύρῃ τὴν

τεύουσα τὴν διάνοιαν, ἀλλ' ἡ γῆ βοτάνας ἐκφέρουσα παντὸς μυρεψοῦ σοφώτερον αὐτοῖς κατασκευάζει τὴν ποικίλην τῶν ἀνθῶν εὐωδίαν. Διὰ τοῦτο αὐτοῖς καὶ τὰ σώματα ὑγιείας ἀπολαύει καθαρᾶς μετὰ τῆς ψυχῆς, ἐπειδὴ πᾶσαν τρυφὴν ἀπήλασαν, καὶ τὰ πονηρὰ τῆς μέθης ἐξέβαλον ῥεύματα, καὶ τοσοῦτον ἐσθίουσιν, ὅσον ἀποζῆν.

Μὴ τοίνυν ἀπὸ τοῦ σχήματος αὐτῶν καταφρονῶμεν, ἀλλὰ τὴν διάνοιαν αὐτῶν θαυμάζωμεν. Τί γὰρ ὄφελος τῆς ἔξωθεν περιβολῆς, ὅταν ἡ ψυχὴ προσαίτου παντὸς ἀθλιώτερον ἐσταλμένη ᾖ; Τὸν ἄνδρα οὐκ ἀπὸ τῶν ἱματίων, μᾶλλον δὲ οὐδὲ ἀπὸ τοῦ σώματος, ἀλλ' ἀπὸ τῆς ψυχῆς ἐπαινεῖν χρή, καὶ θαυμάζειν. Ἀπόδυσον τούτων τὴν ψυχήν, καὶ ὄψει τὸ κάλλος αὐτῆς, καὶ τὸν πλοῦτον διὰ τῶν ῥημάτων, διὰ τῶν δογμάτων, διὰ τῆς ὅλης τῶν τρόπων καταστάσεως.

2. Αἰσχυνέσθωσαν τοίνυν οἱ Ἕλληνες, ἐγκαλυπτέσθωσαν καὶ καταδυέσθωσαν ἐπὶ τοῖς αὐτῶν φιλοσόφοις καὶ τῇ πάσης μωρίας ἀθλιωτέρᾳ αὐτῶν σοφίᾳ. Οἱ μὲν γὰρ παρ' αὐτοῖς φιλόσοφοι κατὰ τὸν καιρόν, ὃν ἔζων, ὀλίγους μόλις καὶ σφόδρα εὐαριθμήτους ἴσχυσαν τὰ αὐτῶν διδάξαι δόγματα, καὶ κινδύνου μικροῦ καταλαβόντος καὶ τούτους ἀπώλεσαν· οἱ δὲ τοῦ Χριστοῦ μαθηταί, οἱ ἁλιεῖς, καὶ τελῶναι, οἱ σκηνοποιοί, ἐν ὀλίγοις ἔτεσι τὴν οἰκουμένην ἅπασαν πρὸς τὴν ἀλήθειαν ἐπανήγαγον, καὶ μυρίων ἐξ ἐκείνου γινομένων κινδύνων οὐ μόνον οὐκ ἐσβέσθη τὸ κήρυγμα, ἀλλὰ καὶ ἀνθεῖ καὶ πρὸς τὸ μεῖζον ἐπιδίδωσι· καὶ φιλοσοφεῖν ἐδίδαξαν ἀνθρώπους ἰδιώτας καὶ γηπόνους καὶ θρέμμασιν ὁμιλοῦντας.

Οὗτοι μετὰ τῶν ἄλλων ἁπάντων καὶ τὴν πάντων τῶν ἀγαθῶν αἰτίαν ἀγάπην ἐρριζωμένην ἔχοντες, ἔσπευσαν πρὸς

διάνοιαν, ἀλλὰ ἡ γῆ ποὺ παράγει βότανα, καὶ ἀπὸ κάθε ἀρωματοποιὸν τεχνικώτερα κατασκευάζει τὴν ποικίλην εὐωδίαν τῶν ἀνθέων. Διὰ τοῦτο ἀπολαμβάνουν σωματικῆς καὶ ψυχικῆς ὑγείας, ἐπειδὴ ἔχουν διώξει μακρυὰ κάθε εἴδους πολυτέλειαν, καὶ ἐξεδίωξαν τὰ πονηρὰ ρεύματα τῆς μέθης, καὶ τόσον μόνον τρώγουν, ὅσον χρειάζεται διὰ νὰ ζοῦν.

Ἂς μὴ τοὺς περιφρονοῦμεν λοιπὸν ἀπὸ τὴν ἐξωτερικήν των ἐμφάνισιν, ἀλλὰ νὰ θαυμάζωμεν τὸν ψυχικόν των κόσμον. Διότι ποία ὠφέλεια ὑπάρχει ἀπὸ τὴν ἐξωτερικὴν περιβολήν, ὅταν ἡ ψυχὴ εἶναι ἐνδεδυμένη χειρότερα ἀπὸ κάθε ζητιᾶνον; Τὸν ἄνθρωπον δὲν πρέπει νὰ τὸν ἐπαινοῦμεν καὶ νὰ τὸν θαυμάζωμεν ἀπὸ τὰ ἐνδύματα, μᾶλλον δὲ οὔτε ἀπὸ τὸ σῶμα του, ἀλλὰ ἀπὸ τὴν ψυχήν του. Ἀπογύμνωσε τὴν ψυχὴν αὐτῶν, καὶ τότε θὰ ἰδῇς τὸ κάλλος της, καὶ τὸν πλοῦτον διὰ τῶν λόγων, διὰ τῶν διδασκαλιῶν, διὰ τῆς ὅλης καταστάσεως τῶν τρόπων αὐτῶν.

2. Ἂς ἐντρέπωνται λοιπὸν οἱ ἐθνικοί, ἂς καλύπτουν τὸ πρόσωπον ἀπὸ ἐντροπὴν καὶ ἂς κρύπτωνται διὰ τοὺς φιλοσόφους των, καὶ διὰ τὴν σοφίαν των ποὺ εἶναι ἀθλιωτέρα ἀπὸ κάθε μωρίαν. Διότι οἱ μὲν φιλόσοφοι αὐτῶν κατὰ τὸν καιρὸν ποὺ ἐζοῦσαν, μόλις εἰς ὀλίγους, καὶ μάλιστα πάρα πολὺ ὀλίγους, ἠμπόρεσαν νὰ διδάξουν τὴν διδασκαλίαν των καὶ πρὸ τοῦ ἐλαχίστου κινδύνου καὶ αὐτοὺς τοὺς ἔχασαν· οἱ μαθηταὶ ὅμως τοῦ Χριστοῦ, οἱ ἁλιεῖς καὶ οἱ τελῶναι, οἱ σκηνοποιοί, μέσα εἰς ὀλίγα ἔτη ὁλόκληρον τὴν οἰκουμένην τὴν ἐπανέφεραν εἰς τὴν ἀλήθειαν, καὶ ἐνῷ ἐκ τῆς διδασκαλίας τοῦ Χριστοῦ ἐδημιουργοῦντο ἀναρίθμητοι κίνδυνοι, ὄχι μόνον δὲν ἔσβησε τὸ κήρυγμα, ἀλλὰ ἀπεναντίας καὶ ἀκμάζει καὶ σημειώνει μεγαλυτέραν πρόοδον· καὶ ἐδίδαξαν εἰς ἀνθρώπους ἁπλοῦς καὶ γεωργοὺς καὶ κτηνοτρόφους νὰ σκέπτωνται καὶ νὰ ζοῦν χριστιανικά.

Αὐτοὶ μὲ ὅλους τοὺς ἄλλους μαζὶ μὲ ὅλας τὰς ἄλλας ἀρετάς, ἔχοντες ριζωμένην μέσα των καὶ τὴν αἰτίαν ὅλων τῶν ἀγαθῶν, τὴν ἀγάπην, ἦλθαν πρὸς ἡμᾶς, διανύσαντες

ἡμᾶς τοσαύτην δραμόντες ἐλθεῖν ὁδόν, καὶ τὰ οἰκεῖα περιπτύξασθαι μέλη. Φέρε οὖν καὶ ἡμεῖς ἀντὶ τῶν δώρων τούτων, τῆς ἀγάπης λέγω καὶ τῆς διαθέσεως, ἐφόδια δόντες αὐτοῖς, οὕτως αὐτοὺς ἀποπέμψωμεν, καὶ τὸν περὶ τῶν ὅρκων πάλιν κινήσωμεν λόγον, ὥστε πρόρριζον ἐκ τῆς διανοίας ἁπάντων ἀνασπασθῆναι τὴν πονηρὰν ταύτην συνήθειαν.

Βούλομαι δὲ πρότερον μικρὰ τῶν πρῴην ἡμῖν εἰρημένων ἀναμνῆσαι τήμερον. Ἐπειδὴ γὰρ τῆς Περσίδος ἀπαλλαγέντες οἱ Ἰουδαῖοι, καὶ τῆς τυραννίδος ἐλευθερωθέντες ἐκείνης πρὸς τὴν οἰκείαν ἐπανῆλθον πατρίδα, «Εἶδον δρέπανον», φησί, «πετόμενον μήκους πηχῶν εἴκοσι, καὶ πλάτους πηχῶν δέκα»· καὶ τοῦ προφήτου παιδεύοντος αὐτοὺς ἤκουον, ὅτι «Αὕτη ἐστὶν ἡ ἀρὰ ἡ ἐκπορευομένη ἐπὶ πρόσωπον τῆς γῆς, καὶ εἰσερχομένη εἰς τὸν οἶκον τοῦ ὀμνύοντος ἐπὶ ψεύδει, καὶ καταλύσει εἰς τὸ μέσον, καὶ τὰ ξύλα, καὶ τοὺς λίθους καθελεῖ πάντας». Καὶ τούτων ἀναγνωσθέντων τότε, ἐζητοῦμεν τίνος ἕνεκεν οὐχὶ τὸν ὀμόσαντα μόνον, ἀλλὰ καὶ τὴν οἰκίαν αὐτοῦ καταλύει· καὶ ταύτην ἐλέγομεν αἰτίαν εἶναι, ὅτι τῶν χαλεπωτάτων ἁμαρτημάτων τὰς τιμωρίας βούλεται μένειν διηνεκεῖς ὁ Θεός, ὥστε τοὺς μετὰ ταῦτα σωφρονίζεσθαι πάντας. Ἐπεὶ οὖν τὸν ἐπίορκον ἀποθανόντα ἀνάγκη ταφῆναι, καὶ τοῖς κόλποις παραδοθῆναι τῆς γῆς, ὥστε μὴ τῷ σώματι τὴν πονηρίαν αὐτοῦ συνταφῆναι, τὴν οἰκίαν ἐποίησε χῶμα, ὑπὲρ τοῦ τοὺς παριόντας ἅπαντας ὁρῶντας αὐτήν, καὶ τὴν αἰτίαν μανθάνοντας τῆς κατασκαφῆς φυγεῖν τὴν τῆς ἁμαρτίας μίμησιν.

Τοῦτο καὶ ἐπὶ Σοδόμων ἐγένετο· ἐπειδὴ γὰρ ἐξεκαύθησαν ἐν τῇ ὀρέξει αὐτῶν εἰς ἀλλήλους, ἐξεκαύθη καὶ τῆς γῆς ἡ φύσις ὑπὸ τοῦ κατενεχθέντος ἄνωθεν πυρός. Ἐβούλετο γὰρ καὶ ταύτης τῆς ἁμαρτίας τὴν τιμωρίαν μένειν διηνεκῆ. Καὶ σκόπει τοῦ Θεοῦ τὴν φιλανθρωπίαν· οὐχὶ τοὺς

6. Ζαχ. 5, 1-4.
7. Πρβλ. Γεν. 19 ἑ.

τόσον δρόμον, διὰ νὰ ἐναγκαλισθοῦν τὰ μέλη των, δηλαδὴ τοὺς πνευματικούς των ἀδελφούς. Ἐμπρὸς λοιπὸν καὶ ἡμεῖς, ἀντὶ τῶν δώρων τούτων, δηλαδὴ τῆς ἀγάπης των καὶ τῆς καλῆς διαθέσεώς των, ἂς τοὺς δώσωμεν ἐφόδια καὶ ἔτσι ἂς τοὺς στείλωμεν ὀπίσω, καὶ περὶ τῶν ὅρκων πάλιν ἂς ὁμιλήσωμεν, ὥστε τελείως νὰ ἐκριζώσωμεν ἀπὸ τὴν διάνοιαν ὅλων μας τὴν πονηρὰν αὐτὴν συνήθειαν.

Θέλω δὲ προηγουμένως ὀλίγα ἀπὸ ἐκεῖνα ποὺ πρὶν σᾶς εἶπα νὰ σᾶς ὑπενθυμίσω σήμερον. Ὅταν δηλαδὴ ἀπηλλάγησαν ἀπὸ τὴν περσικὴν κυριαρχίαν οἱ Ἰουδαῖοι, καὶ ἐλευθερώθησαν ἀπὸ ἐκείνην τὴν τυραννίαν καὶ ἐπέστρεψαν εἰς τὴν πατρίδα των «εἶδον», λέγει, «δρέπανον ποὺ ἐπετοῦσε, μήκους εἴκοσι πήχεων καὶ πλάτους δέκα»· καὶ τὸν προφήτην ἤκουσαν νὰ τοὺς διδάσκῃ καὶ νὰ τοὺς λέγῃ ὅτι «Αὐτὴ εἶναι ἡ κατάρα ποὺ ἔρχεται ἐπάνω εἰς τὸ πρόσωπον τῆς γῆς, καὶ εἰσέρχεται εἰς τὸ σπίτι τοῦ ἐπιόρκου, καὶ θὰ μείνῃ εἰς τὸ μέσον αὐτοῦ, καὶ τὰ ξύλα καὶ τὰς πέτρας, ὅλα θὰ τὰ κρημνίσῃ»[6]. Καὶ ἀφοῦ ἀνεγνώσθησαν αὐτὰ τότε, ἐζητούσαμεν νὰ μάθωμεν διὰ ποῖον λόγον ὄχι μόνον ἐκεῖνον ποὺ ὁρκίζεται, ἀλλὰ καὶ ὁλόκληρον τὴν οἰκίαν του καταστρέφει· καὶ ἐλέγομεν ὅτι ἡ αἰτία εἶναι τὸ ὅτι ὁ Θεὸς θέλει νὰ μένουν φανεραὶ συνεχῶς αἱ τιμωρίαι τῶν πολὺ μεγάλων ἁμαρτημάτων, ὥστε νὰ σωφρονίζωνται ὅλοι οἱ μετέπειτα ἄνθρωποι. Ἐπειδὴ λοιπὸν ὁ ἐπίορκος ἀφοῦ ἀποθάνῃ κατ' ἀνάγκην θὰ ταφῇ καὶ θὰ παραδοθῇ εἰς τοὺς κόλπους τῆς γῆς, διὰ νὰ μὴ ταφῇ μαζὶ μὲ τὸ σῶμα του καὶ ἡ κακία του, τὴν οἰκίαν του ἔκαμεν ὁ Θεὸς χῶμα, ὥστε ὅλοι ὅσοι θὰ περνοῦν ἀπὸ ἐκεῖ νὰ βλέπουν αὐτήν, καὶ ἀφοῦ μάθουν τὴν αἰτίαν τῆς καταστροφῆς, νὰ ἀποφύγουν τὴν μίμησιν τῆς ἁμαρτίας.

Τοῦτο ἔγινε καὶ εἰς τὰ Σόδομα· ἐπειδὴ δηλαδὴ ἐκαίοντο ἀπὸ τὴν ἐπιθυμίαν τῆς παρὰ φύσιν ἁμαρτίας μεταξύ των, ἐκάη καὶ ἡ φύσις τῆς γῆς ἀπὸ τὴν φωτιὰν ποὺ ἔπεσεν ἀπὸ τὸν οὐρανόν»[7]. Διότι ἤθελε καὶ τῆς ἁμαρτίας αὐτῆς ἡ τιμωρία νὰ παραμένῃ συνεχῶς. Καὶ πρόσεξε νὰ ἴδῃς τὴν φιλαν-

ἁμαρτάνοντας αὐτοὺς ἐποίησε διηνεκῶς καίεσθαι μέχρι τῆς παρούσης ἡμέρας, ἀλλ' ἐκείνους μὲν ἅπαξ ἐμπρησθέντας ἀπέκρυψε, τὸ δὲ πρόσωπον τῆς γῆς κατακαύσας, εἰς τὸ μέσον ἅπασι προὔθηκε τοῖς μετὰ ταῦτα βουλομένοις ὁρᾶν, καὶ νῦν φωνῆς ἁπάσης λαμπρότερον πάσαις ταῖς μετὰ ταῦτα παραινεῖ γενεαῖς ἡ τῆς γῆς ὄψις, μονονουχὶ βοῶσα καὶ λέγουσα μὴ τολμήσητε τὰ Σοδόμων, ἵνα μὴ πάθητε τὰ Σοδόμων. Οὐδὲ γὰρ οὕτω λόγος καθικέσθαι διανοίας εἴωθεν, ὡς ὄψις φοβερὰ καὶ τὰ ἴχνη τῆς συμφορᾶς φέρουσα διὰ παντὸς τοῦ χρόνου.

Καὶ μαρτυροῦσιν οἱ τοῖς χωρίοις ἐκείνοις παραγενόμενοι, οἳ πολλάκις τῆς Γραφῆς ὑπὲρ τούτων διαλεγομένης ἀκούοντες, οὐ σφόδρα ἔδεισαν· ἐπειδὴ δὲ ἦλθον, καὶ τῆς χώρας ἐπέβησαν, καὶ τὴν ὄψιν αὐτῆς ἠφανισμένην εἶδον ἅπασαν, καὶ τὸν ἐμπρησμὸν ἐθεάσαντο, καὶ γῆν μὲν οὐδαμοῦ φαινομένην, κόνιν δὲ πάντα καὶ τέφραν, καταπλαγέντες, καὶ πολλὴν ἀπὸ τῆς θεωρίας ἐκείνης δεξάμενοι διδασκαλίαν σωφροσύνης, οὕτως ἀπῆλθον. Καὶ γὰρ αὐτὸς ὁ τῆς κολάσεως τρόπος τῆς ἁμαρτίας τὸν τρόπον μεμίμηται. Καθάπερ γὰρ ἐκεῖνοι μίξιν ἐπεισήγαγον ἄγονον, οὐκ εἰς παιδοποιίαν τελευτῶσαν, οὕτω δὴ καὶ ὁ Θεὸς τιμωρίαν ἐπήγαγεν, ἣ τὴν γαστέρα τῆς γῆς ἐποίησεν ἄγονον, καθάπαξ καὶ καρπῶν ἔρημον ἁπάντων. Διὰ τοῦτο καὶ τῶν ὀμνυόντων τὰς οἰκίας καθαιρεῖν ἠπείλησεν, ἵνα ἑτέρους ταῖς ἐκείνων τιμωρίαις σωφρονεστέρους ποιήσῃ.

3. Ἐγὼ δὲ δείκνυμι σήμερον οὐχὶ μίαν, καὶ δύο, καὶ τρεῖς καθαιρεθείσας οἰκίας ἀπὸ τῶν ὅρκων, ἀλλὰ πόλιν ὁλόκληρον, καὶ δῆμον θεοφιλῆ, καὶ ἔθνος πολλῆς ἀπολαῦσαν προνοίας ἀεί, καὶ φυλὴν πολλοὺς διαφυγοῦσαν κινδύνους. Καὶ γὰρ Ἰερουσαλήμ, ἡ πόλις τοῦ Θεοῦ, ἡ τὴν κιβω-

θρωπίαν τοῦ Θεοῦ· δὲν ἔκαμε τοὺς ἁμαρτάνοντας νὰ καίωνται μέχρι σήμερον, ἀλλὰ ἐκείνους μὲν τοὺς ἔκρυψεν εἰς τὴν γῆν, ἀφοῦ μίαν φορὰν ἐκάησαν, τὴν δὲ ἐπιφάνειαν τῆς γῆς, ἀφοῦ κατέκαυσε, τὴν ἔθεσεν εἰς κοινὴν θέαν εἰς ὅλους τοὺς μεταγενεστέρους ποὺ θέλουν νὰ βλέπουν, καὶ τώρα ἀπὸ κάθε φωνὴν καθαρώτερα ἐξακολουθεῖ νὰ συμβουλεύῃ ὅλας τὰς μετέπειτα γενεὰς ἡ ὄψις τῆς γῆς, βοῶσα καὶ λέγουσα σχεδὸν τὰ ἑξῆς: Μὴ τολμήσετε νὰ κάμετε ὅ,τι ἔκαμαν οἱ κάτοικοι τῶν Σοδόμων, διὰ νὰ μὴ πάθετε ὅ,τι ἔπαθαν τὰ Σόδομα. Διότι δὲν κάμνει τόσην ἐντύπωσιν εἰς τὴν ψυχὴν ὁ λόγος συνήθως, ὅσον ἡ φοβερὰ ὄψις καὶ τὰ ἴχνη τῆς συμφορᾶς διὰ μέσου τοῦ χρόνου.

Καὶ βεβαιώνουν ὅσοι τὰ μέρη ἐκεῖνα ἐπεσκέφθησαν, καὶ ἂν καὶ ἤκουσαν πολλάκις τὴν Γραφὴν νὰ ὁμιλῇ δι' αὐτά, δὲν ἐφοβήθησαν καὶ τόσον· ὅταν ὅμως ἦλθον, καὶ ἐπεσκέφθησαν τὴν χώραν, καὶ εἶδον ὅλην τὴν ἐπιφάνειαν αὐτῆς κατεστραμμένην, καὶ μὲ τὰ μάτια των εἶδον τὸν ἐμπρησμόν, καὶ πουθενὰ νὰ μὴ φαίνεται γῆ, ἀλλὰ ὅλα νὰ εἶναι σκόνη καὶ τέφρα, κατεπλάγησαν, καὶ ἀφοῦ ἐδέχθησαν ἀπὸ τὸ θέαμα ἐκεῖνο πολλὴν διδασκαλίαν διὰ σωφροσύνην, ἔτσι ἔφυγαν ἀπὸ ἐκεῖ. Διότι καὶ ὁ τρόπος μὲ τὸν ὁποῖον ἐτιμωρήθη ἡ ἁμαρτία, εἶναι ὅμοιος μὲ τὴν ἁμαρτίαν ποὺ διεπράχθη. Διότι ὅπως ἐκεῖνοι εἰσήγαγον μεταξύ των μίξιν ἄγονον, ἡ ὁποία δὲν εἶχεν ὡς ἀποτέλεσμα τὴν τεκνοποιΐαν, ἔτσι καὶ ὁ Θεὸς ἐπέφερε τιμωρίαν, ἡ ὁποία τὴν κοιλίαν τῆς γῆς ἔκαμεν ἄγονον διὰ παντός, καὶ ἔρημον ἀπὸ ὅλους τοὺς καρπούς. Διὰ τοῦτο καὶ τὰς οἰκίας ἐκείνων ποὺ ὁρκίζονται ἠπείλησεν ὅτι κρημνίζῃ, διὰ νὰ κάμῃ τοὺς ἄλλους σωφρονεστέρους, μὲ τὰς τιμωρίας ἐκείνων.

3. Ἐγὼ λοιπὸν θὰ σᾶς δείξω σήμερον ὄχι μίαν καὶ δύο καὶ τρεῖς οἰκίας ποὺ ἐκρημνίσθησαν ἐξ αἰτίας τῶν ὅρκων, ἀλλὰ πόλιν ὁλόκληρον, καὶ λαὸν θεοσεβῆ, καὶ ἔθνος ποὺ ἀπήλαυσε πάντοτε τὴν πρόνοιαν τοῦ Θεοῦ, καὶ φυλὴν ἡ ὁποία διέφυγε πολλοὺς κινδύνους. Διότι ἡ Ἰερουσαλήμ, ἡ

τὸν τὴν ἁγίαν ἔχουσα, καὶ τὴν λατρείαν ἅπασαν ἐκείνην, ἔνθα προφῆται ἦσαν καὶ Πνεύματος χάρις, καὶ κιβωτός, καὶ πλάκες διαθήκης, καὶ στάμνος ἡ χρυσῆ, ἔνθα ἄγγελοι πολλάκις ἐφοίτων, αὕτη ἡ πόλις, μυρίων γενομένων πολέμων, καὶ πολλῶν αὐτὴν ἐπιδραμόντων βαρβάρων, καθάπερ τεῖχος ἐξ ἀδάμαντος περιβεβλημένη, οὕτω πάντων ἀεὶ κατεγέλασεν ἐκείνων, καὶ τῆς χώρας ἀφανισθείσης ἁπάσης οὐδὲν ἔπασχε δεινόν. Καὶ οὐ τοῦτο μόνον ἐστὶ τὸ θαυμαστόν, ἀλλ' ὅτι καὶ χαλεπὴν πολλάκις δοῦσα πληγὴν τοῖς πολεμίοις, οὕτως αὐτοὺς ἐξέπεμψε, καὶ τοσαύτης ἀπήλαυσε παρὰ τοῦ Θεοῦ τῆς προνοίας, ὡς αὐτὸν τὸν Θεὸν λέγειν, «Ὡς σταφυλὴν ἐν ἐρήμῳ εὗρον τὸν Ἰσραήλ, καὶ ὡς σκοπὸν ἐν τῇ συκῇ πρώϊμον εἶδον, πατέρας αὐτῶν». Καὶ περὶ τῆς πόλεως αὐτῆς πάλιν, «Ὡς ρῶγες ἐλαίας ἐπ' ἄκρῳ τοῦ μετεώρου, καὶ ἐροῦσι, μὴ λυμήνῃ αὐτούς».

Ἀλλ' ὅμως ἡ τοῦ Θεοῦ φίλη πόλις, καὶ τοσούτους διαφυγοῦσα κινδύνους, καὶ ἐν πολλαῖς ἁμαρτίαις συγγνώμης τυχοῦσα, καὶ δυνηθεῖσα ἁπάντων ἀπαχθέντων τῶν ἄλλων μόνη τὴν αἰχμαλωσίαν διαφυγεῖν, καὶ ἅπαξ, καὶ δίς καὶ πολλάκις, ἀπὸ ὅρκου μόνου κατηνέχθη· καὶ πῶς, ἐγὼ λέγω. Ἐγένετό τις Σεδεκίας παρ' αὐτοῖς βασιλεύς· οὗτος ὁ Σεδεκίας τῷ βασιλεῖ τῶν βαρβάρων τῷ Ναβουχοδονόσορ ὅρκον ἔδωκεν, ὥστε μένειν ἐπὶ τῆς ἐκείνου συμμαχίας· μετὰ ταῦτα ἀπέστη, καὶ πρὸς τὸν Αἰγύπτιον ηὐτομόλησε βασιλέα, τῶν ὅρκων καταπτύσας, καὶ τοσαῦτα ἔπαθεν, ὅσα αὐτίκα ἀκούσεσθε.

Πρότερον δὲ ἀναγκαῖον εἰπεῖν τὴν παραβολὴν τοῦ προφήτου, δι' ἧς ἅπαντα ταῦτα ᾐνίξατο. «Ἐγένετο λόγος Κυρίου», φησί, «πρός με λέγων· υἱὲ ἀνθρώπου, διήγησαι διήγημα, καὶ εἰπὲ παραβολήν, καὶ ἐρεῖς· τάδε λέγει Ἀδωναῒ Κύριος· ὁ ἀετὸς ὁ μέγας, ὁ μεγαλοπτέρυγος, ὁ μακρὸς τῇ

8. Ὠσηὲ 19, 10.
9. Ἠσ. 65, 8.

πόλις τοῦ Θεοῦ, ἡ ὁποία εἶχε τὴν πόλιν τοῦ Θεοῦ, καὶ ὅλην ἐκείνην τὴν λατρείαν, ὅπου ὑπῆρχον προφῆται καὶ ἡ χάρις τοῦ Πνεύματος, καὶ ἡ κιβωτὸς καὶ αἱ πλάκες τῆς διαθήκης καὶ ἡ χρυσῆ στάμνος, ὅπου ἐκατοικοῦσαν πολλάκις οἱ ἄγγελοι τοῦ Θεοῦ, αὐτὴ ἡ πόλις, ἂν καὶ ἔγιναν ἀναρίθμητοι πόλεμοι, καὶ ἐπέδραμον ἐναντίον της πολλοὶ βάρβαροι, ὡσὰν νὰ εἶχε κάποιο τεῖχος ἀδαμάντινον ποὺ τὴν περιέβαλεν, ἔτσι περιεφρόνησεν ὅλους ἐκείνους, καὶ ἐνῷ ὅλη ἡ χώρα τελείως κατεστράφη, αὐτὴ δὲν ἔπαθε κανένα κακόν. Καὶ δὲν εἶναι μόνον αὐτὸ τὸ ἀξιοθαύμαστον, ἀλλὰ καὶ τὸ ὅτι πολλάκις ἀφοῦ ἐπέφερεν εἰς τοὺς ἐχθροὺς μεγάλας ἀπωλείας, τότε τοὺς ἐξεδίωξε, καὶ τόσης προνοίας ἀπήλαυσε παρὰ τοῦ Θεοῦ, ὥστε αὐτὸς ὁ ἴδιος ὁ Θεὸς νὰ λέγῃ «Σὰν σταφύλι εἰς τὴν ἔρημον εὗρον τὸν Ἰσραήλ, καὶ σὰν τὰ πρώιμα σῦκα τῆς συκῆς εἶδα τοὺς πατέρας αὐτῶν»[8]. Καὶ διὰ τὴν πόλιν πάλιν λέγει· «Σὰν ρῶγες ἐλῃᾶς εἰς τὰ ἄκρα τῶν ὑψηλῶν κλάδων αὐτῆς, καὶ θὰ εἰποῦν, μὴ καταστρέψῃς αὐτούς»[9].

Καὶ ὅμως ἡ ἀγαπητὴ αὐτὴ πόλις τοῦ Θεοῦ, ἡ ὁποία διέφυγε τόσους κινδύνους, καὶ συνεχωρήθη διὰ τὰς πολλὰς ἁμαρτίας της, καὶ ἠμπόρεσε μόνη αὐτὴ ἀπὸ ὅλας τὰς ἄλλας νὰ ἀποφύγῃ τὴν αἰχμαλωσίαν, καὶ μίαν φορὰν καὶ δύο καὶ πολλάκις, μόνον ἐξ αἰτίας τοῦ ὅρκου κατεβλήθη· καὶ πῶς, ἐγὼ θὰ σᾶς εἰπῶ· Ὑπῆρξε κάποιος βασιλεὺς εἰς αὐτοὺς ὀνόματι Σεδεκίας· αὐτὸς ὁ Σεδεκίας εἰς τὸν βασιλέα τῶν βαρβάρων τὸν Ναβουχοδονόσορα ὑπεσχέθη μὲ ὅρκον ὅτι θὰ παραμείνῃ εἰς τὴν συμμαχίαν του· ἔπειτα ὅμως ἔφυγεν ἀπὸ τὴν συμμαχίαν αὐτήν, καὶ ἐπῆγε μὲ τὸν βασιλέα τῆς Αἰγύπτου, καταπατήσας τοὺς ὅρκους, καὶ ἔπαθε τόσα κακὰ ὅσα εὐθὺς ἀμέσως θὰ ἀκούσετε.

Προηγουμένως ὅμως εἶναι ἀνάγκη νὰ σᾶς εἰπῶ τὴν παραβολὴν τοῦ προφήτου, διὰ τῆς ὁποίας δι' ὅλα αὐτὰ ἔκαμεν ὑπαινιγμόν. «Ἔγινε λόγος Κυρίου», λέγει, «πρὸς ἐμὲ λέγων· υἱὲ ἀνθρώπου, διηγήσου διήγημα, καὶ εἰπὲ παραβολήν, καὶ θὰ εἰπῇς· αὐτὰ λέγει Ἀδωναΐ Κύριος· ὁ ἀετὸς ὁ μεγά-

ἐκτάσει, ὁ πλήρης ὀνύχων». Ἀετὸν ἐνταῦθα τὸν βασιλέα τῶν Βαβυλωνίων ἐκάλεσε, μέγαν δὲ αὐτὸν καὶ μεγαλοπτέρυγον εἶπε, καὶ μακρὸν τῇ ἐκτάσει, καὶ πλήρη ὀνύχων ὠνόμασε διὰ τὸ τῆς στρατείας πλῆθος, καὶ τὸ τῆς δυνάμεως μέγεθος, καὶ τὸ τάχος τῆς ἐφόδου· καθάπερ γὰρ τῷ ἀετῷ πτέρυγες καὶ ὄνυχες ὅπλα, οὕτω τοῖς βασιλεῦσι στρατιῶται καὶ ἵπποι. Οὗτος τοίνυν ὁ ἀετός, φησίν, «Ἔχει τὸ ἤγημα εἰσελθεῖν εἰς τὸν Λίβανον». Τί ἐστι «Τὸ ἤγημα;». Βουλήν, γνώμην. Λίβανον δὲ τὴν Ἰουδαίαν ἐκάλεσε, διὰ τὸ πλησίον ἐκείνου κεῖσθαι τοῦ ὄρους. Εἶτα βουλόμενος εἰπεῖν τοὺς ὅρκους, καὶ τὰς συνθήκας, «Ἔλαβε», φησίν, «ἀπὸ τοῦ σπέρματος τῆς γῆς, καὶ ἔδωκεν εἰς τὸ πεδίον τὸ σπόριμον λαβεῖν ῥίζωσιν ἐν ὕδατι πολλῷ· ἐπιβλεπόμενον ἔταξεν αὐτό· καὶ ἀνέτειλε, καὶ ἐγένετο εἰς ἄμπελον ἀσθενοῦσαν, καὶ μικρὰν τῷ μεγέθει, καὶ ἐξέτεινε τὰ κλήματα αὐτῆς ἐπ' αὐτόν, καὶ αἱ ῥίζαι αὐτῆς ὑποκάτω αὐτοῦ ἦσαν». Ἄμπελον δὲ ἐνταῦθα τὴν πόλιν ἐκάλεσε τὴν Ἱερουσαλήμ· τὸ δὲ εἰπεῖν, ὅτι τὰ κλήματα αὐτῆς ἐπ' αὐτὸν ἔβαλε τὸν ἀετόν, καὶ αἱ ῥίζαι αὐτῆς ὑποκάτω αὐτοῦ ἦσαν, τὰς συνθήκας ἐδήλωσε, καὶ τὴν πρὸς αὐτὸν συμμαχίαν, καὶ ὅτι ἐπέρριψεν ἑαυτὴν ἐπ' ἐκεῖνον.

Εἶτα βουλόμενος δεῖξαι τὴν παρανομίαν, φησί· «Καὶ ἐγένετο ἀετὸς ἕτερος», περὶ τοῦ Αἰγυπτίου βασιλέως λέγων, «μέγας καὶ μεγαλοπτέρυγος, καὶ πολὺς τοῖς ὄνυξι, καὶ ἡ ἄμπελος αὕτη περιπλεκομένη ἐπ' αὐτόν, καὶ ὁ ἕλιξ αὐτῆς ἐπ' αὐτόν, καὶ τὰ κλήματα αὐτῆς ἐξαπέστειλε τοῦ ποτίσαι αὐτήν». Διὰ τοῦτο εἶπον· τάδε λέγει Ἀδωναῒ Κύριος· εἰ κατευθυνεῖ», τουτέστι παραβᾶσαι τὸν ὅρκον καὶ τὰς συνθήκας, «εἰ δυνήσεται μεῖναι καὶ σωθῆναι, καὶ μὴ διαπεσεῖν». Εἶτα δεικνύς, ὡς οὐκ ἔστι τοῦτο, ἀλλ' ἀπολεῖται πάντως διὰ τὸν ὅρκον, περὶ τῆς κολάσεως αὐτῆς διαλέγεται, καὶ τὴν αἰτίαν τίθησιν· «Αἱ ῥίζαι γὰρ αὐτῆς», φησί, «τῆς ἁπλότητος, καὶ

---

10. Ἰεζ. 17, 1-3.
11. Αὐτόθι 17, 3.
12. Αὐτόθι 17, 5 ἑ.
13. Αὐτόθι 17, 6 ἑ.
14. Αὐτόθι 17, 8 ἑ.

λος, ὁ μεγαλόφτερος, ὁ μεγάλος εἰς τὴν ἔκτασιν, ὁ γεμᾶτος ἀπὸ νύχια»[10]. Ἀετὸν ἐδῶ ὠνόμασε τὸν βασιλέα τῶν Βαβυλωνίων, τὸν εἶπε δὲ μεγάλον καὶ μεγαλόφτερον καὶ μεγάλον εἰς τὴν ἔκτασιν, καὶ γεμᾶτον ἀπὸ νύχια, ἐξ αἰτίας τοῦ πλήθους τῶν στρατευμάτων, καὶ τῆς μεγάλης του δυνάμεως, καὶ τῆς ταχύτητος μὲ τὴν ὁποίαν ἐπιτίθεται· διότι ὅπως εἰς τὸν ἀετὸν ὑπάρχουν ὡς ὅπλα τὰ φτερὰ καὶ τὰ νύχια, ἔτσι καὶ εἰς τοὺς βασιλεῖς εἶναι οἱ στρατιῶται καὶ οἱ ἵπποι. Αὐτὸς λοιπὸν ὁ ἀετὸς λέγει· «Ἔχει τὸ ἤγημα νὰ εἰσέλθῃ εἰς τὸν Λίβανον»[11]. Τί σημαίνει «τὸ ἤγημα»; Σκέψιν, γνώμην. Λίβανον δὲ ὠνόμασε τὴν Ἰουδαίαν ἐπειδὴ εὑρίσκεται πλησίον τοῦ ὄρους ἐκείνου. Ἔπειτα θέλων νὰ εἰπῇ τοὺς ὅρκους καὶ τὰς συνθήκας λέγει· «ἔλαβεν ἀπὸ τὸν σπόρον τῆς γῆς καὶ ἔβαλε εἰς τὴν πεδιάδα τὴν κατάλληλον διὰ σποράν, διὰ νὰ ριζώσῃ εἰς τὸ νερὸ τὸ ἄφθονον· καὶ τὸν ἐπέβλεπε· καὶ ἐβλάστησεν ὁ σπόρος, καὶ ἔγινεν ἄμπελος ἀδύνατος καὶ κατὰ τὸ μέγεθος μικρά, καὶ ἅπλωσε τὰ κλήματα αὐτῆς ἐπάνω εἰς αὐτόν, καὶ αἱ ρίζαι αὐτῆς ἦσαν κάτω ἀπὸ αὐτόν»[12]. Ἐδῶ ἄμπελον ὠνόμασε τὴν Ἱερουσαλήμ· μὲ αὐτὸ δὲ ποὺ εἶπεν ὅτι ἐπάνω εἰς αὐτὸν ἔθεσε τὰ κλήματα, καὶ αἱ ρίζαι της ἦσαν κάτω ἀπὸ αὐτόν, ἐφανέρωνε τὰς συνθήκας, καὶ τὴν πρὸς αὐτὸν συμμαχίαν καὶ ὅτι ἐστηρίχθη ἐπάνω εἰς ἐκεῖνον.

Ἔπειτα θέλων νὰ δείξῃ τὸ νόημα τῆς παροιμίας λέγει· «Καὶ ἐφάνη ἄλλος ἀετός», λέγων τοῦτο περὶ τοῦ Αἰγυπτίου βασιλέως, «μεγάλος καὶ μεγαλόφτερος καὶ μὲ πολλὰ νύχια, καὶ ἡ ἄμπελος αὐτὴ περιεπλέκετο εἰς αὐτόν, καὶ οἱ ἕλικες αὐτῆς ἦσαν ἐπάνω εἰς αὐτόν, καὶ τὰ κλήματα αὐτῆς ἅπλωσε διὰ νὰ τὴν ποτίσῃ»[13]. Διὰ τοῦτο εἶπον· «ταῦτα λέγει Ἀδωναΐ Κύριος· ἆρά γε θὰ ἐπιτύχῃ», ἀφοῦ παρέβη τὸν ὅρκον καὶ τὰς συνθήκας, «θὰ ἠμπορέσῃ νὰ παραμείνῃ καὶ νὰ σωθῇ καὶ νὰ μὴ καταπέσῃ»[14]. Ἔπειτα φανερώνων ὅτι τοῦτο δὲν εἶναι δυνατόν, ἀλλὰ ὁπωσδήποτε θὰ καταστραφῇ διὰ τὸν ὅρκον ποὺ παρέβη, ὁμιλεῖ διὰ τὴν τιμωρίαν της καὶ προσθέτει τὴν αἰτίαν αὐτῆς· «Διότι αἱ ρίζαι αὐτῆς» λέγει «αἱ ἁπαλαὶ

ὁ καρπὸς σαπήσεται, καὶ ξηρανθήσονται πάντα τὰ προσανατέλλοντα αὐτῇ». Καὶ δεῖξαι βουλόμενος, ὅτι οὐκ ἀνθρωπίνῃ δυνάμει καθαιρεθήσεται, ἀλλ' ἐπειδὴ τὸν Θεὸν ἐξεπολέμωσεν ἑαυτῇ διὰ τοὺς ὅρκους ἐκείνους, ἐπήγαγεν· «Οὐκ ἐν βραχίονι μεγάλῳ, οὐδὲ ἐν λαῷ πολλῷ τοῦ ἐκσπᾶσαι αὐτὴν ἐκ ῥιζῶν αὐτῆς»· καὶ ἡ μὲν παραβολὴ αὕτη, πάλιν δὲ αὐτὴν σαφηνίζει οὕτως εἰπών· «Ἰδού, ἔρχεται βασιλεὺς Βαβυλῶνος ἐπὶ Ἱερουσαλήμ». Εἶτα εἰπὼν ἕτερά τινα μεταξύ, λέγει τοὺς ὅρκους καὶ τὰς συμμαχίας· «Διαθήσεται γάρ», φησί, «πρὸς αὐτὸν διαθήκην». Εἶτα καὶ τὴν ἀποστασίαν λέγων, «Καὶ ἀποστήσεται», φησίν, «ἀπ' αὐτοῦ τοῦ ἐξαποστέλλειν ἀγγέλους εἰς Αἴγυπτον τοῦ δοῦναι αὐτῷ ἵππους καὶ λαὸν πολύν». Καὶ μετὰ ταῦτα ἐπάγει, δεικνὺς ὅτι διὰ τὸν ὅρκον ταῦτα πάντα γίνεται τὰ τῆς ἀπωλείας· «Εἰ μὴ ἐν τῷ τόπῳ τοῦ βασιλέως τοῦ βασιλεύσαντος αὐτόν, ὃς ἠτίμωσε τὴν ἀράν μου, καὶ παρέβη τὴν διαθήκην μου, ἐν μέσῳ Βαβυλῶνος τελευτήσει, καὶ οὐκ ἐν δυνάμει μεγάλῃ, οὐδὲ ἐν ὄχλῳ πολλῷ, ὅτι ἠτίμωσε τὴν ὁρκωμοσίαν τοῦ παραβῆναι τὴν διαθήκην μου, ἢ μὴν τὴν ὁρκωμοσίαν μου, ἣν ἠτίμωσε, καὶ τὴν διαθήκην μου, ἣν παρέβη, δώσω αὐτὴν εἰς κεφαλὴν αὐτοῦ, καὶ ἐκπετάσω ἐπ' αὐτὸν τὸ δίκτυόν μου». Ὁρᾷς πῶς οὐχ ἅπαξ, οὐδὲ δίς, ἀλλὰ καὶ πλεονάκις εἶπεν, ὅτι διὰ τον ὅρκον ταῦτα πάντα ἔπασχεν ἐκεῖνος; Καὶ γὰρ ἀπαραίτητός ἐστιν ὁ Θεὸς ὑβριζομένων ὅρκων.

Οὐκ ἐκ τῆς κολάσεως δὲ μόνης τῆς ἐπαχθείσης τῇ πόλει διὰ τὸν ὅρκον, τοῦτό ἐστιν ἰδεῖν, ἀλλὰ καὶ ἐκ τῆς μελλήσεως καὶ τῆς ἀναβολῆς, ὅσην ποιεῖται ὁ Θεὸς τὴν σπουδὴν ὑπὲρ τοῦ μὴ καταπατεῖσθαι τοὺς ὅρκους. «Ἐγένετο γάρ», φησίν, «ἐν τῷ ἐνάτῳ ἔτει τῆς βασιλείας Σεδεκίου, ἐν τῷ μηνὶ τῷ δευτέρῳ, ἐν τῇ δεκάτῃ τοῦ μηνός, ἦλθεν Ναβουχοδονόσορ ὁ βασιλεὺς Βαβυλῶνος, καὶ πᾶσα ἡ δύναμις αὐτοῦ ἐπὶ

---

15. Αὐτόθι 17, 9.
16. Αὐτόθι 17, 9.
17. Αὐτόθι 17, 12.
18. Αὐτόθι 17, 13.
19. Αὐτόθι 17, 15.
20. Αὐτόθι 17, 16-20.

καὶ ὁ καρπὸς θὰ σαπίσουν καὶ θὰ ξηραθοῦν ὅλα τὰ βλαστάρια της»[15]. Καὶ θέλων νὰ δείξῃ ὅτι δὲν θὰ καταλυθῇ ἕνεκα ἀνθρωπίνης δυνάμεως, ἀλλὰ ἐπειδὴ ἔκαμε τὸν ἐχθρόν της Θεὸν ἐξ αἰτίας τῶν ὅρκων ἐκείνων, συνεπλήρωσεν· «ὄχι μὲ δύναμιν μεγάλην, οὔτε μὲ πολὺν λαὸν διὰ νὰ ἐκριζώσῃ αὐτὴν τελείως»[16]· καὶ ἡ μὲν παραβολὴ εἶναι αὐτή, πάλιν ὅμως τὴν διασαφηνίζει λέγων τὰ ἑξῆς· «Ἰδοὺ ἔρχεται ὁ βασιλεὺς τῆς Βαβυλῶνος ἐναντίον τῆς Ἰερουσαλήμ»[17]. Ἔπειτα ἀφοῦ εἶπεν ἐν τῷ μεταξὺ μερικὰ ἄλλα, ἀναφέρει τοὺς ὅρκους καὶ τὰς συμμαχίας· «Θὰ κάμῃς» λέγει «πρὸς αὐτὸν διαθήκην»[18]. Κατόπιν φανερώνων καὶ τὴν ἀποστασίαν λέγει· «Καὶ θὰ ἀποστατήσῃ ἀπὸ αὐτὸν καὶ θὰ ἀποστείλῃ ἀγγελιαφόρους εἰς τὴν Αἴγυπτον διὰ νὰ τοῦ δώσουν ἵππους καὶ πολὺν στρατόν»[19]. Καὶ μετὰ ἀπὸ αὐτὰ ἐπανέρχεται, δεικνύων ὅτι ὅλη αὐτὴ ἡ καταστροφὴ γίνεται ἐξ αἰτίας τοῦ ὅρκου· «Ἀληθῶς εἰς τὸν τόπον τοῦ βασιλέως ποὺ ὑπεστήριξεν αὐτόν, οὗτος, ποὺ περιεφρόνησε τὴν κατάραν μου καὶ παρέβη τὴν διαθήκην μου, εἰς τὸ μέσον τῆς Βαβυλῶνος θὰ ἀποθάνῃ, καὶ ὄχι μὲ μεγάλην δύναμιν, οὔτε μὲ λαὸν πολύν, διότι περιεφρόνησε τὴν ὁρκωμοσίαν μου καὶ παρέβη τὴν διαθήκην μου, διὰ τοῦτο τὴν ὁρκομωσίαν ποὺ κατεφρόνισε καὶ τὴν διαθήκην μου ποὺ παρέβη, θὰ τὰ δώσω ἐναντίον τῆς κεφαλῆς του, καὶ θὰ πετάξω καὶ θὰ ἁπλώσω πρὸς αὐτὸν τὸ δίκτυόν μου»[20]. Βλέπεις πῶς ὄχι μίαν φοράν, οὔτε δύο, ἀλλὰ πολλὰς εἶπεν ὅτι διὰ τὸν ὅρκον ὅλα αὐτὰ ἔπαθεν ἐκεῖνος; Διότι ὁ Θεὸς εἶναι ἀδυσώπητος ὅταν περιφρονοῦνται οἱ ὅρκοι.

Καὶ δὲν ἠμπορεῖ κανεὶς νὰ ἰδῇ μόνον ἀπὸ τὴν τιμωρίαν ποὺ ἐπέφερεν εἰς τὴν πόλιν, ἐξ αἰτίας τῶν ὅρκων, πόσον φροντίζει ὁ Θεὸς νὰ μὴ καταπατοῦνται οἱ ὅρκοι, ἀλλὰ καὶ ἀπὸ τὸ ὅτι ἐβράδυνε νὰ τιμωρήσῃ. «Διότι συνέβη», λέγει, «κατὰ τὸ ἔνατον ἔτος τῆς βασιλείας Σεδεκίου, τὴν δεκάτην τοῦ δευτέρου μηνός, ἦλθεν ὁ Ναβουχοδονόσορ, ὁ βασιλεὺς τῆς Βαβυλῶνος, καὶ ὅλη ἡ δύναμις αὐτοῦ ἐναντίον τῆς Ἰερουσαλήμ· καὶ περιεκύκλωσεν αὐτὴν καὶ ἔκτισε γύρω ἀπὸ

Ἱερουσαλήμ· καὶ περιεκάθισεν αὐτήν, καὶ περιῳκοδόμησεν αὐτῇ τεῖχος κυκλόθεν· καὶ ἦλθεν ἡ πόλις εἰς συνοχὴν ἕως τοῦ ἑνδεκάτου ἔτους Σεδεκίου τοῦ βασιλέως, ἐνάτῃ τοῦ μηνός, καὶ ἐνίσχυσεν ὁ λιμὸς ἐν αὐτῇ τῇ πόλει, καὶ οὐκ ἦν ἄρτος τοῦ φαγεῖν τῷ λαῷ, καὶ ἐρράγη ἡ πόλις». Ἠδύνατο μὲν γὰρ ἐκ πρώτης εὐθέως αὐτοὺς παραδοῦναι τῆς ἡμέρας, καὶ ποιῆσαι τοῖς πολεμίοις ὑποχειρίους, ἀλλὰ διὰ τοῦτο χρόνον ἐν μέσῳ τριῶν ἐτῶν τριβῆναι συνεχώρησε, καὶ πολιορκίας αὐτοὺς αἰσθέσθαι χαλεπωτάτης, ἵνα καὶ τῷ τῶν στρατιωτῶν ἔξωθεν φόβῳ, καὶ τῷ συνέχοντι τὴν πόλιν ἔνδον λιμῷ σωφρονιζόμενοι καὶ ἄκοντα τὸν βασιλέα καταναγκάσωσιν ὑποταγῆναι τῷ βαρβάρῳ, καὶ γενέσθαι τινὰ τῷ ἁμαρτήματι παραμυθίαν.

Καὶ ὅτι τοῦτό ἐστιν ἀληθές, καὶ οὐκ ἐμὸς ὁ στοχασμός, ἄκουσον τί διὰ τοῦ προφήτου φησὶ πρὸς αὐτόν· «Ἐὰν ἐξέλθῃς πρὸς ἡγεμόνας βασιλέως Βαβυλῶνος, ζήσεται ἡ ψυχή σου, καὶ ἡ πόλις αὕτη οὐ μὴ κατακαυθῇ ἐν πυρί, καὶ ζήσῃ σὺ καὶ ἡ οἰκία σου· ἐὰν δὲ μὴ ἐξέλθῃς σὺ πρὸς τοὺς ἄρχοντας βασιλέως Βαβυλῶνος, παραδοθήσεται ἡ πόλις αὕτη εἰς χεῖρας τῶν Χαλδαίων, καὶ κατακαύσουσιν αὐτήν, καὶ σὺ οὐ μὴ σωθήσῃ ἐκ χειρὸς αὐτῶν. Καὶ εἶπεν ὁ βασιλεύς· λόγον ἔχω τῶν Ἰουδαίων τῶν πεφευγότων πρὸς τοὺς Χαλδαίους, μὴ παραδῶσί με εἰς χεῖρας αὐτῶν, καὶ καταμωμήσωνταί μου. Καὶ εἶπεν Ἱερεμίας· οὐ μὴ παραδώσουσί σε· ἄκουσον τὸν λόγον Κυρίου, ὃν ἐγὼ λαλῶ πρός σε· καὶ βέλτιον ἔσται σοι, καὶ ζήσεται ἡ ψυχή σου· καὶ εἰ μὴ θελήσεις ἐξελθεῖν, οὗτος ὁ λόγος, ὃν ἔδειξέ μοι Κύριος· πᾶσαι αἱ γυναῖκες αἱ καταλειφθεῖσαι ἐν οἴκῳ βασιλέως Ἰούδα ἐξάγονται πρὸς τοὺς ἄρχοντας βασιλέως Βαβυλῶνος, καὶ αὗται λέγουσιν· ἠπάτησάν σε, καὶ ἠδυνήθησάν σοι ἄνδρες εἰρηνικοί σου· κατισχύσουσιν ἐν ὀλισθήμασι πόδας σου· ἀπέστρεψαν ἀπὸ σοῦ, καὶ πάσας τὰς γυναῖκάς σου ἐξάξουσι πρὸς τοὺς Χαλδαίους, καὶ οὐ μὴ σωθήσῃ ἐκ χειρὸς αὐτῶν, ὅτι

---

21. Δ' Βασ. 25, 1-4.

αὐτὴν κυκλικὸν τεῖχος. Καὶ ἐπολιορκήθη ἡ πόλις μέχρι τοῦ ἑνδεκάτου ἔτους τοῦ βασιλέως Σεδεκίου, ἐνάτην τοῦ μηνός, καὶ ἐκορυφώθη ἡ πεῖνα εἰς τὴν πόλιν, καὶ δὲν ὑπῆρχεν ἄρτος διὰ νὰ φάγῃ ὁ λαός, καὶ ἐκυριεύθη ἡ πόλις»[21]. Ἠμποροῦσε βέβαια εὐθὺς ἐξ ἀρχῆς ἀπὸ τὴν πρώτην ἡμέραν νὰ τοὺς κάμῃ νὰ παραδοθοῦν καὶ νὰ τοὺς κάμῃ ὑποδούλους εἰς τοὺς ἐχθρούς, ἀλλὰ διὰ τοῦτο ἐπέτρεψε νὰ περάσῃ χρονικὸν διάστημα τριῶν ἐτῶν καὶ νὰ δοκιμάσουν πολὺ δύσκολον πολιορκίαν, ὥστε, ἀφ᾽ ἑνὸς μὲν ἀπὸ τὸν φόβον τῶν στρατιωτῶν ἀπὸ ἔξω καὶ ἀφ᾽ ἑτέρου ἀπὸ τὴν πεῖναν ποὺ κατεῖχε τὴν πόλιν ἀπὸ μέσα, νὰ σωφρονισθοῦν καὶ νὰ ἀναγκάσουν τὸν βασιλέα των, παρὰ τὴν θέλησίν του, νὰ ὑποταγῇ εἰς τὸν βάρβαρον, καὶ νὰ γίνῃ εἰς τὸ ἁμάρτημα κάποια ἀνακούφισις.

Καὶ ὅτι τοῦτο εἶναι ἀληθὲς καὶ δὲν εἶναι σκέψις ἰδική μου, ἄκουσε τί λέγει διὰ τοῦ προφήτου πρὸς αὐτόν· «Ἐὰν ἐξέλθῃς πρὸς τοὺς ἡγεμόνας τοῦ βασιλέως τῆς Βαβυλῶνος, θὰ ζήσῃς καὶ ἡ πόλις αὐτὴ δὲν θὰ κατακαῇ, καὶ θὰ ζήσῃς καὶ σὺ καὶ ἡ οἰκία σου· ἂν δὲ δὲν ἐξέλθῃς πρὸς αὐτούς, θὰ παραδοθῇ ἡ πόλις αὐτὴ εἰς χεῖρας Χαλδαίων καὶ θὰ τὴν κατακαύσουν, καὶ σὺ δὲν θὰ σωθῇς ἀπὸ τὰ χέρια των. Καὶ εἶπεν ὁ βασιλεύς· φοβοῦμαι μήπως μὲ παραδώσουν εἰς χεῖρας τῶν Ἰουδαίων, ποὺ κατέφυγον πρὸς τοὺς Χαλδαίους καὶ μὲ ἐμπαίξουν. Καὶ εἶπεν ὁ Ἱερεμίας· δὲν θὰ σὲ παραδώσουν· ἄκουσε τὸν λόγον Κυρίου, τὸν ὁποῖον ἐγὼ σοῦ λέγω· καὶ θὰ σοῦ ἀποβῇ τοῦτο καλύτερον καὶ θὰ ζήσῃ ἡ ψυχή σου· καὶ ἂν δὲν θελήσῃς νὰ ἐξέλθῃς, αὐτὸς ὁ λόγος τοῦ Κυρίου μοῦ εἶπεν ὅτι θὰ συμβοῦν τὰ ἑξῆς· ὅλαι αἱ γυναῖκες ποὺ ἔμειναν εἰς τὸν οἶκον τοῦ βασιλέως Ἰούδα θὰ ὁδηγηθοῦν πρὸς τοὺς ἄρχοντας τοῦ βασιλέως τῆς Βαβυλῶνος, καὶ θὰ λέγουν· σὲ ἐξηπάτησαν καὶ ὑπερίσχυσαν ἐναντίον σου οἱ εἰρηνικοὶ ἄνδρες σου· θὰ ὀλισθήσουν τὰ πόδια σου· θὰ ἀποστρέψουν τὸ πρόσωπόν των ἀπὸ σοῦ, καὶ ὅλας τὰς γυναῖκας σου θὰ ὁδηγήσουν πρὸς τοὺς Χαλδαίους, καὶ δὲν θὰ σωθῇς ἀπὸ τὰ χέρια των, διότι μὲ τὰ χέρια τοῦ βασιλέως τῆς Βαβυ-

ἐν χειρὶ βασιλέως Βαβυλῶνος συλληφθήσῃ, καὶ ἡ πόλις αὕτη κατακαήσεται πυρί». Ἀλλ' ἐπειδὴ οὐκ ἔπεισε ταῦτα λέγων, ἀλλ' ἔμεινεν ἐπὶ τῆς ἁμαρτίας καὶ τῆς παρανομίας, μετὰ τρία ἔτη τὴν πόλιν παρέδωκεν ὁ Θεός, καὶ τὴν ἑαυτοῦ φιλανθρωπίαν ἐπιδείξας καὶ τὴν ἀγνωμοσύνην τὴν ἐκείνου.

Καὶ εἰσελθόντες μετ' εὐκολίας πολλῆς ἐνέπρησαν τὸν οἶκον τοῦ Κυρίου καὶ τὸν οἶκον τοῦ βασιλέως, καὶ τοὺς οἴκους Ἱερουσαλήμ, καὶ πάντα οἶκον μέγαν ἐνέπρησεν ὁ ἀρχιμάγειρος, καὶ τὸ τεῖχος Ἱερουσαλὴμ καθεῖλε, καὶ πανταχοῦ πῦρ ἦν βαρβαρικόν, τοῦ ὅρκου τὸν ἐμπρησμὸν στρατηγοῦντος, καὶ τὴν φλόγα πανταχοῦ περιάγοντος· καὶ τὸ καταλειφθὲν τοῦ λαοῦ ἐν τῇ πόλει καὶ τοὺς προσκεχωρηκότας τῷ βασιλεῖ μετῴκισεν ὁ ἀρχιμάγειρος. «Καὶ τοὺς στύλους τοὺς χαλκοῦς τοὺς ἐν οἴκῳ Κυρίου κατέκοψαν οἱ Χαλδαῖοι, καὶ τὰς βάσεις, καὶ τὴν θάλασσαν τὴν χαλκῆν τὴν ἐν οἴκῳ Κυρίου συνέκοψαν οἱ Χαλδαῖοι, καὶ τοὺς λέβητας, καὶ τὰς κρεάγρας, καὶ τὰς φιάλας, καὶ τὰς θυΐσκας, καὶ πάντα τὰ σκεύη τὰ χαλκᾶ, ἐν οἷς ἐλειτούργουν ἐν αὐτοῖς, ἔλαβον, καὶ τὰ πυρεῖα, καὶ τὰς φιάλας τὰς χρυσᾶς καὶ ἀργυρᾶς ἔλαβον, καὶ τῶν στύλων τῶν δύο, καὶ τῶν βάσεων, καὶ τῆς θαλάσσης, ἣν ἐποίησεν ὁ Σολομὼν ἐν οἴκῳ Κυρίου, ἔλαβε Ναβουζαρδὰν ὁ ἀρχιμάγειρος, καὶ ἔλαβον τὸν Σαρέα τὸν ἱερέα τὸν πρῶτον, καὶ τὸν Σαφὰν τὸν ἱερέα τὸν δεύτερον, καὶ τοὺς τρεῖς τοὺς φυλάσσοντας τὸν σταθμόν, καὶ ἐκ τῆς πόλεως εὐνοῦχον ἕνα τὸν καθεσταμένον ἐπὶ τοὺς ἄνδρας τοὺς πολεμοῦντας, καὶ πέντε ἄνδρας τοὺς ὁρῶντας τὸ πρόσωπον τοῦ βασιλέως, καὶ τὸν Σαφὰν τὸν ἀρχιστράτηγον, καὶ τὸν γραμματέα, καὶ ἑξήκοντα ἄνδρας· καὶ ἔλαβεν αὐτούς, καὶ ἀπήγαγεν αὐτοὺς πρὸς τὸν βασιλέα Βαβυλῶνος, καὶ ἐπάταξεν αὐτοὺς ὁ βασιλεύς, καὶ ἐθανάτωσεν αὐτούς».

Ἀναμνήσθητί μοι οὖν τῆς δρεπάνης νῦν τῆς πετομένης,

---

22. Ἱερ. 38, 17-23.
23. Ἡ λαβὶς διὰ τῆς ὁποίας λαμβάνουν τὸ κρέας ἐκ τῆς χύτρας.
24. Πρβλ. Δ' Βασ. 4, 13ἑ.

λῶνος θὰ συλληφθῇς, καὶ ἡ πόλις αὐτὴ θὰ πυρπολυθῇ»[22]. Ἐπειδὴ ὅμως δὲν τὸν ἔπεισε μὲ αὐτά, ἀλλὰ ἔμενεν εἰς τὴν ἁμαρτίαν καὶ τὴν παρανομίαν, μετὰ τρία ἔτη παρέδωκεν ὁ Θεὸς τὴν πόλιν, δείξας μὲ τὸν τρόπον αὐτὸν καὶ τὴν ἰδικήν του φιλανθρωπίαν καὶ τὴν ἀγνωμοσύνην ἐκείνου.

Καὶ ἀφοῦ εἰσῆλθον οἱ ἐχθροὶ εἰς τὴν πόλιν μὲ πολλὴν εὐκολίαν κατέκαυσαν τὸν οἶκον τοῦ Κυρίου καὶ τὸν οἶκον τοῦ βασιλέως καὶ τοὺς οἴκους τῆς Ἰερουσαλήμ, καὶ κάθε μέγαν οἶκον ἐπυρπόλησεν ὁ ἀρχιμάγειρος, καὶ τὸ τεῖχος τῆς Ἰερουσαλὴμ ἐκρήμνισε, καὶ παντοῦ ἦτο βαρβαρικὴ φωτιά, διότι ὁ ὅρκος ἐπρωτοστατοῦσεν εἰς τοὺς ἐμπρησμοὺς καὶ περιέφερε παντοῦ τὴν φωτιάν· καὶ ἐκεῖνοι ποὺ εἶχαν μείνει εἰς τὴν πόλιν καὶ ὅσοι εἶχαν προσχωρήσει μὲ τὸ μέρος τοῦ βασιλέως τοὺς ὡδήγησεν εἰς ἐξορίαν ὁ ἀρχιμάγειρος. «Καὶ τοὺς στύλους τοὺς χαλκίνους, ποὺ ἦσαν εἰς τὸν οἶκον τοῦ Κυρίου, τοὺς κατέκοψαν οἱ Χαλδαῖοι, καὶ τὰς βάσεις, καὶ τὴν θάλασσαν τὴν χαλκίνην ποὺ ἦτο εἰς τὸν οἶκον Κυρίου τὴν ἔκοψαν, καὶ τοὺς λέβητας καὶ τὰς κρεάγρας[23] καὶ τὰς φιάλας καὶ τὰ μικρὰ θυμιατήρια, καὶ ὅλα τὰ σκεύη τὰ χάλκινα, τὰ ὁποῖα μετεχειρίζοντο κατὰ τὴν λατρείαν οἱ ἱερεῖς, τὰ ἐπῆραν, καὶ τὰ πυροδοχεῖα καὶ τὰς φιάλας τὰς χρυσᾶς καὶ ἀσημένιας καὶ τοὺς δύο στύλους καὶ τὰς βάσεις καὶ τὴν θάλασσαν, δηλαδὴ τὸν λουτῆρα ποὺ ἔκαμεν ὁ Σολομὼν εἰς τὸν οἶκον τοῦ Κυρίου, ἐπῆρεν ὁ Ναβουζαρδὰν ὁ ἀρχιμάγειρος, καὶ ἐπῆρε τὸν Σαρέα τὸν πρῶτον ἱερέα, καὶ τὸν Σαφὰν τὸν δεύτερον ἱερέα, καὶ τοὺς τρεῖς ποὺ ἐφύλαττον τὴν εἴσοδον, καὶ ἀπὸ τὴν πόλιν ἕνα εὐνοῦχον, ποὺ ἦτο ἐπὶ κεφαλῆς τῶν ἀνδρῶν τῶν πολεμιστῶν, καὶ πέντε ἄνδρας τοῦ στενοῦ περιβάλλοντος τοῦ βασιλέως, καὶ τὸν Σαφὰν τὸν ἀρχιστράτηγον καὶ τὸν γραμματέα, καὶ ἑξήκοντα ἄνδρας, καὶ τοὺς ἔφερεν εἰς τὸν βασιλέα τῆς Βαβυλῶνος καὶ τοὺς ἐκτύπησε καὶ τοὺς ἐθανάτωσεν ὁ βασιλεύς»[24].

Θυμήσου λοιπὸν τώρα τὰ δρεπάνι ποὺ πετᾷ καὶ φθάνει

καὶ καταλυούσης ἐν τῷ οἴκῳ τοῦ ὀμνύοντος, καὶ καθαιρούσης τοὺς τοίχους, καὶ τὰ ξύλα, καὶ τοὺς λίθους. Ἀναμνήσθητί μοι, πῶς ὁ ὅρκος οὗτος εἰσελθὼν ἐν τῇ πόλει καὶ οἰκίας, καὶ ναόν, καὶ τείχη, καὶ οἰκοδομήματα λαμπρὰ καθεῖλε, καὶ χῶμα τὴν πόλιν ἐποίησε, καὶ οὔτε τὰ ἅγια τῶν ἁγίων, οὔτε τὰ σκεύη τὰ ἱερά, οὔτε ἄλλο οὐδὲν ἀπέστρεψε τὴν κόλασιν καὶ τὴν τιμωρίαν ἐκείνην διὰ τὸ παραβαθῆναι τὸν ὅρκον. Καὶ ἡ μὲν πόλις οὕτως ἐλεεινῶς κατελύετο· ὁ δὲ βασιλεὺς ἐλεεινότερα καὶ ὀδυνηρότερα τούτων ἔπασχε· καὶ καθάπερ τὰ οἰκοδομήματα καθεῖλεν αὕτη ἡ δρεπάνη ἡ πετομένη, οὕτω καὶ τοῦτον φεύγοντα καθεῖλεν· «Ἐξῆλθεν γὰρ ὁ βασιλεύς», φησί, «νυκτὸς ὁδὸν πύλης, καὶ οἱ Χαλδαῖοι ἐκύκλουν τὴν πόλιν, καὶ κατεδίωξε δύναμις τῶν Χαλδαίων ὀπίσω τοῦ βασιλέως, καὶ κατέλαβον αὐτόν, καὶ συνέλαβον τὸν βασιλέα, καὶ ἤγαγον αὐτὸν πρὸς τὸν βασιλέα Βαβυλῶνος, καὶ ἐλάλησεν ὁ βασιλεὺς Βαβυλῶνος μετὰ Σεδεκίου κρίσιν, καὶ ἔσφαξε τοὺς υἱοὺς αὐτοῦ ἐνώπιον αὐτοῦ, καὶ τοὺς ὀφθαλμοὺς Σεδεκίου ἐξετύφλωσε· καὶ ἔδησεν αὐτὸν ἐν πέδαις, καὶ ἀπήγαγεν αὐτὸν εἰς Βαβυλῶνα».

Τί ἐστιν «Ἐλάλησε μετ' αὐτοῦ κρίσιν; Ἀπήτησεν αὐτὸν εὐθύνας, ἐδικάσατο μετ' αὐτοῦ, καὶ πρῶτον τοὺς υἱοὺς αὐτοῦ κατέσφαξεν, ἵνα θεωρὸς γένηται τῆς οἰκείας συμφορᾶς, καὶ τὴν τραγῳδίαν ἐκείνην ἴδῃ τὴν ἐλεεινήν, καὶ τότε αὐτὸν ἐξετύφλωσε. Τίνος ἕνεκεν τοῦτο πάλιν γίνεται; Ἵνα διδάσκαλος τοῖς βαρβάροις ἀπέλθῃ, καὶ τοῖς ἐκεῖ κατοικοῦσιν Ἰουδαίοις, καὶ ἵνα μάθωσιν οἱ βλέποντες διὰ τοῦ πεπηρωμένου, πόσον κακὸν ὁ ὅρκος· οὐκ ἐκεῖνοι δὲ μόνον, ἀλλὰ καὶ οἱ παρὰ τὴν ὁδὸν πάντες οἰκοῦντες δεδεμένον καὶ πεπηρωμένον ὁρῶντες μανθάνωσι διὰ τῆς συμφορᾶς τῆς ἁμαρτίας τὸ μέγεθος. Διὰ τοῦτο ὁ μὲν τῶν προφητῶν φησιν, «Οὐκ ὄψεται Βαβυλῶνα», ὁ δὲ λέγει, ὅτι «Εἰς Βαβυλῶνα ἀπαχθήσεται». Καὶ δοκεῖ μὲν ἐναντία εἶναι ἡ προφητεία,

---

25. Δ' Βασ. 25, 5 ἑ.
26. Ἰεζ. 12, 13.
27. Ἱερ. 39(46), 5.

εἰς τὸ σπίτι ἐκείνου ποὺ ὁρκίζεται καὶ κρημνίζει τοὺς τοίχους καὶ τὰ ξύλα καὶ τοὺς λίθους. Θυμήσου, πῶς ὁ ὅρκος αὐτὸς εἰσῆλθεν εἰς τὴν πόλιν, καὶ τὰς οἰκίας καὶ τὸν ναὸν καὶ τὰ τείχη καὶ τὰ λαμπρὰ οἰκοδομήματα κατέστρεψε, καὶ ἔκαμε χῶμα τὴν πόλιν, καὶ οὔτε τὰ ἅγια τῶν ἁγίων, οὔτε τὰ σκεύη τὰ ἱερά, οὔτε τίποτε ἄλλο δὲν ἠμπόρεσε νὰ ἀπομακρύνῃ τὴν τιμωρίαν ἐκείνην, διότι εἶχε καταπατηθῇ ὁ ὅρκος. Καὶ ἡ μὲν πόλις τόσον σκληρὰ κατεστρέφετο· ὁ δὲ βασιλεὺς ἐπάθαινε χειρότερα καὶ ὀδυνηρότερα ἀπὸ αὐτά· καὶ ὅπως τὰ οἰκοδομήματα κατέστρεψε τὸ δρεπάνι αὐτὸ ποὺ ἐπετοῦσε, ἔτσι καὶ αὐτόν, ἐνῷ ἔφευγε, τὸν ἐφόνευσεν. «Ἐξῆλθεν ὁ βασιλεύς», λέγει, «ἐν καιρῷ νυκτὸς ἀπὸ τὴν πόλιν εἰς τὸν δρόμον, καὶ οἱ Χαλδαῖοι περιεκύκλωνον τὴν πόλιν, καὶ δύναμις τῶν Χαλδαίων τὸν κατεδίωξε, καὶ τὸν ἔφθασε, καὶ τὸν συνέλαβε, καὶ τὸν ὡδήγησε πρὸς τὸν βασιλέα τῆς Βαβυλῶνος, καὶ ἐλάλησε κρίσιν ὁ βασιλεὺς τῆς Βαβυλῶνος μετὰ τοῦ Σεδεκίου, καὶ ἔσφαξε τὰ παιδιά του ἐνώπιον αὐτοῦ, καὶ ἐτύφλωσε τοὺς ὀφθαλμοὺς τοῦ Σεδεκίου· τὸν ὡδήγησε δέσμιον εἰς τὴν Βαβυλῶνα»[25].

Τί σημαίνει «ἐλάλησε μετ᾽ αὐτοῦ κρίσιν;». Ἐζήτησεν ἀπὸ αὐτὸν εὐθύνας, ἐδικάσθη, καὶ πρῶτον τὰ παιδιά του κατέσφαξε, διὰ νὰ ἰδῇ μὲ τὰ μάτια του τὴν ἰδικήν του συμφορὰν καὶ τὴν τραγῳδίαν ἐκείνην τὴν ἐλεεινήν, καὶ κατόπιν τὸν ἐτύφλωσεν. Διὰ ποῖον λόγον πάλιν τοῦτο γίνεται; Διὰ νὰ γίνῃ διδάσκαλος εἰς τοὺς βαρβάρους καὶ εἰς τοὺς Ἰουδαίους ποὺ ἐκατοικοῦσαν ἐκεῖ, καὶ διὰ νὰ μάθουν αὐτοὶ ποὺ βλέπουν τὴν τύφλωσίν του πόσον κακὸν πρᾶγμα εἶναι ὁ ὅρκος· καὶ ὄχι μόνον ἐκεῖνοι, ἀλλὰ καὶ ὅλοι ὅσοι ἐκατοικοῦσαν εἰς τὰ μέρη ἀπὸ ὅπου θὰ διήρχετο, ὅταν θὰ τὸν ἔβλεπαν δεμένον καὶ τυφλόν, θὰ ἐμάνθανον ἀπὸ τὴν συμφοράν του τὸ μέγεθος τῆς ἁμαρτίας. Διὰ τοῦτο ἄλλος μὲν ἀπὸ τοὺς προφήτας λέγει· «Δὲν θὰ ἰδῇ τὴν Βαβυλῶνα»[26], ἄλλος δὲ λέγει ὅτι «εἰς τὴν Βαβυλῶνα θὰ ὁδηγηθῇ»[27]. Καὶ φαίνεται μὲν ὅτι εἶναι ἀντίθετοι αἱ προφητεῖαι· ὅμως δὲν εἶναι, ἀλλὰ

οὐκ ἔστι δέ, ἀλλ' ἀμφότερα ταῦτα ἀληθῆ. Καὶ γὰρ Βαβυλῶνα οὐκ εἶδε καὶ εἰς Βαβυλῶνα ἀπήχθη. Πῶς οὖν Βαβυλῶνα οὐκ εἶδεν; Ὅτι ἐν τῇ Ἰουδαίᾳ τὴν πήρωσιν ὑπέστη· ἔνθα γὰρ ὁ ὅρκος ἠθετήθη, ἐκεῖ καὶ ἐξεδικεῖτο καὶ τὴν τιμωρίαν αὐτὸς ὑπέμεινε. Πῶς δὲ ἀπήχθη εἰς Βαβυλῶνα; Αἰχμάλωτος γενόμενος. Ἐπειδὴ γὰρ δύο ἦσαν αἱ τιμωρίαι, πήρωσις καὶ αἰχμαλωσία, διενείμαντο αὐτὰς οἱ προφῆται, καὶ ὁ μέν, «Οὐκ ὄψεται», φησί, «Βαβυλῶνα», τὴν πήρωσιν αὐτοῦ λέγων· ὁ δέ φησιν· «Εἰς Βαβυλῶνα ἀπαχθήσεται», τὴν αἰχμαλωσίαν αὐτοῦ αἰνιττόμενος.

4. Ταῦτα οὖν εἰδότες, ἀδελφοί, καὶ τὰ εἰρημένα, καὶ τὰ πρὸ τούτων λεχθέντα συλλέγοντες, παυσώμεθά ποτε τῆς πονηρᾶς ταύτης συνηθείας, ναὶ δέομαι καὶ ἀντιβολῶ πάντων ὑμῶν. Εἰ γὰρ ἐν τῇ Παλαιᾷ, ὅτε οὐ τὴν ἀκριβῆ φιλοσοφίαν ἀπῃτοῦντο οἱ Ἰουδαῖοι, ἀλλὰ πολλὴ συγκατάβασις ἦν, τοσαύτη ὀργὴ γέγονε δι' ὅρκον ἕνα, τοσαύτη ἅλωσις καὶ αἰχμαλωσία, τί εἰκὸς ὑποστήσεσθαι νῦν τοὺς ὀμνύοντας μετὰ νόμον κωλύοντα τοῦτο ποιεῖν καὶ τοσαύτην ἐντολῶν προσθήκην; Μὴ γὰρ τοῦτό ἐστι τὸ ζητούμενον, ὅπως εἰς σύναξιν ἔλθωμεν, καὶ ἀκούσωμεν τῶν λεγομένων; Τοῦτο μὲν οὖν καὶ κρίμα μεῖζόν ἐστι, καὶ κόλασις ἀπαραίτητος, ὅταν συνεχῶς ἀκούοντες μὴ ποιῶμεν τὰ λεγόμενα. Τίνα γὰρ ἕξομεν ἀπολογίαν, τίνα δὲ συγγνώμην, ὅταν ἐκ πρώτης ἡλικίας ἡμεῖς ἄχρις ἐσχάτης πολιᾶς ἐνταῦθα συναγόμενοι, καὶ τοσαύτης ἀπολαύοντες διδασκαλίας, ὅμοιοι μένωμεν ἐκείνοις, καὶ μηδὲ ἓν ἐλάττωμα διορθώσασθαι σπουδάζωμεν;

Μή μοί τις λοιπὸν συνήθειαν προβαλλέσθω· διὰ γὰρ τοῦτο ἀγανακτῶ καὶ ὀργίζομαι, ὅτι συνηθείας περιγενέσθαι οὐ δυνάμεθα, καὶ εἰ συνηθείας μὴ περιγενώμεθα, πῶς περιε-

καὶ αἱ δύο εἶναι ἀληθεῖς. Διότι καὶ τὴν Βαβυλῶνα δὲν εἶδε, καὶ εἰς τὴν Βαβυλῶνα μετεφέρθη. Πῶς λοιπὸν δὲν εἶδε τὴν Βαβυλῶνα; Διότι ὑπέστη τὴν τύφλωσιν εἰς τὴν Ἰουδαίαν· διότι ἐκεῖ ποὺ δὲν ἐτηρήθη ὁ ὅρκος, ἐκεῖ καὶ ὁ ἴδιος ὑπέστη τὴν ἐκδίκησιν τοῦ ὅρκου καὶ τὴν τιμωρίαν. Πῶς δὲ ὡδηγήθη εἰς τὴν Βαβυλῶνα; γενόμενος αἰχμάλωτος. Διότι, ἐπειδὴ ἦσαν δύο αἱ τιμωρίαι, τύφλωσις καὶ αἰχμαλωσία, ἐμοίρασαν αὐτὰς οἱ προφῆται, καὶ ὁ μὲν «δὲν θὰ ἴδῃ τὴν Βαβυλῶνα», λέγει, ἐννοῶν τὴν τύφλωσιν αὐτοῦ· ὁ δὲ «θὰ ὁδηγηθῇ εἰς τὴν Βαβυλῶνα», λέγει, ὑπαινισσόμενος τὴν αἰχμαλωσίαν αὐτοῦ.

4. Αὐτὰ λοιπὸν γνωρίζοντες ἀδελφοί, καὶ ἐκεῖνα ποὺ ἐλέχθησαν, καὶ αὐτὰ ποὺ πρὸ αὐτῶν ἐλέχθησαν φέροντες εἰς τὸν νοῦν, ἂς παύσωμεν τέλος πάντων τὴν πονηρὰν αὐτὴν συνήθειαν, ναί, σᾶς παρακαλῶ καὶ σᾶς ἱκετεύω. Διότι ἐὰν εἰς τοὺς χρόνους τῆς Παλαιᾶς Διαθήκης, ὅτε ἀκόμη δὲν ἀπῃτεῖτο ἀπὸ τοὺς Ἰουδαίους νὰ εἶναι ἠθικῶς τέλειοι, καὶ ὑπῆρχε πολλὴ συγκατάβασις, ἐπῆλθε τόση ὀργὴ δι' ἕνα ὅρκον, τόση καταστροφὴ καὶ αἰχμαλωσία, τί εἶναι ἑπόμενον νὰ ὑποστοῦν τώρα ὅσοι ὁρκίζονται, ἀφοῦ ἔχομεν νόμον ποὺ ἀπαγορεύει νὰ κάμωμεν τοῦτο, καὶ ἐπὶ πλέον τόσας ἄλλας ἐντολάς; Διότι μήπως αὐτὸ εἶναι ἐκεῖνο ποὺ ἐπιδιώκομεν, πῶς δηλαδὴ νὰ συγκεντρωθοῦμε καὶ νὰ ἀκούσωμεν αὐτὰ ποὺ λέγονται; Αὐτὸ ὅμως θὰ μᾶς ἐπιφέρῃ καὶ μεγαλυτέραν καταδίκην καὶ τιμωρίαν ἀναπόφευκτον, ὅταν δηλαδὴ συνεχῶς ἀκούωμεν καὶ δὲν ἐφαρμόζωμεν αὐτά. Διότι ποίαν ἀπολογίαν θὰ ἔχωμεν, ποίαν συγγνώμην, ὅταν, ἐνῷ ἀπὸ παιδικῆς ἡλικίας μέχρι βαθυτάτου γήρατος συγκεντρωνόμεθα ἐδῶ καὶ ἀπολαμβάνομεν τόσην διδασκαλίαν, μένωμεν ὅμοιοι μὲ ἐκείνους, καὶ οὔτε ἕνα ἐλάττωμα δὲν φροντίζομεν νὰ διορθώσωμεν;

Ἂς μὴ μοῦ προβάλῃ κανεὶς ὡς δικαιολογίαν τὴν συνήθειαν· διότι ἀκριβῶς διὰ τοῦτο ἀγανακτῶ καὶ ὀργίζομαι, διότι δὲν ἠμποροῦμεν νὰ ὑπερισχύσωμεν τῆς συνηθείας, καὶ ἀφοῦ δὲν ἠμποροῦμεν νὰ νικήσωμεν τὴν συνήθειαν, πῶς θὰ ὑπερι-

σόμεθα ἐπιθυμίας; Ἐκείνης ἡ ῥίζα ἀπὸ τῆς φύσεως ἔχει τὴν ἀρχήν. Τὸ μὲν γὰρ ἐπιθυμεῖν, φυσικόν· τὸ δὲ κακῶς ἐπιθυμεῖν, τῆς προαιρέσεως λοιπόν. Τὸ μέν τοι ὀμνύναι οὐδὲ τὴν ἀρχὴν ἐκ τῆς προαιρέσεως ἔλαβεν, ἀλλ' ἐκ ῥᾳθυμίας μόνης. Καὶ ἵνα μάθῃς, ὅτι οὐκ ἐκ τῆς δυσκολίας τοῦ πράγματος ἀλλὰ παρὰ τὴν ὀλιγωρίαν τὴν ἡμετέραν μέχρι τοσούτου τὸ ἁμάρτημα προὔβη τοῦτο, ἐννοήσωμεν πόσα πολλῷ τούτων χαλεπώτερα κατορθοῦσιν ἄνθρωποι, καὶ ταῦτα μηδεμίαν ἀμοιβὴν προσδοκῶντες ἐκεῖθεν.

Ἐννοήσωμεν τίνα ὁ διάβολος ἐπέταξε, πῶς ἐπίπονα, πῶς ἐπίμοχθα, καὶ οὐκ ἐγένετο κώλυμα ἡ δυσκολία τοῖς ἐπιτάγμασι. Τί γὰρ ἂν γένοιτο δυσκολώτερον, εἰπέ μοι, ἀλλ' ἢ ὅταν τις νέος τοῖς βουλομένοις καταμαλάττειν αὐτόν, καὶ λυγίζειν αὐτοῦ τὰ μέλη παραδοὺς ἑαυτόν, φιλονεικοίη πρὸς ἀκρίβειαν τροχοῦ δίκην τὸ σῶμα ἅπαν κάμπτειν καὶ στρέφεσθαι ἐπὶ τοῦ ἐδάφους, καὶ διὰ τῶν ὀφθαλμῶν, καὶ διὰ τῆς τῶν χειρῶν περιαγωγῆς, καὶ τῆς ἄλλης δινήσεως εἰς τὸ θῆλυ γένος ἐκβῆναι βιάζηται, καὶ μήτε τὴν δυσκολίαν τῶν γινομένων, μήτε τὴν αἰσχύνην τὴν ἀπὸ τούτων λογίζηται; Τοὺς δὲ ἐπὶ τῆς ὀρχήστρας πάλιν ἐπισυρομένους, καὶ καθάπερ πτεροῖς τοῖς κώλοις κεχρημένους τοῦ σώματος, τίς οὐκ ἂν ὁρῶν ἐκπλαγείη; Οἱ δὲ μαχαίρας ἀναλλὰξ εἰς τὸν ἀέρα ἀκοντίζοντες, καὶ πάσας ἀπὸ τῆς λαβῆς δεχόμενοι πάλιν, τίνα οὐκ ἂν καταισχύνοιεν τῶν ὑπὲρ τῆς ἀρετῆς οὐδένα βουλομένων ἀναδέξασθαι πόνον; Ἢ τί ἄν τις εἴποι περὶ ἐκείνων τῶν ἀνδρῶν, οἳ κόντον ἐπὶ τοῦ μετώπου βαστάζοντες, καθάπερ δένδρον ἐρριζωμένον ἐπὶ τῆς γῆς, οὕτως ἀκίνητον διατηροῦσι; Καὶ οὐ τοῦτο μόνον ἐστὶ τὸ θαυμαστόν, ἀλλ' ὅτι καὶ παιδία μικρὰ ἐπ' ἄκρου τοῦ ξύλου παλαίειν ἀλλήλοις παρασκευάζουσι, καὶ οὔτε χεῖρες, οὔτε ἄλλο

σχύσωμεν τῆς ἐπιθυμίας; Διότι ἡ ρίζα ἐκείνης ἔχει τὴν ἀρχήν της ἐκ φύσεως. Ἡ δὲ ἐπιθυμία εἶναι φυσικὸν πρᾶγμα· ἡ δὲ κακὴ ἐπιθυμία, εἶναι ἀποτέλεσμα τῆς προαιρέσεως. Τὸ νὰ ὁρκίζεται λοιπὸν κανείς, δὲν ἔχει τὴν ἀρχὴν εἰς τὴν προαίρεσιν ἀλλὰ μόνον εἰς τὴν ἀδιαφορίαν. Καὶ διὰ νὰ μάθῃς ὅτι ὄχι ἀπὸ τὴν δυσκολίαν τοῦ πράγματος, ἀλλὰ ἐξ αἰτίας τῆς ἰδικῆς μας ἀδιαφορίας, διεδόθη τόσον πολὺ τὸ ἁμάρτημα τοῦτο, ἂς ἀναλογισθῶμεν πόσα, δυσκολώτερα ἀπὸ αὐτό, κατορθώνουν οἱ ἄνθρωποι, καὶ μάλιστα χωρὶς νὰ ἀναμένουν καμμίαν ἀμοιβὴν ἀπὸ αὐτά.

Ἂς σκεφθοῦμε ποία πράγματα παρακινεῖ νὰ κάμωμεν ὁ διάβολος, πόσον ἐπίπονα καὶ πόσον κουραστικὰ εἶναι, καὶ ὅμως ἡ δυσκολία εἰς τὰ διατάγματα αὐτὰ τοῦ διαβόλου δὲν ἔγινεν ἐμπόδιον διὰ τὴν πραγματοποίησίν των. Διότι, εἰπέ μου, τί ἠμποροῦσε νὰ γίνῃ δυσκολώτερον ἀπὸ αὐτὸ ποὺ κάμει ὁ νέος, νὰ παραδίδῃ τὸν ἑαυτόν του εἰς ἐκείνους ποὺ θέλουν νὰ κάμουν τὸ σῶμα του εὐκίνητον καὶ τὰ μέλη του εὐλύγιστα, καὶ νὰ προσπαθῇ, ἀκριβῶς ὡσὰν νὰ εἶναι τροχός, νὰ κάμπτῃ τὸ σῶμα του, νὰ περιστρέφεται εἰς τὸ ἔδαφος καὶ διὰ τῶν ὀφθαλμῶν καὶ τῆς περιστροφῆς τῶν χειρῶν, καὶ τῆς ἄλλης περιστροφικῆς κινήσεως, νὰ ἀγωνίζεται νὰ ἐξομοιωθῇ μὲ τὸ γένος τῶν γυναικῶν, χωρὶς νὰ λογαριάζῃ οὔτε τὴν αἰσχύνην, οὔτε τὴν δυσκολίαν; Ποῖος πάλιν δὲν θὰ ἐκπλαγῇ βλέπων ἐκείνους ποὺ σύρονται ἐπάνω εἰς τὴν ὀρχήστραν καὶ μὲ μεγάλην εὐκολίαν κινοῦν τὰ μέλη τοῦ σώματός των, ὡσὰν νὰ εἶναι φτερά; Ἐκεῖνοι πάλιν ποὺ πετοῦν εἰς τὸν ἀέρα ἐναλλὰξ μαχαίρια, καὶ τὰ πιάνουν πάλιν ὅλα ἀπὸ τὴν λαβήν, ποῖον, ἀπὸ αὐτοὺς ποὺ δὲν θέλουν νὰ κοπιάσουν διὰ τὴν ἀρετήν, δὲν θὰ κατεντροπιάσουν; Ἢ τί ἠμπορεῖ νὰ εἰπῇ κανεὶς διὰ τοὺς ἄνδρας ἐκείνους, οἱ ὁποῖοι βαστάζουν ἐπάνω εἰς τὸ μέτωπόν των κοντάρι, καὶ τὸ κρατοῦν τόσον ἀκίνητον, ὡσὰν δένδρον ριζωμένον εἰς τὴν γῆν; Καὶ δὲν εἶναι μόνον τοῦτο τὸ ἀξιοθαύμαστον, ἀλλὰ καὶ τὸ ὅτι ἐξασκοῦν μικρὰ παιδιὰ νὰ παλαίουν μεταξύ των ἱστάμενα εἰς τὸ ἄκρον ξύλου,

τι τοῦ σώματος μέρος, ἀλλὰ τὸ μέτωπον μόνον δεσμοῦ παντὸς ἀσφαλέστερον φέρει τὸν κόντον ἐκεῖνον ἄσειστον. Ἕτερος πάλιν ἐπὶ σχοίνου στενωτάτης μετὰ τοσαύτης ἀδείας βαδίζει, μεθ' ὅσης οἱ τὰ ὕπτια πεδία κατατρέχοντες. Ἀλλ' ὅμως ταῦτα τὰ καὶ ταῖς ἐννοίαις ἀφόρητα εἶναι δοκοῦντα, τῇ τέχνῃ γέγονε δυνατά.

Τί τούτων ἔχομεν εἰπεῖν ἐπὶ τῶν ὅρκων, εἰπέ μοι; ποίαν δυσκολίαν; ποῖον ἱδρῶτα; ποίαν τέχνην; ποῖον κίνδυνον; Ὀλίγης χρεία σπουδῆς μόνον ἡμῖν, καὶ ταχέως τὸ πᾶν ἡμῖν ἀνυσθήσεται. Καὶ μή μοι λέγε, ὅτι τὸ πλέον κατώρθωσα, ἀλλ' εἰ μὴ τὸ πᾶν κατώρθωσας, μηδὲν μηδέπω πεποιηκέναι νόμιζε· τὸ γὰρ ὀλίγον τοῦτο ἀμεληθὲν καὶ τὸ λοιπὸν ἅπαν καθαιρεῖ. Πολλάκις γοῦν οἰκίας οἰκοδομήσαντες ἄνθρωποι, καὶ τὸν ὄροφον ἐπιθέντες, μιᾶς κεραμίδος ἀποτιναχθείσης, μὴ ποιησάμενοι σπουδήν, ὁλόκληρον τὸν οἶκον ἀπώλεσαν. Καὶ ἐπὶ ἱματίων δὲ τὸ αὐτὸ τοῦτο συμβαῖνον ἴδοι τις ἄν· καὶ γὰρ καὶ ἐκεῖ μικρὸν ῥῆγμα γενόμενον καὶ μὴ ῥαφέν, πολὺ τὸ σχίσμα ἐποίησε. Τοῦτο καὶ ἐπὶ τῶν χειμάρρων συμβαίνει πολλάκις· καὶ γὰρ ἐκεῖνοι μικρᾶς ἂν ἐπιλάβωνται μόνον εἰσόδου, ὁλόκληρον τὸ ῥεῦμα εἰσάγουσι. Καὶ σὺ τοίνυν εἰ καὶ πάντοθεν σαυτὸν ἐτείχισας, μικρὸν δὲ ὑπολείπεται μέρος λοιπόν, καὶ τοῦτο ἀπόφραξον τῷ διαβόλῳ, ἵνα ἐστηριγμένος ᾖς πάντοθεν.

Εἶδες τὴν δρεπάνην; εἶδες τὴν κεφαλὴν Ἰωάννου; ἤκουσας τῆς ἱστορίας τῆς κατὰ τὸν Σαούλ; ἤκουσας τῆς αἰχμαλωσίας τῆς Ἰουδαϊκῆς τὸν τρόπον; Μετὰ δὲ τούτων πάντων ἤκουσας τῆς ἀποφάσεως τοῦ Χριστοῦ λεγούσης, ὅτι οὐ τὸ ἐπιορκεῖν μόνον, ἀλλὰ καὶ τὸ ὀμνύειν ὁπωσοῦν διαβολικόν ἐστι, καὶ ὅλον τοῦ πονηροῦ τὸ κατασκεύασμα; Ἔμαθες ὅτι πανταχοῦ τοῖς ὅρκοις ἕπονται ἐπιορκίαι; Ταῦτα δὲ πάντα συναγαγὼν ἔγγραψον τῇ διανοίᾳ σου. Οὐχ ὁρᾷς, πῶς αἱ

καὶ οὔτε εἰς τὰ χέρια ἢ εἰς ἄλλο μέρος τοῦ σώματος, ἀλλὰ εἰς τὸ μέτωπον νὰ βαστάζουν ἀκίνητον τὸ κοντάρι ἐκεῖνο. Ἄλλος πάλιν ἐπάνω εἰς στενὸν σχοινίον, τόσον ἄφοβα καὶ εὔκολα βαδίζει, μὲ ὅσην εὐκολίαν βαδίζομεν εἰς ὁμαλὴν πεδιάδα. Καὶ ὅμως αὐτὰ τὰ ὁποῖα φαίνονται εἰς τὴν σκέψιν μας ὅτι εἶναι ἀκατώρθωτα, μὲ τὴν ἐξάσκησιν κατορθοῦνται.

Τί ἔχομεν νὰ εἰποῦμεν ἀπὸ αὐτὰ διὰ τοὺς ὅρκους, εἰπέ μου; Ποίαν δυσκολίαν; Ποῖον κόπον; Ποίαν ἐξάσκησιν; Ποῖον κίνδυνον; Χρειάζεται ὀλίγη προθυμία μόνον καὶ σύντομα τὰ πάντα θὰ τὰ κατορθώσωμεν. Καὶ μὴ μοῦ λέγῃς ὅτι τὸ περισσότερον μέρος τῆς ἐντολῆς τὸ κατώρθωσα, διότι ἐὰν δὲν ἐπιτύχῃς τελείως νὰ ἐφαρμόσῃς αὐτήν, νὰ μὴ νομίζῃς ὅτι ἔκαμες τίποτε· διότι αὐτὸ τὸ ὀλίγον ποὺ ἔμεινε νὰ κάμῃς, καταστρέφει ὁλόκληρον ἐκεῖνο ποὺ ἔκαμες. Διότι πολλὲς φορὲς οἱ ἄνθρωποι ἀφοῦ ἔκτισαν σπίτι καὶ τὸ ἐσκέπασαν, ἐὰν μία κεραμίδα ξεφύγῃ ἀπὸ τὴν στέγην, ὁλόκληρον τὸ σπίτι ἔχασαν. Καὶ εἰς τὰ ἐνδύματα τὸ ἴδιον ἠμπορεῖ νὰ ἰδῇ κανεὶς νὰ γίνεται· διότι καὶ ἐκεῖ μικρὸν σχίσιμον, ἂν δὲ ραφῇ, ἠμπορεῖ νὰ γίνῃ μεγάλο. Τὸ ἴδιον καὶ εἰς τοὺς χειμάρρους συμβαίνει πολλάκις· διότι καὶ ἐκεῖνοι ἂν ἀνοίξουν μικρὰν μόνον εἴσοδον, ὁλόκληρον τὸ ρεῦμα τους βάζουν μέσα. Καὶ σὺ λοιπὸν καὶ ἂν ἀκόμα ἀπὸ παντοῦ ἔχῃς περιτειχίσει τὸν ἑαυτόν σου, καὶ μικρὸν μέρος ὑπολείπεται ἀκόμη ἀτείχιστον, κλεῖσε καὶ τοῦτο εἰς τὸν διάβολον, διὰ νὰ εἶσαι ἀπὸ παντοῦ ἀσφαλής.

Εἶδες τὸ δρεπάνι; Εἶδες τὴν κεφαλὴν τοῦ Ἰωάννου; Ἤκουσες τὴν ἱστορίαν διὰ τὸν Σαούλ; Ἤκουσες τὸν τρόπον τῆς ἰουδαϊκῆς αἰχμαλωσίας; Καὶ μετὰ ἀπὸ ὅλα αὐτὰ ἤκουσες καὶ τὴν ἀπόφασιν τοῦ Χριστοῦ ποὺ λέγει ὅτι ὄχι μόνον ἡ ἐπιορκία, ἀλλὰ καὶ ὁ ὅρκος εἶναι ὁπωσδήποτε διαβολικὸν ἔργον καὶ ὁλόκληρον κατασκεύασμα τοῦ διαβόλου; Ἔμαθες ὅτι παντοῦ εἰς τοὺς ὅρκους ἀκολουθοῦν ἐπιορκίαι; Ὅλα λοιπὸν αὐτὰ ἀφοῦ τὰ συγκεντρώσῃς γράψε τα εἰς τὴν διάνοιάν σου. Δὲν βλέπεις πῶς αἱ γυναῖκες καὶ τὰ μικρὰ

γυναῖκες, καὶ τὰ μικρὰ παιδία ἀντὶ φυλακῆς μεγάλης εὐαγγέλια ἐξαρτῶσι τοῦ τραχήλου, καὶ πανταχοῦ περιφέρουσιν, ὅπου περ ἂν ἀπίωσιν; Σὺ τὰ παραγγέλματα τοῦ εὐαγγελίου καὶ τοὺς νόμους ἔγγραψόν σου τῇ διανοίᾳ. Οὐ χρεία χρυσίου καὶ κτημάτων ἐνταῦθα, οὔτε βιβλίον πρίασθαι, προαιρέσεως δὲ μόνης, καὶ διαθέσεως ψυχῆς διεγηγερμένης, καὶ ἀσφαλέστερον ἕξεις τὸ εὐαγγέλιον, οὐκ ἔξωθεν περιφέρων, ἀλλ' ἔνδον αὐτὸ τοῖς τῆς ψυχῆς ἀποτιθέμενος ταμείοις.

Ἀνιστάμενος τοίνυν ἀπὸ τῆς κλίνης, καὶ τὴν οἰκίαν ἐκβαίνων τὴν σεαυτοῦ, τὸν νόμον ἐπίλεγε τοῦτον, «Ἐγὼ δὲ λέγω ὑμῖν, μὴ ὀμόσαι ὅλως», καὶ ἔσται σοι διδασκαλία τὸ ῥῆμα· οὐδὲ γὰρ πολλοῦ δεῖ πόνου, ἀλλὰ μικρᾶς προσοχῆς μόνον. Καὶ ὅτι τοῦτό ἐστιν ἀληθές, εὔδηλον ἐκεῖθεν· τὸν υἱόν σου καλέσας φόβησον, καὶ ἀπείλησον αὐτῷ ἐπιθήσειν πληγὰς ὀλίγας, εἰ μὴ κατορθώσειε τὸν νόμον τοῦτον, καὶ ὄψει ὡς εὐθέως ἀποστήσεται τῆς συνηθείας. Πῶς οὖν οὐκ ἄτοπον, εἰ τὰ μὲν μικρὰ παιδία τὸν παρ' ἡμῶν δεδοικότα φόβον περιγένοιτο τῆς ἐντολῆς ἡμεῖς δὲ μηδὲ οὕτω φοβούμεθα τὸν Θεόν, ὡς ἡμᾶς οἱ υἱοὶ δεδοίκασιν;

Ὅπερ οὖν καὶ πρῴην εἶπον, τοῦτο καὶ νῦν λέγω. Νόμον ἑαυτοῖς θῶμεν, μὴ πρότερον δημοσίων, μὴ ἰδιωτικῶν ἅψασθαι πραγμάτων, ἕως ἂν τοῦτον ἐκπληρώσωμεν τὸν νόμον, καὶ πάντως ὑπὸ τῆς ἀνάγκης συνωθούμενοι περιεσόμεθα ῥᾳδίως, καὶ κοσμήσομεν μὲν ἑαυτούς, κοσμήσομεν δὲ τὴν πόλιν ἅπασαν. Ἐννόησον γὰρ ἡλίκον ἐστὶ πανταχοῦ τῆς οἰκουμένης ταῦτα ἀκούειν, ὡς ἐν Ἀντιοχείᾳ κεκράτηκεν ἔθος Χριστιανοῖς πρέπον, καὶ οὐδενὸς ἀκούσῃ, κἂν μεγίστη ἀνάγκη ἐπίκειται, ὅρκον προϊεμένου. Πάντως ἀκούσονται ταῦτα αἱ γείτονες πόλεις· μᾶλλον δὲ οὐχ αἱ γείτονες μόνον, ἀλλὰ καὶ

---

28. Ματθ. 5, 34.

παιδιὰ κρεμοῦν ἀπὸ τὸν λαιμόν τους μεγάλα εὐαγγέλια ὡς φυλακτὰ καὶ τὰ περιφέρουν παντοῦ ὅπου καὶ ἂν μεταβοῦν; Σὺ νὰ ἐγγράψῃς εἰς τὸν νοῦν σου τὰ παραγγέλματα τοῦ εὐαγγελίου καὶ τοὺς νόμους. Δὲν εἶναι ἀνάγκη χρυσοῦ καὶ κτημάτων ἐδῶ, οὔτε νὰ ἀγοράσῃς βιβλίον, ἀλλὰ μόνον προαίρεσις καὶ διάθεσις ψυχῆς διεγηρμένης, καὶ ἔτσι κατὰ ἀσφαλέστερον τρόπον θὰ ἔχῃς τὸ εὐαγγέλιον, καὶ δὲν θὰ τὸ περιφέρῃς ἐξωτερικῶς, ἀλλὰ θὰ τὸ ἔχῃς φυλαγμένον μέσα εἰς τὰ ταμεῖα τῆς ψυχῆς σου.

Ὅταν λοιπὸν σηκώνεσαι τὸ πρωὶ ἀπὸ τὸ κρεββάτι καὶ βγαίνῃς ἀπὸ τὸ σπίτι σου νὰ λέγῃς αὐτὸν τὸν νόμον «Ἐγὼ δὲ σᾶς λέγω νὰ μὴ ὀρκίζεσθε καθόλου»[28] καὶ θὰ σοῦ εἶναι τὸ ρητὸν αὐτὸ διδασκαλία· διότι δὲν χρειάζεται πολὺς κόπος, ἀλλὰ μικρὰ μόνον προσοχή. Καὶ ὅτι τοῦτο εἶναι ἀληθές, εἶναι εὔδηλον ἀπὸ τὸ ἑξῆς· ἀφοῦ καλέσῃς τὸν υἱόν σου, φοβέρισέ τον καὶ ἀπείλησέ τον ὅτι θὰ τὸν δείρῃς, ἐὰν δὲν κατορθώσῃ νὰ τηρήσῃ τὸν νόμον τοῦτον, καὶ θὰ ἰδῇς πῶς ἀμέσως θὰ ἀπομακρυνθῇ ἀπὸ τὴν συνήθειαν αὐτήν. Πῶς λοιπὸν δὲν θὰ εἶναι ἄτοπον, ἀφοῦ τὰ μὲν μικρὰ παιδιὰ λόγῳ τοῦ φόβου μας νὰ τηροῦν τὴν ἐντολήν, ἡμεῖς δὲ νὰ μὴ φοβούμεθα τὸν Θεόν, ὅσον μᾶς φοβοῦνται τὰ παιδιά μας;

Ἐκεῖνο λοιπὸν ποὺ εἶπα προηγουμένως, καὶ τώρα σᾶς λέγω. Νὰ θέσωμεν εἰς τοὺς ἑαυτούς μας νόμον, ὅτι δὲν θὰ συμμετάσχωμεν εἰς κάθε δημοσίαν καὶ ἰδιωτικὴν ἐργασίαν πρὶν ἢ τηρήσωμεν τὸν νόμον αὐτόν, καὶ ὁπωσδήποτε πιεζόμενοι ἀπὸ τὴν ἀνάγκην, θὰ ὑπερισχύσωμεν εὐκόλως, καὶ θὰ στολίσωμεν τοὺς ἑαυτούς μας, καὶ θὰ στολίσωμεν τὴν πόλιν ὅλην. Διότι σκέψου πόσον μεγάλο πρᾶγμα εἶναι νὰ ἀκούγωνται αὐτὰ εἰς ὁλόκληρον τὴν οἰκουμένην, ὅτι εἰς τὴν Ἀντιόχειαν ἐπεκράτησε συνήθεια ποὺ ἁρμόζει εἰς τοὺς Χριστιανούς, διότι ἐκεῖ ἀπὸ τὸ στόμα κανενὸς δὲν θὰ ἀκούσῃς νὰ βγαίνῃ ὅρκος ἔστω καὶ ἂν τὸ ἐπιβάλλῃ μεγάλη ἀνάγκη. Ὁπωσδήποτε θὰ ἀκούσουν αὐτὰ αἱ γειτονικαὶ πόλεις· καὶ μᾶλλον ὄχι αἱ γειτονικαὶ μόνον ἀλλὰ καὶ εἰς τὰ πέρατα τῆς

πρὸς αὐτὰ τὰ πέρατα τῆς γῆς ὁ λόγος ἀφίξεται· καὶ γὰρ εἰκός, καὶ ὑμῖν ἐπιμιγνυμένους ἐμπόρους, καὶ ἐντεῦθεν ἑτέρους ἀφικνουμένους ταῦτα ἀπαγγέλλειν ἅπαντα.

Ὅταν οὖν ἄλλας πόλεις ἐγκωμιάζοντες πολλοὶ λιμένας λέγωσι, καὶ ἀγοράν, καὶ ἀφθονίαν ὠνίων, δότε τοῖς ἐντεῦθεν ἀφικνουμένοις λέγειν, ὅτι ὅπερ ἐστὶν ἐν Ἀντιοχείᾳ, τοῦτο οὐδαμοῦ τῶν ἄλλων πόλεων ἐστὶν ἰδεῖν· ἕλοιντο γὰρ ἂν οἱ ἄνθρωποι οἱ τὴν πόλιν ἐκείνην οἰκοῦντες τὴν γλῶτταν ἐκκοπῆναι πρότερον, ἢ ὅρκον ἀπὸ τοῦ στόματος προέσθαι. Τοῦτο ὑμῖν κόσμος ἔσται καὶ ἀσφάλεια· οὐ μόνον δέ, ἀλλὰ καὶ μισθὸν οἴσει πολύν. Καὶ γὰρ πάντως ζηλώσουσιν ὑμᾶς ἕτεροι, καὶ μιμήσονται· εἰ γὰρ ἕνα τις καὶ δύο κερδάνας τοσοῦτον λήψεται μισθὸν παρὰ τοῦ Θεοῦ, οἱ τὴν οἰκουμένην ἅπασαν παιδεύοντες πόσας οὐ λήψεσθε τὰς ἀμοιβάς;

Χρὴ τοίνυν σπουδάζειν, καὶ ἐγρηγορέναι καὶ νήφειν, εἰδότας ὡς οὐχὶ τῶν οἰκείων κατορθωμάτων μόνον, ἀλλὰ καὶ τῶν ἑτέροις κατορθουμένων ἀντίδοσιν ληψόμεθα μεγίστην, καὶ πολλῆς παρὰ τοῦ Θεοῦ τῆς εὐνοίας ἀπολαύσομεν· ἧς γένοιτο διηνεκῶς πάντας ἡμᾶς ἀπολαύσαντας τυχεῖν τῆς βασιλείας τῶν οὐρανῶν, ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν, ᾧ ἡ δόξα, καὶ τὸ κράτος σὺν τῷ Πατρί, καὶ τῷ ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

γῆς θὰ φθάσῃ ὁ λόγος· καὶ ὡς εἶναι φυσικὸν τοῦτο, ἐπειδὴ καὶ σεῖς ἔρχεσθε εἰς ἐπικοινωνίαν μὲ ἐμπόρους καὶ ἀναχωροῦν ἀπὸ ἐδῶ πολλοὶ δι' ἄλλα μέρη, αὐτοὶ θὰ ἀναγγείλουν ὅλα αὐτά.

Ὅταν λοιπὸν πολλοί, προκειμένου νὰ ἐγκωμιάσουν ἄλλας πόλεις, ἀναφέρουν τὰ λιμάνια καὶ τὴν ἀγορὰν καὶ τὴν ἀφθονίαν τῶν τροφίμων, κάμετε ἐκείνους ποὺ θὰ φεύγουν ἀπὸ ἐδῶ νὰ λέγουν ὅτι αὐτὸ ποὺ εἶναι εἰς τὴν Ἀντιόχειαν, τοῦτο εἰς καμμίαν ἄλλην πόλιν δὲν ἠμπορεῖ νὰ τὸ ἰδῇ· διότι οἱ κάτοικοι αὐτῆς θὰ ἐπροτιμοῦσαν νὰ τοὺς κοπῇ προηγουμένως ἡ γλῶσσα, παρὰ νὰ ἀφήσουν νὰ τοὺς φύγῃ ὅρκος ἀπὸ τὸ στόμα τους. Αὐτὸ θὰ εἶναι εἰς σᾶς στολισμὸς καὶ ἀσφάλεια· καὶ ὄχι μόνον στολισμὸν καὶ ἀσφάλειαν, ἀλλὰ καὶ μισθὸν πολὺν θὰ φέρῃ. Καὶ ὁπωσδήποτε θὰ μᾶς ζηλέψουν καὶ ἄλλοι καὶ θὰ μᾶς μιμηθοῦν· διότι ἐὰν κάποιος κερδίσῃ ἕνα καὶ δύο θὰ λάβῃ τόσον πολὺν μισθὸν ἀπὸ τὸν Θεόν, σεῖς ποὺ μὲ τὸ παράδειγμά σας διδάσκετε τὴν οἰκουμένην, πάσας ἀμοιβὰς θὰ λάβετε;

Πρέπει λοιπὸν νὰ ἔχωμεν προθυμίαν, ἐγρήγορσιν καὶ νηφαλιότητα, γνωρίζοντες ὅτι ὄχι μόνον ἀπὸ τὰ ἰδικά μας πνευματικὰ κατορθώματα, ἀλλὰ καὶ ἀπὸ τὰ κατορθώματα τῶν ἄλλων, τοὺς ὁποίους ἐδιδάξαμεν, μεγίστην ἀμοιβὴν θὰ λάβωμεν καὶ πολλὴν παρὰ τοῦ Θεοῦ εὔνοιαν θὰ ἀπολαύσωμεν, τὴν ὁποίαν εἴθε διαρκῶς ὅλοι ἡμεῖς ἀφοῦ τὴν ἀπολαύσωμεν νὰ ἐπιτύχωμεν τῆς βασιλείας τῶν οὐρανῶν διὰ τοῦ Ἰησοῦ Χριστοῦ τοῦ Κυρίου ἡμῶν, εἰς τὸν ὁποῖον ἀνήκει δόξα καὶ κράτος μαζὶ μὲ τὸν Πατέρα καὶ τὸ ἅγιον Πνεῦμα, τώρα καὶ πάντοτε καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ΟΜΙΛΙΑ ΕΙΚΟΣΤΗ

ΟΤΙ ΟΥΚ ΑΡΚΕΙ Η ΝΗΣΤΕΙΑ ΤΗΣ ΤΕΣΣΑΡΑΚΟΣΤΗΣ *πρὸς τὸ δύνασθαι κοινωνεῖν, ἀλλὰ καὶ δεῖ τῆς κατὰ ψυχὴν ἀρετῆς πρώτης· καὶ πῶς δυνατὸν μὴ μνησικακεῖν, καὶ ὅτι πολὺς τῷ Θεῷ τοῦ νόμου τούτου λόγος, καί ὅτι πρὸ τῆς γεέννης τὸ μνησικακεῖν κολάζει τοὺς ἁλόντας· καὶ περὶ τῆς τῶν ὅρκων ἀποχῆς, καὶ περὶ τῶν μὴ κατωρθωκότων τὸ μὴ ὀμνύειν.*

1. Πρὸς τὸ τέλος ἡμῖν τῆς νηστείας λοιπὸν ὁ καιρὸς ἐπείγεται, οὐκοῦν καὶ ἡμεῖς πρὸς πλείονα ἑαυτοὺς ἐπιδῶμεν ἀρετήν. Ὥσπερ γὰρ οὐδὲν ὄφελος τῶν πολλῶν διαύλων τοῖς τρέχουσιν, ἂν τῶν βραβείων ἐκπέσωσιν· οὕτως οὐδὲ ἡμῖν ἔσται τι κέρδος ἀπὸ τῶν πολλῶν πόνων καὶ ἱδρώτων τῶν περὶ τὴν νηστείαν, ἐὰν μὴ μετὰ καθαροῦ συνειδότος δυνηθῶμεν τῆς ἱερᾶς ἀπολαῦσαι τραπέζης. Διὰ τοῦτο νηστεία καὶ τεσσαρακοστή, καὶ τοσούτων ἡμερῶν συνάξεις, καὶ ἀκροάσεις, καὶ εὐχαί, καὶ διδασκαλίαι, ἵνα παντὶ τρόπῳ τὰ παρὰ πάντα τὸν ἐνιαυτὸν ἡμῖν ἁμαρτήματα προστριβέντα διὰ τῆς σπουδῆς ταύτης τῶν θεϊκῶν ἐνταλμάτων ἀποσμηξάμενοι, μετὰ παρρησίας πνευματικῆς μετάσχωμεν εὐλαβῶς τῆς ἀναιμάκτου ἐκείνης θυσίας, ὡς ἂν μὴ τοῦτο ᾖ, μάτην καὶ εἰκῇ καὶ ἐπ' οὐδενὶ χρησίμῳ τὸν τοσοῦτον ὑπέστημεν πόνον.

Ἕκαστος τοίνυν ἀναλογιζέσθω παρ' ἑαυτῷ, ποῖον ἐλάττωμα διώρθωσε, ποῖον κατόρθωμα προσεκτήσατο, ποίαν ἁμαρτίαν ἀπενίψατο, κατὰ τί βελτίων ἐγένετο· κἂν μὲν εὕρῃ πλέον τι γενόμενον ἀπὸ τῆς νηστείας ἑαυτῷ πρὸς τὴν καλὴν

ΟΜΙΛΙΑ ΕΙΚΟΣΤΗ

ΟΤΙ ΔΕΝ ΑΡΚΕΙ Η ΝΗΣΤΕΙΑ ΤΗΣ ΤΕΣΣΑΡΑΚΟΣΤΗΣ

διὰ νὰ ἠμπορῇ κάποιος νὰ μεταλάβῃ, ἀλλὰ χρειάζεται καὶ ἡ ἀρετὴ τῆς ψυχῆς πρώτη· καὶ πῶς ἠμπορεῖ κανεὶς νὰ μὴ μνησικακῇ καὶ ὅτι πολὺ ἐνδιαφέρεται ὁ Θεὸς διὰ τὸν νόμον τοῦτον, καὶ ὅτι τιμωρεῖ πρὸ τῆς γεέννης ἡ μνησικακία ἐκείνους ποὺ τὴν ἔχουν· καὶ περὶ τῆς ἀποχῆς ἀπὸ τοὺς ὅρκους, καὶ περὶ ἐκείνων ποὺ δὲν κατώρθωσαν νὰ μὴ ὁρκίζωνται.

1. Πρὸς τὸ τέλος τῆς νηστείας φτάνει πλέον ὁ καιρὸς δι' ἡμᾶς τώρα, καὶ ἡμεῖς λοιπὸν ἂς ἐπιδοθῶμεν εἰς μεγαλυτέραν ἀρετήν. Διότι ὅπως δὲν ὑπάρχει καμμία ὠφέλεια δι' αὐτοὺς ποὺ τρέχουν ἀγῶνα δρόμου ἀπὸ τὰ πολλὰ τρεξίματα, ἂν χάσουν τὰ βραβεῖα, ἔτσι καὶ εἰς ἡμᾶς δὲν θὰ ὑπάρξῃ κάποιο κέρδος ἀπὸ τοὺς πολλοὺς κόπους καὶ ἱδρῶτας ποὺ ἐκάμαμε διὰ τὴν νηστείαν, ἐὰν δὲν ἠμπορέσωμεν μὲ καθαρὰν συνείδησιν νὰ ἀπολαύσωμεν τὴν ἱερὰν τράπεζαν. Διὰ τοῦτο καὶ τεσσαρακοστὴ καὶ συγκεντρώσεις τόσων ἡμερῶν, καὶ ἀκροάσεις, καὶ προσευχαὶ καὶ διδασκαλίαι, ὅπως μὲ κάθε τρόπον, τὰ ἁμαρτήματα ποὺ ἐπεκτάθησαν εἰς τὴν ψυχήν μας καθ' ὅλον τὸν χρόνον, διὰ τῆς προθυμίας αὐτῆς πρὸς συμμόρφωσιν μὲ τὰς θείας ἐντολὰς νὰ τὰ ἀποπλύνωμεν καὶ ἔτσι μὲ θάρρος πνευματικὸν νὰ μετάσχωμεν εὐλαβῶς τῆς ἀναιμάκτου ἐκείνης θυσίας, διότι ἂν δὲν γίνῃ τοῦτο, ματαίως καὶ ἀσκόπως καὶ χωρὶς ὠφέλειαν ὑπεβλήθημεν εἰς τόσον κόπον.

Κάθε ἕνας λοιπὸν ἂς ἀναλογισθῇ μόνος του, ποῖον ἐλάττωμα διώρθωσε, ποίαν ἀρετὴν ἀπέκτησε, ποίαν ἁμαρτίαν ἐκαθάρισε, κατὰ τί ἔγινε καλύτερος· καὶ ἂν μὲν εὕρῃ ὅτι κάτι ἐκέρδισεν ἀπὸ τὴν νηστείαν εἰς τὴν καλὴν αὐτὴν πνευ-

ΟΜΙΛΙΑ ΕΙΚΟΣΤΗ

ΟΤΙ ΟΥΚ ΑΡΚΕΙ Η ΝΗΣΤΕΙΑ ΤΗΣ ΤΕΣΣΑΡΑΚΟΣΤΗΣ *πρὸς τὸ δύνασθαι κοινωνεῖν, ἀλλὰ καὶ δεῖ τῆς κατὰ ψυχὴν ἀρετῆς πρώτης· καὶ πῶς δυνατὸν μὴ μνησικακεῖν, καὶ ὅτι πολὺς τῷ Θεῷ τοῦ νόμου τούτου λόγος, καί ὅτι πρὸ τῆς γεέννης τὸ μνησικακεῖν κολάζει τοὺς ἁλόντας· καὶ περὶ τῆς τῶν ὅρκων ἀποχῆς, καὶ περὶ τῶν μὴ κατωρθωκότων τὸ μὴ ὀμνύειν.*

1. Πρὸς τὸ τέλος ἡμῖν τῆς νηστείας λοιπὸν ὁ καιρὸς ἐπείγεται, οὐκοῦν καὶ ἡμεῖς πρὸς πλείονα ἑαυτοὺς ἐπιδῶμεν ἀρετήν. Ὥσπερ γὰρ οὐδὲν ὄφελος τῶν πολλῶν διαύλων τοῖς τρέχουσιν, ἂν τῶν βραβείων ἐκπέσωσιν· οὕτως οὐδὲ ἡμῖν ἔσται τι κέρδος ἀπὸ τῶν πολλῶν πόνων καὶ ἱδρώτων τῶν περὶ τὴν νηστείαν, ἐὰν μὴ μετὰ καθαροῦ συνειδότος δυνηθῶμεν τῆς ἱερᾶς ἀπολαῦσαι τραπέζης. Διὰ τοῦτο νηστεία καὶ τεσσαρακοστή, καὶ τοσούτων ἡμερῶν συνάξεις, καὶ ἀκροάσεις, καὶ εὐχαί, καὶ διδασκαλίαι, ἵνα παντὶ τρόπῳ τὰ παρὰ πάντα τὸν ἐνιαυτὸν ἡμῖν ἁμαρτήματα προστριβέντα διὰ τῆς σπουδῆς ταύτης τῶν θεϊκῶν ἐνταλμάτων ἀποσμηξάμενοι, μετὰ παρρησίας πνευματικῆς μετάσχωμεν εὐλαβῶς τῆς ἀναιμάκτου ἐκείνης θυσίας, ὡς ἂν μὴ τοῦτο ᾖ, μάτην καὶ εἰκῇ καὶ ἐπ' οὐδενὶ χρησίμῳ τὸν τοσοῦτον ὑπέστημεν πόνον.

Ἕκαστος τοίνυν ἀναλογιζέσθω παρ' ἑαυτῷ, ποῖον ἐλάττωμα διώρθωσε, ποῖον κατόρθωμα προσεκτήσατο, ποίαν ἁμαρτίαν ἀπενίψατο, κατὰ τί βελτίων ἐγένετο· κἂν μὲν εὕρῃ πλέον τι γενόμενον ἀπὸ τῆς νηστείας ἑαυτῷ πρὸς τὴν καλὴν

ΟΜΙΛΙΑ ΕΙΚΟΣΤΗ

ΟΤΙ ΔΕΝ ΑΡΚΕΙ Η ΝΗΣΤΕΙΑ ΤΗΣ ΤΕΣΣΑΡΑΚΟΣΤΗΣ

διὰ νὰ ἠμπορῇ κάποιος νὰ μεταλάβῃ, ἀλλὰ χρειάζεται καὶ ἡ ἀρετὴ τῆς ψυχῆς πρώτη· καὶ πῶς ἠμπορεῖ κανεὶς νὰ μὴ μνησικακῇ καὶ ὅτι πολὺ ἐνδιαφέρεται ὁ Θεὸς διὰ τὸν νόμον τοῦτον, καὶ ὅτι τιμωρεῖ πρὸ τῆς γεέννης ἡ μνησικακία ἐκείνους ποὺ τὴν ἔχουν· καὶ περὶ τῆς ἀποχῆς ἀπὸ τοὺς ὅρκους, καὶ περὶ ἐκείνων ποὺ δὲν κατώρθωσαν νὰ μὴ ὁρκίζωνται.

1. Πρὸς τὸ τέλος τῆς νηστείας φτάνει πλέον ὁ καιρὸς δι' ἡμᾶς τώρα, καὶ ἡμεῖς λοιπὸν ἂς ἐπιδοθῶμεν εἰς μεγαλυτέραν ἀρετήν. Διότι ὅπως δὲν ὑπάρχει καμμία ὠφέλεια δι' αὐτοὺς ποὺ τρέχουν ἀγῶνα δρόμου ἀπὸ τὰ πολλὰ τρεξίματα, ἂν χάσουν τὰ βραβεῖα, ἔτσι καὶ εἰς ἡμᾶς δὲν θὰ ὑπάρξῃ κάποιο κέρδος ἀπὸ τοὺς πολλοὺς κόπους καὶ ἱδρῶτας ποὺ ἐκάμαμε διὰ τὴν νηστείαν, ἐὰν δὲν ἠμπορέσωμεν μὲ καθαρὰν συνείδησιν νὰ ἀπολαύσωμεν τὴν ἱερὰν τράπεζαν. Διὰ τοῦτο καὶ τεσσαρακοστὴ καὶ συγκεντρώσεις τόσων ἡμερῶν, καὶ ἀκροάσεις, καὶ προσευχαὶ καὶ διδασκαλίαι, ὅπως μὲ κάθε τρόπον, τὰ ἁμαρτήματα ποὺ ἐπεκτάθησαν εἰς τὴν ψυχήν μας καθ' ὅλον τὸν χρόνον, διὰ τῆς προθυμίας αὐτῆς πρὸς συμμόρφωσιν μὲ τὰς θείας ἐντολὰς νὰ τὰ ἀποπλύνωμεν καὶ ἔτσι μὲ θάρρος πνευματικὸν νὰ μετάσχωμεν εὐλαβῶς τῆς ἀναιμάκτου ἐκείνης θυσίας, διότι ἂν δὲν γίνῃ τοῦτο, ματαίως καὶ ἀσκόπως καὶ χωρὶς ὠφέλειαν ὑπεβλήθημεν εἰς τόσον κόπον.

Κάθε ἕνας λοιπὸν ἂς ἀναλογισθῇ μόνος του, ποῖον ἐλάττωμα διώρθωσε, ποίαν ἀρετὴν ἀπέκτησε, ποίαν ἁμαρτίαν ἐκαθάρισε, κατὰ τί ἔγινε καλύτερος· καὶ ἂν μὲν εὕρῃ ὅτι κάτι ἐκέρδισεν ἀπὸ τὴν νηστείαν εἰς τὴν καλὴν αὐτὴν πνευ-

ταύτην ἐμπορίαν, καὶ συνίδῃ πολλὴν ἑαυτῷ πεποιημένῳ τῶν τραυμάτων τὴν ἐπιμέλειαν, προσερχέσθω· εἰ δὲ ἠμελημένος ἔμεινε, νηστείαν μόνον ἔχων ἐπιδείξασθαι, τῶν δὲ ἄλλων οὐδὲν κατωρθωκώς, ἔξω μενέτω, καὶ τότε εἰσίτω, ὅταν ἅπαντα ἐκκαθάρῃ τὰ ἁμαρτήματα.

Μηδεὶς μόνῃ τῇ νηστείᾳ ἐπιστηριζέσθω, ἐὰν τοῖς κακοῖς ἔμεινεν ἀδιόρθωτος. Τὸν μὲν γὰρ νηστεύοντα εἰκὸς καὶ συγγνώμης τυχεῖν, σώματος ἀσθένειαν προβαλλόμενον, τὸν δὲ μὴ διορθώσαντα ἑαυτοῦ τὰ πλημμελήματα, ἀμήχανον ἀπολογίας τυχεῖν. Οὐκ ἐνήστευσας διὰ τὴν τῆς σαρκὸς ἀσθένειαν· τοῖς ἐχθροῖς σου τίνος ἕνεκεν οὐ κατηλλάγης, εἰπέ μοι; Μὴ καὶ ἐνταῦθα ἀσθένειαν σώματος προβαλέσθαι ἔχεις; Πάλιν ἂν βασκανίαν καὶ φθόνον μένῃς ἔχων, ποίαν ἕξεις ἀπολογίαν, εἰπέ μοι; Οὐδαμοῦ γὰρ ἐν τούτοις τοῖς ἐλαττώμασιν ἐπὶ σώματος ἀσθένειάν ἐστι καταφυγεῖν. Καὶ τοῦτο τῆς τοῦ Χριστοῦ φιλανθρωπίας ἔργον ἐγένετο, τὸ τὰς κυριωτάτας τῶν ἐντολῶν καὶ συνεχούσας ἡμῶν τὴν ζωὴν μηδὲν ἀπὸ τῆς τοῦ σώματος ἀσθενείας παραβλάπτεσθαι. Ἐπεὶ οὖν πάντων ὁμοίως δεόμεθα τῶν ἱερῶν νόμων, μάλιστα δὲ πάντων τοῦ κελεύοντος μηδένα ἔχειν ἐχθρόν, μηδὲ μένειν ὀργιζόμενον διηνεκῶς, ἀλλὰ καταλλάττεσθαι εὐθέως, φέρε περὶ ταύτης ὑμῖν διαλεχθῶμεν σήμερον τῆς ἐντολῆς.

Ὡς γὰρ τὸν πορνεύοντα καὶ τὸν βλασφημοῦντα ἀμήχανον μετασχεῖν τῆς ἱερᾶς τραπέζης, οὕτω τὸν ἐχθρὸν ἔχοντα καὶ μνησικακοῦντα ἀδύνατον ἀπολαῦσαι κοινωνίας ἁγίας· καὶ μάλα εἰκότως. Ὁ μὲν γὰρ πορνεύσας καὶ μοιχεύσας ὁμοῦ τε ἐπλήρωσε τὴν ἐπιθυμίαν, καὶ τέλος ἔδωκε τῇ ἁμαρτίᾳ, κἂν θελήσῃ νήψας ἀνενεγκεῖν ἀπὸ τοῦ πτώματος πολλὴν μετὰ ταῦτα ἐπιδειξάμενος τὴν μετάνοιαν, ἔχει τινὰ παραμυθίαν· ὁ δὲ μνησικακῶν καθ' ἑκάστην ἡμέραν ἐργάζεται τὴν ἁμαρτίαν, καὶ οὐδέποτε αὐτὴν ἀπαρτίζει. Ἐκεῖ γέγονε τὸ πλημ-

ματικὴν ἐμπορίαν καὶ γνωρίσῃ ὅτι ἐπεριποιήθη τὰ τραύματά του, ἂς προσέρχεται νὰ κοινωνήσῃ. Ἐὰν ὅμως ἔμεινεν εἰς τὴν ἀμέλειαν, καὶ ἔχῃ νὰ ἐπιδείξῃ μόνον νηστείαν, καὶ δὲν ἔχῃ κατορθώσει τίποτε ἀπὸ τὰ ἄλλα, ἂς μένῃ ἔξω, καὶ τότε μόνον νὰ εἰσέλθῃ, ὅταν καθαρίσῃ ὅλα τὰ ἁμαρτήματά του.

Κανεὶς ἂς μὴ στηρίζεται εἰς μόνην τὴν νηστείαν, ἐὰν ἔμεινεν ἀδιόρθωτος εἰς τὰ κακά. Διότι ἐκεῖνος ποὺ δὲν νηστεύει εἶναι φυσικὸν καὶ νὰ συγχωρηθῇ, ὅταν προβάλῃ ὡς δικαιολογίαν τὴν σωματικὴν ἀσθένειαν, ἐκεῖνος ὅμως ποὺ δὲν διώρθωσε τὰ ἁμαρτήματά του, δὲν ἠμπορεῖ νὰ ἀπολογηθῇ. Δὲν ἐνήστευσας λόγῳ τῆς σωματικῆς ἀσθενείας· εἰπέ μου ὅμως διὰ ποῖον λόγον δὲν συνεφιλιώθης μὲ τοὺς ἐχθρούς σου; Μήπως ἔχεις νὰ προβάλῃς καὶ ἐδῶ ἀσθένειαν σώματος; Πάλιν ἂν ἐξακολουθῇς νὰ ἔχῃς φθόνον καὶ βασκανίαν, εἰπέ μου ποίαν ἀπολογίαν θὰ ἔχῃς. Διότι δὲν ἠμπορεῖς διὰ τὰ ἐλαττώματα αὐτὰ νὰ προβάλλῃς ἀσθένειαν σώματος. Καὶ τοῦτο συνέβη ἐξ αἰτίας τῆς φιλανθρωπίας τοῦ Θεοῦ, τὸ ὅτι αἱ σπουδαιότεραι ἐντολαί, ποὺ συγκροτοῦν τὴν ζωήν μας νὰ μὴ παρεμποδίζωνται καθόλου ἀπὸ τὴν ἀσθένειαν τοῦ σώματος. Ἐπειδὴ λοιπὸν πρέπει νὰ τηροῦμε ὅλας τὰς ἐντολὰς ἐξ ἴσου, κυρίως ὅμως ἐκείνην ποὺ λέγει νὰ μὴ ἔχωμεν κανένα ἐχθρόν, οὔτε νὰ εἴμεθα συνεχῶς ὠργισμένοι, ἀλλὰ νὰ συμφιλιωνώμεθα ἀμέσως, ἐμπρὸς λοιπὸν ἂς σᾶς ὁμιλήσωμεν σήμερον διὰ τὴν ἐντολὴν αὐτήν.

Διότι ὅπως ἐκεῖνος ποὺ πορνεύει καὶ ποὺ βλασφημεῖ, εἶναι ἀδύνατον νὰ συμμετάσχῃ εἰς τὴν ἱερὰν τράπεζαν, ἔτσι καὶ ἐκεῖνος ποὺ ἔχει τὸν ἐχθρὸν καὶ μνησικακεῖ, εἶναι ἀδύνατον νὰ ἀπολαύσῃ τὴν ἁγίαν κοινωνίαν· καὶ τοῦτο εἶναι πολὺ φυσικόν. Διότι ἐκεῖνος ποὺ ἐπόρνευσε καὶ ἐμοίχευσε μαζὶ μὲ τὴν ἱκανοποίησιν τῆς ἐπιθυμίας ἐτελείωσε καὶ τὴν πρᾶξιν τῆς ἁμαρτίας, καὶ ἂν θελήσῃ νὰ ἀνανήψῃ νὰ σηκωθῇ ἀπὸ τὴν πτῶσιν καὶ νὰ μετανοήσῃ, ἔχει κάποιαν παρηγορίαν· ἐκεῖνος ὅμως ποὺ μνησικακεῖ κάθε ἡμέραν ἐργάζεται τὴν ἁμαρτίαν καὶ οὐδέποτε δίδει τέλος εἰς αὐτήν. Ἐκεῖ ἔγινε τὸ

μέλημα, καὶ ἐπληρώθη ἡ ἁμαρτία· ἐνταῦθα δὲ καθ' ἑκάστην ἡμέραν τολμᾶται ἡ ἁμαρτία· τίνα οὖν ἕξομεν, εἰπέ μοι, συγγνώμην τοιούτῳ πονηρῷ θηρίῳ παραδιδόντες ἑαυτοὺς ἑκόντες; Πῶς δὲ βούλει τὸν δεσπότην ἥμερόν σοι γενέσθαι καὶ πρᾶον, τῷ συνδούλῳ γενόμενος αὐτὸς χαλεπὸς καὶ ἀσύγγνωστος; Ἀλλ' ὕβρισέ σε ὁ σύνδουλος· καὶ σὺ τὸν Θεὸν ὑβρίζεις πολλάκις. Ποῦ δὲ ἴσον σύνδουλος καὶ δεσπότης; Καὶ αὐτὸς μὲν ἔνια μέν που ἠδικημένος ἴσως ὕβρισε, καὶ παρωξύνθης· σὺ δὲ τὸν δεσπότην ὑβρίζεις, οὐκ ἠδικημένος, οὐδὲ ἐπηρεαζόμενος, ἀλλ' εὐεργετούμενος καθ' ἑκάστην ὑπ' αὐτοῦ τὴν ἡμέραν. Ἐννόησον τοίνυν, ὅτι εἰ βουληθείη μετὰ ἀκριβείας τὰ εἰς αὐτὸν γινόμενα ὁ Θεὸς ἐξετάζειν, οὐδὲ μίαν βιωσόμεθα τὴν ἡμέραν «Ἁμαρτίας γάρ», φησὶν ὁ προφήτης, «ἐὰν παρατηρήσῃς, Κύριε, Κύριε, τίς ὑποστήσεται»;

Καὶ ἵνα παρῶ τὰ ἄλλα πάντα, ἃ τὸ συνειδὸς ἑκάστου τῶν ἁμαρτανόντων ἐπίσταται, καὶ ὧν οὐκ ἔχει μάρτυρας ἀνθρώπους, ἀλλὰ τὸν Θεὸν μόνον, τῶν φανερῶν τούτων καὶ ὡμολογημένων ἂν ἀπαιτηθῶμεν λόγον, ποίαν ἐν τούτοις ἕξομεν συγγνώμην; Ἂν ἐξετάσῃ τὴν ῥαθυμίαν ἡμῶν τὴν ἐν ταῖς εὐχαῖς, καὶ τὴν ὀλιγωρίαν, καὶ ὅτι ἔμπροσθεν Θεοῦ ἑστῶτες, καὶ παρακαλοῦντες αὐτόν, οὐδὲ τοσαύτην αὐτῷ παρέχομεν αἰδῶ καὶ τιμήν, ὅσην τοῖς δεσπόταις οἱ δοῦλοι, ὅσην τοῖς ἄρχουσιν οἱ στρατιῶται, ὅσην τοῖς φίλοις οἱ φίλοι; Φίλῳ μὲν γὰρ διαλεγόμενος μετὰ τοῦ προσέχειν τοῦτο ποιεῖς, Θεῷ δὲ ἐντυγχάνων ὑπὲρ ἁμαρτημάτων, ὑπὲρ πλημμελημάτων τοσούτων συγχώρησιν αἰτῶν, καὶ συγγνώμην ἀξιῶν σοι γενέσθαι, ῥαθυμεῖς πολλάκις, καὶ τῶν γονάτων σου χαμαὶ κειμένων, πολλαχοῦ τῆς ἀγορᾶς καὶ τῆς οἰκίας πλανᾶσθαί σου τὴν διάνοιαν ἐᾷς, τοῦ στόματός σου ληροῦντος εἰκῇ καὶ μάτην. Καὶ τοῦτο οὐχ ἅπαξ, οὐδὲ δίς, ἀλλὰ πολλάκις

---

1. Ψαλμ. 129, 3.

παράπτωμα καὶ ἀπετελειώθη ἡ ἁμαρτία· ἐδῶ δὲ καθημερινῶς ἀποτολμᾶται ἡ ἁμαρτία· ποίαν λοιπόν, εἰπέ μου, συγγνώμην θὰ ἔχωμεν, ἀφοῦ παραδίδωμεν τοὺς ἑαυτούς μας εἰς τέτοιον πονηρὸν θηρίον; Πῶς λοιπὸν θέλεις νὰ σοῦ γίνῃ ὁ Δεσπότης γλυκὺς καὶ πρᾶος, ἀφοῦ σὺ γίνεσαι εἰς τὸν συνάνθρωπόν σου σκληρὸς καὶ δὲν τὸν συγχωρεῖς; Σὲ ὕβρισεν ὁ συνάνθρωπός σου, θὰ μοῦ εἰπῇς· ὅμως καὶ σὺ πολλάκις ὑβρίζεις τὸν Θεόν. Ποῦ δὲ ἠκούσθη νὰ εἶναι ἴσοι ὁ σύνδουλος καὶ ὁ Δεσπότης; Καὶ αὐτὸς μὲν ἴσως νὰ σὲ ὕβρισεν ἐπειδὴ κάπως ἠδικήθη ἀπὸ ἐσέ, καὶ ὠργίσθης· σὺ ὅμως ὑβρίζεις τὸν Δεσπότην χωρὶς νὰ ἔχῃς ἀδικηθῇ ἀπὸ αὐτόν, χωρὶς νὰ ἔχῃς ὑποστῇ βλάβην, ἀλλὰ ἀντιθέτως καθημερινῶς εὐεργετεῖσαι ἀπὸ αὐτόν. Σκέψου λοιπὸν ὅτι ἂν ὁ Θεὸς θελήσῃ νὰ ἐξετάσῃ μὲ λεπτομέρειαν αὐτὰ ποὺ κάνομεν εἰς αὐτόν, οὔτε μίαν ἡμέραν θὰ ζήσωμεν «διότι ἁμαρτίας», λέγει ὁ προφήτης, «ἐὰν παρατηρήσῃς, Κύριε, καὶ δὲν τὰς παραβλέψῃς, ποῖος θὰ ἠμπορέσῃ νὰ βαστάξῃ τὸ βάρος τῆς δικαιοσύνης σου»[1].

Καὶ διὰ νὰ παραλείψω ὅλα ὅσα ἀπὸ τὰ ἁμαρτήματα ἡ συνείδησις τοῦ κάθε ἑνὸς γνωρίζει, καὶ διὰ τὰ ὁποῖα δὲν ἔχει μάρτυρας ἀνθρώπους, ἀλλὰ μόνον τὸν Θεόν, ἂν μᾶς ζητηθῇ λόγος μόνον διὰ τὰ φανερὰ αὐτὰ καὶ ἀποδεδειγμένα, ποίαν πάλιν συγχώρησιν θὰ εὕρωμεν; Ἂν ἐξετάσῃ τὴν ραθυμίαν μας, τὴν ὁποίαν ἐπιδεικνύομεν εἰς τὰς προσευχάς, καὶ τὴν ὀλιγωρίαν, καὶ τὸ ὅτι ἐνῷ στεκόμεθα ἔμπροσθεν τοῦ Θεοῦ καὶ τὸν παρακαλοῦμεν, οὔτε τόσον σεβασμὸν καὶ τιμὴν τοῦ ἀπονέμομεν, ὅσην οἱ δοῦλοι εἰς τοὺς κυρίους, ὅσην οἱ στρατιῶται εἰς τοὺς ἄρχοντας, ὅσην οἱ φίλοι εἰς τοὺς φίλους; Διότι ὅταν συζητᾷς μὲ τὸν φίλον σου, τὸ κάμεις μὲ προσοχήν, μὲ τὸν Θεὸν δὲ ὅταν συζητᾷς διὰ τὰ ἁμαρτήματά σου, καὶ ζητᾷς συγχώρησιν τόσων μεγάλων ἁμαρτημάτων, καὶ παρακαλεῖς νὰ σοῦ συγχωρηθοῦν, τὸ κάμεις μὲ ραθυμίαν, καὶ ἐνῷ πολλάκις εἶσαι γονατισμένος, ἀφήνεις τὸν νοῦν σου νὰ πλανᾶται εἰς τὴν ἀγορὰν καὶ εἰς τὴν οἰκίαν καὶ αὐτὰ ποὺ λέγει τὸ στόμα σου εἶναι ἄσκοπα καὶ μάταια. Καὶ τοῦτο

πάσχομεν· ἂν τοίνυν τοῦτο μόνον ἐξετάσαι θελήσῃ ὁ Θεός, ἆρα ἕξομεν συγγνώμην; ἆρα δυνησόμεθα ἀπολογίας τυχεῖν; Οὐκ ἔγωγε οἶμαι.

2. Τί δέ, ἂν τὰς κατηγορίας, ἃς καθ' ἑκάστην ἡμέραν ἀλλήλους λέγωμεν κακῶς, εἰς μέσον παραγάγῃ, καὶ τὰς κρίσεις τὰς ἀκαίρους, ἐν αἷς κατακρίνομεν τὸν πλησίον οὐδὲν ἔχοντες πρᾶγμα, ἀλλὰ φιλαίτιοί τινες ὄντες, καὶ μεμψίμοιροι, τί δυνησόμεθα ἀπολογήσασθαι καὶ εἰπεῖν; Ἂν δὲ τὰς περιέργους ἡμῶν ὄψεις ἐξετάσῃ, καὶ τὰς πονηρὰς ἐπιθυμίας ἃς ἔχομεν ἐν διανοίᾳ, πολλάκις αἰσχροὺς καὶ ἀκαθάρτους ἀναδεχόμενοι λογισμοὺς ἀπὸ τῆς ἀνεξετάστου τῶν ὀφθαλμῶν πλάνης, πόσην ὑποστησόμεθα δίκην; Τῆς δὲ λοιδορίας ἡμᾶς ἂν ἀπαιτήσῃ λόγον, («Ὃς γὰρ ἂν εἴπῃ τῷ ἀδελφῷ αὐτοῦ, μωρέ, ἔνοχος ἔσται εἰς τὴν γέενναν τοῦ πυρός») ἆρα δυνησόμεθα διᾶραι τὸ στόμα; ἢ χᾶναι μὲν ὅλως, ἢ μικρὸν ἢ μέγα τι πρὸς τοῦτο εἰπεῖν; Τὰς δὲ κενοδοξίας, ἃς ὑπομένομεν καὶ εὐχόμενοι, καὶ νηστεύοντες, καὶ ἐλεημοσύνην ποιοῦντες, ἂν ἐξετάσωμεν, οὐ λέγω ὁ Θεός, ἀλλ' ἡμεῖς αὐτοὶ οἱ ἡμαρτηκότες, ἆρα δυνησόμεθα εἰς τὸν οὐρανὸν ἀναβλέψαι; Τοὺς δὲ δόλους, οὓς κατ' ἀλλήλων ῥάπτομεν, νῦν μὲν παρόντα ἐπαινοῦντες τὸν ἀδελφόν, καὶ ὡς φίλῳ διαλεγόμενοι, ἀπόντα δὲ κατηγοροῦντες, ἆρα ὑποστησόμεθα τὰς ὑπὲρ τούτων κολάσεις; Τί δὲ τοὺς ὅρκους; τί δὲ τὸ ψεῦδος; τί δὲ τὰς ἐπιορκίας, τοὺς ἀδίκους θυμούς, τὴν βασκανίαν, ἣν βασκαίνομεν πολλάκις εὐδοκιμοῦσιν οὐκ ἐχθροῖς, ἀλλὰ φίλοις; Καὶ ὅτι ἡδόμεθα πασχόντων ἑτέρων κακῶς, καὶ νομίζομεν παραμυθίαν τῆς οἰκείας συμφορᾶς τὰς ἀλλοτρίας δυσημερίας; Τῆς δὲ ἐν ταῖς συνάξεσι ῥα-

2. Ματθ. 5, 22.

δὲν τὸ παθαίνομεν μίαν καὶ δύο φοράς, ἀλλὰ πολλάκις· ἂν λοιπὸν τοῦτο μόνον θελήσῃ νὰ ἐξετάσῃ ὁ Θεὸς ἆρά γε θὰ ἔχωμεν συγχώρησιν, ἆρά γε θὰ ἠμπορέσωμεν νὰ ἀπολογηθῶμεν; Ἐγὼ πάντως δὲν τὸ γνωρίζω.

2. Τί λοιπόν, ἂν τὰς κακολογίας, τὰς ὁποίας καθημερινῶς λέγομεν ὁ ἕνας πρὸς τὸν ἄλλον, τὰς φέρῃ εἰς τὸ μέσον καὶ τὰς κρίσεις τὰς ἀτόπους, μὲ τὰς ὁποίας κατακρίνομεν τὸν πλησίον ἀναιτίως, ἐπειδὴ εἴμεθα φιλοκατήγοροι καὶ μεμψίμοιροι, τί θὰ ἠμπορέσωμεν νὰ ἀπολογηθῶμεν καὶ νὰ εἴπωμεν; Καὶ ἂν ἐξετάσῃ τὰ περίεργα βλέμματά μας καὶ τὰς πονηρὰς ἐπιθυμίας ποὺ ἔχομεν εἰς τὸν νοῦν, διότι πολλάκις ἀποδεχόμεθα αἰσχροὺς καὶ ἀκαθάρτους λογισμοὺς ποὺ δημιουργοῦνται ἀπὸ τὰ πονηρὰ βλέμματα ἐδῶ καὶ ἐκεῖ, πόσην τιμωρίαν θὰ ὑποστοῦμεν; Ἂν δὲ ζητήσῃ λόγον διὰ τὰς ὕβρεις («Διότι ἐκεῖνος ποὺ θὰ εἰπῇ τὸν ἀδελφόν του, ἀνόητε, θὰ εἶναι ἔνοχος βαρυτάτου ἐγκλήματος ἀξίου νὰ τιμωρηθῇ μὲ τὴν γέενναν τοῦ πυρός»[2]) ἆρά γε θὰ ἠμπορέσωμεν νὰ ἀνοίξωμεν τὸ στόμα μας; ἢ νὰ μὴ τὸ ἀνοίξωμεν καθόλου, ἢ νὰ εἰποῦμεν κάτι μικρὸν ἢ μεγάλο ὡς πρὸς τοῦτο; Τὰς δὲ κενοδοξίας ποὺ ἔχομεν ὅταν προσευχώμεθα καὶ νηστεύωμεν καὶ κάμωμεν ἐλεημοσύνην, ἂν ἐξετάσωμεν, δὲν λέγω ὁ Θεός, ἀλλὰ ἡμεῖς οἱ ἴδιοι οἱ ὁποῖοι ἔχομεν ἁμαρτήσει, ἆρά γε θὰ ἠμπορέσωμεν νὰ ἀναβλέψωμεν εἰς τὸν οὐρανόν; Διὰ τοὺς δόλους δὲ τοὺς ὁποίους ἐξυφαίνομεν ὁ ἕνας ἐναντίον τοῦ ἄλλου, ἄλλοτε μὲν μὲ τὸ νὰ ἐπαινοῦμεν τὸν ἀδελφόν μας, ὅταν εἶναι παρών, καὶ νὰ συζητοῦμε μαζί του ὡσὰν νὰ πρόκειται διὰ φίλον, καὶ ὅταν εἶναι ἀπὼν νὰ τὸν κατηγοροῦμεν, ἆρά γε θὰ ἠμπορέσωμεν νὰ ὑποφέρωμεν τὰς τιμωρίας ποὺ θὰ μᾶς ἐπιβληθοῦν δι' αὐτά; Καὶ τί διὰ τοὺς ὅρκους; Διὰ τὸ ψεῦδος; Διὰ τὰς ἐπιορκίας, τοὺς ἀδίκους θυμούς, τὸν φθόνον, μὲ τὸν ὁποῖον φθονοῦμεν πολλάκις ὄχι τοὺς ἐχθρούς, ἀλλὰ τοὺς φίλους; Καὶ τὸ ὅτι εὐχαριστούμεθα ὅταν ἄλλοι ὑποφέρουν καὶ θεωροῦμεν παρηγορίαν διὰ τὴν ἰδικήν μας συμφορὰν τὰς ξένας δυστυχίας; Διὰ δὲ τὴν

θυμίας ἂν ἀπαιτήσῃ τὰς εὐθύνας; Ἴστε γὰρ δήπου τοῦτο, ὅτι πολλάκις αὐτοῦ διαλεγομένου πρὸς πάντας ἡμᾶς διὰ τοῦ προφήτου, πολλοὺς δὲ μακροὺς πρὸς τὸν πλησίον ποιούμεθα λόγους περὶ τῶν οὐδὲν ἡμῖν προσηκόντων πραγμάτων.

Ἂν τοίνυν πάντα παρεὶς τὰ ἄλλα ταύτης τῆς ἁμαρτίας θελήσῃ δίκην ἀπαιτῆσαι ἡμᾶς, ποία σωτηρίας ἔσται ἡμῖν ἐλπίς; Μὴ γὰρ δὴ μικρὸν εἶναι νομίσῃς τὸ πλημμέλημα; Ἀλλ' εἰ βούλει τὸ μέγεθος αὐτοῦ κατιδεῖν, ἐπ' ἀνθρώπων αὐτὸ τοῦτο ἐξέτασον, καὶ τότε ὄψει τῆς ἁμαρτίας τὸ μέγεθος. Τόλμησον ἄρχοντος πρὸς σὲ φθεγγομένου, μᾶλλον δὲ φίλου τινὸς τῶν ὀλίγῳ σεμνοτέρων, ἀφεὶς αὐτὸν πρὸς τὸν οἰκέτην διαλέγεσθαι τὸν σαυτοῦ, καὶ τότε ὄψει ἡλίκον τολμᾷς ἐπὶ τοῦ Θεοῦ τοῦτο ποιῶν. Ἐὰν γὰρ ᾖ τις τῶν περιφανεστέρων ἐκεῖνος, καὶ δίκην σε ἀπαιτήσῃ τῆς ὕβρεως· ἀλλ' ὁ Θεὸς τοσαῦτα καὶ πλείονα τούτων καθ' ἑκάστην ὑβριζόμενος τὴν ἡμέραν, οὐ παρ' ἑνός, καὶ δύο, καὶ τριῶν ἀνθρώπων, ἀλλὰ παρὰ πάντων σχεδὸν ἡμῶν ἀνέχεται καὶ μακροθυμεῖ, καὶ οὐκ ἐπὶ τούτοις μόνον, ἀλλὰ καὶ ἐφ' ἑτέροις πολλῷ χαλεπωτέροις.

Ταῦτα μὲν γάρ ἐστι τὰ ὡμολογημένα, καὶ πᾶσι δῆλα, καὶ ὑπὸ πάντων σχεδὸν τολμώμενα· ἔστι δὲ καὶ ἕτερα, ἅπερ τὸ τῶν ἁμαρτανόντων συνειδὸς οἶδεν· ἐὰν ἅπαντα ταῦτα ἐννοήσωμεν, καὶ πρὸς ἑαυτοὺς ἀναλογισώμεθα, κἂν ἁπάντων ὦμεν ὠμότεροι, καὶ ἀπηνέστεροι, τὸ πλῆθος τῶν ἁμαρτιῶν ἡμῶν σκοπήσαντες, ἀπὸ τοῦ φόβου καὶ τῆς ἀγωνίας οὐδὲ μνησθῆναι τῆς παρ' ἑτέρων εἰς ἡμᾶς γεγενημένης ὕβρεως δυνησόμεθα. Ἀναμνήσθητι τοῦ ποταμοῦ τοῦ πυρός, τοῦ σκώληκος τοῦ ἰοβόλου, τῆς φοβερᾶς κρίσεως, καθ' ἣν ἅπαντα γυμνὰ καὶ τετραχηλισμένα· ἐννόησον, ὅτι τὰ κρυπτόμενα νῦν ἐκκαλύπτεται τότε.

ἀμέλειαν ποὺ δεικνύομεν εἰς τὰς συγκεντρώσεις, ἂν μᾶς ζητήσῃ εὐθύνας; Διότι γνωρίζετε βεβαίως τοῦτο, ὅτι δηλαδὴ ἐνῷ ὁ Θεὸς πολλάκις ὁμιλεῖ πρὸς ὅλους ἡμᾶς διὰ τοῦ προφήτου, ἡμεῖς πολυλογοῦμεν καὶ φλυαροῦμεν μὲ τὸν πλησίον μας διὰ πράγματα ποὺ εἶναι ἄσχετα καὶ ἀνώφελα.

Ἂν λοιπὸν ὅλα τὰ ἄλλα τὰ παραβλέψῃ, καὶ μόνον δι' αὐτὴν τὴν ἁμαρτίαν θελήσῃ νὰ μᾶς τιμωρήσῃ, ποία ἐλπὶς σωτηρίας θὰ ὑπάρχῃ δι' ἡμᾶς; Διότι νομίζεις ὅτι εἶναι μικρὸν τὸ ἁμάρτημα αὐτό; Ἀλλ' ἐὰν θέλῃς νὰ καταλάβῃς τὸ μέγεθος αὐτοῦ, ἐφάρμοσέ το εἰς τοὺς ἀνθρώπους, καὶ τότε θὰ διαπιστώσῃς τὸ μέγεθος τῆς ἁμαρτίας. Τόλμησε, ἐνῷ σοῦ ὁμιλεῖ ἕνας ἄρχων, καὶ ὄχι ἄρχων, ἀλλὰ κάποιος φίλος σου ἀπὸ τοὺς ὀλίγον ἐπισήμους, νὰ τὸν ἀφήσῃς καὶ νὰ ὁμιλήσῃς πρὸς τὸν ὑπηρέτην σου καὶ τότε θὰ ἰδῇς τί εἶναι αὐτὸ ποὺ κάνεις εἰς τὸν Θεόν. Διότι ἂν ἐκεῖνος εἶναι κάποιος ἀπὸ τοὺς ἐπισήμους, θὰ ἀπαιτήσῃ καὶ τὴν τιμωρίαν σου διὰ τὴν προσβολὴν ποὺ τοῦ ἔκαμες· ὁ Θεὸς ὅμως, ἂν καὶ ὑβρίζεται κάθε ἡμέραν μὲ ὕβρεις πολὺ μεγαλυτέρας ἀπὸ αὐτήν, καὶ ὄχι μόνον ἀπὸ ἕνα καὶ δύο καὶ τρεῖς ἀνθρώπους, ἀλλὰ σχεδὸν ἀπὸ ὅλους μας, ἀνέχεται καὶ μακροθυμεῖ, καὶ ὄχι μόνον δι' αὐτά, ἀλλὰ καὶ δι' ἄλλα πολὺ χειρότερα ἀπὸ αὐτά.

Αὐτὰ λοιπὸν εἶναι τὰ ὡμολογημένα καὶ εἰς ὅλους φανερὰ καὶ ποὺ ἀποτολμοῦνται σχεδὸν ἀπὸ ὅλους· ὅμως ὑπάρχουν καὶ ἄλλα, τὰ ὁποῖα γνωρίζει μόνον ἡ συνείδησις αὐτῶν ποὺ ἁμαρτάνουν· ἂν ὅλα αὐτὰ τὰ σκεφθοῦμε καὶ ἀναλογισθοῦμε, καὶ ἂν ἀκόμα εἴμεθα σκληρότεροι καὶ πιὸ ἄκαμπτοι ἀπὸ ὅλους, ἐπειδὴ θὰ ἔχωμεν ἰδῇ τὸ πλῆθος τῶν ἁμαρτημάτων μας, ἐξ αἰτίας τοῦ φόβου καὶ τῆς ἀγωνίας δὲν θὰ ἠμπορέσωμεν οὔτε νὰ ἐνθυμηθοῦμε τὴν ὕβριν ποὺ ἔγινεν εἰς ἡμᾶς ἀπὸ τοὺς ἄλλους. Θυμήσου τὸν πύρινον ποταμόν, τὸν σκώληκα τὸν φαρμακερόν, τὴν φοβερὰν κρίσιν, κατὰ τὴν ὁποίαν ὅλα θὰ εἶναι γυμνὰ καὶ τελείως ξεσκεπασμένα· μάθε καλῶς ὅτι αὐτὰ ποὺ τώρα εἶναι κρυπτὰ θὰ ἀποκαλυφθοῦν τότε.

Ἂν τοίνυν ἀφῇς τῷ πλησίον τὰ ἁμαρτήματα, ἅπερ ἐκκαλύπτεσθαι μέλλει τότε, ταῦτα ἐνταῦθα ἀφανίζεται πάντα, καὶ ἀπελεύσῃ μηδὲν ἐπισυρόμενος ὧν ἐπλημμέλησας, ὥστε μείζονα λαμβάνεις, ἢ δίδως. Καὶ γὰρ πολλὰ πολλάκις ἡμαρτήκαμεν τοιαῦτα, ἃ μηδεὶς ἕτερος οἶδεν· εἶτα ἐννοοῦντες ὅτι κατὰ τὴν ἡμέραν ἐκείνην πρὸ τῶν ὀφθαλμῶν ἁπάντων κείσεται ἡμῶν τὰ ἁμαρτήματα ἐν τῷ κοινῷ τῆς οἰκουμένης θεάτρῳ, τῆς κολάσεως χαλεπώτερον ἀλγοῦμεν, πνιγόμενοι καὶ ἀγχόμενοι τῷ συνειδότι. Ἀλλὰ τὴν τοσαύτην αἰσχύνην, τὰ τοσαῦτα ἁμαρτήματα, τὴν τοσαύτην κόλασίν ἐστιν ἀπονίψασθαι διὰ τῆς εἰς τὸν πλησίον συγχωρήσεως· καὶ γὰρ οὐδὲν ταύτης ἴσον ἐστὶ τῆς ἀρετῆς.

Βούλει μαθεῖν ταύτης τῆς ἀρετῆς τὴν δύναμιν. «Ἐὰν στῇ Μωϋσῆς καὶ Σαμουήλ», φησί, «πρὸ προσώπου μου, οὐκ ἔστιν ἡ ψυχή μου πρὸς αὐτούς». Ἀλλ' ὅμως οὓς οὐκ ἠδύνατο Μωϋσῆς καὶ Σαμουὴλ ἐξαρπάσαι τῆς ὀργῆς τοῦ Θεοῦ, αὕτη ἠδύνατο ἐξαρπᾶσαι ἡ ἐντολή· διὰ τοῦτο ἐκείνοις, οἷς ταῦτα εἶπε, συνεχῶς παρεκελεύετο λέγων· «Κακίαν ἕκαστος τῷ ἀδελφῷ αὐτοῦ μὴ μνησικακείτω ἐν ταῖς καρδίαις ὑμῶν· καὶ τὴν κακίαν τοῦ πλησίον αὐτοῦ ἕκαστος μὴ λογιζέσθω». Οὐκ εἶπεν, ἄφες μόνον, ἀλλὰ μηδὲ ἔχε ἐν διανοίᾳ, μηδὲ λογίζου, ἄφες τὴν ὀργὴν ἅπασαν, ἀφάνισον τὸ ἕλκος. Δοκεῖς μὲν γὰρ ἐκεῖνον ἀμύνεσθαι, πρότερον δὲ σεαυτὸν βασανίζεις, καθάπερ δήμιον ἔνδοθεν περιστήσας σοι πανταχόθεν τὸν θυμόν, καὶ καταξαίνων σαυτοῦ τὰ σπλάγχνα.

Τί γὰρ γένοιτ' ἂν ἀθλιώτερον ἀνθρώπου διηνεκῶς ὀργιζομένου, καὶ καθάπερ οἱ μεμηνότες οὐδέποτε ἀπολαύουσι

---

3. Ἰερ. 15, 1.
4. Ζαχ. 7, 10-17.

Ἂν λοιπὸν συγχωρήσῃς τὰ ἁμαρτήματα τοῦ πλησίον σου πρὸς σέ, τὰ ἰδικά σου ἁμαρτήματα, τὰ ὁποῖα πρόκειται νὰ ἀποκαλυφθοῦν τότε, αὐτὰ λοιπὸν ὅλα ἐδῶ θὰ ἐξαφανισθοῦν, καὶ θὰ φύγῃς ἀπὸ ἐδῶ χωρὶς κανένα ἁμάρτημα ἀπὸ ὅσα ἔκαμες· ὥστε λοιπὸν παίρνεις περισσότερα ἀπὸ ἐκεῖνα ποὺ δίδεις. Διότι πολλάκις πολλὰ τοιαῦτα ἁμαρτήματα ἔχομεν διαπράξει, τὰ ὁποῖα κανεὶς ἄλλος δὲν γνωρίζει· ἔπειτα νὰ σκεφθοῦμεν ὅτι κατὰ τὴν ἡμέραν ἐκείνην ὅλα τὰ ἁμαρτήματά μας θὰ εἶναι ἐμπρὸς εἰς τὰ μάτια ὅλων, εἰς τὸ κοινὸν τῆς οἰκουμένης θέαμα καὶ θὰ πονοῦμεν καὶ ὑποφέρωμεν περισσότερον ἀπ' ὅ,τι θὰ ὑποφέραμεν κολαζόμενοι, διότι μᾶς πνίγει καὶ μᾶς στενοχωρεῖ ἡ συνείδησις. Ὅμως τὴν τόσον μεγάλην ἐντροπήν, τὰ τόσα ἁμαρτήματα, τὴν τόσην τιμωρίαν ἠμποροῦμεν νὰ τὴν ἐξαλείψωμεν διὰ τῆς συγχωρήσεως τῶν ἁμαρτημάτων τοῦ πλησίον μας· διότι τίποτε δὲν εἶναι ἴσον μὲ τὴν ἀρετὴν αὐτήν.

Θέλεις νὰ μάθῃς τὴν δύναμιν αὐτῆς τῆς ἀρετῆς; «Ἐὰν σταθῇ ὁ Μωυσῆς καὶ ὁ Σαμουήλ», λέγει, «ἐμπρὸς εἰς τὸ πρόσωπόν μου, δὲν θὰ διατεθῇ ἡ ψυχή μου εὐμενῶς ὑπὲρ αὐτῶν»[3]. Ἀλλ' ὅμως αὐτοὺς ποὺ δὲν ἠμποροῦσεν ὁ Μωυσῆς καὶ ὁ Σαμουὴλ νὰ ἀπαλλάξουν ἀπὸ τὴν ὀργὴν τοῦ Θεοῦ, ἠμποροῦσε νὰ τοὺς ἀπαλλάξῃ αὐτὴ ἡ ἐντολή· διὰ τοῦτο εἰς ἐκείνους ποὺ εἶπεν αὐτά, συνεχῶς παρήγγελλε λέγων· «Κάθε ἕνας ἀπὸ σᾶς ἂς μὴ ἔχῃ μνησικακίαν κατὰ τοῦ ἀδελφοῦ του εἰς τὴν καρδίαν του, καὶ τὴν κακίαν τοῦ πλησίον, ἂς μὴ συλλογίζεται κάθε ἕνας»[4]. Δὲν εἶπε μόνον ἄφησε, ἀλλὰ οὔτε εἰς τὴν διάνοιάν σου νὰ ἔχῃς, οὔτε νὰ συλλογίζεσαι, ἄφησε ὅλην τὴν ὀργήν, ἐξαφάνισε τὴν πληγήν. Διότι ἐνῷ σοῦ φαίνεται ὅτι μὲ τοῦτο ἐκδικεῖσαι ἐκεῖνον, πρῶτα βασανίζεις τὸν ἑαυτόν σου, διότι ὡς ἄλλος δήμιος ἔχεις βάλλει μέσα σου τὸν θυμὸν ἀπὸ παντοῦ καὶ σοῦ ξεσχίζει τὰ σπλάγχνα.

Διότι τί ἠμπορεῖ νὰ γίνῃ ἀθλιώτερον ἀπὸ ἄνθρωπον ποὺ συνεχῶς ὀργίζεται, καὶ καθὼς ἐκεῖνοι ποὺ πάσχουν ἀπὸ τρέλ-

γαλήνης, οὕτως ὁ μνησικακῶν, καὶ ἐχθρὸν ἔχων, οὐδέποτε ἀπολαύσεταί τινος εἰρήνης, διηνεκῶς φλεγμαίνων, καὶ τὸν χειμῶνα τῶν λογισμῶν καθ' ἑκάστην αὔξων τὴν ἡμέραν τὰ ῥήματα ἀναμιμνησκόμενος καὶ τὰ πράγματα, καὶ πρὸς αὐτὴν τὴν προσηγορίαν τοῦ λελυπηκότος ἀπεχθῶς ἔχων. Κἂν τὸ ὄνομα μόνον εἴπῃς τοῦ ἐχθροῦ, ἐκθηριοῦται καὶ πολλὴν ἔνδον ὑπομένει τὴν ὀδύνην· κἂν ψιλὴν ἴδῃ τὴν ὄψιν μόνον, δέδοικε καὶ τρέμει, καθάπερ τὰ ἔχθιστα πάσχων κακά. Κἂν τινα τῶν ἐκείνῳ προσηκόντων, κἂν ἱμάτιον, κἂν οἰκίαν, κἂν στενωπὸν θεάσηται, ὑπὸ πάντων βασανίζεται τῶν ὁρωμένων. Καθάπερ γὰρ τῶν φιλουμένων καὶ τὰ ἱμάτια, καὶ τὰ πρόσωπα, καὶ τὰ ὑποδήματα, καὶ αἱ οἰκίαι, καὶ οἱ στενωποὶ πτεροῦσιν ἡμᾶς εὐθέως ὀφθέντες, οὕτω τῶν ἐχθρῶν καὶ μισουμένων κἂν οἰκέτην, κἂν φίλον, κἂν οἰκίαν, κἂν στενωπὸν ἴδωμεν, κἂν ὁτιοῦν ἕτερον, ὑπὸ πάντων δακνόμεθα, καὶ πυκναὶ καὶ συνεχεῖς ἡμῖν ἀφ' ἑκάστου τῶν ὁρωμένων πληγαὶ γίνονται.

3. Τίς οὖν χρεία τῆς τοσαύτης πολιορκίας, τοσαύτης βασάνου καὶ κολάσεως; Εἰ γὰρ μὴ γέεννα προηπείλητο τοῖς μνησικάκοις, διὰ τὴν ἐκ τοῦ πράγματος ἡμῖν γινομένην βάσανον, ἀφεῖναι τὰ ἁμαρτήματα τοῖς λελυπηκόσιν ἐχρῆν. Ὅταν δὲ καὶ ἀθάνατοι μένωσιν αἱ τιμωρίαι, τί γένοιτ' ἂν ἀνοητότερον τοῦ καὶ ἐνταῦθα καὶ ἐκεῖ κολάζοντος μὲν ἑαυτόν, νομίζοντος δὲ τὸν ἐχθρὸν τιμωρεῖσθαι; Ἄν τε γὰρ εὐδοκιμοῦντα ἴδωμεν, ἀπολλύμεθα ὑπὸ τῆς ἀθυμίας· κἂν δυσπραγοῦντα, δεδοίκαμεν μή τις γένηται δεξιὰ πάλιν μεταβολή· ἀμφοτέρων δὲ τούτων ἡμῖν κεῖται κόλασις ἀπαραίτητος. «Ἐπὶ γὰρ τῷ ὑποσκελίσματι τοῦ ἐχθροῦ σου», φησί, «μὴ ἐπαίρου». Καὶ μή μοι λέγε τῶν ἀδικημάτων τὸ μέγεθος· οὐ γὰρ τοῦτό ἐστι τὸ ποιοῦν μένειν παρά σοι τὴν ὀργήν,

5. Παροιμ. 24, 17.

λαν, οὐδέποτε ἔχουν γαλήνην καὶ ἡσυχίαν, ἔτσι καὶ ὁ μνησίκακος, καὶ ἐχθρὸν θὰ ἔχῃ, οὐδέποτε θὰ ἀπολαύσῃ κάποιαν γαλήνην, ἐπειδὴ συνεχῶς θὰ ὀργίζεται, καὶ τὴν ζάλην τῶν λογισμῶν καθημερινῶς θὰ αὐξάνῃ, ἐνθυμούμενος τὰ λόγια καὶ τὰς πράξεις, καὶ πρὸς τὸ ὄνομα ἐκείνου ποὺ τὸν ἐλύπησε αἰσθάνεται ἀποστροφήν. Καὶ μόνον τὸ ὄνομα τοῦ ἐχθροῦ ἂν ἀναφέρῃς, γίνεται θηρίον καὶ ὑποφέρει ψυχικῶς· καὶ ἂν ἁπλῶς μόνον ἰδῇ τὸ πρόσωπόν του φοβᾶται καὶ τρέμει ὡσὰν νὰ ὑποφέρῃ τὰ χειρότερα κακά. Καὶ ἂν μερικοὺς ἀπὸ τοὺς ἀνθρώπους ἐκείνους ἰδῇ, εἴτε ἰδικά του πράγματα, ἔνδυμα, οἰκίαν, στενὸν δρομίσκον, ἀπὸ ὅλα ὅσα βλέπει βασανίζεται. Διότι ὅπως ἐκείνων ποὺ ἀγαποῦμεν καὶ τὰ ἐνδύματα, καὶ τὰ πρόσωπα, καὶ τὰ ὑποδήματα, καὶ αἱ οἰκίαι καὶ οἱ στενοὶ δρομίσκοι, μόλις τὰ ἰδοῦμε μᾶς ἀναπτερώνουν, ἔτσι καὶ τῶν ἐχθρῶν μας καὶ ἐκείνους ποὺ μισοῦμεν, εἴτε ὑπηρέτην, εἴτε φίλον, εἴτε οἰκίαν, εἴτε δρομίσκον, εἴτε ὁ,τιδήποτε ἄλλο, ἀπὸ ὅλα ἐνοχλούμεθα καὶ συχναὶ καὶ πυκναὶ πληγαὶ μᾶς δημιουργοῦνται ἀπὸ κάθε ἕνα ἀπὸ αὐτὰ ποὺ βλέπομεν.

3. Διατί λοιπὸν νὰ ὑφιστάμεθα τοιαύτην πολιορκίαν, τόσα βάσανα καὶ τιμωρίαν; Διότι ἐὰν δὲν εἶχεν ἀπειληθῇ ἐκ τῶν προτέρων γέεννα εἰς τοὺς μνησικακοῦντας, διὰ τὴν βάσανον ποὺ προέρχεται ἀπὸ τὴν ἁμαρτίαν ταύτην, ἔπρεπε νὰ συγχωρήσωμεν τὰ ἁμαρτήματα ἐκείνων ποὺ μᾶς ἐλύπησαν. Ὅταν δὲ μένουν καὶ ἀθάνατοι αἱ τιμωρίαι, τί ἠμπορεῖ νὰ γίνῃ ἀνοητότερον ἀπὸ ἄνθρωπον ποὺ μὲ αὐτὸ ποὺ κάμει καὶ ἐδῶ καὶ ἐκεῖ κολάζει μὲν τὸν ἑαυτόν του μὲ τὸ νὰ νομίζῃ ὅτι τιμωρεῖ τὸν ἐχθρόν του; Διότι ἂν ἰδοῦμεν αὐτὸν νὰ εὐτυχῇ χανόμεθα ἀπὸ τὴν λύπην· ἂν δὲ τὸν ἰδοῦμεν νὰ δυστυχῇ, φοβούμεθα μήπως τοῦ συμβῇ καμμία εὐνοϊκὴ μεταβολή· καὶ διὰ τὰ δύο αὐτὰ ὑπάρχει τιμωρία ἀναπόφευκτος. «Διότι διὰ τὴν πτῶσιν τοῦ ἐχθροῦ σου», λέγει, «νὰ μὴ χαίρῃς»[5]. Καὶ μὴ μοῦ προβάλῃς ὡς δικαιολογίαν τὸ μέγεθος τῶν ἀδικημάτων· διότι δὲν εἶναι αὐτὸ ποὺ σὲ κάνει νὰ παραμείνῃς εἰς τὴν ὀργήν, ἀλλὰ τὸ ὅτι δὲν ἐνθυμεῖσαι τὰ ἰδικά σου

ἀλλὰ τὸ μὴ μεμνῆσθαί σε τῶν οἰκείων πλημμελημάτων, μηδὲ τὴν γέενναν ἔχειν πρὸ ὀφθαλμῶν, καὶ τὸν τοῦ Θεοῦ φόβον.

Καὶ ἵνα μάθῃς, ὅτι τοῦτό ἐστιν ἀληθές, ἀπὸ τῶν συμβάντων τῇ πόλει τοῦτο ἀποδεῖξαι πειράσομαι. Ὅτε γὰρ οἱ τῶν παρανόμων τολμημάτων ἐκείνων ὄντες ὑπεύθυνοι πρὸς τὸ δικαστήριον ἤχθησαν, ὅτε πῦρ ἔνδον ἐκαίετο, καὶ δήμιοι παρειστήκεισαν, καὶ τὰς πλευρὰς κατέξαινον, εἴ τις αὐτοῖς παραστὰς ἐκ πλαγίων εἶπεν, ὅτι εἴ τινας ἐχθροὺς ἔχετε, λύσατε τὴν ὀργήν, καὶ δυνησόμεθα ταύτης ὑμᾶς ἀπαλλάξαι τῆς κολάσεως, ἆρα οὐκ ἂν καὶ τοὺς πόδας αὐτῶν κατεφίλησαν; Καὶ τί λέγω τοὺς πόδας; Εἰ καὶ δεσπότας τις αὐτοὺς ἑλέσθαι ἐκέλευσεν οὐκ ἂν παρῃτήσαντο τότε. Εἰ δὲ ἀνθρωπίνη κόλασις καὶ τέλος ἔχουσα πάσης ἂν ἐκράτησεν ὀργῆς, πολλῷ μᾶλλον ἡ μέλλουσα τιμωρία εἰ συνεχῶς ἡμῶν τὴν διάνοιαν κατεῖχεν, οὐχὶ μνησικακίαν μόνον, ἀλλὰ καὶ πάντα ἂν ἀπὸ τῆς ψυχῆς ἐξήλασε πονηρὸν λογισμόν.

Τί γὰρ εὐκολώτερον, εἰπέ μοι, τοῦ τὴν ὀργὴν ἀφεῖναι τῷ λελυπηκότι; Μὴ γὰρ μακρὰν ἀποδημίαν ἐστὶ στείλασθαι, μὴ γὰρ χρήματα δαπανῆσαι, μὴ γὰρ ἑτέρους παρακαλέσαι· ἀρκεῖ θελῆσαι μόνον, καὶ τὸ κατόρθωμα τέλος ἔλαβε. Τίνος οὖν οὐκ ἂν εἴημεν ἄξιοι κολάσεως, εἰ βιωτικῶν μὲν ἕνεκεν πραγμάτων καὶ δουλοπρεπεῖς ὑπομένομεν διακονίας, καὶ ἀναξίους ἡμῶν ἐπιδεικνύμεθα θεραπείας, καὶ χρήματα ἀναλίσκομεν, καὶ πυλωροῖς διαλεγόμεθα, ἵνα καὶ μιαροὺς ἀνθρώπους κολακεύσωμεν, καὶ πάντα ποιοῦμεν καὶ λέγομεν ὥστε κατορθωθῆναι ἡμῖν τὸ προκείμενον, ὑπὲρ δὲ τῶν τοῦ Θεοῦ νόμων τὸν λελυπηκότα ἀδελφὸν οὐχ ὑπομένομεν παρακαλέσαι, ἀλλὰ καὶ αἰσχύνην νομίζομεν τὸ πρότεροι προσδραμεῖν; Αἰσχύνῃ, εἰπέ μοι, μέλλων πρότερος κερδαί-

ἁμαρτήματα καὶ τὸ ὅτι δὲν ἔχεις πρὸ ὀφθαλμῶν τὴν γέενναν τοῦ πυρὸς καὶ τὸν φόβον τοῦ Θεοῦ.

Καὶ διὰ νὰ μάθῃς ὅτι τοῦτο εἶναι ἀληθές, θὰ προσπαθήσω ἀπὸ αὐτὰ ποὺ συνέβησαν εἰς τὴν πόλιν νὰ σᾶς τὸ ἀποδείξω. Διότι ὅταν ἐκεῖνοι, ποὺ ἦσαν ὑπεύθυνοι διὰ τὰ παράνομα ἐκεῖνα τολμήματα, ὡδηγήθησαν εἰς τὸ δικαστήριον, ὅταν ἔκαιε μέσα φωτιὰ καὶ οἱ δήμιοι ἐστέκοντο δίπλα των καὶ κατεξέσχιζον τὰς πλευράς των, ἐὰν κάποιος ἐπλησίαζεν αὐτοὺς καὶ τοὺς ἔλεγεν, ὅτι ἐὰν ἔχετε κάποιους ἐχθρούς, συγχωρήσατέ τους, καὶ θὰ ἠμπορέσωμεν νὰ σᾶς ἀπαλλάξωμεν ἀπὸ αὐτὴν τὴν τιμωρίαν, ἆρά γε δὲν θὰ τοὺς ἐφιλοῦσαν καὶ τὰ πόδια; Καὶ διατί λέγω τὰ πόδια; Ἀκόμα καὶ δούλους ἂν κάποιος τοὺς ἔλεγεν ὅτι θὰ τοὺς ἔκαμε δὲν θὰ ἠρνοῦντο. Ἀφοῦ λοιπὸν ἡ ἀνθρωπίνη τιμωρία, ἡ ὁποία ἔχει καὶ τέλος, ἠμπόρεσε νὰ κατανικήσῃ ὅλην τὴν ὀργήν, πολὺ περισσότερον ἡ μέλλουσα τιμωρία, ἐὰν κατεῖχε συνεχῶς τὴν διάνοιάν μας, καὶ ὄχι μόνον τὴν μνησικακίαν, ἀλλὰ καὶ κάθε πονηρὰν σκέψιν θὰ ἀπεμάκρυνεν ἀπὸ τὴν ψυχήν μας.

Διότι τί εἶναι εὐκολώτερον, εἰπέ μου, ἀπὸ τὸ νὰ συγχωρήσωμεν ἐκεῖνον ποὺ μᾶς ἐλύπησεν; Διότι μήπως πρόκειται νὰ ὑποβληθοῦμεν εἰς τὸν κόπον νὰ κάμωμεν μακρυνὸν ταξίδιον; μήπως θὰ ἐξοδεύσωμεν χρήματα, μήπως θὰ παρακαλέσωμεν ἄλλους· ἀρκεῖ νὰ θελήσωμεν μόνον καὶ ἤδη ἔχομεν κάμει τὸ κατόρθωμα. Ποίας λοιπὸν τιμωρίας δὲν θὰ ἤμεθα ἄξιοι, ὅταν περὶ μὲν τῶν βιωτικῶν πραγμάτων καὶ ὑπηρεσίας ποὺ ἁρμόζουν εἰς δούλους ὑπομένωμεν καὶ ἐπιδεικνύωμεν περιποιήσεις ποὺ δὲν μᾶς ταιριάζουν, καὶ ἐξοδεύωμεν χρήματα, καὶ μὲ θυρωροὺς συνομιλοῦμεν, διὰ νὰ κολακεύσωμεν ἀκόμα καὶ ἀχρείους ἀνθρώπους, καὶ ὅλα τὰ κάμνομεν καὶ τὰ λέγομεν διὰ νὰ ἐπιτύχωμεν τοῦ σκοποῦ μας, διὰ τοὺς νόμους ὅμως τοῦ Θεοῦ δὲν δεχώμεθα νὰ συγχωρήσωμεν τὸν ἀδελφὸν ποὺ μᾶς ἐλύπησεν, ἀλλὰ καὶ νὰ θεωροῦμεν ἐντροπὴν τὸ νὰ τρέξωμεν πρῶτοι εἰς αὐτόν; Ἐντρέπεσαι, λέγε

νειν; Τοὐναντίον μὲν οὖν αἰσχύνεσθαι χρὴ τὸ μένειν ἐπὶ τοῦ πάθους, καὶ τὸν λελυπηκότα ἐκδέχεσθαι πρὸς τὰς καταλλαγὰς ἐλθεῖν· τοῦτο γὰρ καὶ αἰσχύνη, καὶ ὄνειδος, καὶ ζημία μεγίστη. Ὁ γὰρ πρότερος ἐλθών, ἐκεῖνος καρποῦται τὸ πᾶν.

Ἂν μὲν γὰρ παρ' ἑτέρου παρακληθεὶς ἀφῇς τὴν ὀργήν, ἐκείνῳ λογίζεται τὸ κατόρθωμα· οὐ γὰρ δὴ τῷ Θεῷ πειθόμενος, ἀλλ' ἐκείνῳ χαριζόμενος τὸν νόμον ἐπλήρωσας· ἂν δὲ μηδενὸς παρακαλοῦντος, μήτε αὐτοῦ τοῦ λελυπηκότος πρὸς σὲ παραγενομένου καὶ δεηθέντος, αὐτὸς πᾶσαν αἰσχύνην, καὶ πάντα ὄκνον ῥίψας ἀπὸ τῆς διανοίας προσδράμῃς τῷ ἠδικηκότι, καὶ καταλύσῃς τὴν ὀργήν, ὁλόκληρόν σου γίνεται τὸ κατόρθωμα, καὶ τὸν πάντα λήψῃ μισθόν. Ἂν εἴπω, νήστευσον, ἀσθένειάν μοι προβάλλῃ σώματος πολλάκις· ἂν εἴπω, δὸς πένησι, παιδοτροφίαν καὶ πενίαν· ἂν εἴπω, σχόλαζε εἰς συνάξεις, φροντίδας βιωτικάς· ἂν εἴπω, πρόσεχε τοῖς λεγομένοις, καὶ νόει τῆς διδασκαλίας τὴν δύναμιν, ἰδιωτείαν· ἂν εἴπω, κατόρθωσον ἕτερον, λέγεις, ὅτι οὐχ ὑπακούει συμβουλευόμενος, πολλάκις γὰρ εἰπὼν κατεφρονήθην.

Ψυχραὶ μὲν οὖν αἱ προφάσεις, ἀλλ' ὅμως κἂν πρόφασιν ἔχῃς εἰπεῖν· ἂν εἴπω, τὴν ὀργὴν ἄφες, τί τούτων εἰπεῖν δυνήσῃ; Οὔτε γὰρ ἀσθένειαν σώματος, οὔτε πενίαν, οὐκ ἰδιωτείαν, οὐκ ἀσχολίαν, οὐκ ἄλλο οὐδὲν ἔχεις εἰπεῖν, ἀλλ' ἀσύγγνωστος αὕτη μάλιστα πάντων ἐστὶν ἡ ἁμαρτία. Πῶς δυνήσῃ τὰς χεῖρας εἰς τὸν οὐρανὸν ἀνατεῖναι; πῶς τὴν γλῶτ-

μου, ὅταν πρόκειται πρῶτος νὰ κερδίσῃς; Ἀντιθέτως μάλιστα πρέπει νὰ ἐντρέπεσαι ποὺ παραμένεις εἰς τὸ πάθος, καὶ ἐκεῖνον ποὺ σὲ ἐλύπησε νὰ τὸν περιμένῃς νὰ ἔλθῃ πρὸς συμφιλίωσιν· διότι τοῦτο εἶναι αἰσχύνη καὶ ὄνειρον καὶ ζημία πολὺ μεγάλη. Διότι ἐκεῖνος ποὺ θὰ ἔλθῃ πρῶτος, ἐκεῖνος θὰ τὰ κερδίσῃ ὅλα.

Διότι ἂν ἀφήσῃς τὴν ὀργὴν παρακληθεὶς ἀπὸ ἄλλους, εἰς ἐκεῖνον ὑπολογίζεται τὸ κατόρθωμα· διότι δὲν ἐτήρησες τὸν νόμον πειθόμενος εἰς τὸν Θεόν, ἀλλὰ χαριζόμενος εἰς ἐκεῖνον· ἂν δὲ χωρὶς νὰ παρακινῇ κανείς, οὔτε ἐκεῖνος ποὺ σὲ ἐλύπησε νὰ ἔλθῃ καὶ νὰ σὲ παρακαλέσῃ μόνος, ἐσὺ ἂν τρέξῃς πρὸς αὐτὸν ποὺ σὲ ἠδίκησε καὶ καταπαύσῃς τὴν ὀργήν, ἀφοῦ ἀφήσῃς κατὰ μέρος κάθε ἐντροπὴν καὶ βγάλῃς ἀπὸ τὸν νοῦν σου κάθε δισταγμόν, ὁλόκληρον τὸ κατόρθωμα γίνεται ἰδικόν σου καὶ ὅλον τὸν μισθὸν θὰ λάβῃς. Ἂν σοῦ εἰπῶ, νήστευσον, πολλάκις μοῦ προβάλλεις ὡς δικαιολογίαν ἀσθένειαν σώματος· ἂν σοῦ εἰπῶ, δῶσε εἰς τοὺς πτωχούς, μοῦ προβάλλεις ὡς δικαιολογίαν ὅτι εἶσαι πτωχὸς καὶ ἔχεις νὰ ἀναθρέψῃς παιδιά· ἂν σοῦ εἰπῶ, νὰ ἔρχεσαι τακτικὰ εἰς τὰς συγκεντρώσεις, προβάλλεις τὰς ἀνάγκας τὰς βιωτικάς· ἂν σοῦ εἰπῶ, πρόσεχε αὐτὰ ποὺ λέγονται εἰς τὰ κηρύγματα καὶ κατανόησε τὴν δύναμιν τῆς διδασκαλίας, προβάλλεις ὡς δικαιολογίαν τὴν ἔλλειψιν μορφώσεως· ἂν σοῦ εἰπῶ νὰ διορθώσῃς κάποιον ἄλλον, λέγεις, ὅτι δὲν θὰ ὑπακούσῃ, διότι ἂν καὶ πολλάκις τὸν συνεβούλευσα, περιεφρόνησε τὰς συμβουλάς μου.

Δὲν εὐσταθοῦν καὶ εἶναι ἄτοποι αἱ προφάσεις αὐταί, ὅμως ἠμπορεῖς νὰ εὕρῃς κάποιαν δικαιολογίαν· ἂν ὅμως σοῦ εἰπῶ, ἄφησε τὴν ὀργήν, ποίαν ἀπὸ τὰς δικαιολογίας αὐτὰς θὰ ἠμπορέσῃς νὰ προβάλλῃς; Διότι δὲν ἠμπορεῖς νὰ ἀναφέρῃς ὡς δικαιολογίαν οὔτε ἀσθένειαν σώματος, οὔτε πτωχείαν, οὔτε ἀμάθειαν, οὔτε ἀπασχόλησιν, οὔτε τίποτε ἄλλο, ἀλλὰ θὰ σοῦ εἶναι ἀσυγχώρητος ἀπὸ ὅλας τὰς ἄλλας ἁμαρτίας, ἡ ἁμαρτία αὐτή. Πῶς θὰ ἠμπορέσῃς νὰ ὑψώσῃς τὰ

ταν κινῆσαι; πῶς αἰτῆσαι συγγνώμην; Κἂν γὰρ βούληται ὁ Θεὸς ἀφεῖναι τὰς ἁμαρτίας σου, οὐκ ἀφίῃς αὐτὸς τὰ τοῦ συνδούλου κατέχων. Ἀλλ' ὠμός ἐστι, καὶ ἄγριος, καὶ θηριώδης, καὶ κολάσεως ἐπιθυμεῖ, καὶ ἀντιδόσεως. Καὶ διὰ τοῦτο μάλιστα ἄφες. Ἠδίκησαι πολλά, καὶ ἀπεστέρησαι, καὶ κακῶς ἤκουσας, καὶ ἐν τοῖς μεγίστοις ἐβλάβης πράγμασι, καὶ βούλει κολαζόμενον ἰδεῖν τὸν ἐχθρόν. Καὶ εἰς τοῦτό σοι πάλιν χρήσιμον τὸ ἀφιέναι. Ἂν μὲν γὰρ αὐτὸς ἐκδικήσῃς καὶ ἐπεξέλθῃς, εἴ τε διὰ ῥημάτων, εἴ τε διὰ πραγμάτων, εἴ τε διὰ τῆς εὐχῆς τῆς κατ' αὐτοῦ, ὁ Θεὸς οὐκ ἐπεξελεύσεται λοιπόν, ἅτε σοῦ τὴν τιμωρίαν λαβόντος, καὶ οὐ μόνον οὐκ ἐπεξελεύσεται, ἀλλὰ καὶ σὲ ἀπαιτήσει δίκην ὡς ὑβρισμένος.

4. *Εἰ γὰρ ἐπ' ἀνθρώπων τοῦτο γίνεται, κἂν τυπτήσωμεν ἀλλότριον οἰκέτην, ὁ δεσπότης ἀγανακτεῖ, καὶ ὕβριν εἶναί φησι τὸ πρᾶγμα, κἂν γὰρ ἠδικημένοι τύχωμεν ὑπὸ παίδων, εἴ τε ὑπὸ ἐλευθέρων, τὰς παρὰ τῶν ἀρχόντων καὶ τὰς παρὰ τῶν δεσποτῶν ἀναμένειν χρὴ ψήφους· εἰ τοίνυν ἐπ' ἀνθρώπων οὐκ ἀσφαλὲς ἑαυτοὺς ἐκδικεῖν, πολλῷ μᾶλλον ὅταν ὁ Θεὸς δικάζῃ. Ἀλλ' ἠδίκησέ σέ τις καὶ λελύπηκε, καὶ μυρία διέθηκεν ὁ πλησίον κακά. Μηδὲ οὕτως αὐτὸς αὐτῷ ἐπεξέλθῃς, ἵνα μὴ ὑβρίσῃς σαυτοῦ τὸν δεσπότην· παραχώρησον τῷ Θεῷ, καὶ αὐτὸς διαθήσει τὸ πρᾶγμα πολλῷ βέλτιον οὗ σὺ βούλει. Σοὶ μόνον εὔχεσθαι ὑπὲρ τοῦ λελυπηκότος ἐκέλευσε· τὸ δὲ πῶς ἐκείνῳ δεῖ χρήσασθαι αὐτῷ καταλιπεῖν προσέταξεν. Οὐχ οὕτως σὺ σαυτὸν ἐκδικεῖς, ὡς ἐκεῖνός σε ἐκδικῆσαι παρεσκεύασται, ἂν αὐτῷ παραχωρήσῃς μόνον. Μὴ κατεύξῃ τοῦ λελυπηκότος, ἀλλ' αὐτὸν ἄφες κύ-*

χέρια σου εἰς τὸν οὐρανόν; Πῶς θὰ κινήσῃς τὴν γλῶσσαν σου; Πῶς θὰ ζητήσῃς συγγνώμην; Ἀκόμα καὶ ἂν θέλῃ νὰ σοῦ συγχωρήσῃ ὁ Θεὸς τὰς ἁμαρτίας, δὲν τὸν ἀφήνεις ἐσύ, ἐπειδὴ δὲν συγχωρεῖς τὰς ἁμαρτίας τοῦ συνδούλου σου. Ἀλλὰ εἶναι σκληρός, καὶ ἄγριος καὶ θηριώδης καὶ ἐπιθυμεῖ τιμωρίαν καὶ ἐκδίκησιν. Ἀκριβῶς διὰ τοῦτο συγχώρησέ τον. Ἔχεις ἀδικηθῆ εἰς πολλά, καὶ ἔχεις στερηθῆ πολλά, καὶ ἐκακολογήθης, καὶ ἐζημιώθης μὲ πολὺ μεγάλα πράγματα, καὶ θέλεις νὰ ἰδῇς, ἐξ αἰτίας τούτων, νὰ τιμωρῆται ὁ ἐχθρός σου. Καὶ ἐδῶ πάλιν σοῦ εἶναι χρήσιμον τὸ νὰ συγχωρήσῃς. Διότι ἂν μὲν σὺ ὁ ἴδιος θὰ θελήσῃς νὰ τὸν ἐκδικηθῇς καὶ νὰ ἐπιτεθῇς ἐναντίον του, εἴτε διὰ λόγων, εἴτε διὰ πράξεων, εἴτε μὲ κατάρας, ὁ Θεὸς δὲν θὰ ἐπέμβῃ πλέον, ἀφοῦ σὺ ἀνέλαβες τὴν τιμωρίαν του, καὶ ὄχι μόνον δὲν θὰ ἐπέμβῃ διὰ νὰ τὸν τιμωρήσῃ, ἀλλὰ καὶ σὲ θὰ τιμωρήσῃ ὡς ὑβριστήν.

4. Διότι ἂν συμβαίνῃ τοῦτο εἰς τοὺς ἀνθρώπους, ν' ἀγανακτῇ δηλαδή, ἂν κτυπήσωμεν ξένον ὑπηρέτην, ὁ κύριός του καὶ νὰ θεωρῇ τοῦτο ὡς ὕβριν εἰς τὸν ἑαυτόν του καθ' ὅσον ἀκόμα καὶ ἂν ἀδικηθοῦμεν ἀπὸ δούλους ἢ ἀπὸ ἐλευθέρους πρέπει νὰ ἀπευθυνθῶμεν εἰς τοὺς ἄρχοντας καὶ τοὺς κυρίους των καὶ νὰ ἀναμένωμεν τὴν ἀπόφασίν των· ἀφοῦ λοιπὸν ἐπὶ τῶν ἀνθρώπων δὲν εἶναι ἀσφαλὲς μόνοι μας νὰ διεκδικοῦμεν τὸ δίκαιόν μας, πολὺ περισσότερον ἰσχύει αὐτὸ ὅταν δικάζῃ ὁ Θεός. Ἀλλὰ σὲ ἠδίκησε καὶ σὲ ἔχει λυπήσει καὶ σοῦ ἔχει προξενήσει ἀναρίθμητα κακὰ ὁ πλησίον σου. Οὔτε τότε νὰ ἀντεπεξέλθῃς κατ' αὐτοῦ διὰ νὰ μὴ ὑβρίσῃς τὸν Δεσπότην σου· ἄφησε τοῦτο εἰς τὸν Θεὸν καὶ αὐτὸς θὰ τακτοποιήσῃ τὸ πρᾶγμα πολὺ καλύτερα ἀπὸ ὅ,τι σὺ θέλεις. Εἰς ἐσὲ ἔδωσεν ἐντολὴν νὰ προσεύχεσαι ὑπὲρ ἐκείνου ποὺ σὲ ἐλύπησε, τὸ δὲ πῶς θὰ χρησιμοποιήσῃ ἐκεῖνον, αὐτὸ σὲ διέταξε νὰ τὸ ἀφήσῃς εἰς Αὐτόν. Δὲν ἠμπορεῖς σὺ νὰ εὕρῃς μόνος τὸ δίκαιόν σου, ὅσον ἠμπορεῖ ὁ Θεὸς νὰ σοῦ τὸ ἀνταποδώσῃ, ἂν τὸ ἀναθέσῃς μόνον εἰς αὐτόν. Νὰ μὴ καταρασθῇς ἐκεῖνον ποὺ σὲ ἐλύπησε, ἀλλὰ νὰ ἀφήσῃς τὸν Θεὸν νὰ

ριον γενέσθαι τῆς ψήφου· κἂν γὰρ ἡμεῖς ἀφῶμεν τοῖς ἠδικηκόσι, κἂν καταλλαγῶμεν, κἂν ὑπὲρ αὐτῶν δεηθῶμεν, ὁ Θεὸς οὐκ ἀφίησιν, ἐὰν μὴ μεταβάλλωνται καὶ αὐτοί, καὶ βελτίους γένωνται· οὐκ ἀφίησι δὲ πρὸς τὸ χρήσιμον ἐκείνων βλέπων. Σὲ μὲν γὰρ ἐπαινεῖ καὶ ἀποδέχεται τῆς φιλοσοφίας, ἐκεῖνον δὲ ἐπεξέρχεται ἵνα μὴ τῇ σῇ φιλοσοφίᾳ χείρων γένηται.

Ὥστε περιττὸς ὁ τῶν πολλῶν λόγος. Πολλοὶ γὰρ πολλάκις ἐγκαλούμενοι παρ' ἡμῶν, ἐπειδὴ παρακαλούμενοι καταλλαγῆναι τοῖς ἐχθροῖς οὐκ ἐπείθοντο, ταύτην ἐδόκουν τὴν ἀπολογίαν προβαλέσθαι παραπέτασμα τῆς ἑαυτῶν οὔσαν πονηρίας· οὐ βούλομαι καταλλαγῆναι, φησίν, ἵνα μὴ χείρονα αὐτὸν ἐργάσωμαι, ἵνα μὴ τραχύτερον, ἵνα μὴ μειζόνως μου καταφρονήσῃ μετὰ ταῦτα· καὶ πρὸς τούτοις κἀκεῖνο λέγουσιν, ὅτι πολλοὶ τῶν ἀνθρώπων ἐξ ἀσθενείας με νομίζουσι πρότερον ἐπὶ τὰς καταλλαγὰς ἔρχεσθαι, καὶ τὸν ἐχθρὸν παρακαλεῖν. Ταῦτα πάντα μάταια· ὁ γὰρ ἀκοίμητος ὀφθαλμὸς εἶδε τὴν γνώμην τὴν σήν· διόπερ οὐδένα χρὴ ποιεῖσθαι τῶν συνδούλων λόγον, ὅταν τὸν κριτὴν πείσῃς, καὶ τὸν μέλλοντά σοι δικάζειν. Εἰ δὲ τοῦ μὴ γενέσθαι σοι χείρονα διὰ τῆς ἐπιεικείας τὸν ἐχθρὸν φροντίζεις, ἐκεῖνο μάνθανε, ὅτι οὐχ οὕτω γίνεται χείρων, ἀλλ' ἂν μὴ καταλλαγῇς μᾶλλον· κἂν γὰρ ἁπάντων μιαρώτερος ᾖ, κἂν μὴ λέγῃ, κἂν μὴ κηρύττῃ, καὶ σιγῶν πάντως ἀποδέχεταί σου τὴν φιλοσοφίαν, αἰδεσθήσεταί μου τὴν πρᾳότητα κατὰ τὸ συνειδὸς τὸ ἑαυτοῦ· ἐὰν δὲ ἐπὶ τῆς αὐτῆς μένῃ πονηρίας κολακευόμενος καὶ θεραπευόμενος, ἕξει τιμωρὸν μέγιστον τὸν Θεόν.

Καὶ ἵνα μάθητε, ὅτι κἂν ἡμεῖς παρακαλέσωμεν ὑπὲρ

βγάλῃ ἐκεῖνος τὴν ἀπόφασιν· διότι καὶ ἂν ἀκόμα ἡμεῖς συγχωρήσωμεν αὐτοὺς ποὺ μᾶς ἠδίκησαν, καὶ ἂν ἀκόμα συμφιλιωθῶμεν μὲ αὐτοὺς καὶ προσευχηθῶμεν εἰς τὸν Θεὸν ὑπὲρ αὐτῶν, ὁ Θεὸς δὲν τοὺς συγχωρεῖ, ἐὰν δὲν ἀλλάξουν καὶ αὐτοὶ καὶ γίνουν καλύτεροι· δὲν τοὺς συγχωρεῖ δὲ ἐπειδὴ ἀποβλέπει πρὸς τὸ συμφέρον των. Σὲ μὲν ἐπαινεῖ καὶ δέχεται τὴν στάσιν σου, ἐναντίον ἐκείνου ὅμως ἀνταπεξέρχεται, διὰ νὰ μὴ γίνῃ χειρότερος ἀπὸ τὴν ἰδικήν σου συμπεριφορὰν τὴν διαλλακτικήν.

Ὥστε εἶναι περιττὸς ὁ λόγος ποὺ λέγουν πολλοί. Διότι πολλοὶ εἰς τοὺς ὁποίους πολλάκις παρεπονέθημεν, ἐπειδή, ἂν καὶ ἔχουν παρακληθῆ νὰ συμφιλιωθοῦν μὲ τοὺς ἐχθρούς των, δὲν ἐπείθοντο, αὐτὴν τὴν δικαιολογίαν ἐνόμιζον ὅτι ἠμποροῦν νὰ προβάλλουν, ἡ ὁποία ἦτο πρόσχημα διὰ τὴν πονηρίαν των· δὲν θέλω νὰ συμφιλιωθῶ, λέγει, διὰ νὰ μὴ τὸν κάμω χειρότερον μὲ τὴν συμφιλίωσίν μου, σκληρότερον, διὰ νὰ μὴ μὲ περιφρονήσῃ περισσότερον ἔπειτα· σὺν τοῖς ἄλλοις καὶ τοῦτο λέγουν ὅτι πολλοὶ ἀπὸ τοὺς ἀνθρώπους θὰ νομίσουν ὅτι ἀπὸ ἀδυναμίαν τὸ κάμω, νὰ ἔρχωμαι δηλαδὴ πρῶτος διὰ συμφιλίωσιν καὶ νὰ παρακαλῶ τὸν ἐχθρόν. Αὐτὰ ὅλα εἶναι ἀνόητα· διότι ὁ ἀκοίμητος ὀφθαλμὸς εἶδε τὴν ἰδικήν σου διάθεσιν· διὰ τοῦτο δὲν πρέπει νὰ προσέχῃς εἰς τὸ τί θὰ εἰποῦν οἱ συνάνθρωποί σου, ὅταν πείσῃς τὸν κριτὴν καὶ ἐκεῖνον ποὺ πρόκειται νὰ σὲ κρίνῃ. Ἂν δὲ φροντίζῃς διὰ νὰ μὴ γίνῃ, ἐξ αἰτίας τῆς ἐπιεικείας, χειρότερος ὁ ἐχθρός, μάθε τοῦτο, ὅτι δὲν γίνεται χειρότερος κατ' αὐτὸν τὸν τρόπον, ἀλλὰ ἂν δὲν συμφιλιωθῇς· διότι ἀκόμα καὶ ἂν εἶναι ἀπὸ ὅλους ἀχρειότερος, ἔστω καὶ ἂν δὲν τὸ λέγῃ, καὶ δὲν τὸ διακηρύττῃ, διὰ τῆς σιωπῆς του θὰ ἐπαινέσῃ τὴν συμπεριφοράν σου, θὰ ἐντραπῇ ἀπὸ τὴν πραότητά σου εἰς τὴν συνείδησίν του· ἐὰν δὲ παραμείνῃ εἰς τὴν κακίαν του, ἐνῷ σὺ τὸν φέρεσαι καλὰ καὶ τὸν περιποιεῖσαι, θὰ ἔχῃ τὸν Θεὸν ὡς μέγιστον τιμωρόν.

Καὶ διὰ νὰ μάθετε ὅτι, καὶ ἂν ἀκόμα ἡμεῖς παρακαλέ-

τῶν ἐχθρῶν καὶ ὑπὲρ τῶν ἠδικηκότων, ὁ Θεὸς οὐκ ἀφίησιν, ἂν μέλλωσι γίνεσθαι χείρους διὰ τῆς ἡμετέρας ἀνεξικακίας, ἱστορίαν ὑμῖν ἐρῶ παλαιάν. Κατελάλησέ ποτε τοῦ Μωϋσέως ἡ Μαρία· τί οὖν ὁ Θεός; Λέπραν ἐπαφῆκεν αὐτῇ, καὶ ἀκάθαρτον αὐτὴν ἐποίησε, καίτοι γε τὰ ἄλλα οὖσαν ἐπιεικῆ καὶ σώφρονα· εἶτα τοῦ Μωϋσέως αὐτοῦ τοῦ ὑβρισμένου παρακαλοῦντος ἀφεῖναι τὴν ὀργήν, οὐκ ἠνέσχετο ὁ Θεός· ἀλλὰ τί φησιν; «Εἰ ἐμπτύων ἐνέπτυσεν ὁ πατὴρ αὐτῆς εἰς τὸ πρόσωπον, οὐκ ἂν ἐνετράπη; Μεινάτω», φησίν, «ἔξω τῆς παρεμβολῆς ἑπτὰ ἡμέρας». Ὃ δὲ λέγει τοιοῦτόν ἐστιν· εἰ πατέρα, φησίν, εἶχε, καὶ ἐξ ὄψεως αὐτὴν ἐποίησεν, οὐκ ἂν ἤνεγκε τὴν ἐπιτίμησιν; Σὲ μὲν ἀποδέχομαι τῆς φιλαδελφίας, καὶ τῆς πρᾳότητος, καὶ τῆς ἐπιεικείας· ἐγὼ δὲ οἶδα πότε αὐτὴν ἀφεῖναι δεῖ τῆς κολάσεως. Σὺ μὲν πᾶσαν φιλοφροσύνην ἐπίδειξαι περὶ τὸν ἀδελφόν, καὶ μὴ κολάσεως ἐπιθυμίᾳ μείζονος ἀφῇς τὰ πλημμελήματα, ἀλλὰ φιλοστοργίᾳ καὶ γνώμῃ χρηστῇ. Ἐκεῖνο μὲν γάρ τοι σαφῶς ἴσθι, ὅτι ὅσῳ ἂν θεραπεύοντα ὑπερίδῃ σε, τοσούτῳ μείζονα ἐπισπάσεται καθ' ἑαυτοῦ τὴν κόλασιν ἐκεῖνος.

Τί λέγεις, εἰπέ μοι; Φαυλότερος γίνεται θεραπευόμενος; Τοῦτο ἐκείνου μὲν κατηγορία, σὸν δὲ ἐγκώμιον, ὅτι καὶ ὁρῶν τοιοῦτον γινόμενον, τῶν τῷ Θεῷ δοκούντων οὐκ ἀπέστης θεραπεύων αὐτόν· ἐκείνῳ δὲ ἔγκλημα, ὅτι οὐδὲ ἀπὸ τῆς σῆς ἐπιεικείας βελτίων γέγονε. Παῦλος δέ φησιν, αἱρετώτερον ἑτέρους ἐγκαλεῖσθαι δι' ἡμᾶς, ἢ ἡμᾶς δι' ἑτέρους. Μηδὲ λέγε τὰ ψυχρὰ ταῦτα ῥήματα· μὴ νομίσῃ, φησίν, ὅτι φοβηθεὶς αὐτὸν προσέδραμον, ἵνα μᾶλλόν μου καταφρονήσῃ·

---

6. Ἀριθμ. 12, 14.

σωμεν τὸν Θεὸν διὰ τοὺς ἐχθρούς μας καὶ δι᾽ αὐτοὺς ποὺ μᾶς ἔχουν ἀδικήσει, ὁ Θεὸς δὲν τοὺς συγχωρεῖ ἂν πρόκειται νὰ γίνουν χειρότεροι διὰ τῆς ἰδικῆς μας ἀνεξικακίας, θὰ σᾶς διηγηθῶ μίαν παλαιὰν ἱστορίαν. Ὡμίλησε κάποτε ἡ Μαρία, ἡ ἀδελφὴ τοῦ Μωυσέως, ἐναντίον του. Τί λοιπὸν ἔκαμεν ὁ Θεός; Λέπραν ἔρριψεν ἐπάνω εἰς αὐτὴν καὶ τὴν ἔκαμεν ἀκάθαρτον, καίτοι βεβαίως ὡς πρὸς τὰ ἄλλα ἦτο σώφρων καὶ ἀγαθή· ἔπειτα, ἂν καὶ παρεκάλει ὁ Μωυσῆς, ποὺ ὑβρίσθη ἀπὸ αὐτήν, τὸν Θεὸν νὰ παύσῃ τὴν ὀργήν του ἀπὸ αὐτήν, δὲν τὸ ἐδέχθη ὁ Θεός, ἀλλὰ τί λέγει· «Ἐὰν ὁ πατέρας αὐτῆς τὴν ἔπτυεν εἰς τὸ πρόσωπον δὲν θὰ ἦτο ἐντροπιασμένη; ἂς μείνῃ», λέγει, «ἔξω ἀπὸ τὴν παρεμβολὴν ἑπτὰ ἡμέρας»[6]. Αὐτὸ δὲ ποὺ λέγει σημαίνει τὸ ἑξῆς· ἐὰν εἶχε, λέγει, πατέρα καὶ τῆς ἔλεγε φύγε ἀπὸ ἐμπρός μου, δὲν θὰ ὑπέφερε τὸ μάλωμα τοῦτο; Σὲ μὲν ἐπαινῶ διὰ τὰ φιλάδελφα αἰσθήματά σου καὶ διὰ τὴν πραότητα καὶ τὴν ἀγαθότητά σου· ἐγὼ δὲ γνωρίζω πότε πρέπει νὰ τὴν ἀπαλλάξω ἀπὸ τὴν τιμωρίαν. Καὶ σὺ λοιπὸν δεῖξε κάθε ἀγαθὴν διάθεσιν διὰ τὸν ἀδελφόν σου, καὶ μὴ τοῦ συγχωρῇς τὰ παραπτώματα, ἐπειδὴ θέλεις νὰ τιμωρηθῇ περισσότερον, ἀλλὰ ἀπὸ φιλοστοργίαν καὶ καλὴν διάθεσιν. Διότι νὰ γνωρίζῃς καλῶς ὅτι ὅσον περισσότερον θὰ σὲ περιφρονῇ, ἐνῷ σὺ τὸν περιποιεῖσαι, τόσον μεγαλυτέραν τιμωρίαν θὰ ἐπισύρῃ κατὰ τοῦ ἑαυτοῦ του.

Τί λέγεις, εἰπέ μου; Γίνεται χειρότερος ὅταν κάποιος τὸν περιποιεῖται; Τοῦτο εἰς ἐκεῖνον μὲν εἶναι κατηγορία, ἰδικόν σου δὲ ἐγκώμιον, διότι ἂν καὶ τὸν βλέπεις νὰ γίνεται τέτοιος, διὰ τὸ θέλημα τοῦ Θεοῦ, δὲν ἔπαυσες νὰ τὸν περιποιῆσαι· εἰς ἐκεῖνον δὲ εἶναι ἔγκλημα, διότι οὔτε ἐκ τῆς ἰδικῆς σου ἐπιεικείας ἔγινε καλύτερος. Ὁ Παῦλος δὲ λέγει ὅτι εἶναι προτιμότερον ἄλλοι νὰ κατηγοροῦνται διὰ τὰ παραπτώματά τους εἰς ἡμᾶς, παρὰ ἡμεῖς διὰ τὰ πταίσματά μας πρὸς τοὺς ἄλλους. Οὔτε νὰ λέγῃς πάλιν τὰ ἄνευ περιεχομένου καὶ ἀνόητα αὐτὰ λόγια· μήπως νομίσῃ ὅτι ἀπὸ φόβον ἔτρεξα πρῶτος πρὸς αὐτὸν καὶ θὰ μὲ περιφρονήσῃ περισσό-

παιδικῆς ταῦτα ψυχῆς καὶ ἀνοήτου, καὶ πρὸς δόξαν ἐπτοημένης ἀνθρωπίνην. Νομιζέτω, ὅτι φοβηθεὶς προσῆλθες, καὶ μείζων ὁ μισθὸς ἔσται σοι, ὅταν καὶ ταῦτα προειδὼς διὰ τὸν τοῦ Θεοῦ φόβον ὑπομένῃς πάντα. Ὁ μὲν γὰρ τὴν παρὰ τῶν ἀνθρώπων δόξαν θηρώμενος, καὶ διὰ τοῦτο καταλλαττόμενος, ὑποτέμνεται τῆς ἀντιδόσεως τὸ κέρδος· ὁ δὲ ἀκριβῶς ἐπιστάμενος, ὅτι πολλοὶ καταγνώσονται καὶ καταγελάσονται, καὶ οὐδὲ οὕτως ἀφίσταται τῆς καταλλαγῆς, διπλασίονα καὶ τριπλασίονα ἕξει τὸν στέφανον· καὶ οὗτος μάλιστά ἐστιν, ὁ διὰ τὸν Θεὸν τοῦτο ποιῶν. Μή μοι λέγε, ὅτι τὰ καὶ τὰ ἠδίκησε· καὶ γὰρ οἱ πᾶσαν πονηρίαν τὴν ἐν ἀνθρώποις ἐπεδείξατο περὶ σέ, καὶ οὕτω σοι πάντα ἀφεῖναι ἐκέλευσεν ὁ Θεός.

5. *Ἰδοὺ προλέγω, καὶ διαμαρτύρομαι, καὶ λαμπρᾷ βοῶ τῇ φωνῇ, μηδεὶς τῶν ἐχόντων ἐχθρὸν προσίτω τῇ ἱερᾷ τραπέζῃ, καὶ δεχέσθω τὸ σῶμα τοῦ Κυρίου· μηδεὶς προσιὼν ἐχθρὸν ἐχέτω. Ἐχθρὸν ἔχεις; Μὴ προσέλθῃς. Βούλει προσελθεῖν; Καταλλάγηθι, καὶ τότε προσελθὼν ἅψαι τοῦ ἱεροῦ. Μᾶλλον δὲ οὐκ ἐγὼ ταῦτα λέγω, ἀλλ' ὁ δι' ἡμᾶς σταυρωθεὶς Δεσπότης αὐτός· ἵνα σε καταλλάξῃ τῷ Πατρί, οὐδὲ σφαγῆναι παρῃτήσατο, οὐδὲ τὸ αἷμα ἐκχεῖν· καὶ σὺ ἵνα καταλλαγῇς τῷ συνδούλῳ, οὐδὲ ῥῆμα προέσθαι βούλει, οὐδὲ πρότερος προσδραμεῖν; Ἄκουσον τί φησι περὶ τῶν οὕτω διακειμένων· «Ἐὰν προσφέρῃς τὸ δῶρόν σου ἐπὶ τὸ θυσιαστήριον, κἀκεῖ μνησθῇς, ὅτι ὁ ἀδελφός σου ἔχει τι κατὰ σοῦ»· οὐκ εἶπεν, ἀνάμεινον ἐκεῖνον ἐλθεῖν πρὸς σέ, οὐδέ, ἑτέρῳ τινὶ μεσίτῃ διαλέχθητι, οὐδέ, ἄλλον τινὰ παρακάλεσον, ἀλλ', αὐτὸς σὺ πρὸς ἐκεῖνον δράμε· «Ὕπαγε γάρ», φησί, «πρῶτον*

---

7. Ματθ. 5, 23.

τερον· αὐτὰ εἶναι λόγια ποὺ προέρχονται ἀπὸ ἀνόητον καὶ παιδικὴν ψυχήν, τὴν ὁποίαν ἐπηρεάζει ἡ ἀνθρωπίνη δόξα. Ἂς νομίζῃ ὅτι προσῆλθες ἀπὸ φόβον καὶ θὰ σοῦ εἶναι μεγαλύτερος ὁ μισθός, ἐπειδὴ ἂν καὶ ἐγνώριζες ἐκ τῶν προτέρων τοῦτο διὰ τὸν φόβον τοῦ Θεοῦ ὑπομένεις τὰ πάντα. Διότι ἐκεῖνος ποὺ ἐπιδιώκει τὸν ἔπαινον τῶν ἀνθρώπων καὶ διὰ τοῦτο συμφιλιώνεται, ἐλαττώνει μὲ τοῦτο τὸ κέρδος τῆς ἀμοιβῆς· αὐτὸς ὅμως ποὺ γνωρίζει καλῶς ὅτι πολλοὶ θὰ τὸν ἐπικρίνουν καὶ θὰ γελάσουν εἰς βάρος του, καὶ πάλιν δὲν ἀποφεύγει τὴν συμφιλίωσιν, θὰ λάβῃ διπλασίαν καὶ τριπλασίαν ἀμοιβήν· καὶ αὐτὸς εἶναι ἐκεῖνος ποὺ κάνει τοῦτο διὰ τὸν Θεόν. Μὴ μοῦ λέγεις ὅτι εἰς τοῦτο καὶ εἰς ἐκεῖνο σὲ ἠδίκησε· διότι καὶ ἂν ἀκόμα ὑποθέσωμεν ὅτι ὅλην τὴν κακίαν ποὺ ὑπάρχει εἰς τοὺς ἀνθρώπους τὴν ἐπέδειξεν εἰς σέ, ἀκόμα καὶ τότε σέ διέταξεν ὁ Θεὸς ὅλα νὰ τοῦ τὰ συγχωρήσῃς.

5. Ἰδοὺ σᾶς τὸ λέγω ἐκ τῶν προτέρων καὶ διαμαρτύρομαι καὶ φωνάζω μὲ δυνατὴν φωνήν, κανεὶς ἀπὸ αὐτοὺς ποὺ ἔχουν ἐχθρόν, ἂς μὴ πλησιάζῃ εἰς τὴν ἱερὰν τράπεζαν καὶ ἂς μὴ δέχεται τὸ σῶμα τοῦ Κυρίου· κανεὶς ἀπὸ αὐτοὺς ποὺ προσέρχονται εἰς τὴν θείαν κοινωνίαν νὰ μὴ ἔχῃ ἐχθρόν. Ἔχεις ἐχθρόν; Μὴ προσέλθῃς διὰ κοινωνίαν. Θέλεις νὰ προσέλθῃς; Συμφιλιώσου καὶ τότε νὰ προσέλθῃς καὶ νὰ ἐγγίσῃς τὸ ἱερόν. Καὶ δὲν τὰ λέγω αὐτὰ ἐγώ, ἀλλὰ ὁ ἴδιος ὁ Δεσπότης ποὺ ἐσταυρώθη δι' ἡμᾶς· διὰ νὰ σὲ συμφιλιώσῃ μὲ τὸν Πατέρα δὲν παρῃτήθη οὔτε ἀπὸ τὴν σφαγήν, οὔτε νὰ χύσῃ τὸ αἷμα του· καὶ σὺ διὰ νὰ συμφιλιωθῇς μὲ τὸν συνάνθρωπόν σου, οὔτε λέξιν θέλεις νὰ βγάλῃς ἀπὸ τὸ στόμα σου, οὔτε πρῶτος τρέχεις; Ἄκουσε τί λέγει περὶ ἐκείνων ποὺ κάνουν τοῦτο· «Ἐὰν προσφέρῃς τὸ δῶρον σου εἰς τὸ θυσιαστήριον καὶ ἐκεῖ θυμηθῇς ὅτι ὁ ἀδελφός σου ἔχει κάτι ἐναντίον σου»[7]· δὲν εἶπε, περίμενε νὰ ἔλθῃ ἐκεῖνος πρὸς σέ, οὔτε, ὁμίλησε πρὸς κάποιον ἄλλον νὰ μεσολαβήσῃ, οὔτε, κάποιον ἄλλον παρακάλεσε, ἀλλ' εἶπε, σὺ ὁ ἴδιος τρέξε πρὸς ἐκεῖνον. Διότι λέγει «Πήγαινε πρῶτα νὰ συμφιλιωθῇς μὲ

διαλλάγηθι τῷ ἀδελφῷ σου». Ὦ τῆς ὑπερβολῆς. Αὐτὸς οὐχ ἡγεῖται ἀτιμίαν εἶναι, τοῦ δώρου καταλιμπανομένου, καὶ σὺ νομίζεις ὕβριν εἶναι, τὸ πρότερος ἀπελθεῖν καὶ καταλλαγῆναι; Καὶ ποῦ ταῦτα ἄξια συγγνώμης, εἰπέ μοι;

Ἐὰν ἴδῃς σου μέλος ἐκτετμημένον, οὐ πάντα ποιεῖς, ὥστε αὐτὸ ἑνῶσαι τῷ σώματι; Τοῦτο καὶ ἐπὶ τῶν ἀδελφῶν ποίησον· ὅταν ἴδῃς αὐτοὺς ἐκτμηθέντας σου τῆς φιλίας, περιστεῖλαι σπεῦσον ταχέως, μὴ προτέρους ἀναμείνῃς ἐκείνους ἐλθεῖν, ἀλλ' αὐτὸς πρότερος ἐπείχθητι λαβεῖν τὰ βραβεῖα. Ἕνα μόνον ἐχθρὸν ἐκελεύσθημεν ἔχειν τὸν διάβολον· πρὸς αὐτὸν μηδέποτε καταλλάττου, πρὸς δὲ τὸν ἀδελφὸν μηδέποτε κατὰ καρδίας ἀπεχθῶς ἔχε, ἀλλὰ κἂν γένηταί τις μικροψυχία, ἐφήμερος αὕτη μόνον ἔστω, καὶ μὴ ὑπερβαινέτω τὸ διάστημα τῆς ἡμέρας· «Ὁ ἥλιος γάρ», «μὴ ἐπιδυέτω ἐπὶ τῷ παροργισμῷ ὑμῶν». Ἂν μὲν γὰρ πρὸ τῆς ἑσπέρας καταλλαγῇς, ἔχεις ἀπὸ τοῦ Θεοῦ τινα συγγνώμην· ἂν δὲ περαιτέρω μένῃς ἐχθρὸς ὤν, οὐκέτι θυμοῦ καὶ ὀργῆς συναρπαζούσης, ἀλλὰ πονηρίας ἐστὶν ἡ ἀπέχθεια καὶ ψυχῆς μιαρᾶς καὶ κακίαν μελετώσης. Οὐ τοῦτο δὲ μόνον ἐστὶ τὸ δεινόν, ὅτι συγγνώμης ἑαυτὸν ἀποστερεῖς, ἀλλ' ὅτι καὶ τὸ κατόρθωμα δυσκολώτερον γίνεται· μιᾶς παρελθούσης ἡμέρας πλείων ἡ αἰσχύνη, καὶ δευτέρας προσγινομένης αὔξεται πάλιν· κἂν ἐπιλάβῃ τρίτην καὶ τετάρτην, προσθήσει καὶ πέμπτην· οὕτως αἱ πέντε γίνονται δέκα· αἱ δέκα εἴκοσι, αἱ εἴκοσι ἑκατόν, καὶ λοιπὸν ἀνίατον ἔσται τὸ ἕλκος· ὅσῳ γὰρ πρόεισιν ὁ χρόνος, τοσούτῳ μᾶλλον διιστάμεθα.

Ἀλλὰ μηδὲν τούτων πάθῃς, ὦ ἄνθρωπε, τῶν παραλόγων παθῶν, μηδὲ αἰσχυνθῇς καὶ ἐρυθριάσῃς, μηδὲ εἴπῃς πρὸς σεαυτόν, πρὸ μικροῦ τοσαῦτα ἀλλήλους ἐλοιδορήσαμεν,

---

8. Αὐτόθι.
9. Ἐφ. 4, 26.

τὸν ἀδελφόν σου»[8]. Ὢ πόσον ὑπερβολικὸν πρᾶγμα! Αὐτὸς δὲν θεωρεῖ ὅτι εἶναι περιφρόνησις νὰ μείνῃ τὸ δῶρον εἰς τὴν ἄκρην, καὶ σὺ νομίζεις ὅτι εἶναι ὑποτιμητικὸν νὰ τρέξῃς πρῶτος καὶ νὰ συμφιλιωθῇς; Καὶ πῶς θὰ εἶναι αὐτὰ ἄξια συγγνώμης, εἰπέ μου;

Ἐὰν ἰδῇς ἕνα μέλος σου κομμένον ἀπὸ τὸ ἄλλο, δὲν κάμεις τὰ πάντα ὥστε νὰ τὸ ἑνώσῃς μὲ τὸ σῶμα σου; Αὐτὸ κάμε καὶ διὰ τοὺς ἀδελφούς σου· ὅταν τοὺς ἰδῇς νὰ ἔχουν ἀποκοπῇ ἀπὸ τὴν φιλίαν σου, γρήγορα τρέξε νὰ τοὺς περιμαζεύσῃς, μὴ περιμένῃς νὰ ἔλθουν πρῶτοι ἐκεῖνοι, ἀλλὰ σὺ πρῶτος σπεῦσε νὰ πάρῃς τὰ βραβεῖα.

Ἕνα μόνον ἐχθρὸν διετάχθημεν νὰ ἔχωμεν, τὸν διάβολον. Οὐδέποτε νὰ συμφιλιωθῇς μὲ αὐτόν, πρὸς τὸν ἀδελφόν σου δὲ ποτὲ νὰ μὴ ἔχῃς βαρεῖαν καρδίαν, ἀλλὰ καὶ ἂν συμβῇ καμμία μικροψυχία, ἂς εἶναι αὐτὴ παροδική, καὶ νὰ μὴ ὑπερβαίνῃ τὸ διάστημα τῆς ἡμέρας. Διότι λέγει «Ἡ δύσις τοῦ ἡλίου νὰ μὴ σᾶς προφθάσῃ ὠργισμένους»[9]. Διότι ἂν συμφιλιωθῇς προτοῦ βραδυάσῃ ἔχεις ἀπὸ τὸν Θεὸν κάποιαν συγχώρησιν· ἂν ὅμως ἐξακολουθῇς νὰ παραμένῃς ἐχθρὸς περισσότερον, τότε πλέον ἡ ἀποστροφή σου δὲν προέρχεται ἀπὸ θυμὸν καὶ ὀργὴν ποὺ συναρπάζει, ἀλλὰ ἀπὸ κακίαν καὶ μιαρὰν ψυχὴν ποὺ μελετᾷ τὴν κακίαν. Καὶ δὲν εἶναι μόνον τοῦτο τὸ κακόν, ὅτι δηλαδὴ στερεῖς τὸν ἑαυτόν σου ἀπὸ τὴν συγχώρησιν, ἀλλ᾽ ὅτι καὶ τὸ ὅτι ἡ συμφιλίωσις γίνεται δυσκολοτέρα· διότι ἂν περάσῃ μία ἡμέρα ἡ ἐντροπὴ ποὺ αἰσθάνεσαι γίνεται μεγαλυτέρα, καὶ δευτέρα ἡμέρα ἂν προστεθῇ αὐξάνεται πάλιν· καὶ ἂν φθάσῃς εἰς τὴν τρίτην καὶ τετάρτην, θὰ προσθέσῃς καὶ πέμπτην· καὶ ἔτσι αἱ πέντε γίνονται δέκα· αἱ δέκα εἴκοσι, αἱ εἴκοσι ἑκατὸν καὶ ἡ πληγὴ θὰ εἶναι πλέον ἀθεράπευτος· διότι ὅσον περνᾷ ὁ χρόνος τόσον περισσότερον ἀπομακρυνόμεθα ἀπὸ τὴν συμφιλίωσιν.

Ἀλλὰ τίποτε ἀπὸ αὐτὰ νὰ μὴ πάθῃς, ὦ ἄνθρωπε, ἀπὸ τὰ παράλογα πάθη, οὔτε νὰ ἐντραπῇς καὶ νὰ κοκκινίσῃς, οὔτε νὰ εἴπῃς πρὸς τὸν ἑαυτόν σου, πρὸ ὀλίγου τόσας ὕβρεις

μυρία ῥητὰ καὶ ἄρρητα εἴπομεν, καὶ νῦν δραμοῦμαι ἐπὶ τὰς καταλλαγάς; καὶ τίς οὐ καταγνώσεταί μου τὴν πολλὴν εὐκολίαν; Οὐδεὶς νοῦν ἔχων εὐκολίαν σου καταγνώσεται, ἀλλ' ὅταν μένῃς ἀκατάλλακτος, τότε σε πάντες γελάσονται, τότε πολὺ δώσεις τῷ διαβόλῳ τὸ διάστημα. Οὐ γὰρ ἀπὸ τοῦ χρόνου λοιπὸν δυσδιάλυτος ἡ ἔχθρα γίνεται, ἀλλὰ καὶ ἀπὸ τῶν μεταξὺ γενομένων πραγμάτων. Ὥσπερ γὰρ ἀγάπη καλύπτει πλῆθος ἁμαρτιῶν, οὕτως ἔχθρα καὶ τὰ οὐκ ὄντα ἁμαρτήματα συνίστησι, καὶ πάντες ἀξιόπιστοι οἱ κατηγοροῦντες λοιπόν, οἱ τοῖς ἀλλοτρίοις χαίροντες κακοῖς, καὶ τὰς ἑτέρων ἐκπομπεύοντες ἀσχημοσύνας.

Ταῦτα οὖν ἅπαντα εἰδώς, πρόλαβε καὶ κάτασχε τὸν ἀδελφὸν πρὶν τέλεον ἀποπηδήσῃ, κἂν δέῃ πᾶσαν τὴν πόλιν περιδραμεῖν κατὰ τὴν ἡμέραν ἐκείνην, κἂν ἔξω τῶν τειχῶν ἀπελθεῖν, κἂν ὁδὸν βαδίσαι μακράν, πάντα τὰ ἐν χερσὶν ἀφείς, ἑνὸς τούτου μόνου γενοῦ τοῦ καταλλάξαι τὸν ἀδελφόν. Εἰ γὰρ ἐργῶδες τὸ πρᾶγμα, ἐννόησον ὅτι διὰ τὸν Θεὸν ταῦτα πάσχεις ἅπαντα, καὶ λήψῃ παράκλησιν· καὶ τὴν ψυχὴν ἀναδυομένην καὶ ὀκνοῦσαν, καὶ ἐρυθριῶσαν, καὶ αἰσχυνομένην διέγειρον, ταύτας αὐτῇ συνεχῶς ἐπᾴδων τὰς ἐπῳδάς· τί μέλλεις, τί δὲ ἀναδύῃ καὶ ὀκνεῖς; Οὐχ ὑπὲρ χρημάτων, οὐδ' ὑπὲρ ἄλλου τινὸς τῶν ἐπικήρων, ἀλλ' ὑπὲρ σωτηρίας ἡμῖν ὁ λόγος. Ὁ Θεὸς ταῦτα ποιεῖν ἐκέλευσε, καὶ πάντα δεύτερα ἔστω τῶν ἐκείνου προσταγμάτων.

Ἐμπορία τίς ἐστι πνευματικὴ τὸ πρᾶγμα· μὴ ἀμελῶμεν, μήτε ῥαθυμῶμεν· μανθανέτω ὁ ἐχθρός, ὅτι πολλὴν ἐποιησάμεθα σπουδήν, διὰ τὸ τῷ Θεῷ δοκοῦν· κἂν ὑβρίζῃ πάλιν, κἂν τύπτῃ, κἂν ὁτιοῦν ἕτερον χαλεπώτερον ποιῇ, φέρωμεν ἅπαντα γενναίως, ὡς οὐδὲν ἐκείνῳ τοσοῦτον, ὅσον ἡμῖν αὐ-

ἀντηλλάξαμεν, ἀναρίθμητα λόγια ἀπὸ αὐτὰ ποὺ δὲν λέγονται εἴπομεν, καὶ τώρα θὰ τρέξω νὰ συμφιλιωθῶ; Καὶ ποῖος δὲν θὰ κατακρίνῃ τὴν τόσην εὐκολίαν μου; Κανεὶς ἐχέφρων ἄνθρωπος δὲν θὰ σὲ κατηγορήσῃ διὰ τὴν εὐκολίαν, ἀλλὰ ὅταν μένῃς ἀδιάλλακτος, τότε ὅλοι θὰ γελάσουν εἰς βάρος σου, τότε πολὺν τόπον θὰ δώσῃς ἀπὸ τὴν ψυχήν σου εἰς τὸν διάβολον. Διότι δὲν γίνεται δυσκολοδιάλυτος ἡ ἔχθρα μόνον ἀπὸ τὸν χρόνον, ἀλλὰ καὶ ἀπὸ τὰ πράγματα τὰ ἄλλα ποὺ ἐν τῷ μεταξὺ παρεμβάλλονται. Διότι ὅπως ἡ ἀγάπη καλύπτει πλῆθος ἁμαρτιῶν, ἔτσι καὶ ἡ ἔχθρα δημιουργεῖ ἁμαρτήματα ἐκεῖ ποὺ δὲν ὑπάρχουν καὶ γίνονται ἀξιόπιστοι πλέον ἐκεῖνοι ποὺ κατηγοροῦν, ποὺ χαίρουν διὰ τὰ κακὰ τῶν ἄλλων καὶ διαπομπεύουν τὰς ἀσχημίας των.

Ὅλα λοιπὸν αὐτὰ ἔχων ὑπ' ὄψιν, πρόλαβε καὶ κράτησε τὸν ἀδελφόν σου, προτοῦ τελείως σοῦ φύγῃ, καὶ ἂν παραστῇ ἀνάγκη κατὰ τὴν ἡμέραν ἐκείνην ὅλην τὴν πόλιν νὰ διατρέξῃς, καὶ νὰ πᾷς ἀκόμα καὶ ἔξω ἀπὸ αὐτήν, καὶ νὰ βαδίσῃς πολὺν δρόμον, ἀφοῦ ἀφήσῃς ὅλας τὰς ἐργασίας σου, νὰ ἐνδιαφερθῇς μόνον δι' ἕνα πρᾶγμα, μὲ τὴν συμφιλίωσιν τοῦ ἀδελφοῦ σου. Διότι ἐὰν εἶναι δύσκολον τὸ πρᾶγμα, σκέψου ὅτι ὅλα αὐτὰ τὰ ὑποφέρεις διὰ τὸν Θεὸν καὶ θὰ λάβῃς ἀπὸ αὐτὸ δύναμιν· καὶ ἡ ψυχή σου ἂν ὀπισθοχωρῇ καὶ διστάζῃ καὶ κοκκινίζῃ καὶ ἐντρέπεται νὰ κάμῃ τοῦτο, νὰ τὴν παρακινῇς λέγων συνεχῶς τὰ ἑξῆς· διατί ὀπισθοχωρεῖς καὶ διστάζεις; Δὲν πρόκειται διὰ χρήματα, οὔτε διὰ τίποτε ἄλλο ἀπὸ τὰ φθαρτά, ἀλλὰ διὰ τὴν σωτηρίαν μας. Ὁ Θεὸς διέταξε νὰ κάμωμεν αὐτὰ καὶ ὅλα τὰ ἄλλα πρέπει νὰ εἶναι εἰς δευτέραν θέσιν ἀπὸ τὰ προστάγματά του.

Τὸ πρᾶγμα τοῦτο εἶναι εἶδος πνευματικοῦ ἐμπορίου· ἂς μὴ ἀμελῶμεν καὶ οὔτε νὰ εἴμεθα ράθυμοι· ἂς μάθῃ ὁ ἐχθρὸς ὅτι ἐδείξαμεν μεγάλην προθυμίαν διὰ τὸ θέλημα τοῦ Θεοῦ· καὶ ἂν πάλιν μᾶς ὑβρίζῃ, καὶ ἂν μᾶς κτυπᾷ, καὶ ἂν κάμῃ ὅ,τιδήποτε ἄλλο χειρότερον, ἂς τὰ ἀνεχώμεθα μὲ γενναιότητα, διότι μὲ αὐτὸ δὲν ὠφελοῦμεν ἐκεῖνον, ἀλλὰ τὸν

τοῖς χαριζόμεθα· πάντων τῶν κατορθωμάτων τοῦτο μειζόνως ἡμῶν κατ' ἐκείνην προστήσεται τὴν ἡμέραν. Ἡμάρτομεν πολλὰ καὶ μεγάλα, καὶ προσεκρούσαμεν, καὶ τὸν Δεσπότην ἡμῶν παρωξύναμεν· ἔδωκε διὰ τὴν αὐτοῦ φιλανθρωπίαν ταύτην ὁδὸν καταλλαγῆς· μὴ τοίνυν προδῶμεν τὸν καλὸν τοῦτον θησαυρόν· μὴ γὰρ οὐκ ἦν κύριος κελεῦσαι μόνον καταλλάττεσθαι, καὶ μηδένα ἡμῖν εἶναι μισθόν; μὴ γὰρ ἔχει τινὰ τὸν ἀντιλέγοντα καὶ διορθούμενον αὐτοῦ τὰ προστάγματα; Ἀλλ' ὅμως διὰ τὴν πολλὴν αὐτοῦ φιλανθρωπίαν, καὶ μισθὸν ἡμῖν ὑπέσχετο μέγαν καὶ ἄφατον, καὶ οὗ μάλιστα ἐπιθυμοῦμεν τυχεῖν, τὴν τῶν ἁμαρτιῶν ἡμῶν συγχώρησιν, καὶ ταύτην τὴν ὑπακοὴν ἡμῖν εὐκολωτέραν ποιῶν.

6. Τίνα οὖν ἕξομεν συγγνώμην, ὅταν καὶ μισθὸν τοσοῦτον μέλλοντες λαμβάνειν, μηδὲ οὕτως ὑπακούωμεν τῷ νομοθέτῃ, ἀλλὰ μένωμεν καταφρονοῦντες; Ὅτι γὰρ καταφρόνησις τοῦτό ἐστι, δῆλον ἐκεῖθεν. Εἰ νόμον ἔθηκεν ὁ βασιλεύς, τοὺς ἐχθροὺς ἅπαντας ἀλλήλοις καταλλάττεσθαι, ἢ τὰς κεφαλὰς ἀποτέμνεσθαι, ἆρα οὐκ ἂν πάντες ἐσπεύσαμεν ἐπὶ τὰς τῶν πλησίον καταλλαγάς; Ἔγωγε οἶμαι. Τίνα οὖν ἕξομεν συγγνώμην, μηδὲ τοσαύτην ἀπονέμοντες τῷ Δεσπότῃ τιμήν, ὅσην τοῖς ὁμοδούλοις τοῖς ἡμετέροις; Διὰ τοῦτο ἐκελεύσθημεν λέγειν, «Ἄφες ἡμῖν, τὰ ὀφειλήματα ἡμῶν, ὡς καὶ ἡμεῖς ἀφίεμεν τοῖς ὀφειλέταις ἡμῶν».

Τί τούτου πρᾳότερον; τί δὲ ἡμερώτερον τοῦ προστάγματος; Σὲ κριτὴν ἐποίησε τῆς συγχωρήσεως τῶν σῶν ἁμαρτημάτων· ἂν ὀλίγα ἀφῇς, ὀλίγα ἀφίεται· ἂν πολλὰ ἀφῇς, πολλὰ ἀφίεται· ἂν ἀπὸ καρδίας ἀφῇς, καὶ καθαρῶς οὕτω σοι καὶ ὁ Θεὸς ἀφίησιν· ἂν μετὰ τὸ συγχωρῆσαι καὶ φίλον αὐ-

10. Ματθ. 6, 12.

ἑαυτόν μας· ἀπὸ ὅλα τὰ κατορθώματα τοῦτο περισσότερον θὰ μᾶς παρασταθῇ ἐκείνην τὴν ἡμέραν. Ἐκάμαμεν πολλὰς καὶ μεγάλας ἁμαρτίας καὶ ἐπταίσαμεν καὶ τὸν Δεσπότην μας παρωργίσαμεν· μᾶς ἔδωκε λόγῳ τῆς φιλανθρωπίας του αὐτὴν τὴν ὁδὸν τῆς συνδιαλλαγῆς· ἂς μὴ προδώσωμεν λοιπὸν τὸν πολύτιμον τοῦτον θησαυρόν· διότι μήπως δὲν ἦτο κύριος νὰ διατάξῃ μόνον νὰ συμφιλιωθοῦμε χωρὶς νὰ ἔχωμεν καμμίαν ἀμοιβήν; Μήπως ἔχει κανένα ποὺ ἀντιλέγει καὶ διορθώνει τὰ προστάγματά του; Ἀλλ' ὅμως διὰ τὴν πολλὴν αὐτοῦ φιλανθρωπίαν μᾶς ὑπεσχέθη καὶ πολὺν καὶ ἀνέκφραστον μισθὸν καὶ ἐκεῖνο μάλιστα ποὺ πάρα πολὺ ἐπιθυμοῦμεν νὰ ἐπιτύχωμεν, τὴν συγχώρησιν δηλαδὴ τῶν ἁμαρτιῶν μας, καὶ ἔτσι μὲ αὐτὸ ἔκαμε τὴν τήρησιν τῆς ἐντολῆς εὐκολωτέραν.

6. Ποίαν λοιπὸν συγγνώμην θὰ ἔχωμεν ὅταν, ἐνῷ πρόκειται καὶ τόσον πολὺν μισθὸν νὰ λάβωμεν, οὔτε τότε ὑπακούομεν τὸν νομοθέτην, ἀλλὰ συνεχῶς τὸν περιφρονοῦμεν; Καὶ ὅτι τοῦτο εἶναι καταφρόνησις φαίνεται ἐκ τοῦ ἑξῆς· Ἐὰν ἔθετε νόμον ὁ βασιλεὺς ποὺ νὰ ἔλεγεν ὅτι ὅλοι οἱ ἐχθροὶ πρέπει νὰ συμφιλιωθοῦν μεταξύ των ἢ διαφορετικὰ νὰ ἀποκεφαλίζωνται ἆρά γε δὲν θὰ ἐσπεύδαμεν ὅλοι διὰ νὰ συμφιλιωθοῦμε μὲ τὸν πλησίον; Ἐγὼ νομίζω ὅτι ναί. Ποίαν λοιπὸν συγχώρησιν θὰ ἔχωμεν ὅταν εἰς τὸν Δεσπότην μας δὲν ἀπονέμωμεν οὔτε τόσην τιμήν, ὅσην εἰς τοὺς συνδούλους μας; Διὰ τοῦτο διετάχθημεν νὰ λέγωμεν «Συγχώρησε τὰ ἁμαρτήματά μας ὅπως καὶ ἡμεῖς συγχωροῦμεν τὰ πρὸς ἡμᾶς παραπτώματα τῶν ἄλλων»[10].

Τί εἶναι πραότερον ἀπὸ αὐτό; Τί δὲ εἶναι ἡμερώτερον ἀπὸ τὸ πρόσταγμα αὐτό; Σὲ τὸν ἴδιον ἔκαμε κριτὴν τῆς συγχωρήσεως τῶν ἁμαρτημάτων σου· ἂν συγχωρήσῃς ὀλίγα, ὀλίγα θὰ σοῦ συγχωρηθοῦν· ἂν συγχωρήσῃς πολλά, θὰ σοῦ συγχωρηθοῦν πολλά· ἂν τὰ συγχωρήσῃς εἰλικρινῶς καὶ ἀπὸ τὴν καρδίαν σου, ἔτσι καὶ ὁ Θεὸς θὰ σοῦ συγχωρήσῃ τὰς ἰδικάς σου ἁμαρτίας· ἂν μετὰ τὴν συγχώρησιν τὸν κάμῃς

τὸν ἔχῃς, οὕτω καὶ ὁ Θεὸς πρὸς σὲ διακείσεται· ὥστε ὅσῳ μείζονα ἥμαρτε, τοσούτῳ μᾶλλον ἡμᾶς σπεύδειν ἐπὶ τὰς καταλλαγὰς χρή, ἐπειδὴ καὶ μειζόνων ἁμαρτημάτων συγχωρήσεως ἡμῖν αἴτιος γίνεται.

Βούλει μαθεῖν, ὡς οὐδεμία συγγνώμη μνησικακοῦσιν ἡμῖν, οὐδὲ ἐστί τις ἡμᾶς ὁ ἐξαιρούμενος; Ἐπὶ παραδείγματος, ὃ λέγω, ποιήσω φανερόν. Τί σε ἠδίκησεν ὁ πλησίον; τὰ χρήματα ἥρπασεν, ἐδήμευσεν, ἐπλεονέκτησεν; Οὐ λέγω τοῦτο μόνον, ἀλλὰ καὶ ἕτερα προστίθημι πλείονα τούτων, καὶ ὅσα περ ἂν ἐθέλῃς· ἀνελεῖν σε ἐπεθύμησε· μυρίους σοι παρέστησε κινδύνους, πᾶσαν σοι ἐπεδείξατο μιαρίαν, καὶ οὐδὲν ἀπέλιπεν ὅλως τῆς ἀνθρωπίνης πονηρίας· ἵνα γὰρ μὴ πάντα καθ' ἕκαστον ἐπεξίωμεν, θὲς τοσαύτην αὐτὸν ἠδικηκέναι σε ἀδικίαν, ὅσην οὐδεὶς οὐδέποτέ τινα ἠδίκησεν· οὐδὲ γὰρ οὕτως μνησικακῶν ἄξιος ἔσῃ συγγνώμης. Καὶ πῶς ἐγὼ λέγω· εἴ τις οἰκέτης σὸς ὤφειλέ σοι χρυσίνους ἑκατόν, εἶτα ἐκείνῳ ὤφειλέ τις ἀργύρια ὀλίγα, καὶ προσελθὼν ὁ τοῦ δούλου χρεώστης παρεκάλεσέ σε, καὶ ἱκέτευσεν ἀξιῶν συγγνώμης τυχεῖν, καὶ σὺ τὸν οἰκέτην καλέσας τὸν σαυτοῦ προσέταξας εἰπών, ἀφεῖναι τὸ ὀφείλημα τούτῳ, καὶ ἀπὸ τοῦ λόγου, οὗ ὀφείλεις μοι, λογίζομαί σοι τὸ ὀφείλημα· εἶτα ἐκεῖνος ἀναισχυντῶν καὶ πονηρευόμενος πάλιν ἦγχε τὸν ὀφείλοντα· ἆρα ἂν ἐξείλετό τις αὐτὸν τῶν σῶν χειρῶν; ἆρα οὐκ ἂν αὐτῷ μυρίας ἐπέθηκας πληγάς, ὡς ὑβρισθεὶς τὴν ἐσχάτην ὕβριν; Καὶ μάλα εἰκότως.

Τοῦτο καὶ ὁ Θεὸς ποιήσει· ἐρεῖ γάρ σοι κατ' ἐκείνην τὴν ἡμέραν, ὦ πονηρὲ δοῦλε καὶ παμμίαρε, μὴ γὰρ ἐκ τῶν σῶν αὐτῷ συνεχώρησας; Ἐξ ὧν ἐμοὶ ὤφειλες, ἐκελεύσθης

καὶ φίλον, ἔτσι θὰ διάκειται καὶ ὁ Θεὸς πρὸς σέ· ὥστε ὅσον μεγαλύτερα κακὰ μᾶς ἔκαμε μὲ τόσον μεγαλυτέραν προθυμίαν πρέπει νὰ σπεύδωμεν διὰ συμφιλίωσιν, ἐπειδὴ κατ' αὐτὸν τὸν τρόπον γίνεται αἴτιος νὰ μᾶς συγχωρηθοῦν μεγαλύτερα ἁμαρτήματα.

Θέλεις νὰ μάθῃς ὅτι οὐδεμίαν συγχώρησιν θὰ εὕρωμεν, ἂν μνησικακοῦμεν, καὶ ὅτι δὲν ὑπάρχει κανεὶς ποὺ νὰ ἠμπορῇ νὰ μᾶς ἀπαλλάξῃ ἀπὸ τὴν τιμωρίαν ποὺ αὐτὴ ἐπιφέρει; Ἀπὸ τὸ παράδειγμα ποὺ θὰ ἀναφέρω θὰ τὸ κάμω φανερόν. Εἰς τί σὲ ἠδίκησεν ὁ πλησίον; Ἅρπαξε τὰ πράγματά σου, τὰ ἐδήμευσεν, ἔγινε πλεονέκτης ἀπέναντί σου; Δὲν λέγω μόνον αὐτό, ἀλλὰ καὶ ἄλλα ἠμπορῶ νὰ προσθέσω περισσότερα ἀπὸ αὐτά, καὶ ὅσα θελήσῃς· ἐπεθύμησε νὰ σὲ φονεύσῃ· ἀναριθμήτους κινδύνους σοῦ ἐπροξένησε, σοῦ ἔδειξεν ὅλην τὴν μοχθηρίαν του, καὶ δὲν ἄφησε τίποτε ἀπὸ τὴν ἀνθρωπίνην κακίαν ποὺ νὰ μὴ τὸ ἔκαμε εἰς ἐσέ· καὶ διὰ νὰ μὴ ἀναφέρωμεν κάθε ἕνα χωριστά, ὑπόθεσε ὅτι τόσον πολὺ σὲ ἠδίκησεν, ὅσον κανένας ποτὲ δὲν ἠδίκησεν εἰς τὸν κόσμον ἄλλον ἄνθρωπον· καὶ πάλιν ἂν μνησικακῇς δὲν θὰ εἶσαι ἄξιος συγχωρήσεως. Καὶ πῶς, ἐγὼ θὰ σᾶς εἰπῶ· ἐὰν κάποιος ὑπηρέτης σου σοῦ ἐχρεωστοῦσεν ἑκατὸν χρυσᾶ νομίσματα, καὶ εἰς ἐκεῖνον ἐχρεωστοῦσε κάποιος ὀλίγα ἀργυρᾶ, καὶ ἀφοῦ προσῆλθεν εἰς σὲ ὁ χρεώστης τοῦ δούλου καὶ σὲ παρεκάλεσε, καὶ σὲ ἱκέτευσε νὰ τοῦ γίνῃ κάποια διευκόλυνσις, καὶ σὺ καλεῖς τὸν ὑπηρέτην σου τὸν διατάζεις νὰ χαρίσῃ τὸ χρέος του λέγων εἰς αὐτὸν ἀπὸ τὸν λογαριασμὸν ποὺ μοῦ ὀφείλεις τὸ ἀφαιρῶ, καὶ ἔπειτα ἂν ἐκεῖνος ἀπὸ ἀναισχυντίαν καὶ κακίαν ἔπνιξε τὸν χρεώστην του, ἆρά γε θὰ ἠμποροῦσε κανεὶς νὰ τὸν γλυτώσῃ ἀπὸ τὰ χέρια σου; Ἆρά γε δὲν θὰ τὸν ἐτιμωροῦσες πολύ, διότι ὑβρίσθης ἀπὸ αὐτὸν μὲ τὴν πλέον μεγάλην ὕβριν; Καὶ πολὺ εὐλόγως.

Τοῦτο καὶ ὁ Θεὸς θὰ κάμῃ· διότι θὰ σοῦ εἰπῇ κατ' ἐκείνην τὴν ἡμέραν, πονηρὲ καὶ ἀχρεῖε δοῦλε, μήπως ἀπὸ τὰ ἰδικά σου εἰς αὐτὸν ἐχάρισες; Ἀπὸ ἐκεῖνα ποὺ μοῦ ὤφειλες

αὐτῷ λογίσασθαι· ἄφες γάρ, φησί, καὶ ἀφίημί σοι. Εἰ καὶ τὰ μάλιστα, καὶ εἰ μὴ τοῦτο προσέθηκα, καὶ οὕτως ἀφιέναι ἐχρῆν δεσπότῃ πειθόμενον· νυνὶ δὲ οὐχ ὡς δεσπότης ἐπέταξα, ἀλλ' ὡς φίλῳ χάριν ᾔτησα, καὶ ταύτην ἐκ τῶν ἐμῶν, καὶ μείζονα δώσειν ὑπεσχόμην πάλιν· καὶ οὐδὲ οὕτω βελτίων ἐγένου. Καὶ ἄνθρωποι μὲν ὅταν τοῦτο ποιῶσι, τοσοῦτον λογίζονται τοῖς αὐτῶν οἰκέταις, ὅσον ἐστὶ τὸ μέτρον τοῦ ὀφειλήματος· οἷον ὀφείλει τῷ δεσπότῃ χρυσίνους ἑκατὸν ὁ οἰκέτης, ὁ τοῦ οἰκέτου χρεώστης χρυσίνους δέκα· ἂν αὐτῷ συγχωρήσῃ τὸ ὀφείλημα, οὐχὶ τοὺς ἑκατὸν αὐτῷ ἀφίησιν ὁ δεσπότης, ἀλλὰ τοὺς δέκα μόνους, τοὺς δὲ ἑτέρους ἅπαντας ἀπαιτεῖ· ὁ δὲ Θεὸς οὐχ οὕτως, ἀλλ' ἂν ἀφῇς ὀλίγα τῷ συνδούλῳ, πάντα σοι ἀφίησιν αὐτός. Πόθεν τοῦτο δῆλον; Ἀπ' αὐτῆς τῆς εὐχῆς· «Ἐὰν γὰρ ἀφῆτε», φησί, «τοῖς ἀνθρώποις τὰ ὀφειλήματα αὐτῶν, καὶ ὁ Πατὴρ ὑμῶν ὁ οὐράνιος ἀφήσει ὑμῖν τὰ ὀφειλήματα ὑμῶν».

Ὅσον δὲ ἑκατὸν δηναρίων καὶ μυρίων ταλάντων τὸ μέσον, τοσοῦτον ἐκείνων καὶ τούτων τῶν ὀφειλημάτων. Ποίας οὖν οὐκ ἂν εἴη κολάσεως ἄξιος, ὁ τὰ μύρια τάλαντα ἀντὶ ἑκατὸν δηναρίων λαμβάνειν μέλλων, καὶ οὐδὲ οὕτω τὰ μικρὰ ταῦτα ἀφείς, ἀλλὰ καθ' ἑαυτοῦ τὴν εὐχὴν ταύτην ποιούμενος; Ὅταν γὰρ εἴπῃς, «Ἄφες ἡμῖν, ὡς καὶ ἡμεῖς ἀφίεμεν», εἶτα σὺ μὴ ἀφῇς, οὐδὲν ἕτερον τὸν Θεὸν παρακαλεῖς, ἀλλ' ἢ πάσης ἀπολογίας ἀποστερεῖν σε καὶ συγγνώμης. Ἀλλ' οὐ τολμῶ, φησίν, εἰπεῖν, ἄφες μοι, καθὼς ἀφίημι, ἀλλ', ἄφες μοι μόνον· καὶ τί τοῦτο; Κἂν γὰρ αὐτὸς μὴ εἴπῃς, ὁ Θεὸς οὕτω ποιεῖ· καθὼς ἀφίῃς, οὕτως ἀφίησι. Καὶ τοῦτο ἐκ τῆς ἐπαγωγῆς εὔδηλον ἐποίησεν· «Ἐὰν γὰρ μὴ ἀφῆτε»,

---

11. Ματθ. 6, 14.
12. Ματθ. 6, 12.

διετάχθης νὰ ἐξοφλήσῃς τὸν λογαριασμόν του· διότι ἄφησε, λέγει, καὶ ἐγὼ ἀφήνω τὰ ἰδικά σου. Καὶ τοῦτο ἀκόμα ἂν δὲν σοῦ ἔλεγα καὶ πάλιν ἔπρεπε νὰ τὸν συγχωρήσῃς ὑπακούων εἰς τὸν Δεσπότην· τώρα ὅμως δὲν διέταξα ὡς Δεσπότης, ἀλλὰ ὡς φίλος σοῦ ἐζήτησα χάριν, καὶ αὐτὴν ἀπὸ τὰ ἰδικά μου ὑπεσχόμην πάλιν νὰ σοῦ τὰ δώσω καὶ περισσότερα· καὶ οὔτε πάλιν ἔγινες καλύτερος. Καὶ οἱ ἄνθρωποι μὲν ὅταν κάμουν τοῦτο, ἀφαιροῦν ἀπὸ τὸν λογαριασμὸν τῶν δούλων των ὅσον εἶναι τὸ ποσὸν τοῦ χρέους πρὸς τὸν δοῦλον· ὀφείλει π.χ. εἰς τὸν κύριόν του ὁ ὑπηρέτης ἑκατὸ χρυσᾶ νομίσματα, καὶ ὁ χρεώστης τοῦ ὑπηρέτη δέκα χρυσᾶ· ἂν εἰς αὐτὸν χαρίσῃ τὸ χρέος, δὲν τοῦ χαρίζει ὁ κύριός του ἑκατὸ χρυσᾶ, ἀλλὰ τὰ δέκα μόνον, τὰ δὲ ὅλα τὰ ἄλλα τὰ ἀπαιτεῖ· ὁ Θεὸς ὅμως δὲν κάμει ἔτσι, ἀλλὰ ἂν ἀφήσῃς ὀλίγα εἰς τὸν συνάνθρωπόν σου, ὅλα σοῦ τὰ χαρίζει Αὐτός. Ἀπὸ ποῦ φαίνεται τοῦτο; Ἀπὸ αὐτὴν τὴν προσευχήν· «Διότι ἐὰν συγχωρήσετε», λέγει, «εἰς τοὺς ἀνθρώπους τὰ ἁμαρτήματα ποὺ ἔκαμαν εἰς ἐσᾶς καὶ ὁ οὐράνιος Πατήρ σας θὰ συγχωρήσῃ καὶ εἰς σᾶς τὰ ἰδικά σας ἁμαρτήματα»[11].

Ὅση διαφορὰ δὲ ὑπάρχει μεταξὺ ἑκατὸν δηναρίων καὶ δέκα χιλιάδων ταλάντων, τόση ὑπάρχει καὶ μεταξὺ τούτων καὶ ἐκείνων τῶν ὀφειλῶν. Ποίας λοιπὸν τιμωρίας δὲν θὰ εἶναι ἄξιος ἐκεῖνος ποὺ πρόκειται νὰ κερδίσῃ δέκα χιλιάδας τάλαντα ἂν χάσῃ ἑκατὸν δηνάρια, καὶ πάλιν οὔτε τὰ ὀλίγα αὐτὰ καὶ μικρὰ συγχωρεῖς, ἀλλὰ στρέφεις ἐναντίον σου τὴν προσευχὴν αὐτήν; Διότι ὅταν εἴπῃς «ἄφησε εἰς ἡμᾶς, ὅπως καὶ ἡμεῖς ἀφήνομεν»[12], ἔπειτα σὺ δὲν ἀφήνεις, δὲν παρακαλεῖς διὰ τίποτε ἄλλο τὸν Θεόν, παρὰ νὰ σὲ στερήσῃ ἀπὸ κάθε ἀπολογίαν καὶ συγγνώμην. Ἀλλὰ δὲν τολμῶ, λέγει, νὰ εἰπῶ συγχώρησέ μου ὅπως καὶ ἐγὼ συγχωρῶ, ἀλλὰ μόνον συγχώρησέ μου· καὶ τί σημαίνει τοῦτο; Διότι ἀκόμα καὶ σὺ ὁ ἴδιος νὰ μὴ τὸ εἰπῇς, ὁ Θεὸς τὸ κάμει αὐτό· ὅπως δηλαδὴ ἀφήνεις, ἔτσι καὶ αὐτὸς ἀφήνει. Καὶ τοῦτο τὸ ἐφανέρωσε μὲ ὅσα εἰς τὴν συνέχειαν εἶπε· «Διότι ἐὰν δὲν ἀφή-

φησί, «τοῖς ἀνθρώποις, οὐδὲ ὁ Πατὴρ ὑμῶν ὁ οὐράνιος ἀφίησιν ὑμῖν». Μὴ τοίνυν εὐλάβειαν εἶναι νομίσῃς, τὸ μὴ λέγειν ὁλόκληρον τὴν ῥῆσιν μηδὲ ἐξ ἡμισείας ποιοῦ τὴν εὐχήν, ἀλλ' ὡς ἔταξεν, οὕτως εὔχου, ἵνα καὶ ἡ ἀνάγκη τῆς λέξεως φοβοῦσα καθ' ἡμέραν συνωθήσῃ σε πρὸς τὴν τῶν πλησίον συγχώρησιν.

Μή μοι λέγε, παρεκάλεσα πολλά, ἱκέτευσα, ἐδεήθην, καὶ οὐ κατηλλάγη· πρότερον μὴ ἀποστῇς, ἕως ἂν καταλλάξῃς. Οὐ γὰρ εἶπεν, ἄφες τὸ δῶρόν σου, καὶ ὕπαγε, ἱκέτευσον τὸν ἀδελφόν σου, ἀλλ', «Ὕπαγε, διαλλάγηθι»· ὥστε κἂν πολλὰ ἱκετεύσῃς, μὴ πρότερον ἀποστῇς, ἕως ἂν πείσῃς. Ὁ Θεὸς καθ' ἑκάστην ἡμέραν ἡμᾶς παρακαλεῖ, καὶ οὐκ ἀκούομεν, καὶ ὅμως οὐ παύεται παρακαλῶν· σὺ δὲ τὸν σύνδουλόν σου ἀπαξιοῖς παρακαλέσαι; Καὶ πότε δυνήσῃ σωθῆναι; Ἀλλὰ πολλάκις παρεκάλεσας, καὶ πολλάκις ἀπεκρούσθης· ἀλλὰ πλείονα διὰ τοῦτο λήψῃ μισθόν. Ὅσῳ γὰρ ἂν ἐκεῖνος φιλονεικῇ, καὶ σὺ μένῃς παρακαλῶν, τοσούτῳ σοι τὰ τῆς ἀμοιβῆς αὔξεται· ὅσῳ μετὰ πλείονος δυσκολίας τὸ κατόρθωμα γίνεται, καὶ πολλοῦ τοῦ πόνου ἡ καταλλαγή, τοσούτῳ κἀκείνῳ μεῖζον ἔσται τὸ κρίμα, καὶ σοὶ λαμπρότεροι τῆς καρτερίας οἱ στέφανοι. Ταῦτα μὴ μόνον ἐπαινῶμεν, ἀλλὰ καὶ διὰ τῶν ἔργων ἐπιδειξώμεθα καὶ μὴ πρότερον ἀναχωρήσωμεν, ἕως ἂν εἰς τὴν προτέραν ἐπανέλθωμεν φιλίαν. Οὐ γὰρ ἀρκεῖ, τὸ μὴ λυπεῖν, μηδὲ ἀδικεῖν τὸν ἐχθρόν, μηδὲ ἀηδῶς ἔχειν πρὸς αὐτὸν κατὰ διάνοιαν, ἀλλὰ χρὴ κἀκεῖνον παρασκευάζειν, ἡδέως πρὸς ἡμᾶς ἔχειν.

7. Καὶ γὰρ ἀκούω πολλῶν λεγόντων, ἐγὼ οὐκ ἐχθραίνω, οὐδὲ λυποῦμαι, οὐδὲ ἔχω τι κοινὸν πρὸς αὐτόν· ἀλλ' οὐ τοῦτο ἐκέλευσεν ὁ Θεὸς ἵνα μηδὲν κοινὸν ἔχῃς πρὸς αὐτόν, ἀλλ' ἵνα πρὸς αὐτὸν κοινὰ ἔχῃς πολλά. Διὰ τοῦτο γάρ σού

13. Ματθ. 6, 15.
14. Φαίνεται ὅτι εἰς τὸ σημεῖον αὐτὸ τὸ ἀκροατήριον ἐξέσπασεν εἰς χειροκροτήματα καὶ ἐπευφημίας.

σετε», λέγει, «εἰς τοὺς ἀνθρώπους οὔτε ὁ Πατήρ σας ὁ οὐράνιος θὰ ἀφήσῃ εἰς ἐσᾶς»[13]. Μὴ νομίσῃς λοιπὸν ὅτι εἶναι εὐλάβεια τὸ νὰ μὴ λέγῃς ὁλόκληρον τὸ ρητόν, οὔτε τὴν μισὴν προσευχὴν νὰ ἀπαγγέλλῃς, ἀλλ' ὅπως ἐκεῖνος διέταξε, ἔτσι νὰ προσεύχεσαι, ὥστε τοὐλάχιστον ἀπὸ τὰς λέξεις, ποὺ κατ' ἀνάγκην θὰ λέγῃς, νὰ φοβηθῇς καὶ νὰ ὁδηγηθῇς εἰς τὴν συγχώρησιν τοῦ πλησίον.

Μὴ μοῦ εἰπῇς, παρεκάλεσα πολύ, ἱκέτευσα, ἐδεήθην καὶ δὲν συνεφιλιώθη· μὴ ἀπομακρυνθῇς, ἂν δὲν συμφιλιωθῇς προηγουμένως μαζί του. Διότι δὲν εἶπεν ἄφησε τὸ δῶρον σου καὶ πήγαινε νὰ παρακαλέσῃς τὸν ἀδελφόν σου, ἀλλὰ «πήγαινε νὰ συμφιλιωθῇς»· ὥστε καὶ ἂν τὸν παρακαλέσῃς πολύ, μὴ ἀπομακρυνθῇς, ἂν δὲν τὸν πείσῃς. Ὁ Θεὸς μᾶς παρακαλεῖ κάθε ἡμέραν καὶ ἡμεῖς δὲν ἀκούομεν, καὶ ὅμως δὲν παύει νὰ μᾶς παρακαλῇ καὶ σὺ ἀπαξιοῖς νὰ παρακαλέσῃς τὸν σύνδουλόν σου; Καὶ πῶς θὰ ἠμπορέσῃς νὰ σωθῇς; Ἀλλὰ πολλάκις τὸν παρεκάλεσες καὶ πολλάκις ἀπεκρούσθης· ὅμως καὶ δι' αὐτὸ θὰ πάρῃς περισσοτέραν ἀμοιβήν. Διότι ὅσον ἐκεῖνος ἐπιμένει εἰς τὴν ἔχθραν καὶ σὺ παραμένεις νὰ παρακαλῇς, τόσον περισσότερον αὐξάνεται ἡ ἀμοιβή σου· μὲ ὅσην μεγαλυτέραν δυσκολίαν γίνεται τὸ κατόρθωμα καὶ ἡ συμφιλίωσις φέρει πολὺν κόπον, τόσον μεγαλυτέρα θὰ εἶναι ἡ καταδίκη εἰς ἐκεῖνον, καὶ εἰς σὲ οἱ στέφανοι τῆς ὑπομονῆς λαμπρότεροι»[14]. Ἂς μὴ τὰ ἐπαινοῦμεν μόνον αὐτά, ἀλλὰ καὶ διὰ τῶν ἔργων νὰ τὰ ἐπιδείξωμεν, καὶ ἂς μὴ ἀναχωρήσωμεν ἂν προηγουμένως δὲν ἐπανέλθωμεν εἰς τὴν προηγουμένην φιλίαν. Διότι δὲν ἀρκεῖ τὸ νὰ μὴ λυποῦμεν, οὔτε νὰ ἀδικοῦμεν τὸν ἐχθρόν, οὔτε νὰ αἰσθανώμεθα πρὸς αὐτὸν ἀπέχθειαν, ἀλλὰ πρέπει καὶ ἐκεῖνον νὰ τὸν κάμωμεν νὰ ἔχῃ εὐχάριστα αἰσθήματα πρὸς ἡμᾶς.

7. Καθ' ὅσον ἀκούω πολλοὺς νὰ λέγουν, ἐγὼ δὲν ἔχω ἔχθραν ἐναντίον του, οὔτε λυποῦμαι, οὔτε ἔχω κάτι κοινὸν μὲ αὐτόν· ἀλλὰ δὲν διέταξε τοῦτο ὁ Θεός, νὰ μὴ ἔχῃς δηλαδὴ κανένα κοινὸν μὲ αὐτόν, ἀλλὰ νὰ ἔχῃς πολλὰ κοινά. Διότι διὰ τοῦτο σοῦ εἶναι ἀδελφός, διὰ τοῦτο δὲν εἶπεν,

ἐστιν ἀδελφός, διὰ τοῦτο οὐκ εἶπεν, ἄφες τῷ ἀδελφῷ σου, ἃ ἔχεις κατ' αὐτοῦ· ἀλλὰ τί; «Ὕπαγε, πρῶτον διαλλάγηθι αὐτῷ», κἂν ἐκεῖνος ἔχῃ τι κατὰ σοῦ, καὶ μὴ πρότερον ἀποστῇς, ἕως ἂν ἑνώσῃς τὸ μέλος εἰς ὁμόνοιαν. Σὺ δέ, ἵνα οἰκέτην κτήσῃ χρήσιμον, καὶ χρυσίον καταβάλλεις, καὶ ἐμπόροις διαλέγῃ πολλοῖς, καὶ ἀποδημίαν πολλάκις ἀποδημεῖς μακράν· ἵνα δὲ τὸν ἐχθρὸν ποιήσῃς φίλον, οὐ πάντα κινεῖς, καὶ πράττεις, εἰπέ μοι; Καὶ πῶς δυνήσῃ τὸν Θεὸν παρακαλέσαι, τῶν νόμων αὐτοῦ οὕτω καταμελῶν; Καίτοι οἰκέτου μὲν ἡ κτῆσις οὐδὲν μέγα ἡμᾶς ὀνῆσαι δυνήσεται, ὁ δὲ ἐχθρὸς γινόμενος φίλος, καὶ τὸν Θεὸν ἡμῖν ἵλεω ποιήσει καὶ εὐμενῆ, καὶ τὰ ἁμαρτήματα ἡμῖν διαλύσει ῥαδίως, καὶ παρὰ ἀνθρώποις ἔπαινον, καὶ πολλὴν ἡμῖν κατὰ τὸν βίον προξενήσει τὴν ἀσφάλειαν· οὐδὲν γὰρ ἐπισφαλέστερον τοῦ καὶ ἕνα μόνον ἐχθρὸν κεκτημένου. Καὶ γὰρ ἡ δόξα τῆς ζωῆς ἡμῶν καταβλάπτεται, μυρία κακῶς ἐκείνου λέγοντος πρὸς πάντας ἡμᾶς, καὶ ἡ διάνοια ἡμῶν θολοῦται, καὶ τὸ συνειδὸς θορυβεῖται, καὶ χειμῶνα διηνεκῆ λογισμῶν ὑφιστάμεθα.

Ἅπερ ἅπαντα συνειδότες ἀπαλλάξωμεν ἑαυτοὺς κολάσεως καὶ τιμωρίας, καὶ τὴν παροῦσαν ἑορτὴν μετὰ τῶν εἰρημένων αἰδεσθῶμεν πάντων, καὶ ὧν παρὰ τοῦ βασιλέως δι' ἐκείνην ἀξιοῦμεν τυχεῖν, τούτων καὶ ἡμεῖς ἀπολαῦσαι δῶμεν ἑτέροις. Καὶ γὰρ πολλῶν ἀκούω λεγόντων, ὅτι ὁ βασιλεὺς τὸ πάσχα τὸ ἱερὸν αἰδεσθεὶς τῇ πόλει καταλλαγήσεται, καὶ τὰ ἁμαρτήματα ἀφήσει πάντα. Πῶς οὖν οὐκ ἄτοπον, ἡνίκα μὲν παρ' ἑτέρων σώζεσθαι δέῃ, τὴν ἑορτὴν καὶ τὴν ταύτης ἀξίαν προβάλλεσθαι· ἡνίκα δὲ ἂν ἑτέροις καταλλάττεσθαι κελευώμεθα, ἀτιμάζειν ταύτην καὶ μηδὲν εἶναι νομίζειν; Οὐδεὶς γὰρ οὕτως, οὐδεὶς τὴν ἱερὰν ταύτην καταισχύνει πανήγυριν, ὡς ὁ μετὰ τοῦ μνησικακεῖν αὐτὴν ἐπιτελῶν· μᾶλ-

15. Ματθ. 5, 24.

ἄφησε εἰς τὸν ἀδελφόν σου, ὅσα ἔχεις ἐναντίον του, ἀλλὰ τί; «Πήγαινε πρῶτα, νὰ συμφιλιωθῇς μὲ αὐτόν»[15], καὶ ἂν ἐκεῖνος ἔχῃ κάτι ἐναντίον σου, καὶ μὴ ἀπομακρυνθῇς, ἕως ὅτου ἐνώσῃς τὸ ἀδελφικόν σου μέλος μὲ τὸν ἑαυτόν σου μὲ τὴν ὁμόνοιαν. Σὺ δὲ διὰ νὰ ἀγοράσῃς κατάλληλον ὑπηρέτην, καὶ χρήματα πληρώνεις καὶ μὲ πολλοὺς ἐμπόρους συνομιλεῖς, καὶ πολλάκις εἰς μακρινὸν ταξίδιον φεύγεις· διὰ νὰ κάμῃς δὲ τὸν ἐχθρόν σου φίλον δὲν κάμεις τίποτε, εἰπέ μου; Καὶ πῶς θὰ ἠμπορέσῃς νὰ παρακαλέσῃς τὸν Θεόν, ἀφοῦ παραμελεῖς τόσον τοὺς νόμους του; Ἂν καὶ ἡ ἀπόκτησις ὑπηρέτου καμμίαν μεγάλην ὠφέλειαν δὲν θὰ μᾶς φέρῃ, ὁ ἐχθρὸς ὅμως ὅταν γίνῃ φίλος καὶ τὸν Θεὸν θὰ κάμῃ ἀπέναντί μας εὐμενῆ καὶ εὔσπλαγχνον, καὶ τὰ ἁμαρτήματά μας εὔκολα θὰ διαλύσῃ, καὶ ἔπαινον ἀπὸ τοὺς ἀνθρώπους καὶ πολλὴν ἀσφάλειαν εἰς τὸν βίον μας θὰ προξενήσῃ, διότι δὲν ὑπάρχει πιὸ ἐπικίνδυνον πρᾶγμα ἀπὸ τὸ νὰ ἔχῃ κάποιος καὶ ἕνα μόνον ἐχθρόν. Διότι καὶ ἡ ὑπόληψίς μας βλάπτεται πολύ, ἐπειδὴ ἀναρίθμητα κακὰ λέγει ἐκεῖνος πρὸς ἡμᾶς, καὶ ὁ νοῦς μας θολοῦται καὶ ἡ συνείδησίς μας θορυβεῖται καὶ ὑφιστάμεθα συνεχῶς τρικυμίαν λογισμῶν.

Ἀφοῦ λοιπὸν αὐτὰ ὅλα τὰ γνωρίζομεν καλῶς, ἂς ἀπαλλάξωμεν τοὺς ἑαυτούς μας ἀπὸ τὴν κόλασιν καὶ τὴν τιμωρίαν, καὶ τὴν παροῦσαν ἑορτήν, μαζὶ μὲ αὐτὰ ποὺ εἴπομεν, ἂς τὴν σεβασθῶμεν, καὶ ἐκεῖνα ποὺ ἐλπίζομεν νὰ ἀξιωθοῦμεν νὰ ἀπολαύσωμεν ἀπὸ τὸν βασιλέα λόγῳ αὐτῆς τῆς ἑορτῆς, καὶ ἡμεῖς νὰ γίνωμεν αἴτιοι νὰ ἀπολαύσουν οἱ ἄλλοι. Διότι ἀκούω πολλοὺς νὰ λέγουν ὅτι ὁ βασιλεὺς ἀπὸ σεβασμὸν πρὸς τὴν ἑορτὴν τοῦ Πάσχα, θὰ συμφιλιωθῇ μὲ τὴν πόλιν καὶ θὰ συγχωρήσῃ ὅλα τὰ παραπτώματα. Πῶς λοιπὸν δὲν εἶναι ἄτοπον, ὅταν πρόκειται ἀπὸ ὅλους νὰ σῳζώμεθα, νὰ προβάλλωμεν τὴν ἑορτὴν καὶ τὴν ἀξίαν αὐτῆς· ὅταν δὲ διατασσώμεθα νὰ συμφιλιωνώμεθα μὲ ἄλλους, νὰ τὴν περιφρονοῦμεν καὶ νὰ μὴ τὴν θεωροῦμεν ὡς σπουδαίαν; Διότι κανεὶς ἀπολύτως δὲν ἀτιμάζει τόσον τὴν ἱερὰν αὐτὴν ἑορ-

λον δὲ οὐδὲ ἐπιτελεῖν αὐτὴν δύναται ὁ τοιοῦτος, κἂν δέκα ἡμέρας ἐφεξῆς ἄσιτος μένῃ· ὅπου γὰρ ἔχθρα καὶ ἀπέχθεια, οὐδὲ νηστεία, οὐδὲ ἑορτὴ γένοιτ' ἄν.

Μὴ τολμᾷς ἀνίπτοις χερσὶ τῆς ἱερᾶς ἅψασθαι θυσίας, κἂν πολλὴ ἀνάγκη ἐπικέηται; Μὴ τοίνυν ἀνίπτῳ προσέρχου ψυχῇ· πολλῷ γὰρ ἐκείνου τοῦτο χαλεπώτερον, καὶ μείζονα φέρει τὴν κόλασιν. Οὐδὲν γὰρ οὕτως ἀκαθαρσίας πληροῖ τὴν διάνοιαν ὡς ὀργὴ διηνεκῶς ἔνδον μένουσα. Ἔνθα γάρ ἐστι θυμὸς ἢ ὀργή, πνεῦμα πραότητος οὐκ ἐφίπταται· Πνεύματος δὲ ἁγίου ἄνθρωπος ἔρημος ὢν ποίαν ἕξει σωτηρίας ἐλπίδα; πότε δὲ ὀρθὰ βαδιεῖται; Μὴ τοίνυν, ἀγαπητέ, τὸν ἐχθρὸν ἀμύνασθαι βουλόμενος, σαυτὸν κατακρήμνιζε, μηδὲ ἔρημον ποίει τῆς τοῦ Θεοῦ προστασίας. Μάλιστα μὲν γάρ, εἰ καὶ δύσκολον ἦν τὸ πρᾶγμα, ἱκανὸν τῆς τιμωρίας τὸ μέγεθος, ὅπερ ἐκ τοῦ μὴ πείθεσθαι γίνεται, καὶ τὸν σφόδρα ὕπτιον καὶ νωθέστατόν ἐστιν ἀναστῆσαι, καὶ πάντα πεῖσαι πόνον ὑπενεγκεῖν· νυνὶ δὲ πολλὴν ἔδειξεν ὁ λόγος τὴν εὐκολίαν οὖσαν, ἂν ἐθέλωμεν. Μὴ τοίνυν καταμελήσωμεν τῆς ἑαυτῶν ζωῆς, ἀλλὰ σπουδάσωμεν, καὶ πάντα ποιῶμεν, ὥστε χωρὶς ἐχθρῶν παραστῆναι τῇ ἱερᾷ τραπέζῃ. Οὐδὲν γάρ, οὐδὲν τῶν τοῦ Θεοῦ προσταγμάτων ἔσται δύσκολον, ἐὰν προσέχωμεν· καὶ τοῦτο ἐκ τῶν ἤδη κατωρθωκότων δῆλον.

Πόσοι ὑπὸ τῆς τῶν ὅρκων ἐκλέπτοντο συνηθείας, καὶ τὸ πρᾶγμα δυσκατόρθωτον εἶναι ἐνόμιζον; Ἀλλ' ὅμως διὰ τὴν τοῦ Θεοῦ χάριν, ἐπειδὴ μικρὰν ἐπιδείξασθε σπουδήν, τὸ πλέον ἀπενίψασθε. Διὰ τοῦτο δὴ παρακαλῶ καὶ τὸ λεῖπον ἀποθέσθαι, καὶ ἑτέροις γενέσθαι διδασκάλους. Τοὺς δὲ μήπω κατορθώσαντας, ἀλλὰ τὸν μακρὸν χρόνον ἡμῖν προ-

τήν, ὅσον ἐκεῖνος ποὺ τὴν ἑορτάζει ἔχων ἐντός του μνησικακίαν· μᾶλλον δὲ δὲν ἠμπορεῖ νὰ τὴν ἐπιτελέσῃ αὐτός, καὶ ἂν ἀκόμα ἐπὶ δέκα συνεχεῖς ἡμέρας μένῃ χωρὶς τροφήν· διότι ὅπου ὑπάρχει ἔχθρα καὶ μῖσος, οὔτε νηστεία, οὔτε ἑορτὴ ἠμπορεῖ νὰ γίνῃ.

Μὴ τολμᾷς μὲ ἄνιπτα χέρια νὰ ἐγγίσῃς τὴν ἱερὰν θυσίαν, καὶ ἂν ἀκόμα ὑπάρχῃ πολλὴ ἀνάγκη. Μὴ λοιπὸν προσέρχεσαι μὲ ἄνιπτον ψυχήν· διότι τοῦτο εἶναι πολὺ χειρότερον ἀπὸ ἐκεῖνο καὶ φέρει μεγαλυτέραν τιμωρίαν. Διότι τίποτε ἄλλο δὲν γεμίζει τόσον μὲ ἀκαθαρσίαν τὴν ψυχήν, ὅσον ἡ ὀργὴ ποὺ συνεχῶς μένει μέσα. Διότι ὅπου εἶναι θυμός, ὀργή, πνεῦμα πραότητος δὲν πετάει· καὶ ὅταν ὁ ἄνθρωπος εἶναι ἔρημος ἀπὸ ἅγιον Πνεῦμα ποίαν ἐλπίδα σωτηρίας θὰ ἔχῃ; Πότε θὰ βαδίσῃ τὴν ὀρθὴν ὁδόν; Μὴ λοιπόν, ἀγαπητέ, ἐνῷ θέλεις νὰ ἀμυνθῇς κατὰ τοῦ ἐχθροῦ σου, κατακρημνίζῃς τὸν ἑαυτόν σου καὶ τὸν στερῇς ἀπὸ τὴν προστασίαν τοῦ Θεοῦ. Καὶ μάλιστα δύσκολον ἐὰν ἦτο τὸ πρᾶγμα, εἶναι ἀρκετὸν τὸ μέγεθος τῆς τιμωρίας, ποὺ φέρει ἡ παρακοὴ πρὸς τὴν ἐντολήν, καὶ τὸν πλέον ἀδρανῆ καὶ νωθρὸν νὰ τὸν σηκώσῃ καὶ νὰ τὸν πείσῃ νὰ ὑποφέρῃ κάθε κόπον· τώρα ὅμως ὁ λόγος ἀπέδειξεν ὅτι εἶναι πολὺ εὔκολον, ἂν θέλωμεν. Λοιπὸν ἂς μὴ ἀδιαφορήσωμεν τελείως διὰ τὴν ζωήν μας, ἀλλὰ ἂς φροντίσωμεν καὶ ἂς κάμωμεν τὰ πάντα, ὥστε νὰ πλησιάσωμεν εἰς τὴν ἱερὰν τράπεζαν χωρὶς κανένα ἐχθρόν. Διότι κανένα, ἀπολύτως κανένα, ἀπὸ τὰ προστάγματα τοῦ Θεοῦ δὲν εἶναι δύσκολον ἐὰν εἴμεθα προσεκτικοί· καὶ τοῦτο ἀποδεικνύεται ἀπὸ αὐτὰ ποὺ ἔχομεν ἐπιτύχει ἕως τώρα.

Πόσοι παρεσύροντο ἀπὸ τὴν συνήθειαν τῶν ὅρκων καὶ ἐθεώρουν τὸ πρᾶγμα δυσκολοκατόρθωτον; Ὅμως διὰ τὴν χάριν τοῦ Θεοῦ ἐπειδὴ ἐπεδείξατε μικρὰν προθυμίαν τὸ περισσότερον κακὸν ἀπεμακρύνατε. Διὰ τοῦτο λοιπὸν σᾶς παρακαλῶ καὶ τὸ ὑπόλοιπον νὰ ἀπομακρύνετε, καὶ νὰ γίνετε διδάσκαλοι εἰς ἄλλους. Εἰς ἐκείνους δὲ ποὺ ἀκόμα δὲν τὸ κατώρθωσαν, ἀλλὰ προβάλλουν ὡς δικαιολογίαν τὸ μεγάλο

βαλλομένους, καθ' ὃν ὤμνυον ἔμπροσθεν, καὶ λέγοντας, ὡς ἀδύνατον ἐν βραχεῖ καιρῷ τὸ πολλοῖς ἔτεσι ριζωθὲν ἀνασπάσαι, ἐκεῖνο ἂν εἴποιμι, εἴ τι ἔνθα ἂν δέοι κατορθῶσαι τῶν ὑπὸ Θεοῦ κελευομένων, οὐ χρόνου χρεία, οὐδὲ πλήθους ἡμερῶν, οὐδὲ διαστήματος ἐνιαυτῶν, ἀλλὰ φόβου μόνον, καὶ ψυχῆς εὐλάβειαν ἐχούσης, καὶ πάντως περιεσόμεθα καὶ ἐν βραχεῖ καιρῷ.

8. Καὶ ἵνα μὴ νομίσητε, ὅτι ἁπλῶς ταῦτα λέγω, ὃν νομίζετε εἶναι πολύορκον ἄνθρωπον, καὶ πλείονα ὀμνύοντα μᾶλλον ἢ φθεγγόμενον, τοῦτον ἐμοὶ παράδοτε δέκα μόνον ἡμέρας, κἂν μὴ πᾶσαν ἐξέλω τὴν συνήθειαν ἐν ταῖς ὀλίγαις ταύταις ἡμέραις, καταγνῶτέ μου τὴν ἐσχάτην ταύτην κατάγνωσιν· καὶ ὅτι οὐ κόμπος τὰ ρήματα ταῦτα, ἀπὸ τῶν ἤδη γεγενημένων τοῦτο ἔσται δῆλον ὑμῖν. Τί τῶν Νινευϊτῶν ἀλογώτερον, τί δὲ ἀνοητότερον; Ἀλλ' ὅμως οὗτοι οἱ βάρβαροι καὶ ἀνόητοι, οἱ μηδενὸς μηδέποτε ἀκούσαντες φιλοσοφοῦντος, οἱ μηδέποτε παραγγέλματα τοιαῦτα λαβόντες, ἀκούσαντες τοῦ προφήτου λέγοντος, «Ἔτι τρεῖς ἡμέραι, καὶ Νινευῒ καταστραφήσεται», ἐν τρισὶν ἡμέραις πᾶσαν ἀπέθεντο πονηρὰν συνήθειαν· ὁ πόρνος σώφρων ἐγένετο, ὁ θρασὺς ἐπιεικής, ὁ πλεονέκτης καὶ ἅρπαξ μέτριος καὶ φιλόφρων, ὁ ρᾴθυμος σπουδαῖος. Οὐ γὰρ δὴ ἓν οὐδὲ δύο, καὶ τρία, καὶ τέσσαρα τῶν παθῶν ἦσαν τὰ ἰάματα, ἀλλὰ πᾶσαν αὐτῶν διώρθωσαν τὴν πονηρίαν.

Καὶ πόθεν τοῦτο δῆλον, φησίν; Ἀπὸ τῶν τοῦ προφήτου ρημάτων· αὐτὸς γὰρ ὁ κατηγορήσας αὐτῶν, καὶ εἰπὼν ὅτι «Ἀνέβη ἡ κραυγὴ τῆς κακίας αὐτῶν ἕως τῶν οὐρανῶν», αὐτὸς αὐτοῖς τὸ ἐναντίον ἐμαρτύρησε πάλιν εἰπών, ὅτι «Εἶδεν ὁ Θεός, ὅτι ἀπέστησαν ἕκαστος ἀπὸ τῶν ὁδῶν αὐτῶν τῶν πονηρῶν», οὐκ εἶπεν, ὅτι ἀπὸ πορνείας, ἢ μοιχείας, ἢ

---

16. Ἰωνᾶ 3, 4.
17. Ἰωνᾶ 3, 10.

χρονικὸν διάστημα ποὺ ὡρκίζοντο, καὶ λέγουν ὅτι εἶναι ἀδύνατον ἐντὸς ὀλίγου χρόνου νὰ ἐκριζώσουν καὶ νὰ ἀπομακρύνουν αὐτὸ ποὺ ἐπὶ πολλὰ ἔτη ἐρρίζωσε, τοῦτο θὰ εἰπῶ· ἐκεῖ ποὺ χρειάζεται νὰ κατορθώσῃ κανεὶς κάτι ἀπὸ αὐτὰ ποὺ ὁ Θεὸς προστάζει, δὲν χρειάζεται χρόνος, οὔτε πολλαὶ ἡμέραι, οὔτε διαστήματα ἐτῶν, ἀλλὰ μόνον φόβος καὶ ψυχὴ ποὺ ἔχει εὐλάβειαν καὶ ὁπωσδήποτε θὰ ὑπερισχύσῃ καὶ μάλιστα εἰς ὀλίγον χρονικὸν διάστημα.

8. Καὶ διὰ νὰ μὴ νομίσετε ὅτι ἁπλῶς καὶ ὡς ἔτυχε λέγω αὐτά, αὐτὸν τὸν ἄνθρωπον ποὺ θεωρεῖτε ὅτι εἶναι πολύορκος, καὶ περισσότερον ὁρκίζεται μᾶλλον παρὰ ὁμιλεῖ, αὐτὸν νὰ μοῦ τὸν παραδώσετε μόνον δέκα ἡμέρας, καὶ ἂν δὲν τοῦ κόψω ὅλην τὴν συνήθειαν εἰς τὰς ὀλίγας αὐτὰς ἡμέρας, νὰ μὲ καταδικάσετε εἰς τὴν ἐσχάτην καταδίκην· καὶ ὅτι τὰ λόγια αὐτὰ δὲν εἶναι κομπασμός, φαίνεται ἀπὸ ὅσα ἔχουν γίνει. Τί ὑπῆρξε πιὸ παράλογον καὶ πιὸ ἀνόητον ἀπὸ τοὺς Νινευΐτας; Καὶ ὅμως αὐτοὶ οἱ βάρβαροι καὶ ἀνόητοι, οἱ ὁποῖοι οὐδέποτε ἤκουσαν κανένα νὰ φιλοσοφῇ, αὐτοὶ ποὺ δὲν ἔλαβον ποτὲ τοιαῦτα παραγγέλματα, ὅταν ἤκουσαν τὸν προφήτην νὰ λέγῃ «Ἀκόμη τρεῖς ἡμέρας καὶ ἡ Νινευῒ θὰ καταστραφῇ»[16], μέσα εἰς τρεῖς ἡμέρας ἀπέβαλον ὅλην τὴν πονηρὰν συνήθειάν των· ὁ πόρνος ἔγινε σώφρων, ὁ θρασὺς ἐπιεικής, ὁ πλεονέκτης καὶ ἅρπαξ μετρημένος καὶ μὲ διαθέσεις εὐμενεῖς πρὸς τοὺς ἄλλους, ὁ ράθυμος ἔγινε πρόθυμος. Καὶ δὲν ἦσαν ἕνα καὶ δύο καὶ τρία καὶ τέσσερα τὰ πάθη ἀπὸ τὰ ὁποῖα ἐθεραπεύθησαν, ἀλλὰ ὅλην των τὴν κακίαν διώρθωσαν.

Καὶ ἀπὸ ποῦ φαίνεται τοῦτο, λέγει; Ἀπὸ τὰ ἴδια τὰ λόγια τοῦ προφήτου· διότι αὐτὸς ποὺ τοὺς ἐκατηγόρησε καὶ τοὺς εἶπε ὅτι· «Ἀνέβη ἡ κραυγὴ τῆς κακίας αὐτῶν μέχρι τῶν οὐρανῶν», αὐτὸς πάλιν τὸ ἀντίθετον δι' αὐτοὺς ἐμαρτύρησε λέγων ὅτι· «Εἶδεν ὁ Θεὸς ὅτι ἀπεμακρύνθησαν ἕκαστος ἀπὸ τοὺς δρόμους αὐτῶν τοὺς πονηρούς»[17], δὲν εἶπεν ὅτι ἀπεμακρύνθησαν ἀπὸ τῆς πορνείας ἢ τῆς μοιχείας ἢ τῆς

κλοπῆς, ἀλλ' ὅτι «Ἀπὸ τῶν ὁδῶν αὐτῶν τῶν πονηρῶν». Καὶ πῶς ἀπέστησαν; Ὡς ὁ Θεὸς οἶδεν, οὐχ ὡς ἄνθρωπος ἐδοκίμασεν. Εἶτα οὐκ αἰσχυνόμεθα, οὐδὲ ἐρυθριῶμεν, εἰ βαρβάρων ἀνθρώπων ἐν τρισὶν ἡμέραις μόνον πᾶσαν ἀποθεμένων κακίαν, ἡμεῖς ἐν τοσαύταις ἡμέραις ἐνηχούμενοι, διδασκόμενοι, μιᾶς μὴ περιγενώμεθα πονηρᾶς συνηθείας; Καίτοι γε εἰς ἔσχατον ἦσαν κἀκεῖνοι πρότερον κακίας ἐληλακότες· ὅταν γὰρ ἀκούσῃς ὅτι «Ἀνέβη ἡ κραυγὴ τῆς κακίας αὐτῶν πρός με», μηδὲν ἄλλο νόμιζε, ἢ τὴν ὑπερβολὴν τῆς πονηρίας αὐτῶν· ἀλλ' ὅμως ἴσχυσαν ἐν τρισὶν ἡμέραις πρὸς ὁλόκληρον ἀρετὴν μετατάξασθαι.

Ὅπου γὰρ φόβος Θεοῦ, οὐ χρεία ἡμερῶν, οὐδὲ διαστήματος χρόνου, ὥσπερ ὅπου ἀφοβία, οὐδὲν ὄφελος ἡμερῶν. Καθάπερ γὰρ τὰ ἰωθέντα τῶν σκευῶν ὁ μὲν ὕδατι μόνον ἀποτρίβων, κἂν πολὺν ἀναλώσῃ χρόνον, πάσης οὐκ ἀπαλλάξαι τῆς κακίας ἐκείνης, ὁ δὲ εἰς χωνευτήριον ἐμβαλών, ἐν βρεχείᾳ καιροῦ ῥοπῇ φαιδρότερα τῶν νεοτεύκτων εὐθέως ἐργάσεται· οὕτω δὴ καὶ ψυχή, τῷ τῆς ἁμαρτίας ἰῷ βαφεῖσα, ἂν μὲν ἁπλῶς καὶ ὡς ἔτυχεν ἑαυτὴν ἀποσμήξῃ, καὶ καθ' ἑκάστην ἡμέραν μετανοῇ, οὐδὲν πλέον κερδανεῖ· ἂν δὲ ὥσπερ εἰς χωνευτήριον τοῦ Θεοῦ τὸν φόβον ἑαυτὴν ἐμβάλῃ ἐν βραχείᾳ καιροῦ ῥοπῇ τὸ πᾶν ἀπονίψεται.

Μὴ τοίνυν εἰς τὴν αὔριον ἀναβαλλώμεθα· «Οὐ γὰρ οἴδαμεν τί τέξεται ἡ ἐπιοῦσα»· μηδὲ λέγωμεν, περιεσόμεθα τῆς συνηθείας κατὰ μικρόν· τοῦτο γὰρ τό, κατὰ μικρόν, οὐδέποτε ἐπιλείψει. Διόπερ τοῦτο ἀφέντες ἐκεῖνο λέγωμεν, ὅτι ἐὰν μὴ σήμερον κατορθώσωμεν τὸν ὅρκον, οὐκ ἀποστη-

18. Ἰωνᾶ 1, 2.
19. Παροιμ. 27, 1.

κλοπῆς, ἀλλὰ ὅτι «Ἀπὸ τοὺς δρόμους των τοὺς πονηρούς». Καὶ πῶς ἀπεμακρύνθησαν; Ὅπως ὁ Θεὸς γνωρίζει, ὄχι ὅπως ἄνθρωπος ἐδοκίμασεν. Ἔπειτα δὲν ἐντρεπόμεθα, οὔτε κοκκινίζομεν, ποὺ ἐνῷ οἱ βάρβαροι ἐντὸς τριῶν ἡμερῶν μόνον ἀπέβαλον ὅλην τὴν κακίαν των καὶ ἡμεῖς ἀκούοντες τὸν θεῖον λόγον καὶ διδασκόμενοι ἐπὶ τόσας ἡμέρας, δὲν ἠμπορέσαμεν νὰ κατανικήσωμεν μίαν κακὴν συνήθειαν; Καίτοι βεβαίως καὶ ἐκεῖνοι ἔφθασαν προηγουμένως εἰς ἔσχατον σημεῖον κακίας· διότι ὅταν ἀκούσῃς ὅτι «Ἀνέβη ἡ κραυγὴ τῆς κακίας των πρός ἐμέ»[18], μὴ νομίσῃς ὅτι λέγει τίποτε ἄλλο παρὰ τὴν ὑπερβολικὴν κακίαν των, καὶ ὅμως ἠμπόρεσαν εἰς τρεῖς ἡμέρας νὰ μεταβληθοῦν καὶ νὰ γίνουν τελείως ἐνάρετοι.

Διότι ὅπου ὑπάρχει φόβος Θεοῦ, δὲν χρειάζεται χρονικὸν διάστημα ἡμερῶν, ὅπως πάλιν ἐκεῖ ποὺ ὑπάρχει ἀφοβία, δὲν ὑπάρχει καμμία ὠφέλεια ἀπὸ τὰς πολλὰς ἡμέρας. Καὶ ὅπως τὰ σκεύη ποὺ ἐσκούριασαν ἐκεῖνος ποὺ μὲ νερὸ μόνον τὰ τρίβει, ἀκόμα καὶ ἂν δαπανήσῃ πολὺν χρόνον, δὲν θὰ τὰ καθαρίσῃ τελείως ἀπὸ τὴν σκουριάν, ἐκεῖνος ὅμως ποὺ θὰ τὰ βάλῃ μέσα εἰς τὸ χωνευτήριον, ἐντὸς ὀλίγου χρονικοῦ διαστήματος θὰ τὰ κάμῃ καλύτερα ἀπὸ τὰ καινούρια, ἔτσι λοιπὸν καὶ ἡ ψυχὴ ποὺ ἐβάφη μὲ τὴν σκουριὰν τῆς ἁμαρτίας, ἂν μὲν ἁπλῶς καὶ ὡς ἔτυχε καθαρίσῃ τὸν ἑαυτόν της, καὶ κάθε ἡμέραν μετανοῇ, τίποτε περισσότερον δὲν θὰ κερδίσῃ· ἂν ὅμως ὡσὰν εἰς χωνευτήριον βάλῃ τὸν ἑαυτόν της εἰς τὸν φόβον τοῦ Θεοῦ ἐντὸς ὀλίγου χρονικοῦ διαστήματος τὰ πάντα θὰ καθαρίσῃ.

Ἂς μὴ ἀναβάλλωμεν λοιπὸν διὰ τὴν αὔριον, διότι «Δὲν γνωρίζομεν τί θὰ φέρῃ ἡ αὔριον»[19]· οὔτε νὰ λέγωμεν ὅτι θὰ ὑπερισχύσωμεν τῆς συνηθείας ὀλίγον κατ' ὀλίγον· διότι αὐτὸ τὸ ὀλίγον κατ' ὀλίγον ποτὲ δὲν θὰ ἐκλείψῃ. Διὰ τοῦτο ἀφοῦ ἀφήσωμεν ἐκεῖνο, τοῦτο νὰ λέγωμεν, ὅτι ἐὰν σήμερον δὲν κατορθώσωμεν νὰ κόψωμεν τὴν συνήθειαν τῶν ὅρκων, δὲν θὰ ἀπομακρυνθῶμεν ἀπὸ τὴν προσπάθειαν αὐτήν, ἀκόμη

σόμεθα πρότερον, κἂν μυρία ἄγχῃ πράγματα, κἂν ἀποθανεῖν δέῃ, κἂν κολασθῆναι, κἂν πάντα ἀπολέσαι· οὐ δώσομεν τῷ διαβόλῳ ῥαθυμίας ἐξουσίαν, οὐδὲ ἀναβολῆς πρόφασιν. Ἂν ὁ Θεὸς ἴδῃ σου τὴν πεπυρωμένην ψυχήν, τὴν διεγηγερμένην προθυμίαν, καὶ αὐτὸς συνεφάψεταί σου τῆς διορθώσεως. Ναί, δέομαι καὶ ἀντιβολῶ, σπουδάσωμεν, ἵνα μὴ καὶ ἡμεῖς ἀκούσωμεν, ὅτι «Ἄνδρες Νινευῖται ἀναστήσονται, καὶ κατακρινοῦσι τὴν γενεὰν ταύτην», ὅτι ἐκεῖνοι μὲν ἅπαξ ἀκούσαντες κατώρθωσαν, ἡμεῖς δὲ οὐδὲ πολλάκις ἀκούσαντες ἐπεστράφημεν· ἐκεῖνοι ὁλόκληρον ἀρετήν, ἡμεῖς δὲ οὐδὲ μέρος ἀρετῆς· ἐκεῖνοι κατασκαφῆναι ἀκούσαντες ἐφοβήθησαν, ἡμεῖς δὲ οὐδὲ γέενναν ἀκούοντες φοβούμεθα· ἐκεῖνοι προφητειῶν οὐ μετασχόντες, ἡμεῖς δὲ συνεχοῦς ἀπολαύοντες διδασκαλίας, καὶ πολλῆς τῆς χάριτος.

Ταῦτα λέγω νῦν οὐχ ὑπὲρ τῶν οἰκείων, ἀλλ᾽ ὑπὲρ τῶν ἀλλοτρίων ὑμῖν ἐγκαλῶν ἁμαρτημάτων. Ὑμῖν γάρ, εὖ οἶδ᾽ ὅτι, καθάπερ ἔφθην εἰπών, ὁ νόμος οὗτος ὁ περὶ τοῦ ὀμνύειν κατώρθωται· ἀλλ᾽ οὐκ ἀρκεῖ τοῦτο εἰς σωτηρίαν ἡμῖν, εἰ μὴ καὶ ἑτέρους διδάξαντες διορθώσομεν, ἐπεὶ καὶ ὁ τὸ τάλαντον προσενεγκών, τὴν παρακαταθήκην ὁλόκληρον ἀποδούς, ἐπειδὴ τὸ δοθὲν οὐκ ἐπλεόνασεν, ἐκολάζετο. Μὴ τοίνυν μηδὲ ἡμεῖς τοῦτο σκοπήσωμεν, εἰ αὐτοὶ τῆς ἁμαρτίας ἀπηλλάγημεν, ἀλλ᾽ ἕως ἂν ἑτέρους ἀπαλλάξωμεν, μὴ ἀποστῶμεν· καὶ ἕκαστος δέκα φίλους ῥυθμίσας τῷ Θεῷ προσαγαγέτω, κἂν οἰκέτας ἔχῃς, κἂν μαθητάς· ἀλλ᾽ οὐδὲ μαθητάς, οὐδὲ οἰκέτας ἔχεις; ἀλλὰ φίλους ἔχεις· τούτους κατόρθωσον. Καὶ μή μοι λέγε, ὅτι τοὺς πλείονας τῶν ὅρκων ἀπη-

20. Λουκᾶ 11, 32.
21. Πρβλ. Ματθ. 25.

καὶ ἂν μᾶς πνίγουν χίλια πράγματα, καὶ ἂν ἀποθάνωμεν, καὶ ἂν πρόκειται νὰ τιμωρηθοῦμε, καὶ ἂν τὰ πάντα χάσωμεν· δὲν θὰ δώσωμεν εἰς τὸν διάβολον μὲ τὴν ἀμέλειάν μας ἐξουσίαν εἰς τὸν ἑαυτόν μας, οὔτε πρόφασιν ἀναβολῆς. Ἂν ὁ Θεὸς ἰδῇ τὴν ψυχήν σου νὰ εἶναι πυρακτωμένη, τὴν ζωηρὰν προθυμίαν σου, καὶ ὁ ἴδιος θὰ σὲ βοηθήσῃ νὰ διορθωθῇς. Ναί, σᾶς παρακαλῶ καὶ σᾶς ἱκετεύω, ἂς φροντίσωμεν πολύ, διὰ νὰ μὴ ἀκούσωμεν καὶ ἡμεῖς ὅτι «Ἄνδρες Νινευῖται θὰ ἀναστηθοῦν καὶ θὰ καταδικάσουν τὴν γενεὰν αὐτήν»[20], διότι ἐκεῖνοι μὲν μίαν φορὰν ἤκουσαν τὸ κήρυγμα καὶ μετενόησαν, ἡμεῖς δὲ ἂν καὶ πολλάκις ἠκούσαμεν, δὲν ἐπεστρέψαμεν εἰς τὸν δρόμον τὸν καλόν· ἐκεῖνοι κατώρθωσαν ὁλόκληρον τὴν ἀρετήν, ἡμεῖς δὲ οὔτε μέρος αὐτῆς· ἐκεῖνοι ἐφοβήθησαν ὅταν ἤκουσαν ὅτι θὰ καταστραφῇ ἡ πόλις των, ἡμεῖς δὲ οὔτε τὴν γέενναν φοβούμεθα· ἐκεῖνοι διωρθώθησαν χωρὶς νὰ ἔχουν προφητείας καὶ διδασκαλίας, ἡμεῖς δὲ ἐνῷ ἀπολαμβάνομεν συνεχοῦς διδασκαλίας καὶ πολλῆς χάριτος, μένομεν ἀδιόρθωτοι.

Αὐτὰ τὰ λέγω τώρα ὄχι κατηγορῶν ἐσᾶς διὰ τὰ ἰδικά σας ἁμαρτήματα, ἀλλὰ διὰ τὰ ξένα ἁμαρτήματα. Διότι σεῖς μέν, γνωρίζω καλὰ τοῦτο ὅπως καὶ προηγουμένως εἶπον, ἔχετε κατορθώσει νὰ τηρήσετε τὸν νόμον περὶ τῶν ὅρκων· ὅμως τοῦτο δὲν εἶναι ἀρκετὸν διὰ τὴν σωτηρίαν μας, ἐὰν δὲν διδάξωμεν καὶ διορθώσωμεν καὶ ἄλλους, διότι καὶ ὁ δοῦλος ἐκεῖνος ποὺ προσέφερε τὸ τάλαντον εἰς τὸν κύριόν του[21], ἂν καὶ ἐπέστρεψεν ὁλόκληρον τὴν παρακαταθήκην, ἐπειδὴ αὐτὸ ποὺ τοῦ ἐδόθη δὲν τὸ ἐπολλαπλασίασεν, ἐτιμωρεῖτο. Λοιπὸν καὶ ἡμεῖς ἂς μὴ ἀποβλέψωμεν εἰς αὐτό, ἂν δηλαδὴ οἱ ἴδιοι ἔχωμεν ἀπαλλαγῆ ἀπὸ τὴν ἁμαρτίαν, ἀλλὰ νὰ μὴ παύσωμεν νὰ προσπαθοῦμεν ἕως ὅτου καὶ ἄλλους ἀπαλλάξωμεν ἀπὸ αὐτήν. Καὶ κάθε ἕνας δέκα φίλους ἀφοῦ διορθώσῃ ἂς τοὺς φέρῃ πρὸς τὸν Θεόν, εἴτε ἀκόμα εἶναι αὐτοὶ ὑπηρέται, εἴτε μαθηταί· ἀλλὰ οὔτε μαθητὰς οὔτε ὑπηρέτας ἔχεις; Ὅμως φίλους ἔχεις· αὐτοὺς νὰ διορθώσῃς. Καὶ

λάσαμεν, ὀλιγάκις δὲ ἁλισκόμεθα· ἀλλὰ καὶ τὸ ὀλιγάκις τοῦτο ἄνελε. Εἰ χρύσινον ἕνα ἀπολέσεις, οὐκ ἂν ἅπαντας περιῆλθες ἐρευνῶν, καὶ ζητῶν, ὥστε αὐτὸν εὑρεῖν; Τοῦτο καὶ ἐπὶ τῶν ὅρκων ποίησον. Ἐὰν ἴδῃς, ὅτι ἕνα ὅρκον ἐκλάπης, θρήνησον, στέναξον, ὡς τῆς οὐσίας σου πάσης ἀπολωλυίας.

Πάλιν λέγω, ὃ καὶ πρότερον· σύγκλεισον σαυτὸν ἐπὶ τῆς οἰκίας, μελέτην ποίησον καὶ γυμνάσιον μετὰ τῆς γυναικός, μετὰ τῶν παιδίων καὶ συνοικούντων· εἰπὲ πρὸς ἑαυτὸν σὺ πρότερον· οὐκ ἰδιωτικῶν, οὐ δημοσίων ἅψομαι πραγμάτων, ἕως ἂν τὴν ψυχὴν διορθώσωμαι τὴν ἐμαυτοῦ. Ἂν ὑμεῖς τοὺς υἱοὺς τῶν ἑαυτῶν παιδεύσητε, κἀκεῖνοι τοὺς ἑαυτῶν δοξάσουσι, καὶ οὕτω μέχρι τῆς συντελείας καὶ παρουσίας τοῦ Χριστοῦ τὸ πρόσταγμα βαῖνον, τοῖς τὴν ῥίζαν παρασχοῦσιν ἅπαντα οἴσει τοῦτον τὸν μισθόν. Ἂν μάθῃ λέγειν ὁ υἱός σου, «Πίστευσον», οὐ δυνήσεται εἰς θέατρον ἀναβῆναι, οὐδὲ εἰς καπηλεῖον εἰσελθεῖν, οὐδὲ ἐν κύβοις διατρίψαι· τὸ γὰρ ῥῆμα τοῦτο ἀντὶ χαλινοῦ τὸ στόμα περικείμενον, καὶ ἄκοντα ἐρυθριᾶν παρασκευάσει καὶ αἰσχύνεσθαι· εἴ ποτε ἐν ἐκείνοις φανείη καὶ ἀποπηδᾶν ἀναγκάσει ταχέως.

Ἀλλὰ καταγελῶσιν ἐκεῖνοι· ἀλλὰ σὺ δάκρυσον αὐτῶν τὴν παρανομίαν. Πολλοὶ καὶ τοῦ Νῶε κατεγέλασάν ποτε, ὅτε τὴν κιβωτὸν κατεσκεύαζεν, ἀλλ' ὅτε ἦλθεν ὁ κατακλυσμός, ἐκεῖνος αὐτῶν κατεγέλασε· μᾶλλον δὲ οὐδέποτε αὐτῶν κατεγέλασεν ὁ δίκαιος, ἀλλ' ἐθρήνησε καὶ ἐστέναξεν. Ὅταν οὖν ἴδῃς γελῶντας ἐννόησον, ὅτι οἱ γελῶντες νῦν ὀδόντες τότε κλαυθμὸν καὶ βρυγμὸν ὑποστήσονται χαλεπώτατον, καὶ τοῦ γέλωτος τούτου μνησθήσονται τρίζοντες κατ' ἐκείνην τὴν ἡμέραν καὶ βρυχόμενοι· τότε ἀναμνησθήσῃ τοῦ γέλωτος

μὴ μοῦ εἰπῇς ὅτι τοὺς περισσοτέρους ἀπὸ τοὺς ὅρκους τοὺς ἐπαύσαμεν καὶ μόνον ὀλίγας φορὰς πέφτομεν εἰς τὸν ὅρκον· τότε προσεπάθησε καὶ τὰς ὀλίγας αὐτὰς φορὰς νὰ μὴ ὁρκίζεσαι. Ἐὰν χάσῃς ἕνα χρυσοῦν νόμισμα, δὲν θὰ περιέλθῃς παντοῦ ἐρευνῶν καὶ ζητῶν, διὰ νὰ τὸ εὕρῃς; Τοῦτο κάμε καὶ διὰ τοὺς ὅρκους. Ἐὰν ἰδῇς ὅτι ἔκαμες ἕνα ὅρκον, κλαῦσε, ἀναστέναξε ὡσὰν νὰ ἔχῃ χαθῇ ὁλόκληρος ἡ περιουσία σου.

Πάλιν θὰ εἰπῶ αὐτὸ ποὺ εἶπα προηγουμένως· κλεῖσε τὸν ἑαυτόν σου εἰς τὴν οἰκίαν σου, μελέτησε καὶ ἐξασκήσου μαζὶ μὲ τὴν γυναῖκα σου, μὲ τὰ παιδιά σου, αὐτοὺς ποὺ κατοικοῦν εἰς τὴν οἰκίαν σου· εἰπὲ εἰς τὸν ἑαυτόν σου σὺ πρῶτος· δὲν θὰ ἀσχοληθῶ μὲ ἰδιωτικὰ καὶ μὲ δημόσια πράγματα, ἕως ὅτου διορθώσω τὴν ψυχήν μου. Ἐὰν σεῖς ἔτσι διδάξετε τὰ παιδιά σας, καὶ ἐκεῖνα ἔτσι θὰ διδάξουν εἰς τὰ ἰδικά των, καὶ κατ' αὐτὸν τὸν τρόπον μέχρι τῆς συντελείας τῶν αἰώνων καὶ τῆς παρουσίας τοῦ Χριστοῦ ἡ ἐντολὴ αὐτὴ τηρουμένη, εἰς ἐκείνους ποὺ ἔβαλαν τὴν ρίζαν τῆς ἐφαρμογῆς ὅλον τὸν μισθὸν θὰ φέρῃ. Ἂν μάθῃ νὰ λέγῃ ὁ υἱός σου «Πίστευσε», δὲν θὰ ἠμπορέσῃ νὰ ἀναβῇ εἰς θέατρον, οὔτε νὰ εἰσέλθῃ εἰς καφενεῖον, οὔτε μὲ τοὺς κύβους νὰ ἀσχοληθῇ· διότι ἡ λέξις αὐτὴ ὡσὰν χαλκὸς θὰ εἶναι γύρω ἀπὸ τὸ στόμα του, καὶ χωρὶς νὰ θέλῃ αὐτὸς θὰ τὸν κάμῃ νὰ κοκκινίζῃ καὶ νὰ ἐντρέπεται· καὶ ἂν κάποτε ὑπάγῃ εἰς αὐτά, γρήγορα θὰ τὸν ἀναγκάσῃ νὰ φύγῃ.

Ἀλλὰ γελοῦν ἐκεῖνοι· σὺ ὅμως δάκρυσε διὰ τὴν παρανομίαν ἐκείνων. Πολλοὶ ἐγέλασαν τότε καὶ εἰς βάρος τοῦ Νῶε, ὅταν κατεσκεύαζε τὴν κιβωτόν, ἀλλὰ ὅταν ἦλθεν ὁ κατακλυσμός, ἐκεῖνος ἐγέλασε μὲ αὐτούς· μᾶλλον δὲ οὐδέποτε ἐγέλασεν εἰς βάρος των ὁ δίκαιος, ἀλλὰ ἀντιθέτως ἐθρήνησε καὶ ἀνεστέναξε. Ὅταν λοιπὸν ἰδῇς ἀνθρώπους ποὺ γελοῦν, τότε θὰ ὑποστοῦν κλάματα καὶ φοβερὸν τρίξιμον καὶ θὰ ἐνθυμηθοῦν τὸ γέλιο αὐτὸ κατὰ τὴν ἡμέραν ἐκείνην ποὺ θὰ τρίζουν καὶ θὰ κτυποῦν· τότε καὶ σὺ νὰ ἐνθυμηθῇς

τούτου. Πόσα κατεγέλασε τοῦ Λαζάρου ὁ πλούσιος; Ἀλλ᾽ ὕστερον ἰδὼν αὐτὸν ἐν τοῖς κόλποις τοῦ Ἀβραάμ, ἑαυτὸν ἐθρήνει λοιπόν.

9. Ταῦτα οὖν ἅπαντα ἐννοῶν συνώθει πάντας ταχέως εἰς τὴν τῆς ἐντολῆς ἐκπλήρωσιν. Καὶ μή μοι λέγε, ὅτι κατὰ μικρὸν μηδὲ εἰς τὴν αὔριον ἀναβάλλου· ἡ γὰρ αὔριον οὐδέποτε λαμβάνει τέλος. Τεσσαράκοντα λοιπὸν ἡμέραι παρῆλθον· ἂν τοίνυν τὸ Πάσχα παρέλθῃ τὸ ἱερόν, οὐδενὶ συγγνώσομαι λοιπόν, οὐδὲ παραίνεσιν προσάξω, ἀλλ᾽ ἐπιταγήν, καὶ ἀποτομίαν ἀκαταφρόνητον· οὐδὲ γὰρ ἰσχυρὰ αὕτη ἡ ἀπολογία ἡ διὰ τῆς συνηθείας. Διὰ τί ὁ κλέπτων οὐ προβάλλεται συνήθειαν, καὶ ἀπαλλάττεται κολάσεως; διὰ τί ὁ φονεύων καὶ μοιχεύων; Πᾶσι τοίνυν προλέγω καὶ διαμαρτύρομαι, ὅτι ἂν συγγενόμενος ὑμῖν κατ᾽ ἰδίαν, καὶ λαβὼν ἀπόπειραν, (λήψομαι δὲ πάντως) εὕρω τοὺς μὴ διορθώσαντας τὸ ἐλάττωμα, ἀπαιτήσω δίκην, κελεύσας ἔξω μένειν τῶν μυστηρίων τῶν ἱερῶν, οὐχ ἵνα μένωσιν ἔξω, ἀλλὰ διορθώσαντες ἑαυτοὺς οὕτως εἰσέλθωσι, καὶ μετὰ καθαροῦ συνειδότος ἀπολαύσωσι τῆς ἱερᾶς τραπέζης· τοῦτο γάρ ἐστι μετασχεῖν κοινωνίας.

Γένοιτο δὲ εὐχαῖς τῶν προέδρων καὶ τῶν ἁγίων πάντων ταῦτα καὶ τὰ ἄλλα πάντα διορθώσαντες ἐλαττώματα, τυχεῖν τῆς βασιλείας τῶν οὐρανῶν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μεθ᾽ οὗ τῷ Πατρὶ σὺν τῷ ἁγίῳ Πνεύματι δόξα, τιμὴ καὶ προσκύνησις νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων· Ἀμήν.

τὰ γέλια των αὐτά. Πόσα γέλια ἔκαμεν ὁ πλούσιος μὲ τὸν Λάζαρον; Ἀλλὰ ὅταν τὸν εἶδε κατόπιν εἰς τοὺς κόλπους τοῦ Ἀβραὰμ ἐθρηνοῦσε διὰ τὸν ἑαυτόν του.

9. Ὅλα λοιπὸν αὐτὰ σκεπτόμενος ὡδήγησε ἀκόμα καὶ διὰ τῆς βίας ὅλους γρήγορα εἰς τὴν τήρησιν τῆς ἐντολῆς αὐτῆς. Καὶ μὴ μοῦ λέγῃς ὅτι ὀλίγον κατ' ὀλίγον θὰ τὴν ἐφαρμόσῃς, καὶ οὔτε νὰ τὴν ἀναβάλλῃς διὰ τὴν ἑπομένην· διότι ἡ ἑπομένη δὲν ἔχει τέλος. Τεσσαράκοντα λοιπὸν ἡμέραι παρῆλθον ἀφ' ὅτου ἤρχισα νὰ σᾶς ὁμιλῶ· ἂν λοιπὸν περάσῃ τὸ ἱερὸν Πάσχα, κανένα πλέον δὲν θὰ συγχωρήσω, οὔτε θὰ ἀρκεσθῶ εἰς συμβουλήν, ἀλλὰ θὰ μεταχειρισθῶ τρόπον ἐπιτακτικὸν καὶ αὐστηρόν· διότι οὔτε αὐτὴ ἡ δικαιολογία τῆς συνηθείας ποὺ προβάλλετε εἶναι ἰσχυρά. Διατί αὐτὸς ποὺ κλέπτει δὲν προβάλλει ὡς δικαιολογίαν τὴν συνήθειαν ὥστε ν' ἀπαλλαγῇ ἀπὸ τὴν τιμωρίαν; Διατί αὐτὸς ποὺ φονεύει καὶ μοιχεύει; Εἰς ὅλους σας τὸ λέγω καὶ τὸ γνωστοποιῶ ὅτι ἂν κατὰ τὴν συναναστροφήν μου μὲ σᾶς, κατὰ τὴν ὁποίαν θὰ δοκιμάσω ἂν εἶσθε ἐντάξει, (ὁπωσδήποτε δὲ θὰ πιάσω κάποιον ποὺ δὲν θὰ εἶναι ἐντάξει) εὕρω μερικοὺς ποὺ δὲν θὰ ἔχουν διορθώσει τὸ ἐλάττωμα αὐτό, θὰ τοὺς ἐπιβάλλω ὡς τιμωρίαν νὰ μὴ συμμετέχουν εἰς τὰ ἱερὰ μυστήρια, ὄχι διὰ νὰ μένουν διαρκῶς ἔξω, ἀλλὰ ἀφοῦ διορθωθοῦν τότε νὰ ἔλθουν, καὶ μὲ καθαρὰν συνείδησιν νὰ ἀπολαύσουν τὴν ἱερὰν τράπεζαν· διότι ἔτσι πρέπει κάθε ἕνας νὰ συμμετέχῃ εἰς τὴν θείαν Κοινωνίαν.

Εἴθε δὲ μὲ τὰς εὐχὰς τῶν πρώτων καὶ ὅλων τῶν ἁγίων καὶ αὐτὰ καὶ ὅλα τὰ ἄλλα ἐλαττώματα ἀφοῦ διορθώσωμεν νὰ ἐπιτύχωμεν τῆς βασιλείας τῶν οὐρανῶν, διὰ τῆς χάριτος καὶ φιλανθρωπίας τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μετὰ τοῦ ὁποίου εἰς τὸν Πατέρα καὶ εἰς τὸ ἅγιον Πνεῦμα ἀνήκει δόξα, τιμὴ καὶ προσκήνυσις, τώρα καὶ πάντοτε καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ΟΜΙΛΙΑ ΕΙΚΟΣΤΗ ΠΡΩΤΗ

ΕΙΣ ΤΗΝ ΕΠΑΝΟΔΟΝ ΤΟΥ ΕΠΙΣΚΟΠΟΥ ΦΛΑΒΙΑΝΟΥ

καὶ εἰς τὴν τοῦ βασιλέως διαλλαγὴν πρὸς τὴν πόλιν· καὶ πρὸς τοὺς πλημμελήσαντας εἰς τὴν τῶν ἀνδριάντων καταστροφήν.

1. Ἀπὸ τῆς ῥήσεως, ἀφ' ἧς ἀεὶ παρὰ τὸν καιρὸν τῶν κινδύνων πρὸς τὴν ὑμετέραν εἰώθειν ἀγάπην προοιμιάζεσθαι, ἀπὸ τῆς αὐτῆς ταύτης καὶ σήμερον ἄρξομαι τοῦ πρὸς ὑμᾶς λόγου, καὶ ἐρῶ μεθ' ὑμῶν· εὐλογητὸς ὁ Θεός, ὁ τὴν ἱερὰν ταύτην ἑορτὴν μετὰ χαρᾶς καὶ εὐφροσύνης πολλῆς καταξιώσας ἡμᾶς ἐπιτελέσθαι σήμερον, καὶ τὴν κεφαλὴν ἀποδοὺς τῷ σώματι, καὶ τὸν ποιμένα τοῖς προβάτοις, τὸν διδάσκαλον τοῖς μαθηταῖς, τὸν στρατηγὸν τοῖς στρατιώταις, τὸν ἀρχιερέα τοῖς ἱερεῦσιν· εὐλογητὸς ὁ Θεὸς ὁ ποιῶν ὑπὲρ ἐκ περισσοῦ ὧν αἰτούμεθα, ἢ νοοῦμεν. Ἡμῖν μὲν γὰρ ἀρκοῦν εἶναι ἐδόκει τὸ τῶν ἐπικειμένων τέως ἀπαλλαγῆναι τῶν κακῶν, καὶ ὑπὲρ τούτου πᾶσαν ἐποιούμεθα τὴν ἱκετηρίαν· ὁ δὲ φιλάνθρωπος Θεός, καὶ τῇ δόσει τὰς αἰτήσεις ἡμῶν ἀεὶ νικῶν μετὰ πολλῆς τῆς ὑπερβολῆς, καὶ τὸν πατέρα ἡμῖν θᾶττον ἐλπίδος ἁπάσης ἀπέδωκε.

Τίς γὰρ ἂν προσεδόκησεν, ὅτι ἐν οὕτως ὀλίγαις ἡμέραις καὶ ἀπελεύσεται, καὶ διαλέξεται τῷ βασιλεῖ, καὶ λύσει τὰ δεινά, καὶ πάλιν ἐπανήξει πρὸς ἡμᾶς οὕτω ταχέως, ὡς καὶ τὸ Πάσχα τὸ ἱερὸν δυνηθῆναι φθάσαι, καὶ μεθ' ἡμῶν ἐπιτελέσαι; Ἀλλ' ἰδού, γέγονε τὸ ἀπροσδόκητον τοῦτο, καὶ τὸν πατέρα ἀπειλήφαμεν, καὶ μείζονα καρπούμεθα τὴν ἡδονήν, τῷ παρ' ἐλπίδα αὐτὸν ἀπολαβεῖν νῦν. Ὑπὲρ δὴ τούτων ἁπάντων εὐχαριστῶμεν τῷ φιλανθρώπῳ Θεῷ, καὶ θαυμάζωμεν αὐτοῦ τὴν δύναμιν καὶ τὴν φιλανθρωπίαν, καὶ τὴν

---

1. Προβλ. 3, 20.

ΟΜΙΛΙΑ ΕΙΚΟΣΤΗ ΠΡΩΤΗ

ΕΙΣ ΤΗΝ ΕΠΑΝΟΔΟΝ ΤΟΥ ΕΠΙΣΚΟΠΟΥ ΦΛΑΒΙΑΝΟΥ καὶ εἰς τὴν συνδιαλλαγὴν τοῦ βασιλέως μὲ τὴν πόλιν καὶ εἰς ἐκείνους ποὺ διέπραξαν τὸ παράπτωμα τῆς καταστροφῆς τῶν ἀνδριάντων.

1. Ἀπὸ τὸ ρητὸν μὲ τὸ ὁποῖον πάντοτε κατὰ τὸν καιρὸν τῶν κινδύνων συνήθιζα νὰ ἀρχίζω τὴν ὁμιλίαν μου πρὸς τὴν ἰδικήν σας ἀγάπην, ἀπὸ τὸ ἴδιον πάλιν θὰ ἀρχίσω καὶ σήμερον τὴν ὁμιλίαν μου πρὸς σᾶς, καὶ θὰ εἰπῶ μαζί σας· εὐλογητὸς ὁ Θεός, ὁ ὁποῖος τὴν ἱερὰν αὐτὴν ἑορτὴν μὲ χαρὰν καὶ εὐφροσύνην πολλὴν μᾶς κατηξίωσε νὰ ἐπιτελέσωμεν σήμερον, καὶ ἀπέδωκε τὴν κεφαλὴν εἰς τὸ σῶμα καὶ τὸν ποιμένα εἰς τὰ πρόβατα, τὸν διδάσκαλον εἰς τοὺς μαθητάς, τὸν στρατηγὸν εἰς τοὺς στρατιώτας, τὸν ἀρχιερέα εἰς τοὺς ἱερεῖς. Εὐλογητὸς ὁ Θεὸς ὁ ὁποῖος κάνει πολὺ περισσότερα ἀπὸ ὅσα ζητοῦμεν καὶ ἠμποροῦμεν νὰ ἐννοήσωμεν[1]. Διότι εἰς ἡμᾶς ἐφαίνετο ὅτι ἦτο ἀρκετὸν τὸ νὰ ἀπαλλαγῶμεν μόνον ἀπὸ τὰ ἐπικείμενα κακά, καὶ εἰς αὐτὸ ἀνεφέροντο αἱ προσευχαί μας πρὸς τὸν Θεόν· ὁ φιλάνθρωπος δὲ Θεός, ὁ ὁποῖος πάντοτε μᾶς δίδει ἀσυγκρίτως περισσότερα ἀπὸ ὅσα τοῦ ζητοῦμεν, καὶ τὸν πατέρα μᾶς ἀπέδωκε πολὺ γρηγορώτερα ἀπὸ ὅ,τι ἠλπίζαμεν.

Ποῖος θὰ ἤλπιζεν ὅτι εἰς τόσον ὀλίγας ἡμέρας θὰ ἠμποροῦσε καὶ νὰ μεταβῇ καὶ νὰ συνομιλήσῃ μὲ τὸν βασιλέα καὶ νὰ μᾶς ἀπαλλάξῃ ἀπὸ τὰ κακά, καὶ πάλιν νὰ ἐπανέλθῃ πρὸς ἡμᾶς τόσον γρήγορα, ὥστε καὶ τὸ Πάσχα τὸ ἱερὸν νὰ ἠμπορέσῃ νὰ προφθάσῃ καὶ μαζί μας νὰ ἑορτάσῃ; Ἀλλὰ ἰδοὺ ἔχει γίνει τοῦτο τὸ ἀπροσδόκητον, καὶ τὸν πατέρα ἔχομεν πάλιν μαζί μας καὶ ἡ χαρά μας εἶναι μεγαλυτέρα, διότι ἀνέλπιστα τώρα τὸν ἐδέχθημεν. Δι' ὅλα αὐτὰ λοιπὸν ἂς εὐχαριστοῦμεν τὸν φιλάνθρωπον Θεὸν καὶ ἂς θαυμάζωμεν

σοφίαν, καὶ τὴν κηδεμονίαν τὴν ὑπὲρ τῆς πόλεως γεγενημένην.

Ὁ μὲν γὰρ διάβολος καταδῦσαι πᾶσαν αὐτὴν ἐπεχείρησε διὰ τῶν τολμηθέντων, ὁ δὲ Θεὸς καὶ τὴν πόλιν, καὶ τὸν ἱερέα, καὶ τὸν βασιλέα διὰ ταύτης ἐκόσμησε τῆς συμφορᾶς, καὶ λαμπροτέρους πάντας ἐπέφηνεν. Ἡ πόλις μὲν γὰρ ηὐδοκίμησεν, ὅτι κινδύνου τοιούτου καταλαβόντος, παραδραμοῦσα πάντας τοὺς ἐν δυναστείαις, τοὺς πλοῦτον πολὺν περιβεβλημένους, τοὺς μεγάλην παρὰ βασιλεῖ δύναμιν ἔχοντας, ἐπὶ τὴν Ἐκκλησίαν, καὶ τὸν ἱερέα τοῦ Θεοῦ κατέφυγε, καὶ μετὰ πολλῆς τῆς πίστεως τῆς ἄνωθεν ἑαυτὴν ἐξεκρέμασεν ἐλπίδος. Πολλῶν γοῦν μετὰ τὴν ἀποδημίαν τοῦ κοινοῦ πατέρος τοὺς τὸ δεσμωτήριον οἰκοῦντας θορυβούντων, καὶ λεγόντων, ὡς οὐκ ἀφίησι τῆς ὀργῆς ὁ βασιλεύς, ἀλλὰ παροξύνεται μειζόνως, καὶ περὶ κατασκαφῆς ὁλοκλήρου τῆς πόλεως βουλεύεται, καὶ ἕτερα πολλῷ πλείονα τούτων θρυλούντων, οἱ δεδεμένοι τότε οὐδὲν ἐγίνοντο ἐκ τῆς φήμης ταύτης δειλότεροι, ἀλλ᾽ ἡμῶν λεγόντων ὡς ψευδῆ ταῦτα, καὶ διαβόλου μαγγανείας ἐστὶν ἔργα, βουλομένου καταβαλεῖν ὑμῶν τὰ φρονήματα, οὐδὲν δεόμεθα τῆς διὰ λόγων παρακλήσεως, πρὸς ἡμᾶς ἔλεγον.

Ἴσμεν γὰρ οὗ τὴν ἀρχὴν κατεφύγομεν, καὶ ποίας ἐλπίδος ἑαυτοὺς ἐξεκρεμάσαμεν· τῆς ἱερᾶς ἀγκύρας τὴν σωτηρίαν ἡμῶν ἐξηρτήσαμεν· οὐκ ἀνθρωπίνῳ ταύτην ἐνεπιστεύσαμεν, ἀλλὰ τῷ παντοδυνάμῳ Θεῷ. Διὸ δὴ καὶ θαρροῦμεν χρηστὸν ἔσεσθαι τὸ τέλος πάντως· οὐ γάρ ἐστιν, οὐκ ἔστι τὴν ἐλπίδα ταύτην καταισχυνθῆναι ποτέ. Τοῦτο ἀντὶ πόσων στεφάνων, ἀντὶ πόσων ἐγκωμίων ἀρκέσει τῇ πόλει; Πόσην ἐπισπάσεται τοῦ Θεοῦ τὴν εὔνοιαν, καὶ ἐν τοῖς λοιποῖς πράγμασιν; Οὐ γάρ ἐστιν, οὐκ ἔστι τῆς τυχούσης ψυχῆς, ἐν τῇ τῶν πειρασμῶν ἐπαγωγῇ νήφειν, καὶ πρὸς τὸν

τὴν δύναμιν αὐτοῦ καὶ τὴν φιλανθρωπίαν καὶ τὴν σοφίαν καὶ τὴν πρόνοιαν ποὺ ἔδειξε διὰ τὴν πόλιν μας.

Διότι ὁ μὲν διάβολος ἐπεχείρησε νὰ καταποντίσῃ ὁλόκληρον τὴν πόλιν, ὁ δὲ Θεὸς καὶ τὴν πόλιν καὶ τὸν ἱερέα καὶ τὸν βασιλέα, δι' ὅσα ἐπηκολούθησαν τὴν συμφορὰν αὐτήν, ἐκόσμησε καὶ ὅλους τοὺς ἀνέδειξε λαμπροτέρους. Διότι ἡ μὲν πόλις ἀπέκτησε μεγάλην φήμην διότι, ἂν καὶ εὑρέθη εἰς τόσον μεγάλον κίνδυνον, ἀφοῦ παρέδραμεν ὅλους τοὺς ἰσχυροὺς παράγοντας, αὐτοὺς ποὺ ἔχουν πολὺν πλοῦτον καὶ μεγάλην δύναμιν πλησίον τοῦ βασιλέως, εἰς τὴν ἐκκλησίαν, καὶ τὸν ἱερέα τοῦ Θεοῦ κατέφυγε καὶ μὲ πολλὴν πίστιν ἐστήριξε τὸν ἑαυτόν της εἰς τὴν ἄνωθεν ἐλπίδα. Διότι ἐνῷ πολλοὶ αὐτοὺς ποὺ εὑρίσκοντο εἰς τόσην φυλακήν, μετὰ τὴν ἀποδημίαν τοῦ κοινοῦ πατρός, ἀνησυχοῦσαν καὶ ἔλεγον ὅτι δὲν θὰ ἀφήσῃ τὴν ὀργήν του ὁ βασιλεύς, ἀλλὰ θὰ ὀργισθῇ περισσότερον, καὶ θὰ σκεφθῇ πάλιν νὰ κατασκάψῃ τὴν πόλιν, καὶ ἄλλα πολὺ περισσότερον φοβερὰ ἀπὸ αὐτὰ διέδιδον, οἱ κρατούμενοι τότε καθόλου δὲν ἔγιναν ἀπὸ τὴν φήμην αὐτὴν δειλότεροι, καὶ ἐνῷ ἡμεῖς ἐλέγομεν ὅτι αὐτὰ εἶναι ψέματα καὶ τεχνάσματα τοῦ διαβόλου, ὁ ὁποῖος θέλει νὰ καταβάλῃ τὰ φρονήματά σας, ἔλεγον πρὸς ἡμᾶς δὲν ἔχομεν ἀνάγκην λόγων παρηγορίας.

Διότι γνωρίζομεν εἰς ποίαν δύναμιν κατεφύγομεν καὶ ἀπὸ ποίαν ἐλπίδα ἐκρεμάσθημεν· ἐξηρτήσαμεν τὴν σωτηρίαν μας ἀπὸ τὴν ἱερὰν ἄγκυραν· δὲν ἐνεπιστεύθημεν αὐτὴν εἰς ἄνθρωπον, ἀλλὰ εἰς τὸν παντοδύναμον Θεόν. Διὰ τοῦτο λοιπὸν καὶ εὐελπιστοῦμεν ὅτι θὰ εἶναι τὸ τέλος καλὸν ὁπωσδήποτε· διότι δὲν εἶναι δυνατόν, δὲν εἶναι λέγω δυνατὸν νὰ κατεντροπιασθῇ ποτὲ ἡ ἐλπίς μας αὐτή. Τοῦτο ἀντὶ πόσων στεφάνων, ἀντὶ πόσων ἐγκωμίων θὰ εἶναι ἀρκετὸν διὰ τὴν πόλιν; Πόσην εὔνοιαν τοῦ Θεοῦ θὰ ἐπισύρῃ καὶ διὰ τὰ ἄλλα πράγματα; Διότι δὲν εἶναι, δὲν εἶναι ἴδιον τῆς τυχούσης ψυχῆς, νὰ εἶναι νηφαλία ὅταν εὑρίσκεται ἐν μέσῳ πειρασμῶν, καὶ νὰ προσβλέπῃ πρὸς τὸν Θεόν, καὶ νὰ περι-

Θεὸν βλέπειν, καὶ πάντων καταγελάσασαν τῶν ἀνθρωπίνων πρὸς ἐκείνην κεχηνέναι τὴν συμμαχίαν.

Ἡ μὲν οὖν πόλις οὕτως εὐδοκίμησεν, ὁ δὲ ἱερεὺς πάλιν οὐχ ἧττον ἤπερ ἡ πόλις· τὴν γὰρ ἑαυτοῦ ψυχὴν ὑπὲρ πάντων ἔδωκε, καὶ πολλῶν ὄντων τῶν κωλυόντων, τοῦ χειμῶνος, τῆς ἡλικίας, τῆς ἑορτῆς, καὶ οὐκ ἔλαττον τῆς ἀδελφῆς πρὸς ἐσχάτας οὔσης ἀναπνοάς, ἁπάντων ὑψηλότερος ἐγένετο τῶν κωλυμάτων, καὶ οὐκ εἶπε πρὸς ἑαυτόν, τί τοῦτο; Ἡ μόνη περιλειφθεῖσα ἡμῖν ἀδελφή, καὶ μετ' ἐμοῦ τὸν ζυγὸν ἕλκουσα τοῦ Χριστοῦ, καὶ τοσοῦτόν μοι συνοικήσασα χρόνον πρὸς ἐσχάτας ἐστὶ νῦν ἀναπνοάς· ἡμεῖς δὲ αὐτὴν καταλείψαντες ἀπελευσόμεθα, καὶ οὐκ ὀψόμεθα ἐκπνέουσαν, καὶ τὰς τελευταίας ἀφεῖσαν φωνάς;

Ἀλλ' αὐτὴ μὲν καθ' ἑκάστην ηὔχετο τὴν ἡμέραν ἡμᾶς καὶ ὀφθαλμοὺς καθελεῖν, καὶ στόμα συνελεῖν καὶ περιστεῖλαι, καὶ τὰ ἄλλα πάντα πρὸς τὸν τάφον ἐπιμελήσασθαι· νυνὶ δὲ καθάπερ ἔρημός τις καὶ ἀπροστάτευτος οὐδενὸς ἐπιτεύξεται τούτων παρὰ τοῦ ἀδελφοῦ, παρ' οὗ μάλιστα ἐπεθύμει τυχεῖν, ἀλλ' ἀφιεῖσα τὴν ψυχήν, οὐκ ὄψεται τὸν πάντων αὐτῇ ποθεινότερον; Καὶ πόσων οὐκ ἔσται θανάτων αὐτῇ τοῦτο βαρύτερον; Εἰ γὰρ καὶ πόρρωθεν ἀφεστήκειν, οὐκ ἔδει δραμεῖν, καὶ πάντα ποιῆσαι καὶ παθεῖν, ὥστε ταύτην αὐτῇ παρασχεῖν τὴν χάριν; Νῦν δὲ πλησίον ὢν ἐγκαταλείψω, καὶ ἀφεὶς ἀπελεύσομαι; Καὶ πῶς οἴσει τὰς μετὰ ταῦτα ἡμέρας; Ἀλλ' οὐδὲν τούτων οὐ μόνον οὐκ εἶπεν, ἀλλ' οὐδὲ ἐνενόησεν, ἀλλὰ καὶ πάσης συγγενείας τὸν τοῦ Θεοῦ προτιμήσας φόβον, ἔγνω τοῦτο καλῶς ὅτι καθάπερ τὸν κυβερνήτην οἱ χειμῶνες, καὶ τὸν στρατηγὸν οἱ κίνδυνοι, οὕτω καὶ τὸν ἱερέα ὁ πειρασμὸς ποιεῖ φαίνεσθαι.

Πάντες, φησί, πρὸς ἡμᾶς κεχήνασι καὶ Ἰουδαῖοι, καὶ Ἕλληνες· μὴ καταισχύνωμεν αὐτῶν τὰς περὶ ἡμῶν ἐλπί-

φρονῇ ὅλα τὰ ἀνθρώπινα καὶ νὰ ἀτενίζῃ μόνον πρὸς τὴν συμμαχίαν ἐκείνην τοῦ Θεοῦ.

Ἡ μὲν πόλις λοιπὸν κατ' αὐτὸν τὸν τρόπον ἐδοξάζετο, ὁ δὲ ἱερεὺς πάλιν ὄχι βεβαίως ὀλιγώτερον ἀπὸ ὅσον ἡ πόλις· διότι τὴν ζωήν του ὑπὲρ ὅλων παρέδωκε, καὶ ἐνῷ ὑπῆρχαν πολλὰ ἐμπόδια, ὁ χειμώνας, ἡ ἡλικία, ἡ ἑορτὴ τοῦ Πάσχα, καὶ τὸ σπουδαιότερον ἡ ἀδελφή του ποὺ εὑρίσκετο εἰς τὰς τελευταίας της στιγμάς, ἐξεπέρασεν ὅλα τὰ ἐμπόδια αὐτά, καὶ δὲν εἶπε πρὸς τὸν ἑαυτόν του, τί εἶναι τοῦτο; Ἡ μόνη ἀδελφὴ ποὺ μοῦ ἔμεινε καὶ σύρει μαζί μου τὸν ζυγὸν τοῦ Χριστοῦ, καὶ ἡ ὁποία τόσον χρόνον ἔζησε μαζί μου εὑρίσκεται τώρα εἰς τὰς τελευταίας της στιγμάς· θὰ τὴν ἀφήσω καὶ θὰ φύγω καὶ δὲν θὰ τὴν ἰδῶ ὅταν θὰ ἀποθνήσκῃ καὶ θὰ ἀφήνῃ τὰς τελευταίας της λέξεις;

Ἀλλὰ αὐτὴ μὲν κάθε ἡμέραν ηὔχετο νὰ τῆς κλείσω τὰ μάτια καὶ τὸ στόμα, καὶ δι' ὅλα τὰ ἄλλα ποὺ ἀφοροῦν εἰς τὸν ἐνταφιασμόν της νὰ φροντίσω· τώρα δὲ ὡσὰν νὰ εἶναι κάποια ἔρημος καὶ ἀπροστάτευτος, τίποτε ἀπὸ αὐτὰ δὲν θὰ ἔχῃ ἀπὸ τὸν ἀδελφόν της, ἀπὸ τὸν ὁποῖον ἐπιθυμοῦσε πάρα πολὺ νὰ τὰ ἔχῃ αὐτά, ἀλλὰ ὅταν θὰ ἀφήνῃ τὴν ψυχὴν δὲν θὰ ἰδῇ τὸν πλέον ἀγαπητὸν εἰς αὐτήν; Καὶ τοῦτο ἀπὸ πόσους θανάτους βαρύτερον δὲν θὰ εἶναι εἰς αὐτήν; Διότι καὶ μακρὰν ἐὰν ἦτο δὲν ἔπρεπε νὰ τρέξω καὶ ὅλα νὰ πάθω καὶ νὰ κάμω, ὥστε νὰ τῆς κάμω αὐτὴν τὴν χάριν; Τώρα δὲ ποὺ εὑρίσκομαι πλησίον της θὰ τὴν ἀφήσω καὶ θὰ φύγω; Καὶ πῶς θὰ ὑποφέρῃ τὰς ὑπολοίπους ἡμέρας; Ὅμως τίποτε ἀπὸ αὐτὰ ὄχι μόνον δὲν εἶπεν, ἀλλὰ οὔτε κἂν διενοήθη, ἀλλὰ καὶ ἀπὸ κάθε συγγένειαν ἐπροτίμησε τὸν φόβον τοῦ Θεοῦ, διότι ἐγνώριζε τοῦτο καλῶς, ὅτι δηλαδὴ ὅπως τὸν κυβερνήτην τοῦ πλοίου αἱ τρικυμίαι καὶ τὸν στρατηγὸν οἱ κίνδυνοι, ἔτσι καὶ τὸν ἱερέα ὁ πειρασμὸς τὸν κάμει νὰ φαίνεται ποῖος εἶναι.

Ὅλοι, λέγει, πρὸς ἡμᾶς εἶναι ἐστραμμένοι καὶ οἱ Ἰουδαῖοι καὶ οἱ ἐθνικοί· ἂς μὴ διαψεύσωμεν τὰς ἐλπίδας ποὺ

δας, μηδὲ τοσοῦτον περιίδωμεν ναυάγιον, ἀλλὰ τὰ καθ' ἡμᾶς ἐπιτρέψαντες τῷ Θεῷ πάντα, καὶ τὴν ψυχὴν αὐτὴν ἐκδῶμεν. Καὶ σκόπει ἱερέως μεγαλοψυχίαν, καὶ Θεοῦ φιλανθρωπίαν· ὧν ὑπερεῖδεν ἁπάντων, τούτων ἀπήλαυσεν ἁπάντων, ἵνα καὶ τῆς προθυμίας τὸν μισθὸν λάβῃ, καὶ διὰ τῆς ἀπολαύσεως τῆς παρὰ προσδοκίαν μείζονος ἐπιτύχῃ τῆς ἡδονῆς.

Εἵλετο τὴν ἑορτὴν ἐπὶ τῆς ἀλλοτρίας, καὶ πόρρω τῶν οἰκείων ἐπιτελέσαι διὰ τὴν τῆς πόλεως σωτηρίαν· ὁ δὲ Θεὸς πρὸ τοῦ Πάσχα ἡμῖν αὐτὸν ἀπέδωκεν, ὥστε κοινὴν μεθ' ὑμῶν τὴν ἑορτὴν ἀγαγεῖν, ἵνα καὶ προαιρέσεως ἔχῃ τὸν μισθόν, καὶ τῆς εὐφροσύνης ἀπολαύσῃ μείζονος. Οὐκ ἔδεισε τὴν ὥραν τοῦ ἔτους, καὶ θέρος παρὰ πάντα γέγονε τῆς ἀποδημίας τὸν καιρόν· οὐχ ὑπελογίσατο τὴν ἡλικίαν, καὶ καθάπερ νέος καὶ σφριγῶν, οὕτω μετ' εὐκολίας διέδραμε τὴν μακρὰν ταύτην ὁδόν· οὐκ ἐνενόησε τὴν τελευτὴν τῆς ἀδελφῆς, οὐδὲ κατεμαλάχθη, καὶ ἐπανελθὼν ζῶσαν αὐτὴν κατείληφε, καὶ πάντων, ὧν ὑπερεῖδε, πάντων ἐπέτυχε.

2. Καὶ ὁ μὲν ἱερεὺς οὕτως εὐδόκιμος γέγονε παρὰ Θεῷ, καὶ ἀνθρώποις, τὸν βασιλέα δὲ τοῦ διαδήματος λαμπρότερον τοῦτο τὸ πρᾶγμα ἐκόσμησε. Πρῶτον μὲν δῆλον ἐγένετο, ὅτι ἅπερ οὐδενὶ ἑτέρῳ, ταῦτα χαριεῖται τοῖς ἱερεῦσιν· ἔπειτα ὅτι καὶ μετὰ πολλοῦ τοῦ τάχους τὴν χάριν ἔδωκε, καὶ τὴν ὀργὴν ἔλυσεν. Ἀλλ' ἵνα σαφέστερον καὶ τοῦ βασιλέως τὴν μεγαλοψυχίαν, καὶ τοῦ ἱερέως τὴν σοφίαν, καὶ πρὸ τούτων ἀμφοτέρων τοῦ Θεοῦ μάθητε τὴν φιλανθρωπίαν, δότε μοι μικρὰ τῆς ἐκεῖ γεγενημένης δημηγορίας διηγήσασθαι πρὸς ὑμᾶς.

Ἐρῶ δὲ ἃ παρά τινος τῶν ἔνδον ἑστώτων ἔμαθον· ὁ μὲν γὰρ πατὴρ οὔτε μικρόν, οὔτε μέγα εἶπε πρὸς ἡμᾶς, ἀλλὰ

ἐστήριξαν εἰς ἡμᾶς οὔτε νὰ ἀδιαφορήσωμεν, ἐνῷ ἀπειλεῖται τόσον μεγάλο ναυάγιον, ἀλλὰ ἀφοῦ ἀνεθέσωμεν ὅλας τὰς ἰδικάς μας ὑποθέσεις εἰς τὸν Θεόν, καὶ τὴν ψυχήν μας ἂς παραδώσωμεν. Καὶ παρατήρησε μεγαλοψυχίαν ἱερέως καὶ φιλανθρωπίαν Θεοῦ· ὅλα ὅσα παρέβλεψεν, ὅλα τὰ ἀπήλαυσε, διὰ νὰ λάβῃ καὶ τὸν μισθὸν τῆς προθυμίας του, καὶ διὰ τῆς ἀπροσδοκήτου ἀπολαύσεως τούτων νὰ ἐπιτύχῃ μεγαλυτέραν ἡδονήν.

Ἐπροτίμησε τὴν ἑορτὴν νὰ τὴν ἑορτάσῃ εἰς τὰ ξένα καὶ μακρυὰ ἀπὸ τοὺς οἰκείους του διὰ τὴν σωτηρίαν τῆς πόλεως· ὁ Θεὸς ὅμως μᾶς τὸν ἔδωκεν ὀπίσω πρὶν ἀπὸ τὸ Πάσχα, ὥστε ἀπὸ κοινοῦ νὰ ἑορτάσωμεν τὴν ἑορτήν, διὰ νὰ ἔχῃ καὶ τὸν μισθὸν τῆς προαιρέσεώς του καὶ μεγαλυτέραν εὐφροσύνην νὰ ἀπολαύσῃ. Δὲν ἐφοβήθη τὴν ἐποχὴν τοῦ ἔτους καὶ εἶχε καιρὸν θέρους καθ' ὅλην τὴν διάρκειαν τοῦ ταξιδίου του· δὲν ὑπελόγισε τὴν ἡλικίαν, καὶ ὡσὰν νὰ ἦτο νέος γεμᾶτος σφρῖγος μὲ μεγάλην εὐκολίαν διέτρεξε τὴν μακρὰν αὐτὴν ὁδόν· δὲν ἐσκέφθη τὸν ἐπικείμενον θάνατον τῆς ἀδελφῆς, καὶ οὔτε ἐκάμφθη ἀπὸ τὴν πρὸς αὐτὴν ἀγάπην του, καὶ τώρα ποὺ ἐπανῆλθε τὴν εὑρῆκε ζῶσαν καὶ ὅλα ὅσα παρέβλεψεν, ὅλα τὰ ἐπέτυχεν.

2. Καὶ ὁ μὲν ἱερεὺς ἔγινεν ἄξιος ἐπαίνου ἐνώπιον τοῦ Θεοῦ καὶ μεταξὺ τῶν ἀνθρώπων, τὸν βασιλέα δὲ ἡ ὑπόθεσις αὐτὴ τὸν ἐστόλισε λαμπρότερον ἀπὸ ὅ,τι τὸν κοσμεῖ τὸ διάδημά του. Διότι πρῶτον μὲν ἔγινε φανερὸν ὅτι ἐκεῖνα ποὺ εἰς κανένα ἄλλον δὲν χαρίζει αὐτὰ εἰς τοὺς ἱερεῖς θὰ χαρίσῃ, καὶ ἔπειτα διότι πολὺ γρήγορα ἔδωκε τὴν χάριν καὶ ἔπαυσε τὴν ὀργήν του. Ἀλλὰ διὰ νὰ μάθετε σαφέστερον καὶ τοῦ βασιλέως τὴν μεγαλοψυχίαν καὶ τοῦ ἱερέως τὴν σοφίαν καὶ περισσότερον ἀπὸ αὐτὰ τὴν φιλανθρωπίαν τοῦ Θεοῦ, ἐπιτρέψατέ μου νὰ σᾶς διηγηθῶ ὀλίγα ἀπὸ ἐκεῖνα ποὺ εἶπεν εἰς τὸν βασιλέα.

Θὰ εἰπῶ δὲ ὅσα ἔμαθον ἀπὸ κάποιον ποὺ εὑρίσκετο ἐντός· διότι ὁ μὲν πατὴρ δὲν μᾶς εἶπε τίποτε οὔτε πολὺ οὔτε

τὴν Παύλου μεγαλοψυχίαν μιμούμενος, ἀεὶ τὰ οἰκεῖα κρύπτει κατορθώματα, καὶ πρὸς τοὺς ἐρωτῶντας πανταχοῦ, τί πρὸς τὸν βασιλέα εἶπε, καὶ πῶς ἔπεισε, καὶ πῶς αὐτοῦ τὴν ὀργὴν ἐξέβαλεν ἅπασαν, ταῦτα ἔλεγε τὰ ῥήματα· οὐδὲν ἡμεῖς εἰς τὸ πρᾶγμα εἰσηνέγκαμεν, ἀλλ' αὐτὸς ὁ βασιλεύς, τοῦ Θεοῦ μαλάξαντος αὐτοῦ τὴν καρδίαν, καὶ πρὸ τῶν ἡμετέρων ῥημάτων πᾶσαν ἀφῆκε τὴν ὀργήν, καὶ τὸν θυμὸν ἔλυσε, καὶ περὶ τῶν γεγενημένων διαλεγόμενος, ὡς ἑτέρου τινὸς ὑβρισθέντος, οὕτω τὰ συμβάντα ἅπαντα χωρὶς ὀργῆς διηγεῖτο.

Ἀλλ' ἅπερ οὗτος ἀπέκρυψεν ἀπὸ ταπεινοφροσύνης, ταῦτα ὁ Θεὸς εἰς μέσον ἐξήνεγκε. Τίνα δέ ἐστι ταῦτα; Μικρὸν ἀνωτέρω τὸν λόγον ἀγαγὼν ὑμῖν διηγήσομαι. Ἐπειδὴ γὰρ ἐξῆλθε τῆς πόλεως πάντας ἐν τοσαύτῃ καταλιπὼν ἀθυμίᾳ, πολλῷ δεινότερα ἡμῶν ἔπασχε τῶν ἐν αὐτοῖς ὄντων τοῖς δεινοῖς. Πρῶτον μὲν γὰρ συγγενόμενος κατὰ μέσην τὴν ὁδὸν τοῖς ἐπὶ τὴν ἐξέτασιν τῶν γεγενημένων παρὰ τοῦ βασιλέως πεμφθεῖσι, καὶ μαθὼν παρ' ἐκείνων, ἐφ' οἷς ἦσαν ἀπεσταλμένοι, καὶ τὰ καταληψόμενα τὴν πόλιν ἀναλογιζόμενος δεινά, τοὺς θορύβους, τὰς ταραχάς, τὴν φυγήν, τὸν φόβον, τὴν ἀγωνίαν, τοὺς κινδύνους, πηγὰς ἠφίει δακρύων, τῶν σπλάγχνων αὐτῷ διακοπτομένων· τοῖς γὰρ πατράσιν ἔθος πολλῷ μεῖζον ἀλγεῖν ὅταν μηδὲ παρεῖναι δύνωνται κακουμένοις τοῖς ἑαυτῶν παισίν. Ὃ δὴ καὶ ὁ φιλοστοργότατος οὗτος ἔπασχεν, οὐ τὰ καταληψόμενα ἡμᾶς δεινὰ θρηνῶν μόνον, ἀλλὰ καὶ τὸ πόρρω ταῦτα πασχόντων ἡμῶν εἶναι· πλὴν ἀλλὰ καὶ τοῦτο ὑπὲρ τῆς ἡμετέρας ἐγίνετο σωτηρίας.

Ἐπειδὴ γὰρ ἔμαθε ταῦτα παρ' ἐκείνων, θερμοτέρας ἠφίει πηγὰς δακρύων, καὶ μετὰ πλείονος δεήσεως πρὸς Θεὸν κατέφευγε, καὶ τὰς νύκτας ἄϋπνος διῆγε παρακαλῶν, καὶ τῇ πόλει παραγενέσθαι ταῦτα πασχούσῃ, καὶ τοῦ βασι-

ὀλίγον, ἀλλὰ μιμούμενος τὴν μεγαλοψυχίαν τοῦ Παύλου, κρύπτει τὰ ἰδικά του κατορθώματα καὶ πρὸς αὐτοὺς ποὺ ἐρωτοῦσαν παντοῦ, τί εἶπε πρὸς τὸν βασιλέα, καὶ πῶς τὸν ἔπεισε, καὶ πῶς ἠμπόρεσε νὰ ἀπομακρύνῃ ὅλην τὴν ὀργήν του, αὐτὰ τὰ λόγια ἔλεγε· ἐγὼ καθόλου δὲν συνετέλεσα εἰς τὴν ὑπόθεσιν αὐτήν, ἀλλὰ αὐτὸς ὁ βασιλεύς, ἐπειδὴ ὁ Θεὸς κατεπράϋνε τὴν ψυχήν του, καὶ πρὶν ἀκόμη τοῦ ὁμιλήσω, ἄφησε ὅλην τὴν ὀργήν του καὶ ἔπαυσε τὸν θυμόν του, καὶ ὡμιλοῦσε διὰ τὰ συμβάντα ὅλα χωρὶς νὰ ἔχῃ ὀργήν, ὡσὰν νὰ ἦτο κάποιος ἄλλος ποὺ ὑβρίσθῃ.

Ἀλλὰ αὐτὰ ποὺ ὁ ἴδιος ἀπέκρυψεν ἀπὸ ταπεινοφροσύνην, αὐτὰ ὁ Θεὸς τὰ ἐφανέρωσεν. Ποῖα δὲ εἶναι αὐτά; Ἀφοῦ φέρω τὸν λόγον ὀλίγον εἰς τὰ προηγούμενα, θὰ σᾶς εἰπῶ. Ὅταν ἔφυγεν ἀπὸ τὴν πόλιν καὶ μᾶς ἄφησεν ὅλους εἰς τόσην μεγάλην θλῖψιν, πολὺ φοβερώτερα ὑπέφερεν αὐτὸς ἀπὸ ἐκείνους ποὺ εὑρίσκοντο εἰς τὰ δεινά. Διότι πρῶτον μὲν συναντήσας εἰς τὸ μέσον τοῦ ταξιδίου του τοὺς ἀπεσταλμένους τοῦ βασιλέως διὰ τὴν ἐξέτασιν τῶν γεγονότων, καὶ πληροφορηθεὶς ἀπὸ αὐτοὺς τὸν σκοπὸν τῆς ἀποστολῆς των καὶ ἀναλογιζόμενος τὰ κακὰ ποὺ θὰ ὑφίστατο ἡ πόλις, τοὺς θορύβους, τὰς ταραχάς, τὴν φυγήν, τὸν φόβον, τὴν ἀγωνίαν, τοὺς κινδύνους, ἔχυνεν ἄφθονα δάκρυα καὶ κατεσχίζοντο τὰ σπλάγχνα του· διότι εἰς τοὺς πατέρας ὑπάρχει συνήθεια νὰ πονοῦν πολὺ περισσότερον ὅταν δὲν ἠμποροῦν οὔτε νὰ παρευρεθοῦν ὅταν ὑφίστανται τὰ παιδιά των διάφορα κακά. Τοῦτο ἀκριβῶς καὶ ὁ φιλοστοργότατος αὐτὸς ὑπέφερε, διότι ἐθρηνοῦσεν ὄχι μόνον διὰ τὰ δεινὰ ποὺ θὰ μᾶς εὕρισκαν, ἀλλὰ καὶ διότι θὰ εὑρίσκετο μακρυὰ ἀπὸ ἡμᾶς ποὺ θὰ ὑπεφέραμεν· ὅμως καὶ τοῦτο ἐγίνετο διὰ τὴν ἰδικήν μας σωτηρίαν.

Διότι ἐπειδὴ ἔμαθεν αὐτὰ ἀπὸ ἐκείνους θερμοτέρας πηγὰς δακρύων ἄφηνε καὶ μὲ μεγαλυτέραν παράκλησιν κατέφευγε πρὸς τὸν Θεόν, καὶ τὰς νύκτας ἐπερνοῦσεν ἄϋπνος παρακαλῶν καὶ τὴν πόλιν ποὺ ὑπέφερεν αὐτὰ νὰ βοηθήσῃ

λέως πρᾳοτέραν ποιῆσαι τὴν διάνοιαν. Ὡς δὲ ἐπέβη τῆς μεγάλης πόλεως ἐκείνης, καὶ εἰς τὰς βασιλικὰς εἰσῆλθεν αὐλάς, εἱστήκει τοῦ βασιλέως πόρρωθεν, ἄφωνος, δακρύων, κάτω κύπτων, ἐγκαλυπτόμενος, ὥσπερ αὐτὸς ὢν ὁ πάντα ἐργασάμενος ἐκεῖνα. Ἐποίει καὶ τοῦτο, τῷ σχήματι, τῷ βλέμματι, τοῖς θρήνοις πρότερον ἐπισπάσασθαι βουλόμενος αὐτὸν εἰς ἔλεον, καὶ τότε ἄρξασθαι τῆς ὑπὲρ ἡμῶν ἀπολογίας· μία γὰρ τοῖς ἁμαρτάνουσιν ἀπολείπεται συγγνώμη, τὸ σιγᾶν, καὶ μηδὲν ὑπὲρ τῶν γεγενημένων φθέγγεσθαι. Ἐβούλετο γὰρ δὴ πάθος τὸ μὲν ἐξενεγκεῖν, τὸ δὲ εἰσενεγκεῖν, ἐκβαλεῖν μὲν τὸν θυμόν, εἰσαγαγεῖν δὲ ἀθυμίαν, ἵνα οὕτω προοδοποιήσῃ τοῖς τῆς ἀπολογίας ῥήμασιν· ὅπερ οὖν καὶ ἐγένετο. Καὶ καθάπερ Μωϋσῆς εἰς τὸ ὄρος ἀναβὰς τοῦ λαοῦ προσκεκρουκότος ἄφωνος εἱστήκει αὐτός, ἕως ὁ Θεὸς αὐτὸν ἐξεκαλέσατο εἰπών, «Ἄφες με, καὶ ἐξαλείψω τὸν λαὸν τοῦτον»· οὕτω καὶ οὗτος ἐποίησεν.

Ἰδὼν τοίνυν αὐτὸν ὁ βασιλεὺς δακρύοντα, καὶ κάτω κύπτοντα, προσῆλθεν αὐτός, καὶ ὅπερ ἔπαθε διὰ τῶν δακρύων τοῦ ἱερέως, τοῦτο ἐδείκνυ διὰ τῶν ῥημάτων τῶν πρὸς αὐτόν· οὐ γὰρ θυμουμένου, οὐδὲ ἀγανακτοῦντος ἦσαν οἱ λόγοι, ἀλλ' ἀλγοῦντος· οὐκ ὀργιζομένου, ἀλλ' ἀθυμοῦντος, καὶ περιοδυνίᾳ κατεχομένου μᾶλλον· καὶ ὅτι τοῦτό ἐστιν ἀληθές, αὐτὰ τὰ ῥήματα ἀκούσαντες εἴσεσθε.

Οὐ γὰρ εἶπε, τί ποτε τοῦτό ἐστιν; Ὑπὲρ ἀνθρώπων μιαρῶν καὶ παμμιάρων καὶ οὓς οὔτε ζῆν ἔδει, πρεσβείαν ἥκεις κομίζων, τῶν τυράννων, τῶν νεωτεροποιῶν, τῶν πάσης ἀξίων κολάσεως; Ἀλλὰ πάντα ταῦτα ἀφεὶς τὰ ῥήματα, ἀπολογίαν συνέθηκεν ἐντροπῆς γέμουσαν, καὶ βαρύτητος,

2. Ἐξ. 32, 10.

καὶ τοῦ βασιλέως τὴν ψυχὴν νὰ κάμῃ πραοτέραν. Ὅταν δὲ ἔφθασεν εἰς τὴν μεγάλην ἐκείνην πόλιν, καὶ εἰσῆλθεν εἰς τὰς βασιλικὰς αὐλάς, ἐστάθη μακρὰν τοῦ βασιλέως, ἄφωνος, δακρύζων, κύπτων πρὸς τὰ κάτω, καλύπτων τὸ πρόσωπόν του, ὡσὰν νὰ ἦτο αὐτὸς ὁ ἴδιος ποὺ ἔκαμεν ὅλα ἐκεῖνα. Καὶ τὸ ἔκαμεν αὐτό, ἐπειδὴ ἤθελε καὶ διὰ τῆς ἐμφανίσεως καὶ διὰ τοῦ βλέμματος καὶ διὰ τῶν θρήνων νὰ τὸν προδιαθέσῃ προηγουμένως εὐμενῶς καὶ μετὰ νὰ ἀρχίσῃ τὴν ἀπολογίαν του δι' ἡμᾶς· διότι ἕνας τρόπος μετανοίας ἀπομένει εἰς τοὺς ἁμαρτάνοντας, ἡ σιωπή, καὶ τίποτε νὰ μὴ λέγουν δι' ὅσα συνέβησαν. Διότι ἀφ' ἑνὸς μὲν ἤθελε νὰ βγάλῃ μέσα ἀπὸ αὐτὸν τὸ πάθος καὶ ἀφ' ἑτέρου νὰ βάλῃ ἐντὸς αὐτοῦ, νὰ βγάλῃ μέσα ἀπὸ αὐτὸν τὸν θυμόν, νὰ βάλῃ δὲ ἐντός του τὴν λύπην, καὶ ἔτσι σιγὰ σιγὰ νὰ προετοιμάσῃ τὰ λόγια τῆς ἀπολογίας του· ὅπως ἀκριβῶς καὶ ἔγινε. Καὶ ὅπως ὁ Μωϋσῆς, ὅταν ἀνέβη εἰς τὸ ὄρος, ἐπειδὴ εἶχεν ἁμαρτήσει ὁ λαός, ἔστεκεν ἄφωνος, ἕως ὅτου τὸν ἐκάλεσεν ὁ Θεὸς λέγων· «Ἄφησέ με καὶ θὰ καταστρέψω τὸν λαὸν τοῦτον»[2], ἔτσι ἀκριβῶς ἔκαμε καὶ αὐτός.

Ὅταν λοιπὸν εἶδεν αὐτὸν ὁ βασιλεὺς νὰ δακρύζῃ καὶ νὰ κύπτῃ κάτω τὸν ἐπλησίασε καὶ αὐτὸ ποὺ ᾐσθάνθη ἀπὸ τὰ δάκρυα τοῦ ἱερέως, αὐτὸ ἐφανέρωσε διὰ τῶν λόγων ποὺ εἶπεν εἰς αὐτόν· διότι τὰ λόγια ἐκεῖνα δὲν ἦσαν λόγια ἀνθρώπου ποὺ κατέχεται ἀπὸ θυμόν, ἀλλὰ λόγια ποὺ δεικνύουν ἄνθρωπον ποὺ λυπᾶται· λόγια ὄχι ὀργιζομένου ἀνθρώπου, ἀλλὰ θλιβομένου καὶ κατεχομένου ἀπὸ πολὺ μεγάλον πόνον· καὶ ὅτι τοῦτο εἶναι ἀληθὲς θὰ τὸ μάθετε ὅταν ἀκούσετε τὰ λόγια τὰ ὁποῖα εἶπεν.

Διότι δὲν εἶπε, τί εἶναι τέλος πάντων τοῦτο; Διὰ ἀνθρώπους σιχαμεροὺς καὶ μάλιστα πάρα πολύ, οἱ ὁποῖοι δὲν ἔπρεπε οὔτε νὰ ζοῦν, ἦλθες νὰ μεσιτεύσῃς, δι' αὐτοὺς τοὺς ἀπανθρώπους, τοὺς στασιαστάς, δι' αὐτοὺς ποὺ κάθε τιμωρίαν ἀξίζουν; Ἀλλὰ ἀφήσας ὅλους αὐτοὺς τοὺς λόγους συνέθεσεν ἀπολογίαν ποὺ ἦτο γεμάτη ἀπὸ ἐντροπὴν καὶ σοβαρότητα, καὶ

καὶ τὰς ἑαυτοῦ κατέλεγεν εὐεργεσίας, ὅσας παρὰ πάντα τὸν καιρὸν τῆς βασιλείας τὴν πόλιν ἡμῶν εὐηργέτησε, καὶ ἐφ' ἑκάστῳ ἔλεγεν· ταῦτά με ἀντ' ἐκείνων παθεῖν ἔδει; Ποίων ἀδικημάτων με ταύτην ἐπράξαντο δίκην; Τί μικρὸν ἢ μέγα ἐγκαλεῖν ἔχοντες, οὐκ εἰς ἐμὲ μόνον, ἀλλὰ καὶ εἰς τοὺς ἀπελθόντας ἐνύβρισαν; Οὐκ ἤρκει τὸν θυμὸν στῆναι μέχρι τῶν ζώντων· ἀλλ' εἰ μὴ καὶ τοὺς ταφέντας καθυβρίσαιεν, οὐδὲν ἐνόμισαν νεανικὸν ποιεῖν. Ἠδικήκαμεν ἡμεῖς, ὡς αὐτοὶ νομίζουσιν· οὐκοῦν τῶν νεκρῶν φείσασθαι ἔδει τῶν οὐδὲν ἠδικηκότων· οὐ γὰρ δὴ κἀκείνους ταῦτα ἐγκαλεῖν εἶχον. Οὐχὶ ταύτην πάντων προὔθηκα τὴν πόλιν ἀεί, καὶ τῆς ἐνεγκούσης ποθεινοτέραν εἶναι ἐνόμιζον, καὶ εὐχῆς μοι διηνεκοῦς ἔργον ἦν, τὴν πόλιν ἐκείνην ἰδεῖν, καὶ τοῦτον ἐποιούμην ὅρκον πρὸς πάντας;

3. Ἐνταῦθα πικρὸν ἀνοιμώξας ὁ ἱερεύς, καὶ θερμότερα ἀφεὶς δάκρυα, οὐκέτι λοιπὸν ἐσίγα. Ἑώρα γὰρ τὴν τοῦ βασιλέως ἀπολογίαν μείζονα ποιοῦσαν τὴν κατηγορίαν ἡμῶν· ἀλλὰ στενάξας κάτωθεν βαρὺ καὶ πικρόν, ὁμολογοῦμεν, φησίν, ὦ βασιλεῦ, καὶ οὐκ ἂν ἀρνηθείημεν τὸν ἔρωτα τοῦτον, ὃν περὶ τὴν πατρίδα ἐπεδείξω τὴν ἡμετέραν, καὶ διὰ τοῦτο μάλιστα θρηνοῦμεν, ὅτι τὴν οὕτω φιλουμένην ἐβάσκηναν δαίμονες, καὶ περὶ τὸν εὐεργέτην ἀγνώμονες ἐφάνημεν, καὶ τὸν σφοδρὸν ἡμῶν παρωξύναμεν ἐραστήν. Κἂν κατασκάψῃς, κἂν ἐμπρήσῃς, κἂν ἀποκτείνῃς, κἂν ὁτιοῦν ἕτερον πράξῃς, οὐδέπω τὴν ἀξίαν ἡμᾶς ἀπῄτησας δίκην· φθάσαντες ἡμεῖς ἑαυτοὺς μυρίων θανάτων χαλεπώτερα διεθήκαμεν. Τί γὰρ ἂν γένοιτο πικρότερον, ἀλλ' ἢ ὅταν τὸν εὐεργέτην καὶ οὕτω φιλοῦντα φανῶμεν ἀδίκως παροξύναντες, καὶ τοῦτο πᾶσα ἡ οἰκουμένη μανθάνῃ, καὶ τὴν ἐσχάτην

διηγεῖτο τὰς εὐεργεσίας του, ὅσας ἔκαμεν εἰς τὴν πόλιν μας καθ' ὅλον τὸ διάστημα τῆς βασιλείας του, καὶ διὰ κάθε μίαν ἀπὸ αὐτὰς ἔλεγεν· αὐτὰ ἔπρεπε νὰ πάθω ἐγὼ ἀντὶ ἐκείνων τῶν εὐεργεσιῶν; Διὰ ποῖα ἀδικήματά μου μὲ ἐκδικήθησαν; Ποίαν μικρὰν ἢ μεγάλην κατηγορίαν ἔχοντες ἐναντίον μου ὄχι μόνον ἐμέ, ἀλλὰ καὶ τοὺς ἀποθανόντας ἐξύβρισαν; Δὲν ἦτο ἀρκετὸν τὸν θυμόν των νὰ σταματήσουν εἰς τοὺς ζῶντας μόνον; ἀλλ' ἐὰν καὶ τοὺς νεκροὺς δὲν ἐξύβριζον θὰ ἐνόμιζον ὅτι τίποτε τὸ σπουδαῖον δὲν ἔκαμαν. Ἠδικήσαμεν ἡμεῖς, ὅπως νομίζουν, λοιπὸν ἔπρεπε νὰ σεβασθοῦν τοὺς νεκρούς, οἱ ὁποῖοι εἰς τίποτε δὲν τοὺς ἠδίκησαν· διότι τίποτε δὲν εἶχον ἀπὸ αὐτὰ νὰ εἴπουν ἐναντίον ἐκείνων. Δὲν ἐπροτίμησα πάντοτε τὴν πόλιν αὐτὴν ἀπὸ ὅλας, καὶ δὲν τὴν ἐθεωροῦσα πιὸ ἀγαπητὴν καὶ ἀπὸ τὴν πατρίδα μου, καὶ συνεχῶς δὲν ηὐχόμην νὰ βλέπω τὴν πόλιν αὐτὴν καὶ αὐτὸν τὸν ὅρκον δὲν ἔκαμα πρὸς πάντας;

3. Εἰς τὸ σημεῖον τοῦτο ἀνεστέναξε μὲ λύπην ὁ ἱερεὺς καὶ ἄφησε θερμότερα δάκρυα καὶ ἔπαυσε νὰ σιωπᾷ. Διότι ἔβλεπεν ὅτι ἡ ἀπολογία τοῦ βασιλέως ἔκαμε μεγαλυτέραν τὴν κατηγορίαν μας· ἀλλὰ ἀφοῦ ἀνεστέναξεν βαρέως εἶπεν· ὁμολογοῦμεν, βασιλεῦ, καὶ δὲν ἠμποροῦμεν νὰ ἀρνηθοῦμεν τὴν ἀγάπην τὴν ὁποίαν ἔχετε ἐπιδείξει διὰ τὴν πατρίδα μας, καὶ διὰ τοῦτο κυρίως θρηνοῦμεν, διότι τὴν τόσον ἀγαπητήν σας πόλιν τὴν ἐφθόνησαν δαίμονες, καὶ ἐφανήκαμεν ἀγνώμονες διὰ τὸν εὐεργέτην μας καὶ ἐκεῖνον ποὺ τόσον πολὺ μᾶς ἠγάπα τὸν ἐξωργίσαμεν. Καὶ ἂν τὴν σκάψῃς καὶ ἂν τὴν πυρπολήσῃς καὶ ἂν φονεύσῃς, καὶ ἂν ὁ,τιδήποτε ἄλλο πράξῃς, τὴν τιμωρίαν ποὺ μᾶς ἀξίζει δὲν θὰ μᾶς ἐπιβάλῃς, διότι ἐπρολάβαμεν ἡμεῖς καὶ ἐπεβάλαμεν εἰς τὸν ἑαυτόν μας τιμωρίαν χειροτέραν ἀπὸ μυρίους θανάτους. Διότι τί ἠμπορεῖ νὰ γίνῃ πικρότερον ἀπὸ τὸ νὰ φανοῦμεν ὅτι τὸν εὐεργέτην μας, καὶ μάλιστα ὅταν τόσον μᾶς ἀγαπᾷ, τὸν ἐξωργίσαμεν καὶ μάλιστα ἀδίκως, καὶ τοῦτο νὰ τὸ μάθῃ ὅλος ὁ κόσμος καὶ νὰ μᾶς ἀποδώσῃ τὴν κατηγορίαν τῆς ἐσχάτης

ἡμῶν ἀγνωμοσύνην καταγινώσκῃ;

Εἰ βάρβαροι τὴν πόλιν ἡμῶν καταδραμόντες κατέσκαψαν τὰ τείχη, καὶ τὰς οἰκίας ἐνέπρησαν, καὶ λαβόντες αἰχμαλώτους ἀπῆλθον, ἔλαττον ἦν τὸ δεινόν. Τί δή ποτε; Ὅτι σοῦ ζῶντος, καὶ τοσαύτην ἐπιδεικνυμένου περὶ ἡμᾶς εὔνοιαν, ἐλπὶς ἦν ἐκεῖνα πάντα λυθήσεσθαι τὰ δεινά, καὶ πάλιν ἡμᾶς ἐπὶ τὸ πρότερον ἐπανήξειν σχῆμα, καὶ λαμπροτέραν ἀπολήψεσθαι τὴν ἐλευθερίαν· νῦν δέ, τῆς σῆς εὐνοίας ἀφῃρημένης, καὶ τοῦ φίλτρου σβεσθέντος, ὃ παντὸς τείχους ἦν ἡμῖν ἀσφαλέστερον, πρὸς τίνα λοιπὸν καταφευξόμεθα; ποῦ δυνησόμεθα ἰδεῖν ἑτέρωσε, τὸν γλυκὺν οὕτω δεσπότην καὶ πατέρα προσηνῆ παροργίσαντες; Ὥστε δοκοῦσι μὲν ἀφόρητα πεποιηκέναι· ἔπαθον δὲ πάντων δεινότερα, πρὸς οὐδένα ἀνθρώπων ἀντιβλέψαι τολμῶντες, οὐδὲ αὐτὸν ἰδεῖν δυνάμενοι τὸν ἥλιον ἐλευθέροις ὀφθαλμοῖς, τῆς αἰσχύνης πανταχοῦ καταστελλούσης τὰ βλέφαρα, καὶ ἐγκαλύπτεσθαι καταναγκαζούσης· τῆς παρρησίας αὐτοῖς ἀνῃρημένης, πάντων αἰχμαλώτων ἀθλιώτερον διάκεινται νῦν, καὶ τὴν ἐσχάτην ὑπομένουσιν ἀτιμίαν, καὶ τὸ μέγεθος τῶν κακῶν ἐννοοῦντες, καὶ εἰς ὅσον ἀπεσκίρτησαν ὕβρεως, οὐδὲ ἀναπνεῖν δύνανται τοῦ δοκοῦντος ὑβρίσθαι σφοδροτέρους τοὺς τὴν οἰκουμένην οἰκοῦντας ἀνθρώπους ἐπισπασάμενοι κατηγόρους.

Ἀλλ' ἐὰν θέλῃς, ὦ βασιλεῦ, ἔστιν ἴασις τῷ τραύματι, καὶ φάρμακον τοῖς τοσούτοις κακοῖς. Πολλάκις καὶ ἐπὶ ἰδιωτῶν τοῦτο γέγονε· τὰ μεγάλα καὶ ἀφόρητα προσκρούσματα μεγάλης διαθέσεως γέγονεν ὑπόθεσις· οὕτω καὶ ἐπὶ τῆς φύσεως συνέβη τῆς ἡμετέρας. Ὅτε γὰρ τὸν ἄνθρωπον ἐποίησεν ὁ Θεός, καὶ εἰς τὸν παράδεισον εἰσήγαγε, καὶ πολλῆς ἠξίωσε τιμῆς, οὐ φέρων τὴν τοσαύτην εὐημερίαν ὁ διάβολος ἐβάσκηνέν τε αὐτῷ, καὶ τῆς δοθείσης ἐξέβαλε

ἀγνωμοσύνης;

Ἐὰν ἐπέδραμον βάρβαροι ἐναντίον τῆς πόλεώς μας καὶ ἐγκρέμιζον τὰ τείχη καὶ ἔκαιγον τὰς οἰκίας καὶ μᾶς ἠχμαλώτιζον, θὰ ἦτο ὀλιγώτερον τὸ κακόν. Διατὶ λοιπόν; Διότι ἐζοῦσες σὺ καὶ ἐπεδείκνυες τόσην ἀγάπην πρὸς ἡμᾶς καὶ ὑπῆρχεν ἐλπὶς ὅλα ἐκεῖνα τὰ κακὰ νὰ ἐκλείψουν καὶ νὰ ἐπανέλθωμεν εἰς τὴν προηγουμένην μας κατάστασιν καὶ νὰ ἐπανεύρωμεν λαμπροτέραν τὴν ἐλευθερίαν μας· τώρα ὅμως ποὺ ἔχομεν χάσει τὴν εὔνοιάν σου καὶ ἔχει σβησθῆ ἡ ἀγάπη σου πρὸς ἡμᾶς, ἡ ὁποία ἦτο δι' ἡμᾶς ἀσφαλεστέρα ἀπὸ τεῖχος, πρὸς ποῖον λοιπὸν θὰ καταφύγωμεν; Ποῦ θὰ ἠμπορέσωμεν νὰ ἀποβλέψωμεν, τώρα ποὺ τὸν γλυκὺν κύριον καὶ καλοπροαίρετον πατέρα ἐξωργίσαμεν; Ὥστε φαίνονται μὲν ὅτι ἔχουν κάμει ἀνυπόφορα κακά· ὅμως ἔχουν πάθει χειρότερα, διότι δὲν τολμοῦν νὰ ἀντικρύσουν κανένα ἄνθρωπον, οὔτε ἀκόμη ἠμποροῦν νὰ ἰδοῦν αὐτὸν τὸν ἥλιον μὲ ἐλεύθερα μάτια, ἐπειδὴ ἡ ἐντροπὴ παντοῦ τοὺς κατεβάζει τὰ βλέφαρα καὶ τοὺς ἀναγκάζει νὰ καλύπτουν τὸ πρόσωπον· τώρα λοιπὸν ποὺ ἐχάθη τὸ θάρρος των εὑρίσκονται εἰς κατάστασιν χειροτέραν ἀπὸ ὅλους τοὺς αἰχμαλώτους καὶ ὑπομένουν τὴν ἐσχάτην ἀτιμίαν καὶ ἀναλογιζόμενοι τὸ μέγεθος τῶν κακῶν καὶ εἰς πόσον μεγάλο σημεῖον ὕβρεως ἔφθασαν, οὔτε νὰ ἀναπνεύσουν δὲν ἠμποροῦν, ἀφοῦ περισσότερον ἀπὸ ἐκεῖνον ποὺ φαίνεται ὅτι ὑβρίσθη, ἔκαμαν σφοδροτέρους κατηγόρους των ὅλους τοὺς ἀνθρώπους τῆς οἰκουμένης.

Ἀλλ' ἐὰν θέλῃς, βασιλεῦ, ὑπάρχει θεραπεία εἰς τὸ τραῦμα καὶ φάρμακον διὰ τὰ τόσα κακά. Πολλάκις καὶ εἰς ἰδιώτας τοῦτο ἔχει γίνει· τὰ μεγάλα καὶ ἀνυπόφορα πταίσματα ἔγιναν ἀφορμὴ ἐκδηλώσεως μεγάλης ἀγάπης· τὸ ἴδιον συνέβη καὶ εἰς τὴν ἰδικήν μας ἀνθρωπίνην φύσιν. Διότι ὅταν ἐδημιούργησε ὁ Θεὸς τὸν ἄνθρωπον καὶ τὸν ὡδήγησεν εἰς τὸν παράδεισον καὶ τὸν ἠξίωσε μεγάλης τιμῆς, μὴ ὑποφέρων τὴν τόσην εὐτυχίαν αὐτοῦ ὁ διάβολος τὸν ἐφθόνησε

προεδρίας. Ἀλλ' ὁ Θεὸς οὐ μόνον αὐτὸν οὐ κατέλιπεν, ἀλλὰ καὶ ἀντὶ παραδείσου τὸν οὐρανὸν ἡμῖν ἀνέῳξε, τούτῳ τε αὐτῷ τήν τε οἰκείαν φιλανθρωπίαν ἐπιδεικνύμενος, καὶ τὸν διάβολον μειζόνως κολάζων. Τοῦτο καὶ σὺ ποίησον· πάντα ἐκίνησαν οἱ δαίμονες νῦν, ὥστε τὴν πασῶν σοι φιλτάτην πόλιν ἀπορρῆξαί σου τῆς εὐνοίας· τοῦτο τοίνυν εἰδώς, δίκην μὲν ἣν θέλεις ἀπαίτησον, τῆς δὲ φιλίας μὴ ἐκβάλῃς ἡμᾶς τῆς προτέρας.

Ἀλλ' εἰ δεῖ τι καὶ θαυμαστὸν εἰπεῖν, μείζονα ἡμῖν ἐπίδειξαι τὴν εὔνοιαν νῦν, καὶ πάλιν εἰς τὰς πρώτας τῶν φιλουμένων αὐτὴν ἔγγραψον, εἴ γε βούλει τοὺς ταῦτα κατασκευάσαντας ἀμύνασθαι δαίμονας. Ἂν μὲν γὰρ καθέλῃς, καὶ κατασκάψῃς, καὶ ἀφανίσῃς, ἅπερ ἐκεῖνοι πάλαι ἐβούλοντο, ταῦτα ἐργάσῃ· ἂν δὲ ἀφῇς τὴν ὀργήν, καὶ πάλιν ὁμολογήσῃς φιλεῖν αὐτὴν ὥσπερ πρότερον ἐφίλεις, καιρίαν αὐτοῖς ἔδωκας τὴν πληγήν, καὶ τὴν ἐσχάτην αὐτοὺς ἀπήτησας δίκην, δείξας ὡς οὐ μόνον αὐτοῖς οὐδὲν πλέον γέγονεν ἀπὸ τῆς ἐπιβουλῆς, ἀλλὰ καὶ τὰ ἐναντία αὐτοῖς ἅπαντα ἀπέβη, ἤπερ ἐβούλοντο. Δίκαιος δ' ἂν εἴης ταῦτα ποιῆσαι, καὶ ἐλεῆσαι πόλιν, ᾗ διὰ τὴν σὴν ἐφθόνησαν φιλίαν οἱ δαίμονες· εἰ γὰρ μὴ σφόδρα αὐτὴν οὕτως ἠγάπησας, οὐκ ἂν αὐτὴν οὐδὲ ἐκεῖνοι τοσοῦτον ἐβάσκηναν ἄν. Ὥστε εἰ καὶ θαυμαστὸν τὸ λεγόμενον, ἀλλ' ὅμως ἐστὶν ἀληθές, ὅτι διὰ σὲ καὶ τὴν σὴν φιλίαν ταῦτα ἔπαθε.

Πόσων ἐμπρησμῶν, πόσης καταστροφῆς τὰ ῥήματα ταῦτα πικρότερα, ἅπερ ἀπολογούμενος ἔλεγες; Νῦν ὑβρίσθαι φής, καὶ πεπονθέναι, οἷα μηδεὶς πώποτε τῶν προτέρων βασιλέων. Ἀλλ' ἐὰν θέλῃς, ὦ φιλανθρωπότατε καὶ φιλοσοφώτατε, καὶ πολλῆς εὐσεβείας γέμων, τοῦ διαδήματος τούτου μείζονά σοι καὶ λαμπρότερον ἡ ὕβρις περιθήσει στέφανον.

καὶ τὸν ἐξεδίωξεν ἀπὸ τὴν τιμητικήν του θέσιν. Ἀλλὰ ὁ Θεὸς ὄχι μόνον δὲν τὸν ἐγκατέλειψεν, ἀλλὰ καὶ ἀντὶ τοῦ παραδείσου τὸν οὐρανὸν μᾶς ἤνοιξε, δεικνύων διὰ τοῦ τρόπου αὐτοῦ καὶ τὴν ἰδικήν του φιλανθρωπίαν καὶ τὸν διάβολον περισσότερον τιμωρῶν. Τὸ ἴδιον κάμε καὶ σύ· ὅλα τὰ ἐκίνησαν οἱ δαίμονες τώρα, ὥστε τὴν πόλιν, ἡ ὁποία σοῦ ἦτο πολὺ ἀγαπητή, νὰ τὴν ἀπομακρύνουν ἀπὸ τὴν ἀγάπην σου· αὐτὸ λοιπὸν ἔχων ὑπ' ὄψιν, ὁποιανδήποτε τιμωρίαν θέλῃς ἐπίβαλε, ἀλλὰ μὴ μᾶς στερήσῃς τῆς ἀγάπης ποὺ μᾶς εἶχες προηγουμένως.

Ἀλλ' ἐὰν πρέπει καὶ κάτι παράξενον νὰ εἰπῶ, δεῖξε εἰς ἡμᾶς τώρα μεγαλυτέραν τὴν ἀγάπην σου, καὶ πάλιν νὰ τὴν ἐγγράψῃς εἰς τὴν πρώτην θέσιν μεταξὺ αὐτῶν ποὺ ἀγαπᾷς, ἐὰν βεβαίως θέλῃς νὰ ἐκδικηθῇς τοὺς δαίμονας ποὺ κατεσκεύασαν αὐτὰ τὰ πράγματα. Διότι ἂν κρημνίσῃς καὶ κατασκάψῃς καὶ ἐξαφανίσῃς τὴν πόλιν ἐκεῖνα ποὺ αὐτοὶ ἤθελον θὰ κάμῃς· ἂν δὲ πάλιν ἀφήσῃς τὴν ὀργήν σου καὶ διακηρύξῃς πάλιν ὅτι τὴν ἀγαπᾷς ὅπως τὴν ἀγαποῦσες προηγουμένως, καίριον πλῆγμα θὰ δώσῃς εἰς αὐτοὺς καὶ θὰ τοὺς τιμωρήσῃς μὲ τὴν ἐσχάτην τιμωρίαν, δεικνύων ὅτι ὄχι μόνον δὲν κατώρθωσαν τίποτε μὲ τὴν ἐπιβουλήν των, ἀλλὰ ἀντίθετα ἀπὸ ἐκεῖνα ποὺ ἐπεδίωκαν τοὺς συνέβησαν. Θὰ εἶσαι δίκαιος ἂν κάμῃς αὐτὰ καὶ ἐλεήσῃς τὴν πόλιν, τὴν ὁποίαν διὰ τὴν πρὸς αὐτὴν ἀγάπην σου ἐφθόνησαν οἱ δαίμονες· διότι ἐὰν δὲν τὴν ἀγαποῦσες τόσον πολύ, οὔτε καὶ ἐκεῖνοι θὰ τὴν ἐφθονοῦσαν τόσον πολύ. Ὥστε ἂν καὶ εἶναι παράδοξον τὸ λεγόμενον, ὅμως εἶναι ἀληθὲς ὅτι διὰ σὲ καὶ τὴν φιλίαν σου ἔπαθεν αὐτά.

Ἀπὸ πόσους ἐμπρησμούς, ἀπὸ πόσας καταστροφὰς τὰ λόγια αὐτὰ δὲν εἶναι πικρότερα, αὐτὰ ποὺ προηγουμένως ἔλεγες; Τώρα ἔχεις ὑβρισθῆ, λέγεις, καὶ ἔχεις πάθει τέτοια, ποὺ κανεὶς ἀπὸ τοὺς προηγουμένους βασιλεῖς δὲν ἔπαθε παρόμοια. Ἀλλ' ἐὰν θέλῃς, φιλανθρωπότατε καὶ φιλοσοφώτατε καὶ πλῆρες εὐσεβείας, ἀπὸ τὸ στέμμα τοῦτο μεγαλύτερον καὶ λαμπρότερον ἡ ὕβρις αὐτὴ στέφανον θὰ θέσῃ ἐπὶ τῆς κεφα-

Τοῦτο μὲν γὰρ τὸ διάδημά ἐστι μὲν τῆς σῆς ἀρετῆς ἀπόδειξις· ἔστι δὲ καὶ τῆς τοῦ δεδωκότος φιλοτιμίας τεκμήριον· ὁ δὲ ἀπὸ τῆς φιλανθρωπίας σοι ταύτης πλεκόμενος στέφανος, σὸν μόνον ἔσται κατόρθωμα, καὶ τῆς φιλοσοφίας τῆς σῆς· καὶ οὐχ οὕτω σε θαυμάσονται πάντες διὰ τοὺς λίθους τοὺς τιμίους τούτους, ὡς ἐπαινέσονται διὰ τὴν ὑπεροψίαν τὴν κατὰ τῆς ὀργῆς.

Καθεῖλόν σου τοὺς ἀνδριάντας; Ἀλλ' ἔξεστί σοι λαμπροτέρους ἀναστῆναι ἐκείνων. Ἂν γὰρ ἀφῇς τοῖς ἠδικηκόσι τὰ ἐγκλήματα, καὶ μηδεμίαν ἀπαιτήσῃς δίκην αὐτούς, οὐ χαλκοῦν σε ἐπὶ τῆς ἀγορᾶς ἀναστήσουσιν, οὐδὲ χρυσοῦν, οὐδὲ λιθοκόλλητον, ἀλλὰ τὴν πάσης ὕλης τιμιωτέραν στήλην, φιλανθρωπίαν καὶ ἐλεημοσύνην ἀναβεβλημένον. Οὕτως ἐπὶ τῆς διανοίας ἕκαστος ἀναστήσουσί σε τῆς ἑαυτῶν, καὶ τοσούτους ἕξεις ἀνδριάντας, ὅσοι τὴν οἰκουμένην οἰκοῦσιν ἄνθρωποι, καὶ οἰκήσουσιν. Οὐ γὰρ ἡμεῖς μόνον, ἀλλὰ καὶ οἱ μεθ' ἡμᾶς, καὶ οἱ μετ' ἐκείνους ἅπαντες ταῦτα ἀκούσονται· καὶ καθάπερ εὖ παθόντες αὐτοί οὕτω σε θαυμάσονται καὶ φιλήσουσι. Καὶ ὅτι ταῦτα οὐ κολακεύων λέγω, ἀλλ' οὕτως ἔσται πάντως, ἐρῶ σοι παλαιόν τινα λόγον, ἵνα μάθῃς, ὅτι οὐχ οὕτω στρατόπεδα, καὶ ὅπλα, καὶ χρήματα καὶ ὑπηκόων πλῆθος, καὶ τὰ ἄλλα δὴ τὰ τοιαῦτα λαμπροὺς ποιεῖν τοὺς βασιλεῖς εἴωθεν, ὡς φιλοσοφία ψυχῆς, καὶ ἡμερότης.

Ὁ μακάριος λέγεται Κωνσταντῖνος, τῆς εἰκόνος αὐτοῦ καταλευσθείσης ποτέ, παροξυνόντων αὐτὸν πολλῶν ἐπεξελθεῖν τοῖς ὑβρικόσι, καὶ δίκην ἀπαιτῆσαι, καὶ λεγόντων, ὅτι πᾶσαν αὐτοῦ τὴν ὄψιν ἔτρωσαν τοὺς λίθους ἐξακοντίζοντες, ψηλαφήσας τῇ χειρὶ τὸ πρόσωπον καὶ ἠρέμα μειδιάσας, εἶπεν, ὅτι οὐδαμοῦ πληγὴν ἐπὶ τοῦ μετώπου γεγενημένην ὁρῶ, ἀλλ' ὑγιὴς μὲν ἡ κεφαλή, ὑγιὴς δὲ ἡ ὄψις ἅπασα, κἀκείνους ἐρυθριάσαντας καὶ αἰσχυνθέντας ἀποστῆναι τῆς ἀδίκου ταύτης

λῆς σου. Διότι τοῦτο τὸ στέμμα εἶναι μὲν ἀπόδειξις τῆς ἀρετῆς σου· εἶναι ὅμως καὶ ἀπόδειξις τῆς μεγαλοδωρίας ἐκείνου ὁ ὁποῖος σοῦ τὸ ἔδωκεν· ὁ στέφανος ὅμως ποὺ πλέκεται ἀπὸ τὴν φιλανθρωπίαν σου, θὰ εἶναι ἰδικόν σου μόνον κατόρθωμα καὶ τῆς ἰδικῆς σου φιλοσοφίας· καὶ δὲν θὰ σὲ θαυμάσουν τόσον ὅλοι διὰ τοὺς λίθους τούτους τοὺς πολυτίμους, ὅσον θὰ σὲ ἐπαινέσουν ἐπειδὴ ἄφησες τὴν ὀργήν σου.

Ἐκρήμνισαν τοὺς ἀνδριάντας σου; Ὅμως ἠμπορεῖς νὰ στήσῃς λαμπροτέρους. Διότι ἂν συγχωρήσῃς τοὺς δράστας τῶν ἐγκλημάτων καὶ δὲν τοὺς ἐπιβάλῃς καμμίαν τιμωρίαν, δὲν θὰ σὲ ἀνεγείρουν εἰς τὴν ἀγορὰν χάλκινον ἀνδριάντα, οὔτε χρυσόν, οὔτε λιθοκόλλητον, ἀλλὰ πολυτιμότερον ἀπὸ κάθε ἄλλην ὕλην, ἐνδεδυμένον μὲ φιλανθρωπίαν καὶ ἐλεημοσύνην. Κατ' αὐτὸν τὸν τρόπον κάθε ἕνας εἰς τὴν ψυχήν του θὰ σοῦ στήσῃ ἀνδριάντα, καὶ θὰ ἔχῃς τόσους ἀνδριάντας, ὅσοι εἶναι οἱ ἄνθρωποι ποὺ κατοικοῦν εἰς τὴν οἰκουμένην, καὶ ὅσοι θὰ τὴν κατοικήσουν. Διότι ὄχι μόνον ἡμεῖς, ἀλλὰ καὶ ἐκεῖνοι ποὺ θὰ ἔλθουν μετὰ ἀπὸ ἡμᾶς, καὶ ἐκεῖνοι ποὺ θὰ ἀκολουθήσουν ἐκείνους θὰ ἀκούσουν αὐτά, καὶ ὡσὰν αὐτοὶ οἱ ἴδιοι νὰ ἔχουν εὐεργετηθῆ θὰ σὲ θαυμάσουν καὶ θὰ σὲ ἀγαπήσουν. Καὶ ὅτι τὰ λέγω αὐτὰ ὄχι διὰ νὰ σὲ κολακεύσω, ἀλλὰ ὅτι ἔτσι ὁπωσδήποτε θὰ συμβῇ, θὰ σοῦ εἰπῶ κάποιαν παλαιὰν ἱστορίαν, διὰ νὰ μάθῃς ὅτι ὄχι τόσον στρατόπεδα καὶ ὅπλα καὶ χρήματα καὶ πλῆθος ὑπηκόων καὶ τὰ παρόμοια κάμνουν συνήθως τοὺς βασιλεῖς λαμπρούς, ὅσον ἡ φιλοσοφία τῆς ψυχῆς καὶ ἡ πραότης της.

Λέγεται ὅτι ὁ μακάριος Κωνσταντῖνος, ὅταν κάποτε ἐλιθοβολήθη ἡ εἰκών του καὶ ἐνῷ πολλοὶ τὸν προέτρεπον νὰ τιμωρήσῃ τοὺς ὑβριστὰς καὶ τοῦ ἔλεγον ὅτι ὅλην τὴν ὄψιν του κατεπλήγωσαν ρίποντες λίθους, ἀφοῦ ἐψηλάφισεν μὲ τὸ χέρι τὸ πρόσωπόν του καὶ ἐμειδίασεν ἤρεμα εἶπεν ὅτι δὲν βλέπω πουθενὰ καμμίαν πληγὴν εἰς τὸ μέτωπόν μου, ἀλλ' εἶναι ὑγιὴς ἡ κεφαλὴ καὶ ἡ ὄψις ὅλη, καὶ τότε ἐκεῖνοι ἐκοκκίνησαν καὶ ἐντράπηκαν καὶ ἀπεμακρύνθησαν ἀπὸ τὴν

συμβουλῆς. Καὶ τὸ ῥῆμα τοῦτο μὲν νῦν ᾄδουσιν ἅπαντες, καὶ τοσοῦτος χρόνος οὐκ ἐμάρανεν, οὐκ ἔσβεσε τῆς φιλοσοφίας ταύτης τὴν μνήμην. Πόσων οὐκ ἂν εἴη τοῦτο τροπαίων λαμπρότερον; Πολλὰς καὶ πόλεις ἐκεῖνος ἀνέστησε, καὶ πολλοὺς βαρβάρους ἐνίκησεν, ἀλλ' οὐδενὸς ἐκείνων μεμνήμεθα· τὸ δὲ ῥῆμα τοῦτο μέχρι τῆς σήμερον ᾄδεται, καὶ οἱ μεθ' ἡμᾶς αὐτό, καὶ οἱ μετ' ἐκείνους ἀκούσονται πάντες. Καὶ οὐ τοῦτο μόνον ἐστὶ τὸ θαυμαστόν, ὅτι ἀκούσονται, ἀλλ' ὅτι καὶ μετ' ἐπαίνων καὶ εὐφημίας οἵ τε λέγοντες λέγουσιν, οἵ τε ἀκούοντες δέχονται· καὶ οὐκ ἔστιν οὐδείς, ὃς ἀνέξεται σιγῆσαι τοῦτο ἀκούσας, ἀλλ' ὁμοῦ τε ἀνέκραξε, καὶ τὸν εἰρηκότα ἐπήνεσε, καὶ μυρία αὐτῷ ἀπελθόντι γίνεσθαι ηὔξατο ἀγαθά. Εἰ δὲ παρὰ ἀνθρώποις τοσαύτης ἀπήλαυσε δόξης δι' ἐκεῖνο τὸ ῥῆμα, πόσων ἀπολαύσεται παρὰ τῷ φιλανθρώπῳ Θεῷ στεφάνων;

Καὶ τί χρὴ λέγειν Κωνσταντῖνον, καὶ τὰ ἀλλότρια παραδείγματα, δέον οἴκοθέν σε καὶ ἐκ τῶν σῶν παρακαλεῖν κατορθωμάτων; Μέμνησαι πρῴην, ὅτε τῆς ἑορτῆς ταύτης καταλαβούσης ἐπιστολὴν ἔπεμψας πανταχοῦ τῆς οἰκουμένης κελεύουσαν τοὺς τὸ δεσμωτήριον οἰκοῦντας ἀφεῖναι, καὶ συγχωρεῖν αὐτοῖς τὰ ἐγκλήματα, καὶ ὡς οὐκ ἀρκούντων ἐκείνων δεῖξαί σου τὴν φιλανθρωπίαν, ἔλεγες διὰ τῶν γραμμάτων, ὅτι εἴθέ μοι δυνατὸν ἦν, καὶ τοὺς ἀπελθόντας καλέσαι καὶ ἀναστῆσαι, καὶ πρὸς τὴν προτέραν ἀναγαγεῖν ζωήν. Τούτων ἀναμνήσθητι τῶν ῥημάτων νῦν· ἰδοὺ καιρὸς τοὺς ἀπελθόντας καλέσαι καὶ ἀναστῆσαι, καὶ πρὸς τὴν προτέραν ἐπαναγαγεῖν ζωήν. Καὶ οὗτοι γὰρ ἤδη τεθνήκασι, καὶ πρὶν ἢ τὴν ψῆφον ἐξενεχθῆναι, καὶ παρ' αὐτὰς ἡ πόλις ἐσκήνωται τὰς τοὺς ᾅδου πύλας νῦν.

συμβουλήν των αὐτήν. Καὶ τὰ λόγια αὐτὰ μέχρι σήμερον ἀναφέρουν ὅλοι μὲ θαυμασμὸν καὶ δὲν ἐμάρανε τὴν ἀξίαν των τόσος χρόνος καὶ δὲν ἔσβησε τὴν μνήμην τῆς φιλοσοφίας αὐτῆς. Πόσον λαμπρότερον δὲν εἶναι τοῦτο ἀπὸ πολλὰ τρόπαια; Καὶ ἐκεῖνος πολλὰς πόλεις ἔκτισε καὶ πολλοὺς βαρβάρους ἐνίκησεν, ἀλλὰ τίποτε ἀπὸ αὐτὰ δὲν ἐνθυμούμεθα· τὰ λόγια του ὅμως αὐτὰ μέχρι σήμερον διαφημίζονται καὶ αὐτοὶ ποὺ θὰ ἔλθουν μετὰ ἀπὸ ἡμᾶς καὶ ἐκεῖνοι ποὺ θὰ ἔλθουν μετὰ ἀπὸ αὐτούς, ὅλοι θὰ τὰ ἀκούσουν. Καὶ δὲν εἶναι μόνον τοῦτο τὸ ἀξιοθαύμαστον, ὅτι δηλαδὴ θὰ τὰ ἀκούσουν, ἀλλ' ὅτι καὶ μὲ ἐπαίνους καὶ εὐφημίας καὶ αὐτοὶ ποὺ λέγουν τὰ λόγια αὐτὰ τὸ κάμουν, καὶ αὐτοὶ ποὺ τὰ ἀκούουν πάλιν ὁμοίως· καὶ δὲν ὑπάρχει κανεὶς ὁ ὁποῖος θὰ ἀκούσῃ τοῦτο καὶ θὰ σιωπήσῃ, ἀλλὰ ταυτοχρόνως καὶ φωνάζει ἀπὸ θαυμασμὸν καὶ αὐτὸν ποὺ εἶπε τοὺς λόγους ἐπαινεῖ καὶ εὔχεται νὰ τοῦ ἐπισυμβοῦν ἀναρίθμητα καλὰ ἂν καὶ ἔχει ἀποθάνει. Καὶ ἐὰν ἀπὸ τοὺς ἀνθρώπους ἀπήλαυσε τόσην δόξαν διὰ τὰ λόγια του ἐκεῖνα, πόσους στεφάνους δὲν θὰ ἀπολαύσῃ ἀπὸ τὸν φιλάνθρωπον Θεόν;

Καὶ διατί νὰ ἀναφέρω τὸν Κωνσταντῖνον καὶ τὰ ξένα παραδείγματα, ἀφοῦ ἠμπορῶ ἀπὸ τὰ ἰδικά σου κατορθώματα νὰ σὲ παρακαλῶ; Ἐνθυμεῖσαι προηγουμένως ὅτι, ὅταν ἦτο ἡ ἑορτὴ αὐτή, ἔστειλες ἐπιστολὴν εἰς ὅλα τὰ μέρη τῆς οἰκουμένης, ἡ ὁποία ἔλεγε νὰ ἀπολυθοῦν οἱ φυλακισμένοι, καὶ νὰ συγχωρηθοῦν τὰ ἐγκλήματά των, καὶ ὡσὰν νὰ μὴ ἦσαν ἐκεῖνα ἀρκετὰ διὰ νὰ δείξουν τὴν φιλανθρωπίαν σου, ἔλεγες διὰ τῶν γραμμάτων, ὅτι εἴθε νὰ μοῦ ἦτο δυνατὸν καὶ τοὺς ἀποθανόντας νὰ καλέσω καὶ νὰ ἀναστήσω καὶ πρὸς τὴν προτέραν ζωὴν νὰ ἐπαναφέρω. Αὐτὰ τὰ λόγια νὰ ἐνθυμηθῇς τώρα· ἰδοὺ κατάλληλος εὐκαιρία διὰ νὰ καλέσῃς καὶ νὰ ἀναστήσῃς τοὺς ἀποθανόντας καὶ νὰ τοὺς ἐπαναφέρῃς εἰς τὴν προηγουμένην ζωήν. Διότι καὶ αὐτοὶ τώρα ἤδη εἶναι ὡς νὰ ἔχουν ἀποθάνει, καὶ προτοῦ νὰ ἐκδοθῇ ἡ ἀπόφασις, ἡ πόλις ἔχει κατασκηνώσει κοντὰ εἰς αὐτὰς τὰς πύλας τοῦ

Ἀνάστησον οὖν αὐτὴν ἐκεῖθεν χωρὶς χρημάτων, χωρὶς δαπάνης, χωρὶς χρόνου, καὶ πόνου τινός. Ἀρκεῖ γάρ σοι φθέγξασθαι μόνον, καὶ ἀναστῆσαι τὴν πόλιν τὴν ἐν σκότῳ κειμένην. Νῦν δὸς αὐτὴν καλεῖσθαι λοιπὸν ἀπὸ τῆς σῆς φιλανθρωπίας· οὐδὲ γὰρ τοσαύτην εἴσεται χάριν τῷ παρὰ τὴν ἀρχὴν αὐτὴν οἰκίσαντι, ὅσην τῇ ψήφῳ τῇ σῇ· καὶ μάλα εἰκότως.

Ἐκεῖνος μὲν γὰρ ἀρχὴν αὐτῇ δοὺς ἀπῆλθε, σὺ δὲ αὐξηθεῖσαν, καὶ γενομένην μεγάλην, καὶ μετὰ τὴν πολλὴν ταύτην εὐημερίαν κατενεχθεῖσαν ἀναστήσεις. Οὐκ ἦν οὕτω θαυμαστόν, εἰ πολεμίων αὐτὴν ἑλόντων, καὶ βαρβάρων καταδραμόντων, ἀπήλλαξας τοῦ κινδύνου, ὡς ἔστι θαυμαστὸν τὸ φείσασθαι νῦν· ἐκεῖνο μὲν γὰρ πολλοὶ πολλάκις βασιλέων ἐποίησαν· τοῦτο δὲ σὺ μόνος ἐργάσῃ, καὶ πρῶτος παρὰ προσδοκίαν ἅπασαν. Κἀκεῖνο μὲν οὖν οὐδὲν θαυμαστὸν οὐδὲ παράδοξον, ἀλλὰ τῶν ἀεὶ συμβαινόντων ἐστί, τὸ τῶν ὑπηκόων προΐστασθαι, τὸ δὲ τοσαῦτα παθόντα καὶ τοιαῦτα ἀφεῖναι τὴν ὀργήν, τοῦτο πᾶσαν ἀνθρωπίνην ὑπερβαίνει φύσιν.

Ἐννόησον ὅτι νῦν οὐ περὶ τῆς πόλεώς σοι βουλευτέον μόνον ἐστὶν ἐκείνης, ἀλλὰ καὶ περὶ τῆς δόξης τῆς σῆς· μᾶλλον δὲ καὶ περὶ τοῦ Χριστιανισμοῦ παντός. Νῦν καὶ Ἰουδαῖοι καὶ Ἕλληνες, καὶ πᾶσα ἡ οἰκουμένη, καὶ βάρβαροι (καὶ γὰρ κἀκεῖνοι ταῦτα ἤκουσαν) πρὸς σὲ κεχήνασιν ἀναμένοντες ἰδεῖν, οἵαν οἴσεις κατὰ τῶν γεγενημένων τὴν ψῆφον· κἂν μὲν φιλάνθρωπον ἐξενέγκῃς καὶ ἥμερον, ἐπαινέσονται τὸ δόγμα πάντες, καὶ δοξάσουσι τὸν Θεόν, καὶ πρὸς ἀλλήλους ἐροῦσι· Βαβαὶ πόση τοῦ Χριστιανισμοῦ ἡ δύναμις; ἄνθρωπον οὐδένα ἔχοντα ὁμότιμον ἐπὶ τῆς γῆς, κύριον ὄντα ἀπολέσαι πάντα καὶ διαφθεῖραι κατέσχε καὶ ἐχαλίνωσε, καὶ φιλοσοφεῖν ἐπαίδευσε φιλοσοφίαν, ἣν οὐδ' ἂν ἰδιώτης ἄνθρωπος ἐπεδείξατο·

Ἅδου. Ἀνάστησε λοιπὸν αὐτὴν ἀπὸ ἐκεῖ χωρὶς χρήματα, χωρὶς ἔξοδα, χωρὶς χρόνον καὶ κόπον. Διότι εἶναι ἀρκετὸν μόνον νὰ εἰπῇς μίαν λέξιν καὶ νὰ ἀναστήσῃς ὁλόκληρον τὴν πόλιν ἡ ὁποία εὑρίσκεται εἰς τὸ σκότος. Κάμε λοιπὸν τώρα νὰ καλῆται ἀπὸ τὴν ἰδικήν σου φιλανθρωπίαν· διότι δὲν θὰ ἀναγνωρίζῃ τόσην μεγάλην χάριν εἰς τὸν πρῶτον οἰκιστὴν αὐτῆς, ὅσον εἰς ἐσέ· καὶ πολὺ εὐλόγως.

Διότι ἐκεῖνος ἀφοῦ τὴν ἔκτισεν ἔφυγεν, ἐνῷ σύ, ἀφοῦ ἔγινε μεγάλη καὶ ἀνεπτύχθη καὶ μετὰ ἀπὸ τὴν πολλὴν αὐτὴν εὐημερίαν κατέπεσε, θὰ τὴν ἀναστήσῃς. Δὲν θὰ ἦτο τόσον ἀξιοθαύμαστον ἐὰν τὴν ἀπήλλασσες ἀπὸ τὸν κίνδυνον βαρβαρικῆς ἐπιδρομῆς καὶ ἐχθρικῆς ἁλώσεως, ὅσον εἶναι θαυμαστὸν τὸ νὰ τὴν λυπηθῇς τώρα· διότι ἐκεῖνο πολλάκις πολλοὶ ἀπὸ τοὺς βασιλεῖς τὸ ἔκαμαν· τοῦτο ὅμως μόνος σὺ θὰ τὸ κάμῃς καὶ πρῶτος παρὰ πᾶσαν προσδοκίαν. Καὶ ἐκεῖνο μὲν δὲν εἶναι καθόλου θαυμαστὸν οὔτε παράδοξον, ἀλλὰ ἀπὸ ἐκεῖνα ποὺ πάντοτε συμβαίνουν λόγῳ τοῦ ὅτι προΐσταται τῶν ὑπηκόων του, τὸ νὰ ἀφήσῃ ὅμως κανεὶς τὴν ὀργήν, ἐνῷ ἔχει πάθει τόσα πολλά, αὐτὸ ὑπερβαίνει κάθε ἀνθρωπίνην φύσιν.

Σκέψου ὅτι τώρα δὲν θὰ ἀποφασίσῃς μόνον διὰ τὴν πόλιν, ἀλλὰ καὶ διὰ τὴν ἰδικήν σου φήμην, μᾶλλον δὲ καὶ διὰ τὸν χριστιανισμὸν ὁλόκληρον. Τώρα καὶ οἱ Ἰουδαῖοι καὶ οἱ ἐθνικοὶ καὶ ὁλόκληρος ἡ οἰκουμένη καὶ οἱ βάρβαροι (διότι καὶ ἐκεῖνοι ἤκουσαν αὐτὰ) ἔχουν στρέψει τὴν προσοχήν των πρὸς σὲ ἀναμένοντες νὰ ἰδοῦν ποίαν ἀπόφασιν θὰ πάρῃς δι' αὐτὰ ποὺ συνέβησαν· καὶ ἂν μὲν ἡ ἀπόφασις τὴν ὁποίαν θὰ πάρῃς εἶναι ἐπιεικὴς καὶ φιλάνθρωπος θὰ ἐπαινέσουν ὅλοι τὸν χριστιανισμὸν καὶ θὰ δοξάσουν τὸν Θεὸν καὶ μεταξύ των θὰ εἰποῦν· πόσον μεγάλη εἶναι ἡ δύναμις τοῦ χριστιανισμοῦ; ἄνθρωπον ὁ ὁποῖος δὲν εἶχε κανένα ἴσον μὲ αὐτὸν εἰς τὴν γῆν, καὶ ὁ ὁποῖος ἠμποροῦσε νὰ καταστρέψῃ καὶ νὰ ἐξαφανίσῃ τὰ πάντα, τὸν συνεκράτησε καὶ τὸν ἐχαλιναγώγησε καὶ τὸν ἐδίδαξε νὰ φιλοσοφῇ κατὰ τοιοῦτον τρό-

ὄντως μέγας ὁ τῶν Χριστιανῶν Θεός ὃς ἐξ ἀνθρώπων ἀγγέλους ποιεῖ, καὶ πάσης ἀνάγκης φυσικῆς ἀνωτέρους καθίστησιν.

Μὴ γὰρ δὴ τὸν περιττὸν ἐκεῖνον δείσῃς φόβον μηδὲ ἀνάσχῃ λεγόντων τινῶν, ὡς αἱ λοιπαὶ χείρους ἔσονται πόλεις, καὶ καταφρονήσουσι μᾶλλον, ταύτης μὴ κολασθείσης. Εἰ μὲν γὰρ ἀδυνάτως εἶχες ἐπεξελθεῖν, καὶ βίᾳ σου περιεγένοντο ταῦτα ποιήσαντες, καὶ ἰσοστάσιος ἦν ἡ δύναμις, εἰκότως ταῦτα ὑποπτεύειν ἐχρῆν. Εἰ δὲ κατεπτήχασι καὶ προαπέθανον τῷ δέει, καὶ πρὸς τοὺς πόδας ἔδραμον τοὺς σοὺς δι' ἐμοῦ, καὶ οὐδὲν ἕτερον καθ' ἑκάστην προσδοκῶσι τὴν ἡμέραν, ἢ τὸ βάραθρον, καὶ λιτὰς ποιοῦνται κοινάς, εἰς τὸν οὐρανὸν βλέποντες, καὶ τὸν Θεὸν παρακαλοῦντες ἐλθεῖν, καὶ συνεφάψασθαι τῆς αὐτῆς ἡμῖν πρεσβείας, καὶ καθάπερ οἱ πρὸς τὰς ἐσχάτας ὄντες ἀναπνοάς, περὶ τῶν οἰκείων ἕκαστος ἐπέσκηψε τῶν ἑαυτοῦ, πῶς οὐ περιττὸν τοῦτο τὸ δέος; Οὐκ ἂν εἰ σφαγῆναι ἐκελεύσθησαν τοσαῦτα ἂν ἔπαθον, ὅσα πάσχουσι νῦν ἡμέραις τοσαύταις φόβῳ καὶ τρόμῳ συζῶντες, καὶ ἑσπέρας καταλαβούσης οὐ προσδοκῶντες ὄψεσθαι τὴν ἕω, καὶ ἡμέρας γενομένης οὐκ ἐλπίζουσιν εἰς ἑσπέραν ἀφίξεσθαι.

Πολλοὶ μὲν θηρίοις ἐνέπεσον τὰς ἐρήμους διώκοντες, καὶ πρὸς τὰς ἀβάτους μετοικισθέντες οὐκ ἄνδρες μόνον, ἀλλὰ καὶ παιδία μικρά, καὶ γυναῖκες ἐλεύθεραι καὶ εὐσχήμονες πολλὰς νύκτας καὶ ἡμέρας ἐν σπηλαίοις, καὶ φάραγξι, καὶ ταῖς ὀπαῖς κατακρυπτόμεναι τῆς ἐρήμου. Καὶ καινὸς αἰχμαλωσίας κατέχει τὴν πόλιν τρόπος· τῶν οἰκοδομημάτων καὶ τῶν τοιχῶν ἑστηκότων χαλεπώτερα τῶν ἐμπρησθεισῶν πάσχουσι πόλεων. Οὐδενὸς βαρβάρου παρόντος, οὐδὲ πολεμίου φαινομένου ἀθλιώτερον τῶν ἁλόντων διάκεινται, καὶ φύλλον

πον ποὺ κανεὶς ἄνθρωπος δὲν θὰ ἠμποροῦσε· πράγματι εἶναι μεγάλος ὁ Θεὸς τῶν χριστιανῶν, ὁ ὁποῖος κάμει ἀγγέλους ἀπὸ ἀνθρώπους καὶ τοὺς καθιστᾷ ἀνωτέρους ἀπὸ κάθε φυσικὴν ἀνάγκην.

Μὴ φοβηθῇς λοιπὸν ἀπὸ τὸν ἀβάσιμον ἐκεῖνον φόβον, οὔτε νὰ ἀνεχθῇς νὰ λέγουν μερικοί, ὅτι αἱ ἄλλαι πόλεις θὰ γίνουν χειρότεραι καὶ θὰ σὲ περιφρονήσουν μᾶλλον ἐπειδὴ αὐτὴ δὲν ἔχει τιμωρηθῆ. Διότι ἐὰν δὲν εἶχες δύναμιν διὰ νὰ ἐπέλθῃς ἐναντίον τους καὶ ὑπερίσχυσαν αὐτοὶ διὰ τῆς βίας καὶ ἦτο ἴση ἡ δύναμίς των μὲ τὴν ἰδικήν σου, εὐλόγως θὰ ἠμποροῦσαν νὰ ἔχουν τοιαύτας ὑπονοίας. Τώρα δὲ ποὺ εἶναι ὑπερβολικὰ φοβισμένοι καὶ ἔχουν σχεδὸν ἀποθάνει ἀπὸ τὸν φόβον των καὶ ἔτρεξαν δι' ἐμοῦ εἰς τὰ πόδια σου, καὶ δὲν ἀναμένουν καθημερινῶς τίποτε ἄλλο, παρὰ τὸ βάραθρον, καὶ κάμνουν κοινὰς λιτανείας, βλέποντες εἰς τὸν οὐρανὸν καὶ παρακαλοῦντες τὸν Θεὸν νὰ ἔλθῃ καὶ νὰ βοηθήσῃ μαζί μου εἰς τὴν μεσιτείαν αὐτήν, καὶ ὅπως ἐκεῖνοι ποὺ εὑρίσκονται εἰς τὰ τελευταῖα τῆς ζωῆς των κάθε ἕνας ἀπὸ αὐτοὺς ἔδωκε τὰς τελευταίας συμβουλὰς διὰ τοὺς οἰκείους του, πῶς δὲν εἶναι περιττὸς αὐτὸς ὁ φόβος; Ἐὰν ἐδίδετο διαταγὴ νὰ σφαγοῦν δὲν θὰ ἐπάθαιναν τόσα, ὅσα πάσχουν τώρα τόσας ἡμέρας, ζῶντες μὲ φόβον καὶ τρόμον καὶ ὅταν βραδυάσῃ ἀναμένουν ὅτι δὲν θὰ ἴδοῦν τὴν αὐγήν, καὶ ὅταν γίνῃ ἡμέρα δὲν ἐλπίζουν ὅτι θὰ φθάσουν εἰς τὴν ἑσπέραν.

Πολλοὶ ἔπεσαν καὶ μέσα εἰς τὰ θηρία φεύγοντες εἰς τὰς ἐρήμους καὶ μετεκομίσθησαν εἰς ἄβατα μέρη, ὄχι μόνον ἄνδρες, ἀλλὰ καὶ μικρὰ παιδιὰ καὶ γυναῖκες ἐλεύθεραι καὶ κόσμιαι, αἱ ὁποῖαι ἐκρύπτοντο νύκτα καὶ ἡμέραν εἰς τὰ σπήλαια καὶ τὰ φαράγγια καὶ εἰς τὰς τρύπας τῆς ἐρήμου. Καὶ κατέχει τὴν πόλιν καινούριος τρόπος αἰχμαλωσίας· καὶ τὰ οἰκοδομήματα καὶ οἱ τοῖχοι, ἂν καὶ εἶναι ὄρθια, πάσχουν πολὺ χειρότερα ἀπὸ πόλεις πυρποληθείσας. Ἂν καὶ κανεὶς βάρβαρος δὲν εἶναι παρὼν καὶ δὲν φαίνεται κανεὶς ἐχθρὸς ἐν τούτοις εὑρίσκονται εἰς κατάστασιν ἀθλιωτέραν ἀπὸ ἐκείνους

κινούμενον μόνον πάντας αὐτοὺς ἀποσοβεῖ καθ' ἑκάστην ἡμέραν. Καὶ ταῦτα ἴσασιν ἅπαντες· καὶ εἰ κατασκαφεῖσαν αὐτὴν εἶδον, οὐκ ἂν οὕτως ἐσωφρονίσθησαν, ὡς νῦν ταύτας αὐτῆς ἀκούοντες τὰς συμφοράς.

Μὴ τοίνυν τοῦτο νομίσῃς, ὡς χείρους ἔσονται αἱ λοιπαὶ πόλεις. Οὐκ ἂν εἰ κατέσκαψας τὰς ἄλλας πόλεις, οὕτως αὐτὰς ἐσωφρόνισας, ὡς νῦν διὰ τῆς ἀδήλου τῶν ἐσομένων προσδοκίας σφοδρότερον πάσης κολάσεως παιδεύσας αὐτούς. Καὶ μὴ περαιτέρω προενέγκῃς αὐτοῖς τὰς συμφοράς ἀλλ' ἄφες ἀναπνεῦσαι λοιπόν. Τὸ μὲν γὰρ κολάσαι τοὺς ὑπευθύνους, καὶ δίκην ἀπαιτῆσαι τῶν πεπραγμένων, ῥᾴδιον πάντως καὶ εὔκολον· τὸ δὲ φείσασθαι τῶν ὑβρικότων, καὶ συγγνώμην δοῦναι τοῖς ἀσύγγνωστα ἡμαρτηκόσιν, ἑνός που καὶ δευτέρου μόλις ἐστί, καὶ μάλιστα ὅταν βασιλεὺς ὁ ὑβρισμένος ᾖ· καὶ τὸ φόβῳ δὲ ὑποτάξαι πόλιν εὔκολον, τὸ δὲ πάντας ἐραστὰς καταστῆσαι καὶ μετ' εὐνοίας πεῖσαι διακεῖσθαι περὶ τὴν βασιλείαν τὴν σήν, καὶ μὴ μόνον κοινάς, ἀλλὰ καὶ ἰδίας ὑπὲρ τῆς σῆς ἀρχῆς ποιεῖσθαι εὐχάς, δυσκατόρθωτον, κἂν μυρία τις ἀναλώσῃ χρήματα, κἂν μυρία κινήσῃ στρατόπεδα, κἂν ὁτιοῦν ἐργάσηται, οὐκ εὐκόλως τοσούτων ἀνθρώπων διάθεσιν πρὸς ἑαυτὸν ἐπισπάσασθαι δυνήσεται, ὃ νῦν ῥᾴδιον ἔσται καὶ εὔκολον. Οἵ τε γὰρ εὐεργετηθέντες, οἵ τε ἀκούσαντες ὁμοίως τοῖς εὐεργετηθεῖσι περὶ σὲ διακείσονται.

Πόσων ἂν ἐπρίω χρημάτων, πόσων ἂν ἐπρίω πόνων ἐν βραχείᾳ καιροῦ ῥοπῇ τὴν οἰκουμένην ἅπασαν ἀνακτήσασθαι, καὶ πεῖσαι τούς τε νῦν ὄντας ἀνθρώπους, τούς τε ἐσομένους ἅπαντας ὅσα τοῖς αὐτῶν εὔχονται παισί, τοσαῦτα καὶ τῇ σῇ

τῶν ὁποίων ἐκυριεύθη ἡ πόλις, καὶ φύλλον μόνον κινούμενον εἰς ὅλους αὐτοὺς προξενεῖ φόβον καθημερινῶς. Καὶ αὐτὰ τὰ γνωρίζουν ὅλοι· καὶ ἂν ἔβλεπον αὐτὴν νὰ κατασκάπτεται δὲν θὰ ἐσωφρονίζοντο τόσον ὅσον τώρα ποὺ ἀκούουν αὐτὰς τὰς συμφορὰς αὐτῆς.

Μὴ νομίσῃς λοιπὸν ὅτι αἱ λοιπαὶ πόλεις θὰ γίνουν χειρότεραι. Δὲν θὰ ἐσωφρόνιζες αὐτοὺς τόσον ἐὰν ἤθελες κατασκάψει τὰς ἄλλας πόλεις ὅσον τώρα, ποὺ διὰ τῆς ἀδήλου προσδοκίας τῶν μελλόντων νὰ συμβοῦν, περισσότερον ἀπὸ κάθε τιμωρίαν τοὺς ἐτιμώρησες. Καὶ μὴ ὠθήσῃς τὰς συμφορὰς αὐτῶν περισσότερον, ἀλλὰ ἄφησέ τους νὰ ἀναπνεύσουν. Διότι τὸ νὰ τιμωρήσῃς τοὺς ὑπευθύνους καὶ νὰ ζητήσῃς ἱκανοποίησιν δι' ὅσα ἔγιναν εἶναι ὁπωσδήποτε εὔκολον καὶ δὲν ἀπαιτεῖ κόπον· τὸ νὰ λυπηθῇς ὅμως τοὺς ὑβριστὰς καὶ νὰ συγχωρήσῃς αὐτοὺς ποὺ ἔσφαλαν εἰς ἀσυγχώρητον βαθμόν, τοῦτο ἴσως ἕνας ἢ τὸ πολὺ δύο ἄνθρωποι ἠμποροῦν νὰ τὸ κάμουν, καὶ μάλιστα ὅταν αὐτὸς ποὺ ἔχει ὑβρισθῇ εἶναι βασιλεύς· καὶ τὸ νὰ ὑποτάξῃς τὴν πόλιν διὰ τοῦ φόβου εἶναι εὔκολον, τὸ νὰ κάμῃς ὅμως ὅλους νὰ σὲ ἀγαποῦν καὶ νὰ διάκεινται εὐνοϊκῶς πρὸς τὴν βασιλείαν σου, καὶ ὄχι μόνον κοινὰς ἀλλὰ καὶ ἀτομικὰς προσευχὰς νὰ κάμουν διὰ τὴν ἰδικήν σου ἐξουσίαν, εἶναι δυσκολοκατόρθωτον, ἀκόμη καὶ ἂν ἀναρίθμητα χρήματα ἐξοδεύσῃ κανείς, καὶ ἂν ἀναρίθμητα στρατεύματα κινήσῃ, καὶ ἂν ὁ,τιδήποτε ἄλλο κάμῃ, δὲν θὰ ἠμπορέσῃ τόσον εὔκολα νὰ ἐπισύρῃ τὴν διάθεσιν τόσων ἀνθρώπων πρὸς τὸν ἑαυτόν του, πρᾶγμα ποὺ τώρα εἶναι εὔκολον. Διότι καὶ αὐτοὶ ποὺ θὰ εὐεργετηθοῦν καὶ αὐτοὶ ποὺ θὰ ἀκούσουν τοῦτο ἐξ ἴσου μὲ τοὺς εὐεργετηθέντας θὰ διάκεινται εὐνοϊκῶς πρὸς ἐσένα.

Πόσα χρήματα δὲν θὰ ἐξώδευες, εἰς πόσους κόπους δὲν θὰ ἤθελες ὑποβληθῇ διὰ νὰ κερδίσῃς ἐντὸς ὀλίγου χρονικοῦ διαστήματος τὴν οἰκουμένην ὅλην, καὶ νὰ πείσῃς καὶ τοὺς ἀνθρώπους ποὺ ζοῦν τώρα, καὶ ἐκείνους ποὺ θὰ ἔλθουν μετά, ὅσα καλὰ εὔχονται διὰ τὰ παιδιά των, αὐτὰ νὰ εὔχωνται

κεφαλῇ; Εἰ δὲ παρὰ ἀνθρώπων ταῦτα, ἐννόησον ὅσον παρὰ τοῦ Θεοῦ λήψῃ τὸν μισθόν, οὐχὶ τῶν νῦν γινομένων μόνον, ἀλλὰ καὶ τῶν μετὰ ταῦτα παρ' ἑτέρων κατορθουμένων. Εἰ γάρ ποτε συμβαίη γενέσθαι τοιοῦτον, οἷον δὴ γέγονε νῦν, ὃ μὴ γένοιτο, καί τινες τῶν ὑβρισμένων βουλεύσωνται ἐπεξελθεῖν τοῖς ὑβρικόσιν, ἡ πραότης ἡ σή, καὶ ἡ φιλοσοφία ἀντὶ πάσης ἔσται διδασκαλίας αὐτοῖς καὶ παραινέσεως, καὶ ἐρυθριάσουσι καὶ καταισχυνθήσονται τοιοῦτον ἔχοντες φιλοσοφίας παράδειγμα, ἐλάττους φανῆναι. Ὥστε τῶν μετὰ ταῦτα πάντων ἔσῃ διδάσκαλος, καὶ τὰ νικητήρια κατ' αὐτῶν ἕξεις, κἂν εἰς αὐτὴν τὴν κορυφὴν τῆς φιλοσοφίας φθάσωσιν.

Οὐ γάρ ἐστιν ἴσον αὐτὸν κατάρξαι τοσαύτης πραότητος πρῶτον, καὶ πρὸς ἑτέρους βλέποντα μιμήσασθαι τὰ παρ' ἐκείνων κατορθωθέντα. Διὰ τοῦτο ὅσην ἂν οἱ μετὰ σὲ φιλανθρωπίαν καὶ ἡμερότητα ἐπιδείξωνται, σὺ λήψῃ τὸν μισθὸν μετ' ἐκείνων· ὁ γὰρ τὴν ῥίζαν παρασχών, οὗτος ἂν εἴη καὶ τῶν καρπῶν αἴτιος. Διὰ τοῦτο μετὰ σοῦ μὲν οὐδεὶς δύναται μερίζεσθαι νῦν τὸν ἐπὶ τῇ φιλανθρωπίᾳ μισθόν· σὸν γὰρ τὸ κατόρθωμα γέγονε μόνον. Σὺ δὲ μετὰ πάντων τῶν μετὰ ταῦτα, εἴ τινές ποτε τοιοῦτοι φανεῖεν, ἐξίσης δυνήσῃ μετ' αὐτῶν διανείμασθαι τὸ κατόρθωμα, καὶ τοσαύτην ἀπενέγκασθαι μοῖραν, ὅσην ἐπὶ τῶν μαθητῶν οἱ διδάσκαλοι· κἂν μηδεὶς γένηται τοιοῦτος, πάλιν σοι τὰ τῶν ἐγκωμίων καὶ τῶν ἐπαίνων καθ' ἑκάστην ἐπιδίδωσι τὴν γενεάν.

Ἐννόησον γὰρ ἡλίκον ἐστὶ τοὺς μετὰ ταῦτα πάντας ἀκούειν, ὅτι πόλεως οὕτω μεγάλης καὶ ὑπευθύνου κολάσει, καὶ τιμωρίᾳ γενομένης πεφρικότων ἁπάντων, καὶ δεδοικότων στρατηγῶν, καὶ ὑπάρχων, καὶ δικαστῶν, καὶ οὐδὲ φωνὴν

καὶ δι' ἐσέ; Ἐὰν δὲ ἀπὸ τοὺς ἀνθρώπους θὰ λάβῃς αὐτὰ σκέψου πόσον μεγάλον μισθὸν θὰ λάβῃς ἀπὸ τὸν Θεόν, ὄχι μόνον δι' ὅσα τώρα θὰ γίνουν, ἀλλὰ καὶ δι' ἐκεῖνα ποὺ ἄλλοι θὰ κατορθώσουν. Διότι ἐάν ποτε συμβῇ νὰ γίνῃ, ὃ μὴ γένοιτο, κάτι παρόμοιον μὲ αὐτό, καὶ μερικοὶ ἀπὸ τοὺς ὑβρισθέντας θελήσουν νὰ τιμωρήσουν τοὺς ὑβρίσαντας, ἡ ἰδική σου πραότης καὶ ὁ τρόπος ἀντιμετωπίσεως τῆς παρούσης καταστάσεως θὰ εἶναι εἰς αὐτοὺς ὑπόδειγμα, ἀντὶ πάσης ἄλλης διδασκαλίας καὶ παραινέσεως, καὶ θὰ κοκκινίσουν καὶ θὰ κατεντροπιασθοῦν ἂν φανοῦν κατώτεροι, ἐνῷ θὰ ἔχουν τέτοιο παράδειγμα φιλοσοφίας. Ὥστε θὰ εἶσαι διδάσκαλος ὅλων τῶν μεταγενεστέρων, καὶ θὰ ἔχῃς τὸ βραβεῖον μεταγενεστέρων, καὶ θὰ ἔχῃς τὸ βραβεῖον τῆς νίκης ἔναντι αὐτῶν, ἀκόμη καὶ ἂν φθάσουν εἰς μεγάλην τελειότητα αὐτοί.

Διότι δὲν εἶναι ἴδιον τὸ νὰ κάμῃ κάποιος ἀρχὴν τοιαύτης πραότητος μὲ τὸ νὰ μιμῆται τὰ κατορθώματα ἐκείνων, παραδειγματιζόμενος ἀπὸ τοὺς ἄλλους. Διὰ τοῦτο ὅσην φιλανθρωπίαν καὶ πραότητα καὶ ἂν ἐπιδείξουν οἱ μεταγενέστεροι, σὺ θὰ λάβῃς τὸν μισθὸν μαζὶ μὲ ἐκείνους· διότι αὐτὸς ποὺ βάζει τὴν ρίζαν τοῦ δένδρου, αὐτὸς θὰ εἶναι καὶ ὁ αἴτιος τῶν καρπῶν τοῦ δένδρου. Διὰ τοῦτο μαζὶ μὲ σὲ κανεὶς δὲν ἠμπορεῖ νὰ λάβῃ μέρος εἰς τὸν μισθὸν τῆς φιλανθρωπίας· διότι τὸ κατόρθωμα τοῦτο εἶναι ἀποκλειστικῶς ἰδικόν σου. Σὺ ὅμως μὲ ὅλους τοὺς μετὰ ταῦτα, ἄν ποτε μερικοὶ ἤθελον φανῆ τοιοῦτοι, ἐξ ἴσου θὰ ἠμπορέσῃς νὰ διαμοιρασθῇς τὸ κατόρθωμα, καὶ νὰ λάβῃς τόσον μερίδιον, ὅσον λαμβάνουν οἱ διδάσκαλοι διὰ τοὺς μαθητάς· καὶ ἂν κανεὶς δὲν σὲ μιμηθῇ πάλιν εἰς ἐσὲ θὰ ἐπιδίδωνται οἱ ἔπαινοι καὶ τὰ ἐγκώμια καθ' ἑκάστην γενεάν.

Διότι σκέψου πόσον μεγάλο πρᾶγμα εἶναι ὅλοι οἱ μεταγενέστεροι νὰ ἀκούουν ὅτι ἐνῷ τόσον μεγάλη πόλις ἦτο ἀξία τιμωρίας καὶ κολάσεως, καὶ ἐνῷ οἱ πάντες ἐξ αἰτίας τῆς τιμωρίας ἔφριττον καὶ ἐφοβοῦντο, καὶ ἐνῷ ἐφοβοῦντο στρατηγοὶ καὶ ὕπαρχοι καὶ δικασταὶ καὶ δὲν ἠμποροῦσαν οὔτε

ρῆξαι τολμώντων ὑπὲρ τῶν ἀθλίων ἐκείνων, εἷς παρελθὼν πρεσβύτης τοῦ Θεοῦ τὴν ἱερωσύνην ἐγκεχειρισμένος ἀπὸ τῆς ὄψεως μόνης αὐτῆς, καὶ ψιλῆς τῆς συντυχίας ἐνέτρεψε τὸν κρατοῦντα· καὶ ὃ μηδενὶ τῶν ὑπ' αὐτὸν ἐχαρίσατο, ἑνὶ τοῦτο ἔδωκε τοὺς τοῦ Θεοῦ νόμους αἰδεσθείς. Καὶ γὰρ καὶ τοῦτο αὐτὸ οὐ μικρῶς σε, ὦ βασιλεῦ, τετίμηκεν ἡ πόλις, ἐμὲ πρὸς τὴν πρεσβείαν ταύτην ἀποστείλασα· ψῆφον γὰρ ἀρίστην ἐξήνεγκαν περὶ σοῦ καὶ καλλίστην, ὅτι τῆς ἀρχῆς ἁπάσης τῆς ὑπὸ σοῦ κειμένης τοῦ Θεοῦ τοὺς ἱερέας προτιμᾷς, κἂν εὐτελεῖς ὄντες τύχωσιν.

Οὐ παρ' ἐκείνων δὲ ἥκω νῦν μόνον, ἀλλὰ καὶ πρὸ ἐκείνων παρὰ τοῦ κοινοῦ τῶν ἀγγέλων ἀπέσταλμαι Δεσπότου, ταῦτα εἰπεῖν πρὸς τὴν ἡμερωτάτην σου καὶ πρᾳοτάτην ψυχήν, ὅτι ἂν ἀφῆτε τοῖς ἀνθρώποις τὰ ὀφειλήματα αὐτῶν, καὶ ὁ Πατὴρ ὑμῶν ὁ οὐράνιος ἀφήσει ὑμῖν τὰ παραπτώματα ὑμῶν. Ἀναμνήσθητι τοίνυν τῆς ἡμέρας ἐκείνης καθ' ἣν ἅπαντες δίκην δώσομεν περὶ τῶν πεπραγμένων· ἐννόησον ὅτι, εἰ καὶ τί σοι ἡμάρτηται, πάντα ἀπονίψασθαι δυνήσῃ τὰ πλημμελήματα διὰ τῆς ψήφου, καὶ τῆς γνώμης ταύτης, χωρὶς πόνων, χωρὶς ἱδρώτων.

Ἄλλοι μὲν οὖν πρεσβευόμενοι χρυσίον καὶ ἀργύριον, καὶ ἕτερα τοιαῦτα δῶρα κομίζουσιν· ἐγὼ δὲ μετὰ τῶν ἱερῶν πρὸς τὴν σὴν βασιλείαν ἀφῖγμαι νόμων, καὶ ἀντὶ δώρων ἁπάντων τούτους προτείνω· καὶ παρακαλῶ σε μιμήσασθαί σου τὸν Δεσπότην, ὃς καθ' ἡμέραν παρ' ἡμῶν ὑβριζόμενος, οὐ διαλιμπάνει τὰ παρ' ἑαυτοῦ χορηγῶν ἅπασι· καὶ μὴ καταισχύνῃς ἡμῶν τὰς ἐλπίδας, μηδὲ ἐλέγξῃς τὰς ὑποσχέσεις. Καὶ γὰρ καὶ τοῦτό σε μετὰ τῶν ἄλλων εἰδέναι βούλομαι, ὅτι εἰ μὲν βουληθείης καταλλαγῆναι, καὶ τῆς προτέρας εὐνοίας μεταδοῦναι τῇ πόλει, καὶ τὴν ὀργὴν ἀφεῖναι τὴν δικαίαν ταύ-

3. Πρβλ. Ματθ. 6, 14.

λέξιν νὰ εἰποῦν ὑπὲρ τῶν ἀθλίων ἐκείνων, ἕνας γέρων ἐπιφορτισμένος τὴν ἱερωσύνην τοῦ Θεοῦ ἀφοῦ ἐπλησίασεν, διὰ τῆς ἐμφανίσεώς του μόνον, καὶ δι᾽ ἁπλῆς συναντήσεως συνεκίνησε τὸν ἄρχοντα· καὶ ἐκεῖνο ποὺ εἰς κανένα ἀπὸ τοὺς ὑπηκόους του δὲν ἐχάρισε, τὸ ἔδωσεν εἰς ἕνα γέροντα, ἐπειδὴ ἐσεβάσθη τοὺς νόμους τοῦ Θεοῦ. Διότι καὶ μὲ τοῦτο δὲν σὲ ἐτίμησε ὀλίγον, βασιλεῦ, ἡ πόλις μὲ τὸ νὰ ἀποστείλῃ ἐμὲ διὰ τὴν μεσιτείαν αὐτήν· διότι ἐξέφεραν δι᾽ ἐσὲ ἀρίστην κρίσιν καὶ καλλίστην, ὅτι δηλαδὴ ἐξ ὅλων τῶν ὑπηκόων τῆς αὐτοκρατορίας σου, τοὺς ἱερεῖς τοῦ Θεοῦ ἐκτιμᾷς περισσότερον, ἀκόμα καὶ ἂν εἶναι ἀσήμαντοι.

Δὲν ἔρχομαι δὲ τώρα μόνον ἐκ μέρους ἐκείνων, ἀλλὰ περισσότερον ἐκ μέρους τοῦ κοινοῦ τῶν ἀγγέλων Δεσπότου ἔχω ἀποσταλῆ διὰ νὰ εἰπῶ αὐτὰ πρὸς τὴν ἡμερωτάτην καὶ πραοτάτην ψυχήν σου, ὅτι δηλαδὴ ἐὰν συγχωρῆτε εἰς τοὺς ἀνθρώπους τὰ παραπτώματα αὐτῶν ποὺ ἔκαμαν σὲ σᾶς καὶ ὁ οὐράνιος Πατὴρ σας θὰ συγχωρήσῃ τὰ ἰδικά σας παραπτώματα[8]. Ἐνθυμήσου λοιπὸν τὴν ἡμέραν ἐκείνην κατὰ τὴν ὁποίαν ὅλοι θὰ λογοδοτήσωμεν διὰ τὰς πράξεις μας· σκέψου ὅτι καὶ ἂν ἔχῃς ὑποπέσει εἰς κάποιο ἁμάρτημα, ὅλα τὰ ἁμαρτήματα θὰ ἠμπορέσῃς νὰ ἀποπλύνῃς διὰ τῆς ἀποφάσεως καὶ τῆς γνώμης αὐτῆς χωρὶς ἰδιαιτέρους κόπους καὶ μόχθους.

Ἄλλοι λοιπὸν ὅταν ἔρχωνται εἰς ἐσένα ὡς πρέσβεις σοῦ προσφέρουν χρυσὸν καὶ ἄργυρον καὶ ἄλλα τέτοια δῶρα· ἐγὼ ὅμως ἔρχομαι πρὸς τὴν βασιλείαν σου μὲ τοὺς ἱεροὺς νόμους, καὶ ἀντὶ ὅλων τῶν δώρων, αὐτοὺς σοῦ προτείνω· καὶ σὲ παρακαλῶ νὰ μιμηθῇς τὸν Δεσπότην, ὁ ὁποῖος ἂν καὶ καθημερινῶς ὑβρίζεται ἀπὸ ἡμᾶς, δὲν παύει νὰ χορηγῇ τὰ ἀγαθά του εἰς ὅλους· καὶ νὰ μὴ κατεντροπιάσῃς τὰς ἐλπίδας μας οὔτε νὰ διαψεύσῃς τὴν αἰσιοδοξίαν μας. Διότι θέλω καὶ τοῦτο νὰ γνωρίζῃς σὺν τοῖς ἄλλοις, ὅτι ἐὰν μὲν θελήσῃς νὰ συμφιλιωθῇς μὲ τὴν πόλιν καὶ νὰ δώσῃς εἰς αὐτὴν τὴν προηγουμένην εὔνοιάν σου, καὶ νὰ ἀφήσῃς τὴν δι-

την, μετὰ πολλῆς ἀπελεύσομαι τῆς παρρησίας· εἰ δὲ ἐκβάλλοις τὴν πόλιν τῆς διανοίας τῆς σῆς, οὐ μόνον οὐκ ἐπιβήσομαι, οὐδὲ ὄψομαι αὐτῆς τὸ ἔδαφος, ἀλλὰ καὶ ἀρνήσομαι αὐτὴν καθάπαξ λοιπόν, καὶ εἰς ἑτέραν ἐμαυτὸν ἐγγράψω πόλιν. Μὴ γάρ μοι γένοιτο πατρίδα ἐπιγράψασθαί ποτε ἐκείνην, πρὸς ἣν ὁ φιλανθρωπότατος σὺ καὶ πάντων ἀνθρώπων ἡμερώτατος οὐκ ἂν ἕλοιο σπείσασθαι καὶ καταλλαγῆναι.

4. Ταῦτα καὶ πλείονα τούτων εἰπὼν οὕτω τὸν βασιλέα συνέχεεν, ὡς ταὐτὸν γενέσθαι, ὅπερ ἐπὶ τοῦ Ἰωσὴφ συνέβη γενέσθαι ποτέ. Καθάπερ γὰρ ἐκεῖνος τότε τοὺς ἀδελφοὺς ἰδὼν ἐβούλετο μὲν δακρύειν, ἔστεγε δὲ τὸ πάθος, ὥστε μὴ διαφθεῖραι τὴν ὑπόκρισιν· οὕτω δὴ καὶ ὁ βασιλεὺς ἐδάκρυε μὲν κατὰ διάνοιαν οὐκ ἐδείκνυτο δὲ διὰ τοὺς παρόντας ἅπαντας· οὐ μὴν ἴσχυσεν εἰς τέλος κρύψαι τὸ πάθος, ἀλλὰ καὶ ἄκων ἠλέγχετο. Μετὰ γὰρ τὴν δημηγορίαν ταύτην οὐκ ἐδεήθη ῥημάτων δευτέρων, ἀλλ᾽ ἓν μόνον ἐφθέγξατο ῥῆμα, ὃ τοῦ διαδήματος αὐτὸν πολλῷ μειζόνως ἐκόσμησε. Τί δὲ τοῦτό ἐστιν;

Καὶ τί θαυμαστὸν καὶ μέγα φησίν, εἰ τοῖς ὑβρικόσιν ἀφήσομεν τὴν ὀργὴν ἀνθρώποις οὖσιν ἄνθρωποι καὶ αὐτοὶ τυγχάνοντες, ὅπου γε ὁ τῆς οἰκουμένης Δεσπότης ἐπὶ γῆς ἐλθών, καὶ δι᾽ ἡμᾶς γενόμενος δοῦλος, καὶ παρὰ τῶν εὐεργετηθέντων σταυρωθεὶς ὑπὲρ τῶν σταυρωσάντων αὐτὸν παρεκάλει τὸν Πατέρα λέγων, «Ἄφες αὐτοῖς· οὐ γὰρ οἴδασι τί ποιοῦσι»· τί τοίνυν θαυμαστόν, εἰ τοῖς ὁμοδούλοις καὶ ἡμεῖς ἀφήσομεν;

Καὶ ὅτι ταῦτα τὰ ῥήματα οὐχ ὑπόκρισις ἦν, ἔδειξε μὲν καὶ τὰ γεγενημένα ἅπαντα, οὐκ ἔλαττον δὲ τούτων καὶ τοῦτο, ὃ μέλλω νῦν ἐρεῖν· αὐτὸν γὰρ τὸν ἱερέα τοῦτον βουλόμενον ἔχει κοινῇ μετ᾽ αὐτοῦ τὴν ἑορτὴν ἐπιτελέσαι ταύτην, ἄκοντα κατηνάγκασε κατεπειχθῆναι καὶ σπεῦσαι, καὶ τοῖς πολίταις

---

4. Λουκᾶ 23, 24.

καίαν ὀργήν σου αὐτήν, θὰ φύγω μὲ πολλὴν παρρησίαν· ἂν ὅμως διαγράψῃς τὴν πόλιν ἀπὸ τὴν διάνοιάν σου, ὄχι μόνον δὲν θὰ πατήσω εἰς αὐτὴν καὶ δὲν θὰ ἰδῶ τὸ ἔδαφος αὐτῆς, ἀλλὰ καὶ θὰ τὴν ἀπαρνηθῶ ἅπαξ διὰ παντὸς καὶ ἄλλης πόλεως πολίτης θὰ ἐγγραφῶ. Διότι εἴθε νὰ μὴ συμβῇ νὰ ἔχω πατρίδα ἐκείνην τὴν πόλιν, πρὸς τὴν ὁποίαν σὺ ὁ φιλανθρωπότατος καὶ ἡμερώτατος ἀπὸ ὅλους τοὺς ἀνθρώπους δὲν θὰ ἤθελες νὰ συμφιλιωθῇς καὶ νὰ τὴν ἀγαπήσῃς ὅπως πρῶτα.

4. Αὐτὰ καὶ περισσότερα ἀπὸ αὐτὰ ἀφοῦ εἶπε, τόσον πολὺ συνεκίνησε τὸν βασιλέα, ὥστε νὰ συμβῇ ἐκεῖνο ποὺ συνέβη κάποτε μὲ τὸν Ἰωσήφ. Διότι ὅπως ἐκεῖνος τότε ὅταν εἶδε τοὺς ἀδελφούς του ἤθελε μὲν νὰ κλαύσῃ, συνεκράτει δὲ τὴν συγκίνησίν του, διὰ νὰ μὴ καταστρέψῃ τὴν ὑπόκρισιν, ἔτσι καὶ ὁ βασιλεὺς λοιπὸν ἐδάκρυζε μὲν ψυχικῶς, δὲν τὸ ἔδειχνε δὲ ἐξ αἰτίας ὅλων ἐκείνων ποὺ ἦσαν παρόντες· ὅμως εἰς τὸ τέλος δὲν ἠμπόρεσε νὰ κρύψῃ τὴν συγκίνησίν του, καὶ χωρὶς νὰ τὸ θέλῃ ἐφανερώνετο. Διότι μετὰ τὴν ὁμιλίαν αὐτὴν δὲν ἐχρειάσθη νὰ εἴπῃ τίποτε ἄλλο, ἀλλὰ μόνον ἕνα λόγον εἶπεν, ὁ ὁποῖος τὸν ἐκόσμησε πολὺ περισσότερον ἀπὸ τὸ στέμμα του. Ποῖος δὲ εἶναι αὐτὸς ὁ λόγος;

Καὶ τί θαυμαστὸν καὶ μέγα, λέγει, εἶναι ἐὰν ἀφήσωμεν τὴν ὀργὴν εἰς αὐτοὺς ποὺ μᾶς ἔχουν ὑβρίσει, οἱ ὁποῖοι εἶναι ἄνθρωποι, καὶ ἄνθρωποι εἴμεθα καὶ ἡμεῖς, ἀφοῦ βεβαίως ὁ τῆς οἰκουμένης Δεσπότης ὁ ὁποῖος ἦλθεν εἰς τὴν γῆν καὶ ἔγινε δοῦλος δι' ἡμᾶς, καὶ ἐσταυρώθη ἀπὸ αὐτοὺς ποὺ εὐηργέτησε, καὶ παρεκάλει τὸν Πατέρα διὰ τοὺς σταυρωτάς του λέγων «Συγχώρησέ τους, διότι δὲν γνωρίζουν τί κάνουν»[4]· τί λοιπὸν θαυμαστὸν εἶναι ἐὰν καὶ ἡμεῖς συγχωρήσωμεν τοὺς ὁμοδούλους μας;

Καὶ ὅτι δὲν ἦσαν τὰ λόγια αὐτὰ ὑποκριτικὰ τὸ ἀπέδειξαν ὅλα τὰ γεγονότα μετά, καὶ ὄχι ὀλιγώτερον ἀπὸ αὐτὰ καὶ τοῦτο ποὺ τώρα θὰ εἰπῶ· ἐνῷ λοιπὸν ὁ ἱερεὺς ἤθελε νὰ ἐπιτελέσῃ μαζὶ μὲ αὐτὸν ἐκεῖ τὴν ἑορτὴν αὐτήν, τὸν ἠνάγκασε, παρὰ τὴν θέλησίν του, νὰ βιασθῇ καὶ νὰ σπεύσῃ

φανῆναι. Οἶδα, φησίν, ὅτι νῦν αὐτῶν εἰσιν αἱ ψυχαὶ δεδονημέναι, καὶ πολλὰ τῆς συμφορᾶς τὰ λείψανα· ἄπελθε, παρακάλεσον· ἂν ἴδωσι τὸν κυβερνήτην, οὐδὲ τοῦ παρελθόντος μεμνήσονται χειμῶνος, ἀλλὰ καὶ τὴν μνήμην αὐτὴν ἐξαλείψουσι τῶν λυπηρῶν ἅπασαν. Ὡς δὲ ἐπέκειτο ὁ ἱερεύς, ἀξιῶν τὸν υἱὸν πέμψαι τὸν ἑαυτοῦ, βουλόμενος ἐκεῖνος δεῖξαι σαφῶς, ὡς πᾶσαν καθόλου τῆς διανοίας ἐξήλειψε τὴν ὀργήν, εὔξασθε, φησί, ταῦτα ἀναιρεθῆναι τὰ κωλύματα, σβεσθῆναι τοὺς πολέμους τούτους, καὶ αὐτὸς ἀφίξομαι πάντως.

Τί τῆς ψυχῆς ἐκείνης ἡμερώτερον γένοιτ' ἄν; Αἰσχυνέσθωσαν Ἕλληνες λοιπόν· μᾶλλον δὲ μὴ αἰσχυνέσθωσαν, ἀλλὰ παιδευέσθωσαν, καὶ τὴν οἰκείαν ἀφέντες πλάνην ἐπανίτωσαν ἐπὶ τὴν τοῦ Χριστιανισμοῦ δύναμιν, ἀπὸ τοῦ βασιλέως, ἀπὸ τοῦ ἱερέως μαθόντες τὴν παρ' ἡμῖν φιλοσοφίαν. Οὐδὲ γὰρ μέχρι τούτων ἔστη τότε ὁ θεοφιλέστατος βασιλεύς, ἀλλ' ἐπειδὴ καὶ τῆς πόλεως ἐξήλασεν ὁ ἱερεύς, καὶ διέβη τὴν θάλασσαν, ἔπεμψε καὶ ἐκεῖ τινας περιεργαζόμενος, καὶ πολυπραγμονῶν, μή ποτε τρίβῃ τὸν χρόνον, καὶ τῇ πόλει τὴν ἡδονὴν ἐξ ἡμισείας ποιῇ, ἔξω τὴν ἑορτὴν ἐπιτελῶν. Ποῖος πατὴρ ἥμερος τοσαύτην ἂν ὑπὲρ τῶν ὑβρικότων ἐποιήσατο σπουδήν;

Εἴπω τι καὶ ἕτερον τοῦ δικαίου ἐγκώμιον. Ταῦτα γὰρ ἀνύσας, οὐκ ἔσπευσεν, ὡς ἂν εἴ τις ἕτερος δόξης ἐρῶν, αὐτὸς τὰ γράμματα τὰ λύοντα τὴν κατήφειαν ἡμῖν ἐκείνην κομίσαι· ἀλλ' ἐπειδὴ σχολαιότερον ἐβάδιζεν, ἕτερόν τινα τῶν ἵππους ἐλαύνειν εἰδότων ἠξίωσε προλαβεῖν, καὶ κομίσαι τῇ πόλει τὰ εὐαγγέλια, ὥστε μὴ τῇ μελλήσει τῆς ἐπανόδου τῆς ἑαυτοῦ τὴν ἀθυμίαν ἐπιταθῆναι. Τὸ γὰρ σπουδαζόμενον αὐτῷ μόνον ἦν, οὐχ ὅπως αὐτὸς ἔλθοι φέρων τὰ χρηστὰ ταῦτα, καὶ πολλῆς ἡδονῆς γέμοντα, ἀλλ' ὅπως ταχέως ἡ πατρὶς ἡμῖν ἀναπνεύσειεν.

καὶ νὰ ἐμφανισθῇ εἰς τοὺς πολίτας. Γνωρίζω, λέγει, ὅτι αἱ ψυχαὶ αὐτῶν εἶναι τώρα συγκλονισμέναι, καὶ πολλὰ εἶναι τὰ ἀποτελέσματα τῆς συμφορᾶς αὐτῶν· πήγαινε καὶ παρηγόρησε αὐτούς· ἂν ἰδοῦν τὸν κυβερνήτην των, δὲν θὰ ἐνθυμηθοῦν καὶ τὴν φουρτούναν ποὺ ἐπέρασαν, ἀλλὰ καὶ τὴν ἐνθύμησιν τῶν λυπηρῶν ὅλων θὰ ἐξαλείψουν. Ἐπειδὴ δὲ ἐπέμενεν ὁ ἱερεύς, παρακαλῶν νὰ στείλῃ τὸν υἱόν του, θέλων ὁ βασιλεὺς νὰ δείξῃ σαφῶς ὅτι ὅλην τὴν ὀργήν του ἐξήλειψεν, εὐχηθῆτε, λέγει, νὰ φύγουν αὐτὰ τὰ ἐμπόδια, νὰ παύσουν οἱ πόλεμοι αὐτοὶ καὶ ἐγὼ ὁπωσδήποτε θὰ ἔλθω.

Τί ἠμπορεῖ νὰ γίνῃ ἡμερώτερον ἀπὸ τὴν ψυχὴν ἐκείνην; Ἂς ἐντρέπωνται οἱ ἐθνικοὶ λοιπόν· μᾶλλον δὲ ἂς μὴ ἐντρέπωνται, ἀλλὰ ἂς διδάσκωνται, καὶ ἂς ἀφήσουν τὴν ἰδικήν των πλάνην καὶ ἂς προσέλθουν εἰς τὴν δύναμιν τοῦ χριστιανισμοῦ, ἀφοῦ μάθουν τὴν ἰδικήν μας φιλοσοφίαν ἀπὸ τὸν βασιλέα, ἀπὸ τὸν ἱερέα. Διότι οὔτε εἰς αὐτὰ ἠρκέσθη τότε ὁ θεοφιλέστατος βασιλεύς, ἀλλ᾽ ὅταν καὶ ἀπὸ τὴν πόλιν ἀνεχώρησεν ὁ ἱερεὺς καὶ ἐπέρασε τὴν θάλασσαν, ἔστειλε καὶ ἐκεῖ μερικοὺς ἀνθρώπους, θέλων νὰ ἐξετάσῃ καὶ νὰ μάθῃ μήπως λόγῳ ἀργοπορίας κάμει τὴν ἑορτὴν μακρυὰ ἀπὸ τὴν πόλιν καὶ γίνῃ μισὴ ἡ χαρὰ εἰς τὴν πόλιν. Ποῖος πατὴρ ἐπιεικὴς θὰ ἐφρόντιζε τόσον πολὺ διὰ τοὺς ὑβριστάς του;

Ἂς εἰπῶ καὶ κάποιο ἄλλο ἐγκώμιον διὰ τὸν δίκαιον. Ἀφοῦ λοιπὸν κατώρθωσεν αὐτά, δὲν ἔσπευσεν, ὅπως θὰ ἔκαμε κάποιος ἄλλος φιλόδοξος, νὰ φέρῃ ὁ ἴδιος τὰς ἐπιστολὰς αἱ ὁποῖαι θὰ ἔλυον τὴν κατήφειαν ποὺ μᾶς κατεῖχεν· ἀλλ᾽ ἐπειδὴ κάπως ἀργὰ ἐβάδιζεν, κάποιον ἄλλον ἀπὸ αὐτοὺς ποὺ γνωρίζουν νὰ ὁδηγοῦν τοὺς ἵππους παρεκάλεσε νὰ προλάβῃ καὶ νὰ φέρῃ εἰς τὴν πόλιν τὰ εὐχάριστα νέα, ὥστε νὰ μὴ μεγαλώσῃ ἡ λύπη μας ἐξ αἰτίας τῆς βραδύτητος τῆς ἐπανόδου του. Διότι ἐκεῖνο διὰ τὸ ὁποῖον οὗτος ἐφρόντιζεν ἦτο ὄχι πῶς ὁ ἴδιος θὰ ἔλθῃ καὶ θὰ φέρῃ τὰ καλὰ καὶ εὐχάριστα νέα, ἀλλὰ πῶς ὅσον τὸ δυνατὸν συντομώτερα ἡ πόλις μας θὰ ἀνέπνεεν.

Ὅπερ οὖν τότε ἐποιήσατε στεφανώσαντες τὴν ἀγοράν, καὶ λύχνους ἅψαντες, καὶ στιβάδας πρὸ τῶν ἐργαστηρίων συνθέντες, καὶ ὥσπερ ἄρτι τῆς πόλεως τεχθείσης, οὕτω πανηγυρίσαντες· τοῦτο ἑτέρως διὰ παντὸς ποιεῖτε τοῦ χρόνου, μὴ τοῖς ἄνθεσιν, ἀλλ' ἀρετῇ στεφανούμενοι, τὸ φῶς τὸ ἀπὸ τῶν ἔργων ἅπτοντες κατὰ τὴν ψυχὴν τὴν ὑμετέραν, εὐφροσύνην εὐφραινόμενοι πνευματικήν, καὶ τῷ Θεῷ διηνεκῶς ὑπὲρ τούτων ἁπάντων εὐχαριστοῦντες μὴ διαλείπωμεν, μηδ' ὅτι μόνον ἔλυσε τὰ δεινά, ἀλλ' ὅτι καὶ συνεχώρησεν αὐτὰ γενέσθαι, καὶ πολλὴν αὐτῷ χάριν ὁμολογῶμεν· δι' ἀμφοτέρων γὰρ ἡμῖν τὴν πόλιν ἐκόσμησε.

Ταῦτα δὲ πάντα κατὰ τὸ προφητικὸν λόγιον ἀναγγείλατε τοῖς τέκνοις ὑμῶν καὶ τὰ τέκνα ὑμῶν τοῖς τέκνοις αὐτῶν, κἀκεῖνοι πάλιν εἰς γενεὰν ἑτέραν, ἵνα ἅπαντες οἱ μέχρι τῆς συντελείας γινόμενοι τὴν τοῦ Θεοῦ φιλανθρωπίαν τὴν ἐπὶ τῇ πόλει γεγενημένην μαθόντες, μακαρίζωσι μὲν ἡμᾶς τοὺς τοσαύτης ἀπολαύσαντας εὐνοίας, θαυμάζωσι δὲ ἡμῶν τὸν δεσπότην, τὸν οὕτω καταπίπτουσαν τὴν πόλιν ἀναστήσαντα, κερδάνωσι δὲ καὶ αὐτοὶ διὰ πάντων τῶν γεγενημένων πρὸς εὐλάβειαν συνωθούμενοι. Οὐ γὰρ δὴ μόνον ἡμᾶς εἰ μνημονεύοιμεν αὐτῶν διηνεκῶς, ἀλλὰ καὶ τοὺς μεθ' ἡμᾶς γινομένους, τὰ μέγιστα τῶν συμβάντων ἡμῖν ἡ ἱστορία ὠφελῆσαι δυνήσεται.

Ἅπερ οὖν ἅπαντα λογιζόμενοι μὴ μόνον ἐν τῇ λύσει τῶν δεινῶν, ἀλλὰ καὶ ἐν τῇ συγχωρήσει τῶν δεινῶν, ἀλλὰ καὶ ἐν τῇ συγχωρήσει τῶν δεινῶν εὐχαριστῶμεν ἀεὶ τῷ φιλανθρώπῳ Θεῷ, ἀπό τε τῶν θείων Γραφῶν, ἀπό τε τῶν ἡμῖν συμβάντων αὐτῶν δὴ τούτων μαθόντες, ὡς ἅπαντα ἀεὶ πρὸς τὸ δέον ἡμῖν οἰκονομεῖ μετὰ τῆς αὐτῷ πρεπούσης φιλανθρωπίας· ἧς γένοιτο διηνεκῶς ἡμᾶς ἀπολαύοντας, καὶ τῆς βασιλείας τῶν οὐρανῶν ἐπιτυχεῖν ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν, ᾧ ἡ δόξα, καὶ τὸ κράτος εἰς τοὺς αἰῶνας τῶν αἰώνων· Ἀμήν.

---

5. Προβλ. Ἰωὴλ 1, 3.

Ἐκεῖνο ποὺ τότε ἐκάματε στεφανώσαντες τὴν ἀγορὰν καὶ ἀνάψαντες λύχνους καὶ κλαδιὰ πρὸ τῶν ἐργαστηρίων, καὶ ὡσὰν πρὶν ἀπὸ ὀλίγον νὰ ἐγεννήθη ἡ πόλις ἔτσι ἐπανηγυρίσατε, τοῦτο κατὰ διαφορετικὸν τρόπον νὰ κάμετε συνεχῶς, ὄχι μὲ ἄνθη, ἀλλὰ μὲ τὴν ἀρετὴν νὰ στεφανώνετε τὸν ἑαυτόν σας, τὸ φῶς τὸ προερχόμενον ἀπὸ τὰ ἔργα σας νὰ ἀνάπτετε εἰς τὴν ψυχήν σας, νὰ εὐφραίνεσθε μὲ πνευματικὴν σωφροσύνην καὶ νὰ μὴ παύωμεν νὰ εὐχαριστοῦμεν τὸν Θεὸν συνεχῶς δι' αὐτά, ὄχι μόνον ἐπειδὴ μᾶς ἀπήλλαξεν ἀπὸ τὰ κακά, ἀλλὰ καὶ διότι ἐπέτρεψεν αὐτὰ νὰ γίνουν, καὶ ἂς ὁμολογοῦμεν πολὺ μεγάλην χάριν εἰς Αὐτόν, διότι καὶ διὰ τῶν δύο τούτων ἐκόσμησε τὴν πόλιν μας.

Αὐτὰ δὲ ὅλα κατὰ τὸ προφητικὸν λόγιον ἀναγγείλατε εἰς τὰ παιδιά σας, καὶ τὰ παιδιά σας εἰς τὰ ἰδικά των παιδιά, καὶ ἐκεῖνα πάλιν εἰς ἄλλην γενεάν[5], διὰ νὰ μάθουν ὅλοι, ὅσοι θὰ ζήσουν ὡς τὴν συντέλειαν τῶν αἰώνων, τὴν φιλανθρωπίαν τοῦ Θεοῦ ἡ ὁποία ἔχει γίνει εἰς τὴν πόλιν μας, καὶ νὰ μακαρίζουν μὲν ἡμᾶς οἱ ὁποῖοι ἀπηλαύσαμεν τόσην εὔνοιαν, νὰ θαυμάσουν δὲ τὸν δεσπότην μας, ὁ ὁποῖος ἀνέστησε τὴν πόλιν μας ποὺ ἦτο ὡς νεκρά, νὰ ὠφεληθοῦν δὲ καὶ οἱ ἴδιοι δι' ὅλων τῶν συμβάντων τούτων, ὠθούμενοι πρὸς τὴν εὐσέβειαν. Διότι ὄχι μόνον ἡμᾶς, ἐὰν αὐτὰ συνεχῶς τὰ ἐνθυμούμεθα, ἀλλὰ καὶ τοὺς μετέπειτα ἀπὸ ἡμᾶς, ἡ ἱστορία τῶν συμβάντων εἰς ἡμᾶς πολὺ θὰ ἠμπορέσῃ νὰ ὠφελήσῃ.

Ὅλα λοιπὸν αὐτὰ συλλογιζόμενοι, ὄχι μόνον διὰ τὴν λύσιν τῶν δεσμῶν, ἀλλὰ καὶ διότι ἐπετράπησαν τὰ δεινὰ νὰ γίνουν, ἂς εὐχαριστῶμεν πάντοτε τὸν φιλάνθρωπον Θεόν, ἀφοῦ καὶ ἀπὸ τὰς θείας Γραφὰς καὶ ἀπὸ αὐτὰ τὰ ἴδια ποὺ συνέβησαν εἰς ἡμᾶς ἐμάθομεν ὅτι ὅλα πάντοτε οἰκονομεῖ πρὸς τὸ συμφέρον μας, μὲ τὴν πρέπουσαν εἰς Αὐτὸν φιλανθρωπίαν, τὴν ὁποίαν εἴθε συνεχῶς ἡμεῖς νὰ ἀπολαμβάνωμεν, καὶ νὰ ἐπιτύχωμεν τῆς βασιλείας τῶν οὐρανῶν διὰ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, εἰς τὸν ὁποῖον ἡ δόξα καὶ τὸ κράτος ἂς εἶναι εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ΕΥΡΕΤΗΡΙΑ

— Διὰ τὰ χωρία τοῦ κειμένου οἱ ἀριθμοὶ παραπέμπουν κατὰ σειρὰν εἰς κεφάλαιον, στίχον καὶ σελίδα, διὰ δὲ τὰ ὀνόματα τοῦ κειμένου οἱ ἀριθμοὶ παραπέμπουν εἰς σελίδας.

1. Εὑρετήριον χωρίων τῆς Γραφῆς

2. *Εὑρετήριον ὀνομάτων καὶ πραγμάτων*

Α

B

Γ

Δ

Ε

Ζ

Η

Θ

I

Κ

Λ

M

N

Ο

Π

Ρ

Σ

Τ

Υ

Φ

ΠΙΝΑΞ ΠΕΡΙΕΧΟΜΕΝΩΝ

Στοιχειοθεσία, Ἐκτύπωσις:

TYPO EXPRESS

Βελισσαρίου 35 ☎ 841-623

Βιβλιοδεσία:
Ἀφοὶ ΒΑΡΟΥΣΙΑΔΗ

Κεντρικὴ πώλησις:
Βιβλιοπωλεῖον «ΒΥΖΑΝΤΙΟΝ»
ΕΛΕΥΘΕΡΙΟΥ ΜΕΡΕΤΑΚΗ
Ἀρμενοπούλου 19 — Θεσσαλονίκη — Τηλ. 205-965